

THVCYDIDIS

DE

BELLO PELOPONNESIACO

LIBRI OCTO


AD

OPTIMORVM CODICVM FIDEM, ADHIBITIS DOCTORVM VIRORVM OBSERVATIONIBVS, RECENSVIT, SVMMARIIS ET NOTIS ILLVSTRAVIT, INDICESQVE RERVM ET VERBORVM

ADIECIT

CHRISTOPH. FRID. FERD. HAACKIVS

GYMNASII STENDALIENSIS RECTOR



VOL. II.

LIPSIAE

SVMPTIBVS LIBRARIAE HAHNIANAE

CIƆIƆCCCXX.

Cum integrum annum et amplius in describenda Thucydidis historia et nostris in eam commentariis operae consumpsissent, nos in recensendis earum speciminibus subinde ad nos perlatis, nonnulla deprehendimus aut minus recte et distincte, aut falso tradita, vel plane omissa. Adeo verum est, quod aiunt, *dies diem docet.* Quodsi sincero veritatis studio illa praefationis loco huic volumini praemittimus, speramus fore, ut aequi lectores industriae et diligentiae nostrae errores illos condonent.

ADDENDA ET CORRIGENDA.

In Vita Thucydidis Tom. I. p. XIII, Bredovium secuti, diximus, etiam Lucianum de hist. conscrib. fabulam ibi traditam *narrare.* Sed Lucianus §. 78. nequaquam narrat istam fabulam, sed tantummodo dicit, Thucydidem, cum Herodoti exemplum et omnibus probatam praestantiam ante oculos haberet, et ipsum historiae luculenter conscribendae aucto-

rem et exemplar exstitisse. Verba eius haec sunt: *Ὁ δ᾽ οὖν Θουκυδίδης εὖ μάλα τοῦτο ἐνομοθέτησε, καὶ διέκρινεν ἀρετὴν καὶ κακίαν συγγραφικὴν, ὁρῶν μάλιστα θαυμαζόμενον τὸν Ἡρόδοτον, ἄχρι τοῦ καὶ Μούσας κληθῆναι αὐτοῦ τὰ βιβλία· κτῆμά τε γάρ φησι μᾶλλον ἐς ἀεὶ συγγράφειν, ἤπερ ἐς τὸ παρὸν ἀγώνισμα· καὶ μὴ τὸ μυθῶδες ἀσπάζεσθαι, ἀλλὰ τὴν ἀλήθειαν τῶν γεγενημένων ἀπολείπειν τοῖς ὕστερον.*

Ibid. pag. xv in Nota 16 lege: secundum alios tamen *ossa* Athenas portata, cuius loco typotheta *esse* dedit.

Lib. I. C. 72. *Ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς Λακεδαιμονίους εἶναι, τῶν μὲν ἐγκλημάτων μηδὲν ἀπολογησαμένους.* Accusativus *ἀπολογησαμένους* non abhorret a more Atticorum, qui adiectiva verbalia in *τέος* non solum dativo, sed etiam accusativo iungunt propter notionem *τοῦ χρή* vel *δεῖ,* quae illis inest. Sic Thucyd. 8, 65. *ὡς οὔτε μισθοφορητέον εἴη ἄλλους, ἢ τοὺς στρατευομένους,* ubi hic locus me fugiebat. Lucian. *πῶς δεῖ ἱστ. συγγράφειν* §. 82. *σωφρονητέον, εἰδότας.* Ibid. paullo inferius *χρηστέον, οὔτε ἀφιστάντα καὶ ἀπαρτῶντα, οὔτε — συνάπτοντα.* Cf. Buttmann. Gr. §. 121. 7. not. 2.

Lib. IV. Cap. 118. *Τὴν ὁδὸν τὴν ἀπὸ τῶν Πυλῶν τῶν παρὰ τοῦ Νίσου.* Ultima verba vertere debebam „prope Nisi *collem.*" Certe collem, non aedem Nisi, Pindarus Pyth. IX, 160. Nem. V, 84.

eiusque Scholiastae agnoscunt. *Τὰς Πύλας* vulgo de angusta via accipiunt.

Lib. V. Cap. 47. *Ἐξορκούντων δὲ οἱ πρυτάνεις.* Cum notam ad hunc locum scriberem, fugerunt me contraria apud Thucydidem exempla haec: 1, 34. *μαθέτωσαν.* 3, 67. *ὠφελείσθωσαν.* 4, 92 extr. *κτάσθωσαν.* 8, 18. *ἔστωσαν* bis. Quibus *Elmsleii* observatio refellitur. Adde Xenoph. de Venat. 4, 5. ubi nunc editur *μεταθείτωσαν* pro *μετατιθέτωσαν,* cursu persequuntor. De Vectig. 5, 5. *ἐννοησάτωσαν.*

Lib. VI. Cap. 4. *Προδόντος τὴν χώραν.* In annotatione ad h. l. *τὴν χώραν* retuli ad regionem eam, in qua Thapsus sita. Sed potius is locus videtur intelligendus, quem Megarensibus dabat Hyblo ad Megara Hyblaea condenda, et quo eos deducebat. Ita ad sequens *ᾤκισαν* illustrandum pertinet totum membrum *Ὕβλωνος προδόντος τὴν χώραν,* non ad praecedentis *ἀναστάντες ἐκ τῆς Θάψου* rationem reddendam.

Lib. VI. Cap. 18. Sero intellexi, servari posse vulgatum *μὴ ὅπως ἔπεισι,* sive per traiectionem pro *ὅπως μὴ* accipiatur, sive pro: *non dico, eum contra ire,* i. e. etiamsi non contra eat.

Lib. VI. Cap. 54. dicitur Hipparchus, cum Harmodius corrumpi se passus non esset, a vi quidem abstinere voluisse, sed contumelia eum afficiendum curasse *obscuro quodam loco* (*ἐν τόπῳ δέ τινι ἀφανεῖ, ὡς οὐ διὰ τοῦτο δὴ, παρεσκευάζετο προπηλακιῶν αὐτόν.*) Quaeras, cur potius in

obscuro, quam propalam, quo insignior et acerbior esset contumelia. Neque vero illata est obscuro loco iniuria Harmodio a Pisistratidis, sed publice in pompa instruenda. Videtur igitur vitium latere in vocabulo *ἀφανεῖ*, et legendum *ἐν τόπῳ δέ τινι διαφανεῖ*, cum propter praecedentis syllabae soni similitudinem haec lectio facile depravari potuisse videatur.

Lib. VI. Cap. 59. In nota error est, partim ex Hudsoni annotatione, partim socordia natus. *Ἀδελφῶν Ἀρχεδίκης τυράννων* unus tantummodo nobis notus est Pisistratus, Hippiae filius, qui Archon quondam Athenis fuerat, sicut ceteri eiusdem prosapiae. Vid. Thucyd. 6, 54. Thessalus autem et Hipparchus Hippiae, non Archedices, fratres fuerant; et Hegesistratus, Sigei tyrannus, Pisistrati erat filius nothus, frater Hippiae. Vid. ad cap. 55.

Lib. VI. Cap. 88. *Τοὺς δὲ καὶ ὑπὸ τῶν Συρακουσίων — ἀπεκώλυον.* Ubi legendum videtur *ἀπεκωλύοντο.* Vid. Index voc. *ἀποκωλύειν.*

Lib. VI. Cap. 103. *Καὶ τοὺς στρατηγούς τε.* Particula *τέ* non erat mutanda contra libros omnes. Nam Thucydideo more praemissa et disiuncta est a verbo eo, ad quod proprie pertinet, nempe *ἔπαυσαν*, et sic referri potest ad sequens *καὶ ἄλλους ἀνθείλοντο.*

Lib. VII. Cap. 28. *Καὶ τὴν εἰκοστὴν ὑπὸ τοῦτον τὸν χρόνον τῶν κατὰ θάλασσαν ἀντὶ τοῦ*

φόρον τοῖς ὑπηκόοις ἐποίησαν. *Schneiderus* ad Xenoph. de republ. Athen. 1, 17. τὸν φόρον accipit pro τῇ ἑκατοστῇ, in cuius locum Athenienses τὴν εἰκοστήν induxerint. Eodem rem deduxerat, quamquam non dissimulata difficultate, quae ex verbi τοῦ φόρου longe diversa significatione nascitur, *Manso* in Spartae Tom. II. pag. 502. De centesima quidem nihildum certi constat; illud dubitari non potest, τὸν φόρον Thucydidi esse tributum sociorum vel τῶν ὑπηκόων. Vid. Thucyd. I, 96. Ceterum Boeckhius in libro de publica oeconomia Athen. Tom. I. pag. 344. docet, vicesimam istam, quam loco supra posito Thucydides memorat, non in Piraeeo, ut cum Mansone et Bredovio olim ipse opinabar, sed in sociorum terris receptam esse. Quae ratio si vera sit, non est, quod Athenienses mutatione definiti tributi in indefinitum portorium vectigalia sua magnopere minuisse arbitremur. (Cf. Boeckh. l. c. pag. 348.) Neque coniectura mea opus erat, Athenienses mox, intellecto errore suo, rem in pristinum statum reduxisse; cui praeterea non leve testimonium obstare video. Nam Aristophanes Thorcyonem quendam εἰκοστολόγον nominat in Ranis V. 363., quam fabulam docuit Ol. 93, 3. Unde Boeckhius (l. c. cf. pag. 432.) colligit, rem usque ad belli Peloponnesiaci finem, quo tempore omnia s[illegible]um tributa cum ipsis sociis Athenienses amiseri[illegible]lu[illegible]sse. Illud autem non perspicio, cur non in Pira[illegible] que, sed tantummodo in sociorum terris vicesimam

coactam esse contendat Boeckhius. Nam licet Athenienses ibi tantundem contribuerint, tamen non est, cur putemus, portum Athenarum sociis, qui plurimum eo utebantur, minoris stetisse, quam suum ipsorum.

Lib. VIII. Cap. 68. *Ὥςτε ἀπ᾽ ἀνδρῶν πολλῶν καὶ ξυνετῶν πραχθὲν τὸ ἔργον.* Vulgata *ἀπ᾽ ἀνδρῶν*, cuius loco *ὑπ᾽ ἀνδρῶν* ex uno Dan. recepimus, vera esse potest. Vid. Ind. in *ἀπό*.

Lib. VIII. Cap. 108. *Ἀγγέλλων, ὅτι τάς τε Φοινίσσας ναῦς ἀποτρέψειε Πελοποννησίοις, ὥςτε μὴ ἐλθεῖν, καὶ τὸν Τισσαφέρνην ὅτι φίλον πεποιήκοι μᾶλλον Ἀθηναίοις ἢ πρότερον.* Non satis idonea erat causa, cur h. l. optativus post *ὅτι* displiceret, cum haec ex Alcibiadis mente, non ex vero, neque ex Scriptoris iudicio tradantur. Et vel ipsa lectio *πεποιήκει* vulgatam confirmat, quia plusquamperfecto hic locus nullus.

ΘΟΥΚΥΔΙΔΟΥ

ΌΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΠΕΜΠΤΟΝ.

ΤΟΥ δ᾽ ἐπιγιγνομένου θέρους, αἱ μὲν ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι Πυθίων· καὶ ἐν τῇ ἐκεχειρίᾳ Ἀθηναῖοι Δηλίους ἀνέστησαν ἐκ Δήλου, ἡγησάμενοι, κατὰ παλαιάν τινα αἰτίαν, οὐ καθαροὺς ὄντας ἱερῶσθαι· καὶ ἅμα ἐλλιπὲς σφίσιν εἶναι τοῦτο τῆς καθάρσεως, ᾗ πρότερόν μοι δεδήλωται, ὡς, ἀνελόντες τὰς θήκας τῶν τεθνεώτων, ὀρθῶς ἐνόμισαν ποιῆσαι. Καὶ

SVMMARIVM.

1. Finis indiciarum. Delii ad migrationem ab Athenienſibus coacti, Atramyttium ſe conferunt, concedente

1. *Διελέλυντο μέχρι Πυθίων.* Comparat Bauerus dictionem ſaepe apud Thucydidem lectam: *ἡ μάχη ἐτελεύτα ἐς νύκτα.* „Induciae, cum ad Pythia usque veniſſent, finem habuere.“ Conſtat ratio. Nam induciae illae pactae erant proximi anni menſe Elaphebolione (vid. 4, 118.), qui noſtro Martio congruit. Pythia autem veris initio agebantur.

οὐ καθαροὺς ὄντας ἱερῶσθαι. Verba *ἱερεύεσθαι, ἱερᾶσθαι* et *ἱεροῦσθαι* ſic differunt, ut primum de victimis immolandis, alterum de ſacerdotibus inaugurandis, tertium de rebus hominibusve diis conſecrandis (*ἐπὶ τῶν ἀναθημάτων*) dicatur. — *οὐ καθαροὺς ὄντας*, licet polluti eſſent. Aliam cauſam affert Diodor. 12, 73. *Ἀθηναῖοι τοῖς Δηλίοις ἐγκαλοῦντες, ὅτι λάθρα πρὸς Λακεδαιμονίους συντίθενται συμμαχίαν, ἐξέβαλον αὐτοὺς ἐκ τῆς νήσου, καὶ τὴν πόλιν αὐτοὶ κατέσχον.*

ᾗ πρότερόν μοι δεδήλωται, ὡς — ποιῆσαι. Rem narrat 3, 104. Scilicet tum puta-

οἱ μὲν Δήλιοι Ἀτραμύττειον, Φαρνάκους δόντος αὐτοῖς, ἐν τῇ Ἀσίᾳ ᾤκησαν, οὕτως ὡς ἕκαστος ὥρμητο.

2. Κλέων δὲ, Ἀθηναίους πείσας, ἐς τὰ ἐπὶ Θρᾴκης χωρία ἐξέπλευσε μετὰ τὴν ἐκεχειρίαν, Ἀθηναίων μὲν ὁπλίτας ἔχων διακοσίους καὶ χιλίους, καὶ ἱππέας τριακοσίους, τῶν δὲ ξυμμάχων πλείους, ναῦς δὲ τριάκοντα. Σχὼν δὲ ἐς Σκιώνην πρῶτον, ἔτι πολιορκουμένην, καὶ προςλαβὼν αὐτόθεν ὁπλίτας τῶν φρουρῶν, κατέπλευσεν ἐς τὸν Κολοφωνίων λιμένα, τῶν Τορωναίων ἀπέχοντα οὐ πολὺ τῆς πόλεως. Ἐκ δ' αὐτοῦ, αἰσθόμενος ὑπ' αὐτομόλων, ὅτι οὔτε Βρασίδας ἐν τῇ Τορώνῃ, οὔτε οἱ ἐνόντες ἀξιόμαχοι εἶεν, τῇ μὲν στρατιᾷ τῇ πεζῇ ἐχώρει ἐς τὴν πόλιν, ναῦς δὲ περιέπεμψε δέκα τὸν λιμένα περιπλεῖν. Καὶ πρὸς τὸ περιτείχισμα πρῶτον ἀφικνεῖται, ὃ προςπεριέβαλε τῇ πόλει ὁ Βρασίδας, ἐντὸς βουλόμενος ποιῆσαι τὸ προάστειον· καὶ διελὼν τοῦ παλαιοῦ τείχους, μίαν αὐτὴν ἐποίησε πόλιν.

Pharnace. 2. Cleo, Athenis profectus in Thraciam,

bant, ſe rem recte abſolviſſe, quod nunc minus videbatur. Pronomen ᾗ male tentat Benedictus, ſcribens ἥ, ut ſit nominativus, qui multo minus h. l. aptus, quam vel accuſativus, vel ablativus, quem recte intelliges, ſi verba *πρότερόν μοι δεδήλωται, ὡς* paullisper abeſſe putaveris, et ſubaudieris *αὐτήν*.

Ἀτραμύττειον, oppidum Myſiae. Cf. 8, 108. *τοὺς Ἀτραμ. οἰκήσαντας.* Aut ibi legendum *οἰκίσαντας*, et h. l. *ᾤκισαν*, aut certe hic interpunctio ſic mutanda, ut comma ante *Ἀτραμύττειον* transponatur. Illud praetulerim. — *ὡς ἕκαστος ὥρμητο*, prout ſinguli properabant.

2. *αὐτόθεν ὁπλίτας τῶν φρουρῶν.* Circumvallaverant enim urbem Athenienſes, cf. 4, 131. — *τὸν Κολοφωνίων λιμένα*, ſive iungas cum *τῶν Τορωναίων*, ſive ab his verbis commate diſtinguas, patet h. l. prope Toronen urbem ſitum fuiſſe. Perperam igitur a Danvillio in occidentali *Pellenes* littore notatus eſt, cum in eadem, qua Torone, Cherſonneſo ſitum fuiſſe neceſſe ſit, proptérea quod inde verſus Toronen urbem pedeſtri exercitu proficiſcitur Cleo. Et urbis Torones portum ab illo diverſum fuiſſe, inde colligo, quod ex hoc Colophoniorum portu decem naves emittit, quae pórtum (nimirum Torones) circumnavigent; quae et ipſae paullo poſt in urbem a portu irruperunt. cf. cap. 3.

ὅτι οὔτε Βρασίδας. Vulgatum *οὐδὲ* iam Poppo correxerat.

διελὼν τοῦ παλαιοῦ τείχους, int. *τὶ, μέρος τι.*

3. Βοηθήσαντες δὲ ἐς αὐτὸ Πασιτελίδας τε ὁ Λακεδαιμόνιος ἄρχων καὶ ἡ παροῦσα φυλακὴ, προσβαλόντων τῶν Ἀθηναίων, ἠμύνοντο. Καὶ ὡς ἐβιάζοντο, καὶ αἱ νῆες ἅμα περιέπλεον αἱ ἐς τὸν λιμένα περιπεμφθεῖσαι, δείσας ὁ Πασιτελίδας, μὴ αἵ τε νῆες φθάσωσι λαβοῦσαι ἐρήμον τὴν πόλιν, καὶ, τοῦ τειχίσματος ἁλισκομένου, ἐγκαταληφθῇ, ἀπολιπὼν αὐτὸ, δρόμῳ ἐχώρει ἐς τὴν πόλιν. Οἱ δὲ Ἀθηναῖοι φθάνουσιν, οἵ τε ἀπὸ τῶν νεῶν, ἑλόντες τὴν Τορώνην, καὶ ὁ πεζὸς ἐπισπόμενος, αὐτοβοεὶ κατὰ τὸ διῃρημένον τοῦ παλαιοῦ τείχους ξυνεσπεσών. Καὶ τοὺς μὲν ἀπέκτειναν τῶν Πελοποννησίων καὶ Τορωναίων εὐθὺς ἐν χερσί· τοὺς δὲ, ζῶντας ἔλαβον, καὶ Πασιτελίδαν τὸν ἄρχοντα. Βρασίδας δὲ ἐβοήθει μὲν τῇ Τορώνῃ, αἰσθόμενος δὲ καθ' ὁδὸν ἑαλωκυῖαν, ἀνεχώρησεν, ἀποσχὼν τεσσαράκοντα μάλιστα σταδίους μὴ φθάσαι ἐλθών. Ὁ δὲ

Toronen abſente Braſida aggreditur, 3. et capit vi

3. *καὶ αἱ νῆες ἅμα περιέπλεον αἱ ἐς τ. λ. περιπ.* Adieci articulum *αἱ* e cod. Cam. ſive Baſil., qui eſt ex praeſtantiſſimis. Nam et res et linguae uſus h. l. flagitat articulum propter verba c. 2. *ναῦς δὲ περιέπεμψε δέκα τὸν λιμένα περιπλεῖν.*

τοῦ τειχίσματος ἁλισκομένου. Τὸ *τείχισμα* non diverſum eſt ab eo, quod ſupra c. 2. vocabatur, *περιτειχίσματι.* Cum vi irrumpere conarentur Athenienſes in illam a Braſida nuper exſtructam munitionem, tutius eſſe ratus in ipſa urbe ſe defendere, et partem muri deiectam obſtruere, eo ſe cum ſuis proripuit, neque tamen Athenienſes anteverti!.

καὶ ὁ πεζὸς ἐπισπώμενος, αὐτοβοεὶ —. Vulgo interpungitur poſt *αὐτοβοεί*, ſed quum hoc vocabulum longe aptius cum *ξυνεσπεσών* iungatur, comma migrare iuſſi ante *αὐτοβοεί.* Quid h. l. ſit *ἐπισπώμενος*, nemo docet. Valla ſic vertit: „et *inſecutus* cum vociferatione peditatus" quaſi legiſſet *ἐπισπόμενος*, quam formam praeterea exhibent codd. Aug. Moſq. et Caſſ. hic fortaſſe e correct. Sed vera eſt haec aoriſti forma, et noſtro Scriptori uſitata (cf. c. 11.) et ſententiae aptiſſima. Non enim per verbi *ἐπισπᾶσθαι* vim vulgatam ita expedias licet: „peditatus *adductus*, acceleratus (ſc. a fugientibus Peloponneſiis) uno impetu irrupit per dirutam illam inter urbem et ſuburbium murorum partem;" quamvis et hic vulgo ſic intelligatur, et 4, 35. verba *καὶ οἱ Ἀθηναῖοι ἐπισπώμενοι*, ubi e Caſſ. Aug. Reg. a ſec. m. ſcripſimus, quod ratio flagitabat, *ἐπισπόμενοι.*

ἀποσχὼν — μὴ φθάσαι ἐλθών, aberat quadraginta fer-

Κλέων καὶ οἱ Ἀθηναῖοι τροπαῖά τε ἔστησαν δύο, τὸ μέν, κατὰ τὸν λιμένα, τὸ δέ, πρὸς τῷ τειχίσματι· καὶ τῶν Τορωναίων γυναῖκας μὲν καὶ παῖδας ἠνδραπόδισαν, αὐτοὺς δέ, καὶ Πελοποννησίους, καὶ εἴ τις ἄλλος Χαλκιδέων ἦν, ξύμπαντας ἐς ἑπτακοσίους ἀπέπεμψαν ἐς τὰς Ἀθήνας. Καὶ αὐτοῖς τὸ μὲν Πελοποννήσιον ὕστερον ἐν ταῖς γενομέναις σπονδαῖς ἀπῆλθε, τὸ δὲ ἄλλο ἐκομίσθη ὑπ' Ὀλυνθίων, ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς. Εἷλον δὲ καὶ Πάνακτον Ἀθηναίων ἐν μεθορίοις τεῖχος Βοιωτοὶ ὑπὸ τὸν αὐτὸν χρόνον προδοσίᾳ. Καὶ ὁ μὲν Κλέων, φυλακὴν καταστησάμενος τῆς Τορώνης, ἄρας περιέπλει τὸν Ἄθω ὡς ἐπὶ τὴν Ἀμφίπολιν.

4. Φαίαξ δὲ ὁ Ἐρασιστράτου τρίτος αὐτός, Ἀθηναίων πεμπόντων, ναυσὶ δύο ἐς Ἰταλίαν καὶ Σικελίαν πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσε. Λεοντῖνοι γάρ, ἀπελθόντων Ἀθηναίων ἐκ Σικελίας μετὰ τὴν ξύμβασιν, πολίτας τε ἐπεγράψαντο πολλούς, καὶ ὁ δῆμος τὴν γῆν ἐπενόει ἀναδάσασθαι. Οἱ δὲ δυνατοί, αἰσθόμενοι, Συρακουσίους τε ἐπάγονται, καὶ ἐκβάλλουσι τὸν δῆμον. Καὶ οἱ μὲν ἐπλανήθησαν ὡς ἕκαστοι· οἱ δὲ δυνατοί, ὁμολογήσαντες Συρακουσίοις, καὶ τὴν πόλιν ἐκλιπόντες καὶ ἐρημώσαντες, Συρακούσας ἐπὶ πολιτείᾳ ᾤκησαν. Καὶ ὕστερον πάλιν αὐτῶν τινές, διὰ τὸ μὴ ἀρέσκεσθαι, ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν,

irrumpens. 4. Legatio Phaeacis Athenienſis in Siciliam, qua agebatur id, ut Siciliae urbes in Syracuſanos

me ſtadia (quae uni germanico milliari aequantur), quo minus praeveniret et anteverteret urbis occupationem.

περιέπλει τὸν Ἄθω. Boni codices Ἄθων, (Vid. Waſſius) quo ducit etiam depravatorum librorum lectio Ἄθωνα.

4. ναυσὶ δύο ἐς Ἰταλίαν. Formam δύο pro δυοῖν, quod noſtro familiarius eſt, etiam habes 4, 102.

μετὰ τὴν ξύμβασιν, de qua egit ſupra 4, 65.

ἐπὶ πολιτείᾳ, ea lege, ut civitatis iure uterentur.

ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν, mixta e duabus dictionibus ſtructura, ἀπολιπόντες τὰς Συρακούσας et ἐξελθόντες ἐκ τῶν Συρακουσῶν, quam brevitas orationis genuit. Non abſimilis eſt locus 4, 43 extr., quem iam Abreſch. laudavit: ἤλπιζον, αὐ-

Φωκέας τε, τῆς πόλεώς τι τῆς Λεοντίνων χωρίον καλούμενον, καταλαμβάνουσι, καὶ Βρικιννίας, ὂν ἔρυμα ἐν τῇ Λεοντίνῃ. Καὶ τῶν τοῦ δήμου τότε ἐκπεσόντων οἱ πολλοὶ ἦλθον ὡς αὐτοὺς, καὶ καταστάντες, ἐκ τῶν τειχῶν ἐπολέμουν. Ἃ πυνθανόμενοι οἱ Ἀθηναῖοι, τὸν Φαίακα πέμπουσιν, εἴ πως, πείσαντες τοὺς σφίσιν ὄντας αὐτόθι ξυμμάχους, καὶ τοὺς ἄλλους, ἢν δύνωνται, Σικελιώτας, κοινῇ, ὡς Συρακουσίων δύναμιν περιποιουμένων, ἐπιστρατεῦσαι, διασώσειαν τὸν δῆμον τῶν Λεοντίνων. Ὁ δὲ Φαίαξ ἀφικόμενος τοὺς μὲν Καμαριναίους πείθει καὶ Ἀκραγαντίνους· ἐν δὲ Γέλᾳ ἀντιστάντος αὐτῷ τοῦ πράγματος, οὐκέτι ἐπὶ τοὺς ἄλλους ἔρχεται, αἰσθόμενος οὐκ ἂν πείθειν αὐτούς· ἀλλ' ἀναχωρήσας διὰ τῶν Σικελῶν ἐς Κατάνην, καὶ ἅμα ἐν τῇ παρόδῳ καὶ ἐς τὰς Βρικιννίας ἐλθὼν, καὶ παραθαρσύνας, ἀπέπλει.

5. Ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν Σικελίαν, καὶ πάλιν ἀναχωρήσει, καὶ ἐν τῇ Ἰταλίᾳ τισὶ πόλεσιν ἐχρημάτισε περὶ φιλίας τοῖς Ἀθηναίοις. Καὶ Λοκρῶν ἐντυγχάνει τοῖς ἐκ Μεσσήνης ἐποίκοις ἐκπεπτωκόσιν, οἳ μετὰ τὴν [τῶν] Σικελιωτῶν ὁμολογίαν, στασιασάντων Μεσσηνίων, καὶ ἐπαγαγομένων τῶν ἑτέρων Λοκροὺς,

incitarentur, quo Leontium tunc preſſum ex ſeditione ſervaretur. Sed quibusdam oppidis ad hanc ſocietatem adactis, poſtquam Gela adverſata fuerat, ceteros ne adit quidem, praeter ſociales. 5. Item in Italia in transitu

τοὺς ἐπὶ τὴν Σολύγειαν κώμην πειράσειν, ubi praepoſitio ἐπί poſtulat verbum veniendi, velut ἰέναι, ἐλθεῖν. Similiter infra c. 6. ὅπερ προσεδέχετο ποιήσειν αὐτὸν ἐπὶ τὴν Ἀμφίπολιν. 2, 49. Τὰ ἐντὸς οὕτως ἐκαίετο, ὥστε — ἥδιστα ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν. καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων ἀνθρώπων καὶ ἔδρασαν ἐς φρέατα.

καὶ παραθαρσύνας. Hoc recepi cum Bened. pro παραθαῤῥύνας. cf. praeter locos a Duck. laudatos 4, 126. ἐθάρσυνε.

5. οἳ μετὰ τὴν [τῶν] Σικελιωτῶν ὁμ. Articulum τῶν, qui a multis libris ſcriptis editisque abeſt, uncis incluſi. Saepiſſime enim articulus articulo a librariis ſubiectus eſt, ubi Thucydides omittere ſolet. Iunge: ἐντυγχάνει τοῖς Λοκρῶν ἐποίκοις ἐκπεπτωκόσιν ἐκ Μεσσήνης. Ἔποικοι ſunt coloni in aliorum locum ſubeuntes. — τοῖς κομιζομέ-

ἔποικοι ἐξεπέμφθησαν. καὶ ἐγένετο Μεσσήνη Λοκρῶν τινὰ χρόνον. Τούτοις οὖν ὁ Φαίαξ ἐντυχὼν τοῖς κομιζομένοις, οὐκ ἠδίκησεν. ἐγεγένητο γὰρ τοῖς Λοκροῖς πρὸς αὐτὸν ὁμολογία ξυμβάσεως πέρι πρὸς τοὺς Ἀθηναίους. Μόνοι γὰρ τῶν ξυμμάχων, ὅτε Σικελιῶται ξυνηλλάσσοντο, οὐκ ἐσπείσαντο Ἀθηναίοις· οὐδ᾽ ἂν τότε, εἰ μὴ αὐτοὺς κατεῖχεν ὁ πρὸς Ἰτωνέας καὶ Μελαίους πόλεμος, ὁμόρους τε ὄντας καὶ ἀποίκους. Καὶ ὁ μὲν Φαίαξ ἐς τὰς Ἀθήνας χρόνῳ ὕστερον ἀφίκετο.

6. Ὁ δὲ Κλέων, ὡς ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν, ὁρμώμενος ἐκ τῆς Ἠϊόνος, Σταγείρῳ μὲν προσβάλλει, Ἀνδρίων ἀποικίᾳ, καὶ οὐχ εἷλε· Γαληψὸν δὲ τὴν Θασίων ἀποικίαν λαμβάνει κατὰ κράτος. Καὶ πέμψας ὡς Περδίκκαν πρέσβεις, ὅπως παραγένοιτο στρατιᾷ κατὰ τὸ ξυμμαχικὸν, καὶ ἐς τὴν Θρᾴκην ἄλλους παρὰ Πόλλην τῶν Ὀδομάντων βασιλέα, ἄξαντα μισθοῦ Θρᾷκας ὡς πλείστους, αὐτὸς ἡσύχαζε περιμένων ἐν τῇ Ἠϊόνι. Βρασίδας δὲ, πυνθανόμενος ταῦτα, ἀντεκάθητο καὶ αὐτὸς ἐπὶ τῷ Κερδυλίῳ. Ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων, ἐπὶ μετεώρου, πέραν τοῦ ποταμοῦ, οὐ πολὺ ἀπέχον τῆς

ſocios parat, et Locros Athenienſibus conciliat. 6. Cleo circa Eïonem exercitum tenet; Braſidas in vicino et conſpicuo loco ponit caſtra, et ad pugnam militem parat.

νοις, int. *οἴκαδε*. — *οὐκ ἠδίκησεν*, ſubaudi *αὐτοὺς ὡς πολεμίους*. Statim enim docet, Locros, cum ſoli ex Siculorum ſociis pacem cum Athenienſibus facere noluiſſent, ideoque hoſtes adhuc Athenienſium eſſent, tamen nunc ad pacem ſe promptiores Phaeaci praeſtitiſſe.

οὐδ᾽ ἂν τότε, ſupple *ἐσπείσαντο*, ac ne tum quidem pacem feciſſent.

6. *ὃς ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν.* Legendum cenſeo *ὡς ἀπὸ* — ut eſt in codd. Reg. Gr. Ar. C., et ſic alibi ſolet Thucydides. Curſum hunc ipſum iam ſupra c. 3 extr. demonſtraverat. Ergo *ὡς*, quod eo ſpectat, aptius eſt, quam *ὅς*, quod pronomen rem tamquam novam necdum dictam indicat. cf. 7, 31 init. *τότε ἀποπλέων*. — De *Galepſo* cf. ad 4, 107.

ἀντεκάθητο καὶ αὐτὸς ἐπὶ τῷ Κερδ. Ne brevitas Auctoris fallat lectorem, tenendum, Braſidam dici *caſtra poſuiſſe et ipſum*, et quidem ad Cerdylium non quo etiam Cleo *ibidem* caſtra poſuiſſet (nam is erat circa Eïonem) ſed ille ſolus.

Ἀμφιπόλεως· καὶ κατεφαίνετο πάντα αὐτόθεν. Ὥςτε οὐκ ἂν ἔλαθεν αὐτόθεν ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ· ὅπερ προςεδέχετο ποιήσειν αὐτὸν ἐπὶ τὴν Ἀμφίπολιν, ὑπεριδόντα σφῶν τὸ πλῆθος, τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι. Ἅμα δὲ καὶ παρεσκευάζετο Θρᾷκάς τε μισθωτοὺς πεντακοσίους καὶ χιλίους, καὶ τοὺς Ἠδωνας πάντας παρακαλῶν, πελταστὰς καὶ ἱππέας· καὶ Μυρκινίων καὶ Χαλκιδέων χιλίους πελταστὰς εἶχε πρὸς τοῖς ἐν Ἀμφιπόλει. τὸ δ' ὁπλιτικὸν ξύμπαν ἠθροίσθη διςχίλιοι μάλιστα, καὶ ἱππεῖς Ἕλληνες τριακόσιοι. Τούτων Βρασίδας μὲν ἔχων ἐπὶ Κερδυλίῳ ἐκάθητο ἐς πεντακοσίους καὶ χιλίους· οἱ δ' ἄλλοι ἐν Ἀμφιπόλει μετὰ Κλεαρίδου ἐτετάχατο.

7. Ὁ δὲ Κλέων τέως μὲν ἡσύχαζεν, ἔπειτα ἠναγκάσθη ποιῆσαι, ὅπερ ὁ Βρασίδας προςεδέχετο. Τῶν γὰρ στρατιωτῶν ἀχθομένων μὲν τῇ ἕδρᾳ, ἀναλογιζομένων δὲ τὴν ἐκείνου ἡγεμονίαν, πρὸς οἵαν ἐμπειρίαν καὶ τόλμαν μετὰ οἵας ἀνεπιστημοσύνης καὶ μαλακίας γενήσοιτο, καὶ οἴκοθεν ὡς ἄκοντες αὐτῷ ξυνῆλθον, αἰσθόμενος τὸν θροῦν, καὶ οὐ βουλόμενος αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθημένους βαρύνεσθαι, ἀναλαβὼν ἦγε.

7. Cum autem militum impatientia adductus Cleo caſtra moviſſet, et ſpecie deceptus, quod Amphipolin parum

ποιήσειν αὐτὸν ἐπὶ τὴν Ἀμφίπολιν. Vide quae de hac ſtructura notavimus ad cap. 4. ποιήσειν pertinet ad αὐτόθεν (i. e. Eïone) ὁρμώμενος. Ad verba ὑπεριδόντα — ἀναβήσεσθαι ſubaudi ὥςτε. Πλῆθος h. l. dicitur de paucitate, qua ſpreta, Cleo, nihil moratus ceteras copias, quae ex Thracia ei ſubducebantur, adverſus Amphipolin profecturus credebatur.

παρακαλῶν. Hoc participium reſpondet praecedenti παρεσκευάζετο μισθωτούς. Verba autem πελταστὰς καὶ ἱππέας ad Thraces univerſos non minus quam ad Edones pertinere videntur, cum etiam in ſequentibus ſemper genus copiarum diſerte indicetur, levioribusque armis fere uterentur illi barbari.

7. πρὸς οἵαν ἐμπειρίαν καὶ τόλμαν, nempe Braſidae. — Mox in verbis βουλόμενος αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθημένους βαρύνεσθαι mixtae ſunt duae loquendi rationes, διὰ τὸ καθῆσθαι, et καθημένους ἐν τῷ αὐτῷ βαρύνεσθαι. Cf. ad 1, 22. 3, 12.

Καὶ ἐχρήσατο τῷ τρόπῳ, ᾧπερ καὶ ἐς τὴν Πύλον εὐτυχήσας ἐπίστευσέ τι φρονεῖν. Ἐς μάχην μὲν γὰρ οὐδὲ ἤλπισέν οἱ ἐπεξιέναι οὐδένα, κατὰ θέαν δὲ μᾶλλον ἔφη ἀναβαίνειν τοῦ χωρίου, καὶ τὴν μείζω παρασκευὴν περιέμεινεν, οὐχ ὡς τῷ ἀσφαλεῖ, ἢν ἀναγκάζηται, περισχήσων, ἀλλ᾽ ὡς, κύκλῳ περιστὰς, βίᾳ αἱρήσων τὴν πόλιν. Ἐλθών τε καὶ καθίσας ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς Ἀμφιπόλεως τὸν στρατὸν, αὐτὸς ἐθεᾶτο τὸ λιμνῶδες τοῦ Στρυμόνος, καὶ τὴν θέσιν τῆς πόλεως ἐπὶ τῇ Θράκῃ, ὡς ἔχοι. ἀπιέναι τε ἐνόμιζεν, ὁπόταν βούληται, ἀμαχεί. Καὶ γὰρ οὐδὲ ἐφαίνετο οὔτ᾽ ἐπὶ τοῦ τείχους οὐδεὶς, οὔτε κατὰ πύλας ἐξῄει· κεκλεισμέναι τε ἦσαν πᾶσαι. ὥστε καὶ, μηχανὰς ὅτι οὐ κατῆλθεν ἔχων, ἁμαρτεῖν ἐδόκει· ἑλεῖν γὰρ ἂν τὴν πόλιν διὰ τὸ ἔρημον.

firmatam custodiis putaret, hanc urbem nullo negotio ca-

καὶ ἐχρήσατο τῷ τρόπῳ, ᾧπερ — φρονεῖν. Quae in sequentibus tamquam horum verborum argumentum afferuntur, a Scholiastae interpretatione, qui temeritatem innui opinatur, nos recedere cogunt. Ducunt enim potius ad Cleonis magniloquentiam, iactantiam et vanitatem, quae praeter exspectationem ad Pylum bene cesserat. Vid. 4, 28. coll. c. 39 extr. *Καὶ τοῦ Κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη. ἐντὸς γὰρ εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη.* Quare *τῷ τρόπῳ* intelligo de *moribus*, non de agendae rei ratione, ut vulgo accipiunt. Sententia est: Cleo iis moribus utebatur, quibus cum adversus Pylum rem feliciter gessisset, aliquid se sapere opinabatur.

οὐχ ὡς τῷ ἀσφαλεῖ — περισχήσων —. Ad Cleonis vanitatem etiam hoc pertinebat, quod hostes, quandocumque vellet, non solum impugnare, sed etiam profligare sibi videbatur, neque ad hoc potius se comparabat, ut, si impetus arcendus esset, (quasi omnino fieri id posse dubitaret) satis firmo praesidio (*τῷ ἀσφαλεῖ*) superior evaderet (*περισχήσων*).

τὴν θέσιν τῆς πόλεως ἐπὶ τὴν Θράκην. Recepi codd. praestantissimorum auctoritate lectionem *ἐπὶ τῇ Θράκῃ*, *iuxta Thraciam.* Eam enim exhibent Cl. Cass. Aug. Gr. Reg. cum tribus aliis Pariss., et defendit Benedictus quoque. Non enim versus Thraciam solum, sed etiam in vicinia et confiniis Thraciae sita erat Amphipolis, ad Strymonem fluvium, qui tum Thraces a Macedonia disiungebat. Cf. 1, 100. ubi primi Amphipolitae narrantur *προελθόντες τῆς Θράκης ἐς μεσόγειαν.*

μηχανὰς ὅτι οὐ κατῆλθεν ἔχων, ἁμαρτεῖν ἐδόκει. Cum Eïone, quae urbs in littore sita erat, Amphipolin et in collem quendam progrederetur Cleo,

8. Ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινουμένους τοὺς Ἀθηναίους, καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου, ἐσέρχεται ἐς τὴν Ἀμφίπολιν. Καὶ ἐπέξοδον μὲν καὶ ἀντίταξιν οὐκ ἐποιήσατο πρὸς τοὺς Ἀθηναίους, δεδιὼς τὴν αὐτοῦ παρασκευὴν, καὶ νομίζων ὑποδεεστέρους εἶναι, οὐ τῷ πλήθει, (ἀντίπαλα γάρ πως ἦν) ἀλλὰ τῷ ἀξιώματι· (τῶν γὰρ Ἀθηναίων ὅπερ ἐστράτευε, καθαρὸν ἐξῆλθε, καὶ Λημνίων καὶ Ἰμβρίων τὸ κράτιστον) τέχνῃ δὲ παρεσκευάζετο ἐπιθησόμενος. Εἰ γὰρ δείξειε τοῖς ἐναντίοις τό τε πλῆθος καὶ τὴν ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν ἡγεῖτο μᾶλλον περιγενέσθαι, ἢ ἄνευ προόψεώς τε αὐτῶν, καὶ μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως. Ἀπολεξάμενος οὖν αὐτὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας, καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προστάξας, ἐβουλεύετο ἐπιχειρεῖν αἰφνιδίως, πρὶν ἀπελθεῖν τοὺς Ἀθηναίους, οὐκ ἂν νομίζων αὐτοὺς ὁμοίως

ptum iri arbitraretur: 8. Braſidas in eam ſe coniicit, et ſtatim Athenienſes, non numero, ſed virtute et armis

ἀνῆλθεν potius, quam κατῆλθεν dicendum videtur. Cf. c. 9. ἀναβῆναι πρὸς τὸ χωρίον. Codices Ar. C. Gr. habent ἀπῆλθεν, quo nihil proficias. Vulgatam veram puto, relatam ad omnem Cleonis adverſus Thraciae urbes expeditionem. Ita c. 2. κατέπλευσεν ἐς τὸν Κολοφωνίων λιμένα. Pro ἁμαρτάνειν cum Benedicto recepi aptiorem decem codicum ſcripturam ἁμαρτεῖν.

8. ἀντίπαλα γάρ πως ἦν, nempe τῷ πλήθει, multitudinis ratione, non virtute et armis. Mutat ſaepe genera Thucydides, ut bis h. l. paucis in verbis: παρασκευὴν — ὑποδεεστέρους pro ὑποδεεστέραν, — ἀντίπαλα.

καθαρὸν ἐξῆλθε, non mixtum peregrinis, ſed civibus ſolis conſtitutum exercitum intellige cum Schol. (Kerntruppen). — ὅπλισιν ἀναγκαίαν, Schol. εὐτελῆ, καὶ οὐκ ἐκ παρασκευῆς.

ἢ ἄνευ προόψεώς τε αὐτῶν, καὶ μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως. Quid velit Scriptor, intelligo, ſed eſt quod offendat in verbis. Si enim καταφρονήσεως pendet ab ἄνευ, ut arguunt particulae τέ — καί, negatio μή redundat. Nihilo minus veram eſſe negationem, Scholia demonſtrant, ubi loci difficultatem magis animadverſam, quam ſublatam cognoſces. Structuram igitur variatam puto ita, ut ἄνευ προόψεως αὐτῶν (quod pronomen ad Athenienſes pertinet) reſpondeat verbis μὴ καταφρονήσεως ſubintellecto οὔσης, ſ. γενομένης, *ſi non ob id, quod re vera mancum erat, contemneretur.* Cf. ad 4, 87.

οὐκ ἂν νομίζων αὐτοὺς ὁμοίως. Hunc ordinem verborum recepi ex Reg. Gr. Caſſ. Aug. et uno ex Pariſſ., quorum quinque cum Ar. C. Dan. exhibent

ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς ἡ βοήθεια. Ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας, καὶ βουλόμενος παραθαρσῦναί τε, καὶ τὴν ἐπίνοιαν φράσαι, ἔλεγε τοιάδε.

9. „ΑΝΔΡΕΣ Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας ἥκομεν, ὅτι ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ ὅτι Δωριεῖς μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώθατε κρείσσους εἶναι, ἀρκείτω βραχέως δεδηλωμένον. Τὴν δὲ ἐπιχείρησιν ᾧ τρόπῳ διανοοῦμαι ποιεῖσθαι, διδάξω· ἵνα μὴ τό, τε κατ' ὀλίγον καὶ μὴ ἅπαντας κινδυνεύειν, ἐνδεὲς φαινόμενον, ἀτολμίαν παράσχῃ. Τοὺς γὰρ ἐναντίους εἰκάζω καταφρονήσει τε ἡμῶν, καὶ οὐκ ἂν ἐλπίσαντας, ὡς ἂν ἐπεξέλθοι τὶς αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε πρὸς τὸ χωρίον, καὶ νῦν ἀτάκτως κατὰ θέαν τετραμμένους ὀλιγωρεῖν. Ὅστις δὲ, τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων κάλλιστα ἰδὼν, καὶ ἅμα πρὸς τὴν ἑαυτοῦ δύναμιν, τὴν ἐπιχείρησιν ποιεῖται, μὴ ἀπὸ τοῦ προφανοῦς μᾶλλον καὶ ἀντιπαραταχθέντος, ἢ ἐκ τοῦ πρὸς τὸ παρὸν ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο. Καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει, ἃ τὸν πολέμιον μάλιστ' ἄν τις ἀπατήσας, τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. Ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι, καὶ τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαί-

praeſtantes, aggredi ſtatuit. 9. Eius ad milites oratio,

hunc: οὐκ ἂν νομίζων ὁμοίως αὐτούς. Vulgo ὁμοίως αὐτοὺς νομίζων.

9. ἀρκείτω βραχέως δεδηλωμένον. Codd. Cl. Caſſ. Aug. Moſq. Pariſſ. duo exhibent ἀρκεῖ τὸ βραχέως δεδηλωμένον, quam commendat Benedictus.. Nobis tamen vulgata et maiorem habere vim videtur, et oratoris brevitatem ſequentis conſilio aptior eſſe. Ita enim non opus erat demonſtrare, cur breviter haec memorare ſufficiat; cauſa enim ab oratoris voluntate et conſilio potius, quam ab ipſa re petenda erat. Error proclivis eſt; etiam paullo poſt in verbis ἵνα μὴ τό, τε κατ' ὀλίγον Caſſ. Aug. a manu prima praebent τῷ τε.

τὴν δὲ ἐπιχείρησιν ᾧ τρόπῳ διαν. Plurimorum codicum auctoritate cum Benedicto edidi ᾧ pro vulgato ὅτῳ.

καὶ τὰ κλέμματα ταῦτα, furta belli et inſidiarum, de quibus non pigebit contuliſſe Xenoph. Anab. 4, 6 med. — Paullo poſt ἢ τοῦ μένοντος pro τοῦ μένειν. Exempla congeſſimus ad 3, 43.

νονται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς γνώμης, καὶ πρὶν ξυνταχθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ μέν, ἔχων τοὺς μετ' ἐμαυτοῦ, καὶ φθάσας, ἢν δύνωμαι, προςπεσοῦμαι δρόμῳ κατὰ μέσον τὸ στράτευμα. Σὺ δέ, Κλεαρίδα, ὕστερον, ὅταν ἐμὲ ὁρᾷς ἤδη προςκείμενον, καὶ, κατὰ τὸ εἰκὸς, φοβοῦντα αὐτούς, τοὺς μετὰ σεαυτοῦ, τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμμάχους, ἄγων, αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκθεῖν, καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμίξαι. Ἐλπὶς γάρ, μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι· τὸ γὰρ ἐπιὸν ὕστερον, δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου. Καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥςπέρ σε εἰκὸς, ὄντα Σπαρτιάτην· καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμμαχοι, ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε, εἶναι τοῦ καλῶς πολεμεῖν, τὸ ἐθέλειν, καὶ τὸ αἰσχύνεσθαι, καὶ τοῖς ἄρχουσι πείθεσθαι· καὶ τῇδε ὑμῖν τῇ ἡμέρᾳ, ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν τε ὑπάρχειν, καὶ Λακεδαιμονίων ξυμμάχοις κεκλῆσθαι, ἢ Ἀθηναίων τε δούλοις, ἢν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ ἢ θανατώσεως πράξητε, καὶ δουλείαν χαλεπωτέραν, ἢ πρὶν εἴχετε· τοῖς δὲ λοιποῖς Ἕλλησι κωλυταῖς γενέσθαι ἐλευθερώσεως. Ἀλλὰ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες, περὶ ὅσων ὁ ἀγών ἐστιν· ἐγώ τε δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας, ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελθεῖν."

10. Ὁ μὲν Βρασίδας, τοσαῦτα εἰπὼν, τήν τε ἔξοδον παρεσκευάζετο αὐτὸς, καὶ τοὺς ἄλλους μετὰ τοῦ Κλεαρίδα καθίστη ἐπὶ τὰς Θρᾳκίας καλουμένας τῶν πυλῶν, ὅπως, ὥςπερ εἴρητο, ἐπεξίοιεν. Τῷ δὲ Κλέωνι,

qua consilium suum demonstrat. 10. Pugnae ad Am-

ἐλπὶς γὰρ — μαχομένου. Haec verba vulgo parentheseos signis cluduntur, quae sustuli, tamquam non necessaria, si, quod ipsa res suadet, post μαχομένου plene interpungatur. Quod feci et hic, et ante ἐλπὶς γάρ.

ἢν τὰ ἄριστα — πράξητε, si praeclarissime vobiscum agitur, im besten Falle.

φανεροῦ γενομένου αὐτοῦ ἀπὸ τοῦ Κερδυλίου καταβάντος, καὶ ἐν τῇ πόλει, ἐπιφανεῖ οὔσῃ ἔξωθεν, περὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς θυομένου, καὶ ταῦτα πράσσοντος, ἀγγέλλεται, (προὐκεχωρήκει γὰρ τότε κατὰ τὴν θέαν,) ὅτι ἥ τε στρατιὰ ἅπασα φανερὰ τῶν πολεμίων ἐν τῇ πόλει, καὶ ὑπὸ τὰς πύλας ἵππων τε πόδες πολλοὶ καὶ ἀνθρώπων ὡς ἐξιόντων ὑποφαίνονται. Ὁ δὲ, ἀκούσας, ἐπῆλθε· καὶ ὡς εἶδεν, οὐ βουλόμενος μάχῃ διαγωνίσασθαι, πρίν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν, καὶ οἰόμενος φθήσεσθαι ἀπελθὼν, σημαίνειν τε ἅμα ἐκέλευεν ἀναχώρησιν, καὶ παρήγγελλε τοῖς ἀπιοῦσιν, ἐπὶ τὸ εὐώνυμον κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν, ὑπάγειν ἐπὶ τῆς Ἠϊόνος. Ὡς δ' αὐτῷ ἐδόκει σχολὴ γίγνεσθαι, αὐτὸς ἐπιστρέψας τὸ δεξιὸν, καὶ τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς, ἀπῆγε τὴν στρατιάν. Κἀν τούτῳ Βρασί-

phipolin deſcriptio. Cleo fugiens necatur; Braſidas ex

10. *καὶ ἐν τῇ πόλει, ἐπιφανεῖ οὔσῃ ἔξωθεν, περὶ τὸ ἱερόν* —. Interpunctionem correxi, deleto poſt *οὔσῃ* commate, poſito poſt *ἔξωθεν*. Non enim extra urbem tum verſabatur Braſidas, et *ἐπιφανεῖ οὔσῃ ἔξωθεν* dictum eſt, ut ſupra c. 6. *καὶ κατεφαίνετο πάντα αὐτόθεν*. — Verba *καὶ ταῦτα πράσσοντος*, niſi *παρέλκειν* dixeris, reſpiciunt ad ea, quae ab initio capitis de Braſidae apparatu dixerat Auctor. Nam etiam ſacrificium ad rem gerendam ſpectabat, et *ταῦτα* latius patet.

καὶ οἰόμενος φθήσεσθαι ἀπελθών. Vulgo legitur *καὶ οἰόμενος ὀφθήσεσθαι, ἀπελθών*. Receptam a nobis lectionem praebent Reg. Caſſ. Aug. Ar. C. Vind. et cum Valla unus ex Pariſſ., probante Benedicto. Vulgatam ſententia loci damnat. Dudum enim viſus erat Cleo, ac ne diſcedens quidem latere potcrat; ſpes autem eum tenebat, fore, ut praegreſſum hoſtes non conſequerentur. — Mox cum Duckero poſt *οἷόν τ' ἦν* virgula interpunximus. Cum enim Cleo *ἐπὶ τὸ δεξιὸν κέρας* verſus Amphipolin duxiſſet exercitum, (ut quodammodo etiam patet ex verbis ſeqq. *αὐτὸς ἐπιστρέψας τὸ δεξιόν*); neceſſe erat, ut recederet *ἐπὶ τὸ εὐώνυμον*. Hoc ſi ultro feciſſe milites putandi ſunt, nulla poſt *ἀπιοῦσιν* opus eſt interpunctione; ſin Cleonis iuſſu, ut homo inſipiens, quod per ſe omnes et ſcirent et exſequerentur, iuſſiſſe dicatur, comma poſt *ἀπιοῦσιν* ponendum. Quae ratio magis placet. Itaque ſic feci. Ad *οἷόν τ' ἦν* facile ſubaudias *ἀπιέναι* ex *ἀπιοῦσιν*. Pro *Ἠόνος* ſcripſi *Ἠϊόνος* et inferius bis *Ἠϊόνα*, ut ſupra c. 6.

ὡς δ' αὐτῷ ἐδόκει σχολὴ γίγνεσθαι. Cum lentius abire ipſi feſtinanti viderentur, ideoque multum temporis abſumi. — *τὰ γυμνὰ — δοὺς*, tergum enim et alterum latus nudabat.

δας, ὡς ὁρᾷ τὸν καιρὸν, καὶ τὸ στράτευμα τῶν Ἀθηναίων κινούμενον, λέγει τοῖς μεθ' ἑαυτοῦ καὶ τοῖς ἄλλοις, „ὅτι οἱ ἄνδρες ἡμᾶς οὐ μένουσι. δῆλοι δὲ τῶν τε δοράτων τῇ κινήσει καὶ τῶν κεφαλῶν. οἷς γὰρ ἂν τοῦτο γίγνηται, οὐκ εἰώθασι μένειν τοὺς ἐπιόντας. Ἀλλὰ τάς τε πύλας τὶς ἀνοιγέτω ἐμοὶ, ἃς εἴρηται, καὶ ἐπεξίωμεν ὡς τάχιστα θαρσοῦντες.“ Καὶ ὁ μὲν, κατὰ τὰς ἐπὶ τὸ σταύρωμα πύλας, καὶ τὰς πρώτας τοῦ μακροῦ τείχους τότε ὄντος ἐξελθὼν, ἔθει δρόμῳ τὴν ὁδὸν ταύτην εὐθεῖαν, ᾗπερ νῦν κατὰ τὸ καρτερώτατον τοῦ χωρίου ἰόντι τροπαῖον ἕστηκε· καὶ προσβαλὼν τοῖς Ἀθηναίοις, πεφοβημένοις τε ἅμα τῇ σφετέρᾳ ἀταξίᾳ, καὶ τὴν τόλμαν αὐτοῦ ἐκπεπληγμένοις, κατὰ μέσον τὸ στράτευμα, τρέπει. Καὶ ὁ Κλεαρίδας, ὥσπερ εἴρητο, ἅμα κατὰ τὰς Θρᾳκίας πύλας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρετο. Ξυνέβη τε, τῷ ἀδοκήτῳ καὶ ἐξαπίνης ἀμφοτέρωθεν τοὺς Ἀθηναίους θορυβηθῆναι. Καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν, τὸ πρὸς τὴν Ἠιόνα, ὅπερ δὴ καὶ προκεχωρήκει, εὐθὺς ἀποῤῥαγὲν ἔφευγε· καὶ ὁ Βρασίδας, ὑποχωροῦντος ἤδη αὐτοῦ, ἐπιπαριὼν τῷ δεξιῷ, τιτρώσκεται· καὶ πεσόντα αὐτὸν οἱ μὲν Ἀθηναῖοι οὐκ αἰσθάνονται, οἱ δὲ πλησίον ἄραντες ἀπήνεγκαν. τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενέ τε μᾶλλον· καὶ ὁ μὲν Κλέων, ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων, καὶ καταληφθεὶς ὑπὸ Μυρκινίου πελταστοῦ, ἀποθνήσκει· οἱ δὲ αὐτοῦ συστραφέντες ὁπλῖται ἐπὶ τὸν λόφον, τόν τε Κλεαρίδαν ἠμύνοντο καὶ δὶς ἢ τρὶς προσβαλόντα, καὶ οὐ πρότερον ἐνέδοσαν, πρὶν ἥ τε Μυρ-

vulnere, victoria iam explorata, moritur.

δῆλοι δὲ, int. οὐ μένοντες.

κατὰ τὸ καρτερώτατον τοῦ χωρίου, accipio de edito et natura munito loco illius tractus. Cf. ad 4; 129.

ἔμενέ τε μᾶλλον, Codd. Reg. Caff. Aug. omittunt τέ, quod tamen per linguae leges ſtare poteſt, cum Cleo et eius hoplitae, deinceps ſingulatim prolati, cornu dextrum conſtituant; itaque καί ad idem ſubiectum referatur.

κινία καὶ ἡ Χαλκιδικὴ ἵππος, καὶ οἱ πελτασταὶ περιστάντες καὶ ἐςακοντίζοντες αὐτοὺς ἔτρεψαν. Οὕτω δὲ τὸ στράτευμα πᾶν ἤδη τῶν Ἀθηναίων φυγὸν χαλεπῶς, καὶ πολλὰς ὁδοὺς τραπόμενοι κατὰ ὄρη, ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν, ἢ ὑπὸ τῆς Χαλκιδικῆς ἵππου, καὶ τῶν πελταστῶν, οἱ λοιποὶ ἀπεκομίσθησαν ἐς τὴν Ἠϊόνα. Οἱ δὲ, τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης, καὶ διασώσαντες, ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐςεκόμισαν. Καὶ ᾔσθετο μὲν, ὅτι νικῶσιν οἱ μετ' αὐτοῦ, οὐ πολὺ δὲ διαλιπὼν ἐτελεύτησε. Καὶ ἡ ἄλλη στρατιὰ, ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου ἐκ τῆς διώξεως, νεκρούς τε ἐσκύλευσε, καὶ τροπαῖον ἔστησε.

11. Μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι, πάντες ξὺν ὅπλοις ἐπισπόμενοι, δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ τῆς νῦν ἀγορᾶς οὔσης. Καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται, περιέρξαντες αὐτοῦ τὸ μνημεῖον, ὡς ἥρωΐ τε ἐντέμνουσι, καὶ τιμὰς δεδώκασιν, ἀγῶνας καὶ ἐτησίους θυσίας· καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προςέθεσαν, καταβαλόντες τὰ Ἁγνώνεια οἰκοδομήματα, καὶ ἀφανίσαντες, εἴ τι μνημόσυνόν που ἔμελλεν αὐτοῦ τῆς οἰκίσεως περιέσεσθαι· νομίσαντες, τὸν μὲν Βρασίδαν σωτῆρά τε σφῶν γεγενῆσθαι, καὶ ἐν τῷ παρόντι ἅμα τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν, φόβῳ τῶν Ἀθηναίων, θεραπεύοντες· τὸν δὲ Ἅγνωνα, κατὰ τὸ πολέμιον τῶν Ἀθηναίων, οὐκ ἂν ὁμοίως σφίσι ξυμφόρως

11. Eius exſequiae et ſepulcrum, ceterique honores.

οὕτω δὲ τὸ στράτευμα πᾶν — οἱ λοιποὶ ἀπεκομίσθησαν. Variatam ſaepius orationem animadverte. Primum verbis στράτευμα πᾶν φυγὸν adiungitur τραπόμενοι, quod conſuetum ſatis et notum; deinde ſequitur οἱ λοιποί, quaſi antea fuiſſet στρατεύματος παντὸς φυγόντος. Cf. ad 3, 38.

11. δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει, quia erat honorificum in urbe ſepeliri, et prope forum. Spartae Cenotaphium exſtructum erat Braſidae, teſtante Pauſania. — περιέρξαντες, vide de hoc more interpretes ad Suet. Neron. 53. — ἐντέμνουσι, θύουσι.

ὡς οἰκιστῇ, qui tamen fuerat Agno. Cf. 4, 102. αὐτοῦ, Ἅγνωνος, quod ex Ἁγνώνεια ſubaudiendum.

οὐκ ἂν ὁμοίως σφίσι — ἔχειν. Baueri annotatio ad h. l.

οὐδ' ἂν ἡδέως τὰς τιμὰς ἔχειν. Καὶ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις ἀπέδοσαν. Ἀπέθανον δὲ, Ἀθηναίων μὲν, περὶ ἑξακοσίους, τῶν δ' ἐναντίων, ἑπτά· διὰ τὸ μὴ ἐκ παρατάξεως, ἀπὸ δὲ τοιαύτης ξυντυχίας καὶ προεκφοβήσεως, τὴν μάχην μᾶλλον γενέσθαι. Μετὰ δὲ τὴν ἀναίρεσιν οἱ μὲν ἐπ' οἴκου ἀπέπλευσαν, οἱ δὲ μετὰ τοῦ Κλεαρίδου τὰ περὶ τὴν Ἀμφίπολιν καθίσταντο.

12. Καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος, Ῥαμφίας, καὶ Αὐτοχαρίδας, καὶ Ἐπικυδίδας, Λακεδαιμόνιοι, ἐς τὰ ἐπὶ Θρᾴκης χωρία βοήθειαν ἦγον ἐνακοσίων ὁπλιτῶν. Καὶ ἀφικόμενοι ἐς Ἡράκλειαν τὴν ἐν Τραχῖνι, καθίσταντο, ὅ, τι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν. Ἐνδιατριβόντων δὲ αὐτῶν, ἔτυχεν ἡ μάχη αὕτη γενομένη, καὶ τὸ θέρος ἐτελεύτα.

13. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, εὐθὺς μέχρι μὲν Πιερίου τῆς Θεσσαλίας διῆλθον οἱ περὶ τὸν Ῥαμφίαν· κωλυόντων δὲ τῶν Θεσσαλῶν, καὶ ἅμα Βρασίδου τεθνεῶτος, ᾧπερ ἦγον τὴν στρατιὰν, ἀπετράποντο ἐπ' οἴκου, νομίσαντες οὐδένα καιρὸν ἔτι εἶναι, τῶν τε

Sexcenti Athenienſes, ſeptem Lacedaemonii in pugna caeſi. Illis a victoribus redditis, Athenienſes domum revecti. 12. Interim Ramphias cum nongentis Lacedaemoniis Braſidae in ſubſidium miſſus, Heracleae ſubſiſtit, non tutum ratus per Theſſaliam iter. 13. Tandem, Theſſalis iter impedientibus et nuntio de pugna et Braſidae morte accepto, copias domum reduxit, praeſertim cum Lacedae-

nimio enucleandi orationem ſtudio moleſta eſt, ut ſaepe. Cum σφίσι pertineat ad ξυμφόρως et ἡδέως, ut ipſe vult, nec poteſt ſimul referri ad τὰς τιμάς, neque intelligi pro σφῶν. Bene Schol. ſic fere: οὔτε συμφέρειν τοῖς Ἀμφιπολίταις τιμᾶσθαι τὸν Ἅγνωνα, οὔτε ἡδὺ εἶναι τὸ τιμᾶν αὐτόν.

12. ἐς Ἡράκλειαν τὴν ἐν Τραχῖνι, vid. ſupra 3, 92.

13. μέχρι μὲν Πιερίου. In tabula Danvilliana notatur urbs Πίερα in Theſſaliae parte ſeptemtrionali. Apud Aelianum de Animal. 5, 37. laudatur Πίερος. H. l. fortaſſe χωρίον ſubaudiendum, niſi forte Πιέριον quoque urbis nomen. Alii montem intelligunt, neſcio qua auctoritate. Diverſa ab hac urbe eſt regio Pieria, et Πίερες, et κόλπος Πιερικός, de quibus ſupra legimus 2, 99. 100. Illa enim ad Perdiccae imperium pertinebat, hi in Macedonia ſub Pangaeo tum temporis colebant. — ἥσσῃ, i. e. διὰ τὴν ἧσσαν.

Ἀθηναίων ἥσσῃ ἀπεληλυθότων, καὶ οὐκ ἀξιόχρεων αὐτῶν ὄντων δρᾶν τι, ὧν κἀκεῖνος ἐπενόει. μάλιστα δὲ ἀπῆλθον, εἰδότες, τοὺς Λακεδαιμονίους, ὅτε ἐξῄεσαν, πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην ἔχοντας.

14. Ξυνέβη τε εὐθὺς μετὰ τὴν ἐν Ἀμφιπόλει μάχην, καὶ τὴν Ῥαμφίου ἀναχώρησιν ἐκ Θεσσαλίας, ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους· πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον· οἱ μὲν Ἀθηναῖοι, πληγέντες ἐπί τε τῷ Δηλίῳ, καὶ δι' ὀλίγου αὖθις ἐν Ἀμφιπόλει, καὶ οὐκ ἔχοντες τὴν ἐλπίδα τῆς ῥώμης πιστὴν ἔτι, ᾗπερ οὐ προσεδέχοντο πρότερον τὰς σπονδὰς, δοκοῦντες τῇ παρούσῃ εὐτυχίᾳ καθυπέρτεροι γενήσεσθαι. Καὶ τοὺς ξυμμάχους ἅμα ἐδεδίεσαν σφῶν, μὴ, διὰ τὰ σφάλματα ἐπαιρόμενοι, ἐπὶ πλέον ἀποστῶσι. Μετεμέλοντό τε, ὅτι μετὰ τὰ ἐν Πύλῳ, καλῶς παρασχὸν, οὐ ξυνέβησαν. Οἱ δ' αὖ Λακεδαιμόνιοι, παρὰ γνώμην μὲν ἀποβαίνοντος σφίσι τοῦ πολέμου, ἐν ᾧ ᾤοντο ὀλίγων ἐτῶν καθαιρήσειν τὴν τῶν Ἀθηναίων δύναμιν, εἰ τὴν γῆν τέμνοιεν, περιπεσόντες δὲ τῇ ἐν τῇ νήσῳ ξυμφορᾷ, οἵα οὔπω γεγένητο τῇ Σπάρτῃ, καὶ λῃστευομένης τῆς χώρας ἐκ τῆς Πύλου καὶ Κυθήρων, αὐτομολούντων τε τῶν Εἱλώτων· καὶ ἀεὶ προσδοκίας οὔσης, μή τι καὶ οἱ ὑπομένοντες, τοῖς ἔξω πίσυνοι, πρὸς τὰ παρόντα σφίσιν, ὥσπερ καὶ πρότερον, νεωτερίσωσι.

monios ad pacem propenſos eſſe ſciret. 14. Illius pacis

14. *ὥστε πολέμου μὲν — εἶχον.* Varietatem conſtructionis vel potius transitum ab oratione obliqua ad rectam iam indicavit Bauerus. Sunt tamen et in hac eius nota veris mixti errores, quibus erroribus et ipſa vera iudicia tolluntur. Nam modo *ὥστε* redundare dicit, modo *ξυνέβη ἅψασθαι* eſſe pro ſimplici *ἥψαντο*, cum paullo ante docuiſſet, orationem variatam et ab obliqua in rectam mutatam eſſe. *Ὥστε* etiam infra cap. 17 extr. ita ut h. l. bis otioſum eſt, et ſaepe alibi.

πληγέντες ἐπί τε τῷ Δηλίῳ. Codd. Cl. Reg. Caſſ. Aug. omittunt *τέ.* — *διὰ τὰ σφάλματα,* int. *αὐτῶν, τῶν Ἀθηναίων.* —

οἱ δ' αὖ Λακεδαιμόνιοι — repete ex ſuperioribus *πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον.*

Ξυνέβαινε δέ, καὶ πρὸς τοὺς Ἀργείους αὐτοῖς τὰς τριακονταετεῖς σπονδὰς ἐπ' ἐξόδῳ εἶναι· καὶ ἄλλας οὐκ ἤθελον σπένδεσθαι οἱ Ἀργεῖοι, εἰ μή τις αὐτοῖς τὴν Κυνουρίαν γῆν ἀποδώσει. ὥστ' ἀδύνατα εἶναι ἐφαίνετο, Ἀργείοις καὶ Ἀθηναίοις ἅμα πολεμεῖν. Τῶν τε ἐν Πελοποννήσῳ πόλεων ὑπώπτευόν τινας ἀποστήσεσθαι πρὸς τοὺς Ἀργείους· ὅπερ καὶ ἐγένετο.

15. Ταῦτ' οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧσσον τοῖς Λακεδαιμονίοις, ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι. Ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε, καὶ ὁμοίως σφίσι ξυγγενεῖς. Ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν· ἀλλ' οἱ Ἀθηναῖοι οὔπως ἤθελον, εὖ φερόμενοι, ἐπὶ τῇ ἴσῃ καταλύεσθαι. Σφαλέντων δὲ αὐτῶν ἐπὶ τῷ Δηλίῳ, παραχρῆμα οἱ Λακεδαιμόνιοι, γνόντες νῦν μᾶλλον ἂν ἐνδεξομένους, ποιοῦνται τὴν ἐνιαύσιον ἐκεχειρίαν, ἐν ᾗ ἔδει ξυνιόντας καὶ περὶ τοῦ πλείονος χρόνου βουλεύεσθαι.

ſtudii apud utrosque cauſae exponuntur, 15. praeci-

τὰς τριακονταετεῖς σπονδάς. Supra 1, 23. 115. 2, 2. ſcriptum et editum eſt τριακοντούτεις, quod qui etiam h. l. conſtantiae cauſa reponendum putet, is conſideret, etiam aliis in vocabulis talem conſtantiam deſiderari, ut invitis omnibus, vel adeo melioribus libris, nihil moliendum videatur. Ita cap. 16. editum eſt: πολλῷ δὴ μᾶλλον προεθυμοῦντο, et c. 17. τοὺς προὔχοντας et προὐθυμήθη.
τὴν Κυνουρίαν γῆν ἀποδώσει. De ea vide 2, 27. et rurſus 4, 56. cf. etiam 5, 41. — εἰ μή τις, ad Lacedaemonios pertinet, de quibus ſermo. Cf. 4, 68. εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι. Eurip. Phoen. 457. ἀρχέτω δή τις λόγον. Saepe irae et indignationis indicium eſt nominis reticentia.

15. ἐπιθυμίᾳ τῶν ἀνδρῶν — κομίσασθαι. Ante infinitivum ſubaudias αὐτοῖς. Cf. ad 3, 59. — ὁμοίως, pariter principes ipſi, ac principum cognati erant.
γνόντες νῦν μᾶλλον ἂν ἐνδεξομένους. Particula ἂν cum futuro eleganter iungitur. Cf. 2, 80 extr. νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἆλλα προσχωρήσειν. In altero autem loco, quem ex hoc capite laudavit Poppo, (ῥᾳδίως ἂν Ἀκαρνανίαν σχόντες, καὶ τῆς Ζακύνθου καὶ Κεφαλληνίας κρατήσουσι) ἂν non pertinet ad futurum κρατήσουσι, ſed ad aoriſtum σχόντες, vel ſenſu poſtulante.
καὶ περὶ τοῦ πλείονος

16. Ἐπειδὴ δὲ καὶ ἡ ἐν Ἀμφιπόλει ἧσσα τοῖς Ἀθηναίοις ἐγεγένητο, καὶ ἐτεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ ἀμφοτέρωθεν μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν, διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ δὲ, γενομένης ἡσυχίας καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν, καὶ ἀπιστότερος διαβάλλων· τότε δὲ οἱ ἐν ἑκατέρᾳ τῇ πόλει σπεύδοντες τὰ μάλιστα τὴν ἡγεμονίαν, Πλειστοάναξ τε ὁ Παυσανίου, βασιλεὺς Λακεδαιμονίων, καὶ Νικίας ὁ Νικηράτου, πλεῖστα τῶν τότε εὖ φερόμενος ἐν στρατηγίαις, πολλῷ δὴ μᾶλλον προεθυμοῦντο· Νικίας μὲν, βουλόμενος,

pue apud Lacedaemonios. 16. Cur imprimis poſt

χρόνου. Cf. ad 4, 117. καὶ ξυμβῆναι τὰ πλείω.

16. ἐπειδὴ δὲ καὶ ἡ ἐν Ἀμφιπόλει —. Anacoluthi huius rationem nullusdum interpres perſpexit. Nam etiam Bredovius cum Kiſtemakero et Bauero apodoſin incipere ſtatuunt a verbis τότε δὲ οἱ ἐν ἑκατέρᾳ τῇ πόλει — provocans ad ea, quae monita ſunt ad 1, 11. Quae licet ne nos quidem infringere conemur, hunc tamen locum aliis de cauſis illi rationi ſubtrahere recte nobis videmur. Apodoſis enim iuſta omnino deſideratur, et per varias ambages et longiorem orationis ambitum demum c. 17. redit Auctor ad conſilium ſuum, demonſtrans, tum de pace egiſſe utrosque, et Athenienſes et Lacedaemonios. Hoc autem facit inde a verbis καὶ τόν τε χειμῶνα τοῦτον ᾖσαν ἐς λόγους. Similis locus eſt 4, 73., ubi ſubiectum οἱ Μεγαρεῖς initio c. 74. denuo recipitur. Maxime autem, ut ita ſtatuam, me movet, quod verba πολλῷ δὴ μᾶλλον προεθυμοῦντο pertinent ad duos illos proceres, Niciam et Pliſtonactem, cum ad populos ipſos, Lacedaemonios atque Athenienſes potius illud referri et res et oratio contexta cogat, poſtquam cap. 15 extr. dictum erat: ποιοῦνται τὴν ἐνιαύσιον ἐκεχειρίαν, ἐν ᾗ ἔδει ξυνιόντας καὶ περὶ πλείονος χρόνου βουλεύεσθαι. Deinde verba τότε δὲ — προεθυμοῦντο, quae ipſa luculentius in ſequentibus illuſtrantur, multo aptius tamquam altera cauſa graviſſima pacti foederis afferuntur, quam tamquam id, quod clade Athenienſium apud Amphipolin et utriusque exercitus ducum morte effectum fuerit. Cum enim Nicias et Pliſtonax iam antea ſemper pacem maluiſſent, nunc multo etiam magis (πολλῷ μᾶλλον) appetiverunt, ſua quisque de cauſa. Rem autem, quam appetebant, cum Hiſtoricus adiecto participio βουλόμενος ſuspenſam reliquiſſet, eodem reflectit orationem c. 17 init. his verbis: ἀχθόμενος οὖν — προὐθυμήθη τὴν ξύμβασιν.

τότε δὲ οἱ ἐν ἑκατέρᾳ τῇ πόλει. Vulgo deſunt verba οἱ ἐν, quae neceſſaria vel ad ſenſum videntur, in codd. Reg. Gr. Pariſſ. duobus reperiuntur, et a nobis, probante Kiſtemakero, recepta ſunt.

ἐν ᾧ ἀπαθὴς ἦν, καὶ ἠξιοῦτο διασώσασθαι τὴν εὐτυχίαν, καὶ ἔς τε τὸ αὐτίκα πόνων πεπαῦσθαι καὶ αὐτὸς, καὶ τοὺς πολίτας παῦσαι, καὶ τῷ μέλλοντι χρόνῳ καταλιπεῖν ὄνομα, ὡς οὐδὲν σφήλας τὴν πόλιν διεγένετο· νομίζων, ἐκ τοῦ ἀκινδύνου τοῦτο ξυμβαίνειν, καὶ ὅςτις ἐλάχιστα τύχῃ αὑτὸν παραδίδωσι, τὸ δὲ ἀκίνδυνον, τὴν εἰρήνην παρέχειν· Πλειστοάναξ δὲ, ὑπὸ τῶν ἐχθρῶν διαβαλλόμενος περὶ τῆς καθόδου, καὶ ἐς ἐνθυμίαν τοῖς Λακεδαιμονίοις ἀεὶ προβαλλόμενος ὑπ᾽ αὐτῶν, ὁπότε τι πταίσειαν, ὡς διὰ τὴν ἐκείνου κάθοδον παρανομηθεῖσαν ταῦτα ξυμβαίνοι. τὴν γὰρ πρόμαντιν τὴν ἐν Δελφοῖς ἐπῃτιῶντο αὐτὸν πεῖσαι μετ᾽ Ἀριστοκλέους τοῦ ἀδελφοῦ, ὥςτε χρῆσαι Λακεδαιμονίοις ἐπὶ πολὺ τάδε θεωροῖς ἀφικνουμένοις, Διὸς υἱοῦ ἡμιθέου τὸ σπέρμα ἐκ τῆς ἀλλοτρίας ἐς τὴν ἑαυτῶν ἀναφέρειν· εἰ δὲ μὴ, ἀργυρέᾳ εὐλάκᾳ εὐλάξειν. χρόνῳ δὲ προτρέψαι τοὺς Λακεδαιμονίους, φεύγοντα

Cleonis et Braſidae mortem Nicias et Pliſtonax ad pacem

καὶ ἠξιοῦτο διασώσασθαι τὴν εὐτ. h. e. et dum exiſtimaretur felicitatem ſuam conſervaſſe. — διεγένετο, διετέλεσεν. — καὶ ὅςτις, ſubaudi ἐκείνῳ ὅςτις, pro εἴτις.

προβαλλόμενος ὑπ᾽ αὐτῶν, i. e. τῶν ἐχθρῶν. — Mox ξυμβαίνοι pro ξυμβαίνει e codicibus plurimis reſcripſi, ſententia flagitante.

ἀργυρέᾳ εὐλάκᾳ εὐλάξειν, argenteo vomere. Nam εὐλάκαν Lacedaemoniis τὴν ὕνιν vocari, auctor eſt Schol. ad h. l., et εὐλάζειν arare. Bauerus non incommode comparat Auguſteum illud apud Sueton. *aureo hamo piſcari*, quod ſumptuoſam iacturam notat, ſicut hoc quaeſtum ſumptuoſum. Sententiam Schol. bene exponit: λιμὸν ἔσεσθαι, καὶ πολλοῦ σφόδρα τὸν σῖτον ὠνήσεσθαι, ὥσπερ ἀργυροῖς ἐργαλείοις χρωμένους.

χρόνῳ δὲ προτρέψαι, int. τὴν πρόμαντιν. Tandem vatem impuliſſe Lacedaemonios, ut reducerent. — διὰ τὴν — ἀναχώρησιν, v. 2, 21. Ceterum hic locus eſt ex difficillimis. Vocem δοκοῦσαν ex interpretamento ortam eſſe, et codicum ſcriptura teſtatur, et ipſa res, cum Thucydides ſcripſiſſet potius δόξασαν γενέσθαι. Codices plerique omnes exhibent δόκησιν ἀναχώρησιν, et utramque vocem ſatis antiquam hoc in loco ſedem habere, docent ſcholia, in quibus varia et inepta tentamina afferuntur. Benedictus ſcribendum cenſet δοκήσεως, quae ſcriptura, cum in marg. cod. Cl. appicta ſit, in aliis autem eius terminatio εως vel ες poſt δοκοῦσαν ſcripta ſit, pro correctione potius ha-

αὐτὸν ἐς Λύκαιον διὰ τὴν ἐκ τῆς Ἀττικῆς ποτὲ μετὰ δώρων δόκησιν ἀναχώρησιν, καὶ ἥμισυ τῆς οἰκίας τοῦ ἱεροῦ τότε τοῦ Διὸς οἰκοῦντα, φόβῳ τῷ Λακεδαιμονίων, ἔτει ἑνὸς δέοντι εἰκοστῷ, τοῖς ὁμοίοις χοροῖς καὶ θυσίαις καταγαγεῖν, ὥςπερ ὅτε, τὸ πρῶτον Λακεδαίμονα κτίζοντες, τοὺς βασιλέας καθίσταντο.

17. Ἀχθόμενος οὖν τῇ διαβολῇ ταύτῃ, καὶ νομίζων, ἐν εἰρήνῃ μέν, οὐδενὸς σφάλματος γιγνομένου, καὶ ἅμα τῶν Λακεδαιμονίων τοὺς ἄνδρας κομιζομένων, κἂν αὐτὸς τοῖς ἐχθροῖς ἀνεπίληπτος εἶναι· πολέμου δὲ καθεστῶτος, ἀεὶ ἀνάγκην εἶναι, τοὺς προὔχοντας ἀπὸ τῶν ξυμφορῶν διαβάλλεσθαι, προὐθυμήθη τὴν ξύμβασιν. Καὶ τόν τε χειμῶνα τοῦτον ἦσαν ἐς λόγους, καὶ πρὸς τὸ ἔαρ ἤδη παρασκευή τε προεπανεσείσθη ἀπὸ τῶν Λακεδαιμονίων, περιαγγελλομένη κατὰ πόλεις, ὡς ἐπὶ τειχισμὸν, ὅπως οἱ Ἀθηναῖοι μᾶλλον ἐςακού-

propenſi fuerint. 17. Itaque pax componitur inter Athenienſes et Lacedaemonios eorumque ſocios, praeter Boeotos, Corinthios, Eleos, Megarenſes. Utrique reddunt bello et

benda eſt. Itaque codicum fidem ſecuti, dedimus *μετὰ δώρων δόκησιν ἀναχώρησιν*, quae lectio non tam inepta eſt, quam putabat Duckerus. Senſum enim ſatis idoneum fundit: ob reditum illum ex Attica *poſt acceptorum munerum ſuſpicionem;* ut Pliſtonax iam antequam exercitum domum reduceret, quia non ulterius in Atticam progrediebatur, ſed fortaſſe otioſus circa Eleuſinem commorabatur, eo nomine corruptionis ſuſpectus fuiſſe dicatur. Certe utroque loco, ubi eius expeditionis mentionem facit Thucydides, diſerte narrat, non ultra Eleuſinem progreſſum eſſe: (ἐς τὸ πλέον οὐκέτι προελθών, 2, 21. cf. 1, 114.) non autem addit verbis ἀνεχώρησε πάλιν, quemadmodum alibi ſolet de feſtinantibus vel ſine mora abeuntibus, vocem εὐθύς, e. c. cap. 61 med. 63 med.

τῆς οἰκίας τοῦ ἱεροῦ τότε τοῦ Διός. Delubrum et *τέμενος* Iovis in Arcadiae monte Lycaeo erat. — ἔτει ἑνὸς δέοντι εἰκοστῷ, nam quarto decimo ante hoc bellum anno ſugerat. Vid. 2, 21. Nihil certius lectione ἔτει, quam non niſi putida ſuperſtitio tamdiu contemnere potuit, et vulgatae ἔτι poſthabere, cum ipſi codices ſuffragentur. — φόβῳ τῷ Λακ. pro φ. τῶν Λακ. recepi, praeeunte Bened.

17. ὡς ἐπὶ τειχισμόν. Ante haec verba, monente Bredov., virgula interpunxi, ut ad *παρασκευήν* in antecedentibus referantur. Vulgo editur ὡς ἐπιτειχισμόν. Quod cum linguae uſus non ferat, quo praepoſitio ὡς niſi de

οιεν· καὶ ἐπειδὴ ἐκ τῶν ξυνόδων, ἅμα πολλὰς δικαιώσεις προενεγκόντων ἀλλήλοις, ξυνεχωρεῖτο, ὥςτε, ἃ ἑκάτεροι πολέμῳ ἔσχον, ἀποδόντας, τὴν εἰρήνην ποιεῖσθαι, Νίσαιαν δ' ἔχειν Ἀθηναίους· (ἀνταπαιτούντων γὰρ Πλάταιαν, οἱ Θηβαῖοι ἔφασαν, οὐ βίᾳ, ἀλλ' ὁμολογίᾳ, αὐτῶν προςχωρησάντων, καὶ οὐ προδόντων, ἔχειν τὸ χωρίον· καὶ οἱ Ἀθηναῖοι τῷ αὐτῷ τρόπῳ τὴν Νίσαιαν·) τότε δὴ παρακαλέσαντες τοὺς ἑαυτῶν ξυμμάχους οἱ Λακεδαιμόνιοι, καὶ ψηφισαμένων, πλὴν Βοιωτῶν, καὶ Κορινθίων, καὶ Ἠλείων, καὶ Μεγαρέων, τῶν ἄλλων, ὥςτε καταλύεσθαι, (τούτοις δὲ οὐκ ἤρεσκε τὰ πρασσόμενα,) ποιοῦνται τὴν ξύμβασιν, καὶ ἐσπείσαντο πρὸς τοὺς Ἀθηναίους καὶ ὤμοσαν, ἐκεῖνοί τε πρὸς τοὺς Λακεδαιμονίους, τάδε.

18. „ΣΠΟΝΔΑΣ ἐποιήσαντο Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι κατὰ τάδε, καὶ ὤμοσαν κατὰ πόλεις· Περὶ μὲν τῶν ἱερῶν τῶν κοινῶν, θύειν, καὶ ἰέναι, καὶ μαντεύεσθαι, καὶ θεωρεῖν κατὰ τὰ πάτρια τὸν βουλόμενον, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀδεῶς. Τὸ δ' ἱερὸν, καὶ τὸν νεὼν τὸν ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος, καὶ Δελφοὺς, αὐτονόμους εἶναι, καὶ αὐτοτελεῖς, καὶ αὐτοδίκους καὶ αὐτῶν, καὶ τῆς γῆς τῆς ἑαυτῶν, κατὰ τὰ πάτρια. Ἔτη δὲ εἶναι τὰς σπονδὰς

armis occupata. 18. *Pacis in 50 annos factae exemplum,*

hominibus non adhibetur, codicis Graev. ſcripturam, praeeunte Duckero et Benedicto, recepi. Cum autem etiam Schol. ſcribat, *ὡς μελλόντων φρούρια ἐπιτειχίσειν* Poppo coniecit, *ὡς ἐς ἐπιτειχισμόν.* — *προεπανεσείσθη*, *προηπειλήθη.*

καὶ ὤμοσαν, ἐκεῖνοί τε πρὸς τοὺς Λακ. Interpunctionem correximus, commate fixo poſt *ὤμοσαν*, cum vulgo poſt *Ἀθηναίους* vel plene, vel minus plene interpungeretur, unde factum eſt, ut interpretes non haberent, quo referrent *τέ*, quod certe Benedictum movit, ut *γέ* legendum eſſe coniiceret. Item poſt *Λακεδαιμονίους* comma poſui, ut *τάδε* melius cum antecedentibus verbis coniungatur.

18. *περὶ μὲν τῶν ἱερῶν τῶν κοινῶν.* Intelligit templum Iovis Olympii, Apollinis Pythii et alia. Nam de oraculis potiſſimum agi, apparet ex verbis *μαντεύεσθαι* et *θεωρεῖν*, etſi hoc latius patet.

πεντήκοντα Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις τοῖς Ἀθηναίων, καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις τοῖς Λακεδαιμονίων, ἀδόλους καὶ ἀβλαβεῖς, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ, μήτε Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐπ' Ἀθηναίους καὶ τοὺς ξυμμάχους, μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους ἐπὶ Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ. Ἢν δέ τι διάφορον ᾖ πρὸς ἀλλήλους, δίκαις χρήσθων καὶ ὅρκοις, καθότι ἂν ξύνθωνται. Ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Ἀμφίπολιν. Ὅσας δὲ πόλεις παρέδοσαν Λακεδαιμόνιοι Ἀθηναίοις, ἐξέστω ἀπιέναι, ὅποι ἂν βούλωνται, αὐτοὺς, καὶ τὰ ἑαυτῶν ἔχοντας· τὰς δὲ πόλεις, φερούσας τὸν φόρον τὸν ἐπ' Ἀριστείδου, αὐτονόμους εἶναι. ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν Ἀθηναίους, μηδὲ τοὺς ξυμμάχους, ἐπὶ κακῷ, ἀποδιδόντων τὸν φόρον, ἐπειδὴ αἱ σπονδαὶ ἐγένοντο. Εἰσὶ δὲ Ἄργιλος, Στάγειρος, Ἄκανθος, Σκῶλος, Ὄλυνθος, Σπάρτωλος. Ξυμμάχους δ' εἶναι μηδετέρων, μήτε Λακεδαιμονίων, μήτε Ἀθηναίων. ἢν δὲ Ἀθηναῖοι πείθωσι τὰς πόλεις, βουλομένας ταύτας ἐξέστω ξυμμάχους ποιεῖσθαι αὐτοὺς Ἀθηναίοις. Μηκυβερ-

δίκαις χρήσθων καὶ ὅρκοις. Cum Schol. codd. Reg. Gr. Ar, Marg. duoque Pariſſ. praebent veram et iam Duckero probatam lectionem *δίκαις* pro vulgato *δικαίῳ*, quod haud dubie ortum eſt ex interpretatione, qualis eſt etiam inter noſtra ſcholia: *ἤγουν κρίσει δικαίᾳ*. Etiam alibi, monente Duckero, *διάφορα* apud Noſtrum dirimi dicuntur *δίκῃ*. Vid. 1, 78. 140. — Cf. infra hoc cap. extr. *λόγοις δικαίοις χρωμένοις*.

τὸν φόρον τὸν ἐπ' Ἀριστείδου. Iam erat auctum tributum, ab Ariſtide deſcriptum, a 460 talentis ad 600. Cf. Thuc. 1, 96. cum 2, 13. Diod. 12, 40. tantum 460 talenta a ſociis congeſta tradit.

εἰσὶ δὲ Ἄργιλος. Vocem *αἵδε*, quae in vulgatis libris ante *Ἄργιλος* legitur, multorum codicum auctoritate cum Benedicto delevimus. — Mox infinitivus in *ξυμμάχους εἶναι μηδετέρων* pendet a remotiore *ἐξέστω*.

ποιεῖσθαι αὐτοὺς Ἀθηναίοις. Vox *Ἀθηναίοις* et totius loci ſtructuram impedire, et aliena eſſe videtur, cum non ſolum *Ἀθηναῖοι* parvo intervallo praecedat, ſed etiam *αὐτούς* non ad aliud ſubiectum referri poſſit. Suſpicabar aliquando interpreta-

ναίους δὲ, καὶ Σαναίους, καὶ Σιγγαίους, οἰκεῖν τὰς πόλεις τὰς ἑαυτῶν, καθάπερ Ὀλύνθιοι καὶ Ἀκάνθιοι. Ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Πάνακτον· ἀποδόντων δὲ καὶ Ἀθηναῖοι Λακεδαιμονίοις Κορυφάσιον, καὶ Κύθηρα, καὶ Μεθώνην, καὶ Πτελεὸν, καὶ Ἀταλάντην, καὶ τοὺς ἄνδρας, ὅσοι εἰσὶ Λακεδαιμονίων ἐν τῷ δημοσίῳ τῷ Ἀθηναίων, ἢ ἄλλοθί που, ὅσης Ἀθηναῖοι ἄρχουσιν, ἐν δημοσίῳ, καὶ τοὺς ἐν Σκιώνῃ πολιορκουμένους Πελοποννησίων ἀφεῖναι, καὶ τοὺς ἄλλους, ὅσοι Λακεδαιμονίων ξύμμαχοι ἐν Σκιώνῃ εἰσὶ, καὶ ὅσους Βρασίδας ἐσέπεμψε· καὶ εἴ τις τῶν ξυμμάχων τῶν Λακεδαιμονίων ἐν Ἀθήναις ἐστὶν ἐν τῷ δημοσίῳ, ἢ ἄλλοθί που, ἧς Ἀθηναῖοι ἄρχουσιν, ἐν δημοσίῳ. Ἀποδόντων δὲ καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, οὕστινας ἔχουσιν Ἀθηναίων καὶ τῶν ξυμμάχων, κατὰ ταυτά. Σκιωναίων δὲ, καὶ Τορωναίων, καὶ Σερμυλίων, καὶ εἴ τινα ἄλλην πόλιν ἔχουσιν Ἀθηναῖοι, Ἀθηναίους βουλεύεσθαι περὶ αὐτῶν καὶ τῶν ἄλλων πόλεων, ὅ, τι ἂν δοκῇ αὐτοῖς. Ὅρκους δὲ ποιήσασθαι Ἀθηναίους πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κατὰ πόλεις. Ὀμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἑκάτεροι τὸν μέγιστον ἐξ ἑκάστης πόλεως. Ὁ δ᾽ ὅρκος ἔστω ὅδε· Ἐμμένω ταῖς ξυνθήκαις,

mentum esse, verbo ἐξέστω adscriptum. Nam molestum h. l. nomen loco pronominis. Sed tamen in sponsionibus definite loquuntur homines. *Σίγγας*, sicut *Σερμυλία*, auctore Stephano, urbs erat *περὶ τὸν Ἄθων*. In tabula Danvilliana in altera Chersoneso, in qua Torone sita, notata est. *Πάνακτον*, vid. supra 5, 3. cf. c. 42. — Mox articulum *οἱ* ante *Ἀθηναῖοι* cum Benedicto plurimorum codd. auctoritate eieci. — *Κορυφάσιον*, 4, 3. 118. — *ἀφεῖναι*, post *ἀποδόντων*, infinit. pro imperativo. Cf. 5, 9. *σὺ δὲ. Κλεαρίδα*, — *ἐπεκθεῖν, καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμίξαι.* — Paullo ante *τῷ δημοσίῳ τῷ Ἀθηναίων* cum Benedicto dedimus, quem vid. ad c. 16.

Σκιωναίων δὲ — Ἀθηναίους βουλεύεσθαι περὶ αὐτῶν. Adverte mutatam structuram. *Περὶ αὐτῶν* recte habet, cum intercesserit *εἴ τινα ἄλλην πόλιν ἔχουσιν Ἀθηναῖοι.* Alioqui dicendum fuisset: *Περὶ Σκιωναίων — Ἀθηναίους βουλεύεσθαι, ὅ, τι ἂν δοκῇ αὐτοῖς.*

Ἐμμένω ταῖς ξυνθήκαις. Frid. Porti coniecturam *ἐμμε-*

καὶ ταῖς σπονδαῖς ταῖςδὲ, δικαίως καὶ ἀδόλως. Ἔστω δὲ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις κατὰ ταυτὰ ὅρκος πρὸς Ἀθηναίους. Τὸν δὲ ὅρκον ἀνανεοῦσθαι κατ' ἐνιαυτὸν ἀμφοτέρους. Στήλας δὲ στῆσαι Ὀλυμπίασι, καὶ Πυθοῖ, καὶ Ἰσθμῷ, καὶ [ἐν] Ἀθήναις ἐν πόλει, καὶ ἐν Λακεδαίμονι ἐν Ἀμυκλαίῳ. Εἰ δέ τι ἀμνημονοῦσιν ὁποτεροιοῦν, καὶ εἴ του πέρι, λόγοις δικαίοις χρωμένοις εὔορκον εἶναι ἀμφοτέροις ταύτῃ μεταθεῖναι, ὅπῃ ἂν δοκῇ ἀμφοτέροις, Ἀθηναίοις καὶ Λακεδαιμονίοις.

νῷ, neque h. l., neque c. 47. a codicibus firmatam videas. Ne id quidem eam defendit, quod poſterius laudato loco ſequitur καὶ οὐ παραβήσομαι. Nam praeſens cum futuro iungitur et alibi, v. c. loco iam a Waſſio indicato 2, 44 init. οὐκ ὀλοφύρομαι μᾶλλον ἢ παραμυθήσομαι. — Paullo poſt pro κατὰ ταῦτα ὅρκος πρὸς Ἀθηναίους, ſcripſi κατὰ ταυτά, ſicut recte editum eſt paullo ante in verbis οὓς τινας ἔχουσιν Ἀθηναίων καὶ τῶν ξυμμάχων, κατὰ ταυτά. Primum enim de Athenienſium iure iurando, Lacedaemoniis eorumque ſociis praeſtito, egerat Hiſtoricus. Nunc item de Lacedaemoniorum apud Athenienſes.

Ὀλυμπίασι. Vulgo Ὀλυμπιάσι, quod eſſet a voc. Ὀλυμπιάς. Vid. Buttmann. Gr. gr. pag. 374. Pro Ἰσθμῷ καὶ ἐν Ἀθήναις, mallem Ἰσθμοῖ καὶ Ἀθήνησι, ſi unus et alter probatus liber addiceret. Cum refragentur omnes, praeterquam quod plurimi omittunt ἐν ante Ἀθήναις, ſcripſi καὶ Ἰσθμῷ, καὶ Ἀθήναις ἐν πόλει, etſi ſequitur ἐν Λακεδαίμονι ἐν πόλει, et iterum cap. 23. ut hic vulgo. Utrumque Auctori licebat dicere, ut recte monet Benedictus. Cf. 1, 121. ἀπὸ τῶν ἐν Δελφοῖς καὶ Ὀλυμπίᾳ χρημάτων. Hoc eodem exemplo et ſcriptura Ἰσθμῷ defenditur. Ἐν videtur ex cap. 23. h. l. adſcriptum, vel etiam adiectum propter ſequens ἐν Λακεδαίμονι. — ἐν πόλει utroque loco de acropoli accipiendum eſſe, docent verba c. 23. παρ' Ἀθηνᾷ, cuius deae nobiliſſimum templum in Cecropia erat; quamquam Bauerus de urbe intelligit, quae partim acropoli, partim Piraeeo opponatur. Non magis fortaſſe idem vir doctus audiendus, cum ἐν Ἀμυκλαίῳ ad urbis Spartae partem vel regionem quandam ſpectare putat, quia ibi fortaſſe fuerit templum Apollinis, cui Amyclaeo cognomen. Tam vicinae erant Amyclae Lacedaemoni, ut ἡ Λακεδαίμων etiam Amyclas ſuo nomine continere poſſet, ut Athenae Piraeeum vel Phaleron, Argos Heraeum, quod 40 ſtadia aberat. cf. 4, 133. Templum Apollinis, in quo etiam Hyacinthia celebrabantur, Amyclis fuiſſe, conſtat et aliis ex locis (cf. Xenoph. Hellen. 4, 5, 11. Ageſ. 2, 17.) et quodammodo ex hoc ipſo Thucydidis loco coll. c. 23 extr.

καὶ εἴ του πέρι. Haec verba pertinent ad ἀμνημονοῦσιν. Comma quod vulgo poſt χρωμένοις erat, migrare iuſſi ante λόγοις, praeeunte iam Kiſtemakero.

19. „Ἄρχει δὲ τῶν σπονδῶν Ἔφορος Πλειστόλας, Ἀρτεμισίου μηνὸς τετάρτῃ φθίνοντος· ἐν δὲ Ἀθήναις, Ἄρχων Ἀλκαῖος, Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. Ὤμνυον δὲ οἵδε, καὶ ἐσπένδοντο, Λακεδαιμονίων μὲν, Πλειστόλας, Δαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος, Δάϊθος, Ἰσχαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἄνθιππος, Τέλλις, Ἀλκινίδας, Ἐμπεδίας, Μηνᾶς, Λάμφιλος· Ἀθηναίων δὲ οἵδε, Λάμπων, Ἰσθμιόνικος, Νικίας, Λάχης, Εὐθύδημος, Προκλῆς, Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς, Θεαγένης, Ἀριστοκοίτης, Ἰώλκιος, Τιμοκράτης, Λέων, Λάμαχος, Δημοσθένης.“

20. Αὗται αἱ σπονδαὶ ἐγένοντο τελευτῶντος τοῦ χειμῶνος ἅμα ἦρι, ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν, αὐτόδεκα ἐτῶν διελθόντων, καὶ ἡμερῶν ὀλίγων παρενεγκουσῶν, ἢ ὡς τὸ πρῶτον ἡ ἐσβολὴ ἐς τὴν Ἀττικὴν,

19. et nomina eorum, qui foedus pepigerint. 20. De computatione annorum huius belli. Optimam effe eam rationem, quam Auctor fecutus fit, ut annus in aeftatem et

19. *ἄρχει δὲ τῶν σπονδῶν*, i. e. ἐν ἀρχῇ ἦν, ᾧ χρόνῳ αἱ σπονδαὶ ἐγένοντο. Magiftratuum autem auctoritate et cura haec maxime agebantur. Ceterum integram fponfionis fcriptae partem effe ea, quae hoc capite continentur, docet capitis feq. initium. Idem ftatuendum de c. 24. priore parte.

Ἄνθιππος. Boni codices Cl. Reg. Caff. Gr. exhibent Ἄντιππος. Ad eandem analogiam fcribitur Λεύκιππος. Ex iisdem libris, quibus et alii confentiunt, dedi Τέλλις pro Τέλλης. Cf. c. 24. et Duck. ad noftrum locum. Praeterea discrepat fcriptura horum locorum in nominibus Ἀλκινίδας, Λάμφιλος et Ἀριστοκοίτης, quorum loco c. 24. exhibentur Ἀλκινάδας, Λάφιλος, Ἀριστοκράτης. Vera videntur Ἀλκινάδας, Λάμφιλος et Ἀριστοκοίτης. Nam optimi codd. praebent Ἀριστοκίτης.

20. *αὐτόδεκα ἐτῶν*, i. e. ὅλων δέκα ἐτῶν. Praeter Dionyfia τὰ κατ' ἄστυ, quae μεγάλα quoque vocantur et vere celebrabantur, erant etiam alia Athenis eiusdem Dei folemnia duo, Διονύσια τὰ μικρὰ five τὰ κατ' ἀγροὺς, et τὰ Λήναια feu Ἀνθεστήρια, quorum illa auctumno in agris, haec hieme fiebant in Piraeeo. — *ἡμερῶν ὀλίγων παρενεγκουσῶν*, i. e. διενεγκουσῶν. Cf. c. 26. ἡμέρας οὐ πολλὰς παρενεγκούσας. — *ἡ ἐσβολὴ ἐς τὴν Ἀττικὴν, καὶ ἡ ἀρχὴ τοῦ πολέμου*. Supra 2, 2. belli initium rectius ftatuit Thebanorum clandeftinam in Plataeas irruptionem, quam ftatim fecuta eft Lacedaemoniorum in Atticum agrum prima incurfio.

καὶ ἡ ἀρχὴ τοῦ πολέμου τοῦδε ἐγένετο. Σκοπείτω δέ τις κατὰ τοὺς χρόνους, καὶ μὴ, τῶν ἑκασταχοῦ ἢ ἀρχόντων, ἢ ἀπὸ τιμῆς τινος τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων ἐς τὰ προγεγενημένα σημαινόντων, πιστεύσας μᾶλλον. Οὐ γὰρ ἀκριβές ἐστιν, οἷς καὶ ἀρχομένοις, καὶ μεσοῦσι, καὶ ὅπως ἔτυχέ τῳ, ἐπεγένετό τι. Κατὰ

hiemem deſcribatur. Ita prioris belli partis decem annos

σκοπείτω δέ τις κατὰ τοὺς χρόνους — πιστεύσας μᾶλλον. In difficillima huius loci ſtructura pleraque Bauerus feliciter expedivit. Sed dura videtur ratio, τοὺς χρόνους ad genitivum τῶν ἀρχόντων repetendi. Tamen peior etiam eſt Porti ratio, quem Bredovius ſequitur, ut genitivi pendeant ab accuſativo ἀπαρίθμησιν, et hic a repetito imperativo σκοπείτω; quo omnis ſtructura percitur et turbatur etiam magis. Nam quid facias verbis ἀπὸ τιμῆς τινος, quae aperte pertinent ad σημαινόντων? Quid deinde fiet de verbis ἐς τὰ προγεγενημένα σημαινόντων, quae quidem Bredovius commatibus ſegreganda a reliquis cenſet; ubi quaeras licet, utrum Graeci σημαίνειν ἔς τι, vel etiam σημαίνειν abſolute, ſine accuſativo, pro σημαίνειν τι usquam dixerint. Mihi ſic videbatur ordo verborum conſtituendus eſſe: σκοπείτω δέ τις κατὰ τοὺς χρόνους, καὶ μὴ, τῶν ἑκασταχοῦ ἢ ἀρχόντων (i. e. ἐν ἀρχῇ ὄντων), ἢ ἀπὸ τιμῆς τινος (ἄλλης) σημαινόντων τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων ἐς τὰ προγεγενημένα, πιστεύσας μᾶλλον (αὐτήν). Nam verba τῶν ἢ ἀρχόντων, ἢ ἀπὸ τιμῆς τινος ita iungo cum σημαινόντων, ut accipiam pro genitivis abſolutis: „quoniam ubique vel qui ſummam tenent poteſtatem, vel qui aliquem honorem, computationem nominum ſignant in rebus (ἐς, i. e. κατά) antea geſtis.“ Itaque poſt μὴ minimam inſerui interpunctionem. Pro τῶν ὀνομάτων exſpectes τῶν ἐτῶν vel χρόνων. Sed ὀνόματα ἀρχόντων vel conſulum veteribus ſimpliciter pro annis fuiſſe, conſtat. Quare Scholiaſtes paullo inferius rem ſic exponit: κατὰ θέρη καὶ χειμῶνας τὰ δέκα ἔτη σκοπείτω τὶς, καὶ μὴ ἐξαριθμείσθω μήτε τοὺς ἄρχοντας, μήτε τοὺς ἀπὸ ἄλλης τινὸς τιμῆς ἐπωνύμους τοῖς ἔτεσι γεγενημένους. Ad πιστεύσας ſubaudiendum eſt αὐτήν, cum ad interiectum membrum vocem ἀπαρίθμησιν τῶν ὀνομάτων Auctor adiungere maluerit, quae etiam ad participium revocari debet. *μᾶλλον* eſt potius. Puta igitur Auctorem ita ſcripſiſſe ſuo more, pro: καὶ μὴ, τῶν ἑκαστ. ἢ ἀρχόντων, ἢ ἀπὸ τιμῆς τινος σημαινόντων τὰ ἔτη (τοὺς χρόνους), *ταύτην* τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων ἐς τὰ προγεγενημένα μᾶλλον πιστεύσας.

καὶ ὅπως ἔτυχέ τῳ, ἐπεγένετό τι. Benedictus ex his verbis nihil boni ſenſus extricari poſſe arbitratus, e veſtigiis quatuor codicum, qui habent ἔτυχέν τῳ, reſcribendum cenſet καὶ ὅπως ἔτυχεν, ᾧ ἐπεγένετό τι, quod vertit (quam recte, ipſe viderit): „et quomodo *cuiquam* evenerit, *quod ei* accidit.“ Nos ab hoc incepto abſtinemus. In codicibus, etiam in optimis Reg. Caſſ. et Aug. ſaepe ν ἐφελκυστικόν, in fine membrorum ſingulorum maxime, ſed etiam alibi additum eſt. Ut unum e multis

θέρη δὲ καὶ χειμῶνας ἀριθμῶν, ὥσπερ γέγραπται, εὑρήσει, ἐξ ἡμισείας ἑκατέρου τοῦ ἐνιαυτοῦ τὴν δύναμιν ἔχοντος, δέκα μὲν θέρη, ἴσους δὲ χειμῶνας τῷ πρώτῳ πολέμῳ τῷδε γεγενημένους.

21. Λακεδαιμόνιοι δὲ (ἔλαχον γὰρ πρότεροι ἀποδιδόναι ἃ εἶχον) τούς τε ἄνδρας εὐθὺς τοὺς παρὰ σφίσιν αἰχμαλώτους ἀφίεσαν, καὶ πέμψαντες ἐς τὰ ἐπὶ Θρᾴκης πρέσβεις, Ἰσχαγόραν, καὶ Μηνᾶν, καὶ Φιλοχαρίδαν, ἐκέλευον τὸν Κλεαρίδαν τὴν Ἀμφίπολιν παραδιδόναι τοῖς Ἀθηναίοις, καὶ τοὺς ἄλλους τὰς σπονδὰς, ὡς εἴρητο ἑκάστοις, δέχεσθαι. Οἱ δ' οὐκ ἤθελον, νομίζοντες οὐκ ἐπιτηδείας εἶναι· οὐδὲ ὁ Κλεαρίδας παρέδωκε τὴν πόλιν, χαριζόμενος τοῖς Χαλκιδεῦσι, λέγων, ὡς οὐ δυνατὸς εἴη βίᾳ ἐκείνων παραδιδόναι. Ἐλθὼν δὲ αὐτὸς κατὰ τάχος μετὰ πρέσβεων αὐτόθεν ἀπολογησόμενός τε ἐς τὴν Λακεδαίμονα, ἢν κατηγορῶσιν οἱ περὶ τὸν Ἰσχαγόραν, ὅτι οὐκ ἐπείθετο, καὶ ἅμα βουλόμενος εἰδέναι, εἰ ἔτι μετακινητὴ εἴη ἡ ὁμολογία· ἐπειδὴ εὗρε κατειλημμένας, αὐτὸς μὲν, πάλιν

exigi. 21. Cum in Thracia non ſtatim omnia ex pacto

exemplis afferam, c. 21. pro εὗρε κατειλημμένας Caſſ. Aug. habent εὗρεν. Verba καὶ ὅπως ἔτυχέ τῳ adduntur a Scriptore noſtro, quoniam praeter initium et medium tempus magiſtratus cuiusdam et alia discrimina poſſunt cogitari, veluti paullo poſt initium, paullo ante aut poſt medium, ſub finem, extremo magiſtratus gerendi tempore, et alia.

ε ὑ ρ ή σ ε ι ἐ ξ ἡ μ ι σ ε ί α ς ἑ κ α τ έ ρ ο υ, τ ο ῦ ἐ ν ι α υ τ ο ῦ τ ὴ ν δ ύ ν α μ ι ν ἔ χ ο ν τ ο ς. Cum fine codicum auctoritate non ſcribendum ſit ἑκατέρας, verba ἡμισείας ἑκατέρου, ſententia ita poſcente, cum Stephano accipienda erunt pro duabus anni partibus, non diviſis iterum in duas partes, ſed totis, aeſtate ſcilicet et hieme; ita ut ἑκατέρου pertineat ad θέρος et χειμῶνα, quaſi ſit pro ἥ ἐστι ἑκατέρου. Sed unde pendet ἔχοντος? Utrum ab ἑκατέρου? At neutra anni pars, neque aeſtas, neque hiems totum annum per ſe conficit. An ad τοῦ ἐνιαυτοῦ? At hoc ſenſu caſſum eſſe videatur, niſi vulgata interpunctio in hunc modum mutetur, ut poſt εὑρήσει ſit comma, poſt ἑκατέρου autem tollatur interpunctio. Et quoniam hoc mihi praeſtare videbatur, ita feci. „Cum e dimidio, quod utraque confert, annus compleatur."

21. κ α τ ε ι λ η μ μ έ ν α ς, iureiurando obſtrictas, ideoque ἰσχυράς. Cf. ad 8, 63. Spectat autem hoc participium ad remotius ſubiectum τὰς σπονδάς, non ad ὁμολογίαν.

πεμπόντων τῶν Λακεδαιμονίων, καὶ κελευόντων μάλιστα μὲν καὶ τὸ χωρίον παραδοῦναι, εἰ δὲ μὴ, ὁπόσοι Πελοποννησίων ἔνεισιν, ἐξαγαγεῖν, κατὰ τάχος ἐπορεύετο.

22. Οἱ δὲ ξύμμαχοι ἐν τῇ Λακεδαίμονι αὐτοὶ ἔτυχον ὄντες, καὶ αὐτῶν τοὺς μὴ δεξαμένους τὰς σπονδὰς ἐκέλευον οἱ Λακεδαιμόνιοι ποιεῖσθαι. Οἱ δὲ, τῇ αὐτῇ προφάσει, ᾗπερ καὶ τὸ πρῶτον ἀπεώσαντο, οὐκ ἔφασαν δέξασθαι, ἢν μή τινας δικαιοτέρας τούτων ποιῶνται. Ὡς δ' αὐτῶν οὐκ ἐσήκουον, ἐκείνους μὲν ἀπέπεμψαν, αὐτοὶ δὲ πρὸς τοὺς Ἀθηναίους ξυμμαχίαν ἐποιήσαντο, νομίζοντες, ἥκιστα ἂν σφίσι τούς τε Ἀργείους, (ἐπειδὴ οὐκ ἤθελον, Ἀμπελίδου καὶ Λίχου ἐλθόντων, ἐπισπένδεσθαι) νομίσαντες αὐτοὺς ἄνευ Ἀθηναίων οὐ δεινοὺς εἶναι, καὶ τὴν ἄλλην Πελοπόννησον μάλιστ' ἂν ἡσυχάζειν· πρὸς γὰρ ἂν τοὺς Ἀθηναίους, εἰ ἐξῆν, χωρεῖν. Παρόντων οὖν πρέσβεων ἀπὸ τῶν

Athenienſibus tradi poſſent, 22. ſociique Lacedaemoniorum nonnulli pacem abnuiſſent: Lacedaemonii vel foe-

22. οἱ δὲ ξύμμαχοι —. Perperam poſt haec verba in vulgatis edd. commate diſtinguitur. — ποιεῖσθαι, int. αὐτάς.

ὡς δ' αὐτῶν οὐκ ἐσήκουον, nempe οἱ ξύμμαχοι, quamquam cum Scholiaſta Bredovius et Kiſtemak. ad Lacedaemonios referunt. In ſequentibus difficultatem dictionisque negligentiam ſi non tollere, certe tolerabilem exhibere nobis viſi ſumus, verbis ἐπειδὴ οὐκ ἤθελον — ἐπισπένδεσθαι parentheſeos ſignis intercludendis. Ita enim verba ſtatim poſt parentheſin ſubiecta filum interruptae parentheſi orationis ſingula in hunc modum recipiunt et annectunt, ut νομίσαντες repraeſentet νομίζοντες, αὐτοὺς autem Ἀργείους, οὐ denique praemiſſum ἥκιστα. Verbis τούς τε Ἀργείους — οὐ δεινοὺς εἶναι reſpondent eiusdem ſententiae verba καὶ τὴν ἄλλην Πελοπόννησον μάλιστ' ἂν ἡσυχάζειν. Legationem illam Ampelidae et Lichae in ſuperioribus non diſerte vel nominatim commemoravit Auctor; ſed eos paullo ante hoc tempus miſſos eſſe, veriſimile eſt. Nam ſupra c. 14 extr. narrat, foedus inter Lacedaemonios et Argivos in triginta annos factum ad finem verſiſſe; Argivos autem noluiſſe novas inducias pangere, niſi Cynurius ager ipſis reſtitueretur. Hoc reſponſum fortaſſe Ampelidas et Lichas retulerant, cum de ea re agenda Argos miſſi eſſent.

πρὸς γὰρ ἂν τοὺς Ἀθηναίους, εἰ ἐξῆν, χωρεῖν. „Nam utrosque, et Argivos et ceteros Peloponneſios, ad Athenienſes ſe converſuros eſſe, ſi

Ἀθηναίων, καὶ γενομένων λόγων, ξυνέβησαν· καὶ ἐγένοντο ὅρκοι, καὶ ξυμμαχία ἥδε, κατὰ τάδε.

23. ΞΥΜΜΑΧΟΙ ἔσονται Λακεδαιμόνιοι πεντήκοντα ἔτη. Ἢν δέ τινες ἴωσιν ἐς τὴν γῆν πολέμιοι τὴν Λακεδαιμονίων, καὶ κακῶς ποιῶσι Λακεδαιμονίους, ὠφελεῖν Ἀθηναίους Λακεδαιμονίους τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. Ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις, καὶ κακῶς πάσχειν ὑπὸ ἀμφοτέρων· καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλεε. Ταῦτα δ' εἶναι δικαίως, καὶ προθύμως, καὶ ἀδόλως. Καὶ ἤν τινες ἐς τὴν τῶν Ἀθηναίων γῆν ἴωσι πολέμιοι, καὶ κακῶς ποιῶσιν Ἀθηναίους, ὠφελεῖν Λακεδαιμονίους τρόπῳ ὅτῳ ἂν δύνωνται ἰσχυροτάτῳ, κατὰ τὸ δυνατόν. Ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις, καὶ κακῶς πάσχειν ὑπ' ἀμφοτέρων· καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλεε. Ταῦτα δ' εἶναι δικαίως, καὶ προθύμως, καὶ ἀδόλως. Ἢν δὲ ἡ δουλεία ἐπανίστηται, ἐπικουρεῖν Ἀθηναίους Λακεδαιμονίοις παντὶ σθένει, κατὰ τὸ δυνατόν. Ὀμοῦνται δὲ ταῦτα οἵπερ καὶ τὰς ἄλλας σπονδὰς ὤμνυον ἑκατέρων. Ἀνανεοῦσθαι δὲ κατ' ἐνιαυτὸν, Λακεδαιμονίους μὲν, ἰόντας ἐς Ἀθήνας πρὸς τὰ Διονύσια· Ἀθηναίους δὲ, ἰόντας ἐς Λακεδαίμονα πρὸς τὰ Ὑακίνθια. Στήλην δὲ ἑκατέρους στῆσαι, τὴν μὲν ἐν

dus cum Athenienſibus inierunt. 23. *Eius foederis*

liceret; (quod non amplius licebat, Lacedaemoniis ſocietate iunctis cum Athenienſibus)."

23. *καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλεε.* Atticos in duali maſculinum articuli pro feminino uſurpare, exemplis docet Hudſonus ad h. l. Vid. Var. Lect. ed. Lipſ.

ἀνανεοῦσθαι δὲ ταῦτα. Ultimam vocem *ταῦτα*, praeeuntibus optimis libris Cl. Gr. Reg. Caſſ. Aug. et duobus Pariſſ., tamquam ſupervacaneam, et ex ſuperioribus temere repetitam, expunximus. — Paullo ante *ἡ δουλεία*, i. e. *Εἵλωτες*.

πρὸς τὰ Διονύσια. Vid. ad c. 20. — *Ὑακίνθια*, Amyclis celebrata. — *ἐν Λακεδαίμονι.* Cf. ad c. 18 extr. Latiore ſenſu de tota urbis regione, non vero de imperio Lacedaemoniorum intelligendum nomen.

Λακεδαίμονι, παρ' Ἀπόλλωνι ἐν Ἀμυκλαίῳ· τὴν δὲ ἐν Ἀθήναις, ἐν πόλει, παρ' Ἀθηνᾷ. Ἢν δέ τι δοκῇ Λακεδαιμονίοις καὶ Ἀθηναίοις προςθεῖναι καὶ ἀφελεῖν περὶ τῆς ξυμμαχίας, ὅ, τι ἂν δοκῇ, εὔορκον ἀμφοτέροις εἶναι.

24. „Τὸν δὲ ὅρκον ὤμνυον Λακεδαιμονίων μὲν, οἵδε, Πλειστοάναξ, Ἆγις, Πλειστόλας, Δαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος, Δάϊθος, Ἰσχαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἄνθιππος, Ἀλκινάδας, Τέλλις, Ἐμπεδίας, Μηνᾶς, Λάφιλος· Ἀθηναίων δὲ, Λάμπων, Ἰσθμιόνικος, Λάχης, Νικίας, Εὐθύδημος, Προκλῆς, Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς, Θεαγένης, Ἀριστοκράτης, Ἰώλκιος, Τιμοκράτης, Λέων, Λάμαχος, Δημοσθένης." Αὕτη ἡ ξυμμαχία ἐγένετο μετὰ τὰς σπονδὰς οὐ πολλῷ ὕστερον. Καὶ τοὺς ἄνδρας τοὺς ἐκ τῆς νήσου ἀπέδοσαν οἱ Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις. Καὶ τὸ θέρος ἦρχε τοῦ ἑνδεκάτου ἔτους. ταῦτα δὲ τὰ δέκα ἔτη ὁ πρῶτος πόλεμος ξυνεχῶς γενόμενος γέγραπται.

25. Μετὰ δὲ τὰς σπονδὰς καὶ τὴν ξυμμαχίαν τῶν Λακεδαιμονίων καὶ τῶν Ἀθηναίων, αἳ ἐγένοντο μετὰ τὸν δεκαετῆ πόλεμον, ἐπὶ Πλειστόλα μὲν ἐν Λακεδαίμονι Ἐφόρου, Ἀλκαίου δ' Ἄρχοντος Ἀθήνησι, τοῖς μὲν δεξαμένοις αὐτὰς εἰρήνη ἦν· οἱ δὲ Κορίνθιοι, καὶ τῶν ἐν Πελοποννήσῳ πόλεων τινὲς διεκίνουν τὰ πεπραγμένα, καὶ εὐθὺς ἄλλη ταραχὴ καθίστατο τῶν ξυμμάχων πρὸς τὴν Λακεδαίμονα. Καὶ ἅμα καὶ τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι, προϊόντος τοῦ χρόνου,

exemplum, 24. et nomina eorum, qui ſocietatis foedus ab utraque parte iuraverunt. Lacedaemonii in inſula capti redduntur. 25. Novae turbae ſociorum in

παρ' Ἀθηνᾶ. De hac forma contracta v. Buttmann. Gr. Gr. p. 58 ſq.

25. Ἀθήνησι. Sic ubique pro Ἀθήνῃσι reſcripſimus, vera putantes quae disputat Buttmannus Gr. p. 374. Mox poſt τὰ πεπραγμένα minorem diſtinctionem repoſui, ut arctius coniungantur cauſa et effectus.

ὕποπτοι ἐγένοντο, ἔστιν ἐν οἷς οὐ ποιοῦντες ἐκ τῶν ξυγκειμένων ἃ εἴρητο. Καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι, ἔξωθεν δὲ μετ᾽ ἀνακωχῆς οὐ βεβαίου ἔβλαπτον ἀλλήλους τὰ μάλιστα. Ἔπειτα μέντοι καὶ ἀναγκασθέντες λῦσαι τὰς μετὰ τὰ δέκα ἔτη σπονδὰς, αὖθις ἐς πόλεμον φανερὸν κατέστησαν.

26. Γέγραφε δὲ καὶ ταῦτα ὁ αὐτὸς Θουκυδίδης Ἀθηναῖος ἑξῆς, ὡς ἕκαστα ἐγένετο, κατὰ θέρη καὶ χειμῶνας· μέχρι οὗ τήν τε ἀρχὴν κατέπαυσαν τῶν Ἀθηναίων Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, καὶ τὰ μακρὰ τείχη καὶ τὸν Πειραιᾶ κατέλαβον. Ἔτη δὲ ἐς τοῦτο τὰ ξύμπαντα ἐγένετο τῷ πολέμῳ ἑπτὰ καὶ εἴκοσι. Καὶ τὴν διὰ μέσου ξύμβασιν εἴ τις μὴ ἀξιώσει πόλεμον νομίζειν, οὐκ ὀρθῶς δικαιώσει. Τοῖς τε γὰρ ἔργοις ὡς διῄρηται, ἀθρείτω, καὶ εὑρήσει οὐκ εἰκὸς ὂν, εἰρήνην αὐτὴν κριθῆναι, ἐν ᾗ οὔτε ἀπέδοσαν πάντα, οὔτ᾽ ἀπεδέξαντο, ἃ ξυνέθεντο· ἔξω τε τούτων, πρὸς τὸν Μαντινικὸν καὶ Ἐπιδαύριον πόλεμον, καὶ ἐς ἄλλα, ἀμφοτέροις ἁμαρτήματα ἐγένοντο. Καὶ οἱ ἐπὶ Θρᾴκης ξύμμαχοι οὐδὲν ἧσσον πολέμιοι ἦσαν· Βοιωτοί τε ἐκεχειρίαν δεχήμερον ἦγον. Ὥστε ξὺν τῷ πρώτῳ πολέμῳ

Lacedaemonios: integrata inter hos et Athenienſes inimicitia breviter ſignificatur. 26. Viginti ſeptem annos

26. **τοῖς τε γὰρ ἔργοις ὡς διῄρηται**, int. ἡ διὰ μέσου ξύμβασις. „Spectet, quemadmodum rebus geſtis pacatum illud temporis ſpatium interruptum ſit." Particula τέ ut habeat, quo referatur, ante verba **ἔξω τε τούτων** minus plene interpungendum eſt.

ἀμφοτέροις ἁμαρτήματα ἐγένοντο. Ita, codicibus plerisque praeeuntibus, legendum eſſe monuerunt Benedictus et Poppo. Vulgo **ἐγένετο.** Cf. ad 1, 90.

οὐδὲν ἧσσον πολέμιοι ἦσαν, ſc. ἢ τὸ πρίν. Nam cum Lacedaemonii eos per legatos invitarent, ut foedus cum Athenienſibus factum ratum haberent, id recuſarunt. Vid. c. 21. *Οἱ δ᾽ οὐκ ἤθελον (δέχεσθαι τὰς σπονδὰς), νομίζοντες οὐκ ἐπιτηδείας εἶναι.*

ἐκεχειρίαν δεχήμερον ἦγον. Schol. *Βοιωτοί τε πρὸς δέκα ἡμέρας ἐκεχειρίαν ἐπεσπένδοντο πρὸς Ἀθηναίους.* Has igitur inducias ſubinde renovabant.

τῷ δεκαετεῖ. καὶ τῇ μετ' αὐτὸν ὑπόπτῳ ἀνακωχῇ, καὶ τῷ ὕστερον ἐξ αὐτῆς πολέμῳ, εὑρήσει τὶς τοσαῦτα ἔτη, λογιζόμενος κατὰ τοὺς χρόνους, καὶ ἡμέρας οὐ πολλὰς παρενεγκούσας, καὶ τοῖς ἀπὸ χρησμῶν τι ἰσχυρισαμένοις μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν. Ἀεὶ γὰρ ἔγωγε μέμνημαι, καὶ ἀρχομένου τοῦ πολέμου, καὶ μέχρι οὗ ἐτελεύτησε, προφερόμενον ὑπὸ πολλῶν, ὅτι τρὶς ἐννέα ἔτη δέοι γενέσθαι αὐτόν. Ἐπεβίων δὲ διὰ παντὸς αὐτοῦ, αἰσθανόμενός τε τῇ ἡλικίᾳ, καὶ προσέχων τὴν γνώμην, ὅπως ἀκριβές τι εἴσομαι. Καὶ ξυνέβη μοι φεύγειν τὴν ἐμαυτοῦ ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμφίπολιν στρατηγίαν· καὶ γενομένῳ παρ' ἀμφοτέροις τοῖς πράγμασι, καὶ οὐχ ἧσσον τοῖς Πελοποννησίων, διὰ τὴν φυγὴν, καθ' ἡσυχίαν τὶ αὐτῶν μᾶλλον αἰσθέσθαι. Τὴν οὖν μετὰ τὰ δέκα ἔτη διαφοράν τε καὶ ξύγχυσιν τῶν σπονδῶν, καὶ τὰ ἔπειτα, ὡς ἐπολεμήθη, ἐξηγήσομαι.

27. Ἐπειδὴ γὰρ αἱ πεντηκοντούτεις σπονδαὶ ἐγένοντο, καὶ ὕστερον αἱ ξυμμαχίαι, καὶ αἱ ἀπὸ τῆς Πελοποννήσου πρεσβεῖαι, αἵπερ παρεκλήθησαν ἐς αὐτὰ, ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος. Καὶ οἱ μὲν ἄλλοι ἐπ' οἴκου ἀπῆλθον· Κορίνθιοι δὲ, ἐς Ἄργος τραπόμενοι πρῶτον, λόγους ποιοῦνται πρός τινας τῶν ἐν τέλει ὄντων Ἀργείων, ὡς χρὴ, ἐπειδὴ Λακεδαιμόνιοι οὐκ ἐπ' ἀγαθῷ, ἀλλ' ἐπὶ καταδουλώσει τῆς Πελοποννήσου, σπονδὰς καὶ ξυμμαχίαν πρὸς Ἀθηναίους τοὺς

totum bellum extractum eſſe defenditur. In illud bellum Thucydidis aetatem ferme incidere. 27. Corinthii

παρενεγκούσας. Vid. ad cap. 20.

αἰσθανόμενός τε τῇ ἡλικίᾳ, i. e. integris ad cognoſcendum ſenſibus valens per aetatem.

27. *καὶ αἱ ἀπὸ τῆς Πελοποννήσου πρεσβεῖαι*. Locum mutat in codicibus nonnullis *καὶ*, in aliis abeſt *αἱ*, abſorptum a praecedente voce *καί*. Vulgata recte habet. Nam Peloponneſii legati h. l. cum reſpectu Athenienſium, qui et ipſi domum revertiſſe putandi ſunt. Corruptioni anſam dedit, quod ab his verbis apodoſis inciperet, ubi *καὶ* alienum videbatur. — *ἐς αὐτά*, mutato genere, ad *σπονδὰς* pertinet.

πρὶν ἐχθίστους πεποίηνται, ὁρᾶν τοὺς Ἀργείους, ὅπως σωθήσεται ἡ Πελοπόννησος, καὶ ψηφίσασθαι, τὴν βουλομένην πόλιν τῶν Ἑλλήνων, ἥτις αὐτόνομός τέ ἐστι, καὶ δίκας ἴσας καὶ ὁμοίας δίδωσι, πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν· ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας, καὶ μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι· τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος. Ἔφασαν δὲ, πολλοὺς προςχωρήσεσθαι μίσει τῶν Λακεδαιμονίων. Καὶ οἱ μὲν Κορίνθιοι, διδάξαντες ταῦτα, ἀνεχώρησαν ἐπ' οἴκου.

28. *Οἱ δὲ τῶν Ἀργείων ἄνδρες, ἀκούσαντες, ἐπειδὴ ἀνήνεγκαν τοὺς λόγους ἔς τε τὰς ἀρχὰς καὶ*

Argivos ad societatem cum omnibus, quae vellent, liberis civitatibus ineundam incitant, 28. et persuadent iisdem, tum temporis florentibus, ut praeter Lacedaemonios

καὶ δίκας ἴσας καὶ ὁμοίας δίδωσι. Haec dictio e vulgari notione de iis valet, qui pari iure fruuntur, sicut *ἐπ' ἴσῃ καὶ ὁμοίᾳ*. Describitur igitur his verbis iuris quasi vicissitudo et aequalitas, quam potentiores civitates, velut Athenienses et Lacedaemonios, et praestituros et accepturos esse, non erat exspectandum. Quare illi nominatim postea Argivorum decreto excipiuntur, c. 28.

τῇ ἀλλήλων ἐπιμαχεῖν. De vi vocis *ἐπιμαχεῖν* vid. ad 1, 44. — In verbis: *πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι* articulum *τοὺς* ex libris recepit iam Benedictus, ut accuratius sermones *de hac societate ineunda* indicentur. Cf. 4, 118 sub fin. Non autem omnino de his rebus verba fieri ad populum Argivum vetant Corinthii; (absurdum enim tale eorum esset postulatum, cum plebiscito res egeret:) sed nolunt ipsi cum ecclesia Argivorum agere, nolunt etiam aliarum civitatum legatos. Suadent potius, ut per cives Argivos, quibuscum rem istam communicaverant, ea ad magistratus et populum deferatur, hac addita causa, ut, re non impetrata, ne conspicui essent Spartanis tamquam consilii vel auctores, vel participes.

τοῦ μὴ καταφανεῖς γίγνεσθαι — τὸ πλῆθος. Recte Schol. *τὸ πλῆθος* intelligit *τῶν Ἀργείων*. Neque minus bene idem verba *καταφανεῖς γίγνεσθαι* ad Corinthios *ἢ ἄλλους*, i. e. aliarum civitatum oratores refert, qui de societate cum Argivis ineunda acturi fuerint. Probant hanc sententiam sequentia. Nam c. 28. narratur, ab Argivis in universum concessum esse, ut omnes, quae vellent, civitates sine discrimine in societatem a duodecim viris, ad hoc negotium publice constitutis, reciperentur, praeter Athenienses et Lacedaemonios, de quibus recipiendis populus Argivus arbitrium sibi relinquebat.

τὸν δῆμον, ἐψηφίσαντο Ἀργεῖοι, καὶ ἄνδρας εἵλοντο δώδεκα, πρὸς οὓς τὸν βουλόμενον τῶν Ἑλλήνων ξυμμαχίαν ποιεῖσθαι, πλὴν Ἀθηναίων καὶ Λακεδαιμονίων· τούτων δὲ μηδετέροις ἐξεῖναι ἄνευ τοῦ δήμου τῶν Ἀργείων σπείσασθαι. Ἐδέξαντό τε ταῦτα οἱ Ἀργεῖοι μᾶλλον, ὁρῶντες τόν τε τῶν Λακεδαιμονίων σφίσι πόλεμον ἐσόμενον, (ἐπ' ἐξόδῳ γὰρ πρὸς αὐτοὺς αἱ σπονδαὶ ἦσαν,) καὶ ἅμα ἐλπίσαντες τῆς Πελοποννήσου ἡγήσεσθαι. Κατὰ γὰρ τὸν χρόνον τοῦτον ἥ τε Λακεδαίμων μάλιστα δὴ κακῶς ἤκουσε, καὶ ὑπερώφθη, διὰ τὰς ξυμφοράς· οἵ τε Ἀργεῖοι ἄριστα ἔσχον τοῖς πᾶσιν, οὐ ξυναράμενοι τοῦ Ἀττικοῦ πολέμου, ἀμφοτέροις δὲ μᾶλλον ἔνσπονδοι ὄντες, ἐκκαρπωσάμενοι. Οἱ μὲν οὖν

et Athenienfes quamlibet civitatem ad focietatem fuam

28. *ἐψηφίσαντο Ἀργεῖοι — ποιεῖσθαι.* In his verbis confufae funt duae ftructurae rationes, quod factum eft brevitatis ftudio. Nam cum proprie dicendum fuiffet: *Οἱ Ἀργεῖοι ἐψηφίσαντο, τὸν βουλόμενον τῶν Ἑλλήνων ξυμμαχίαν ποιεῖσθαι πρὸς τοὺς δώδεκα ἄνδρας, οὓς εἵλοντο αὐτοί*, vel *ἑλόμενοι ἄνδρας δώδεκα, πρὸς οὓς τοῦτο ἐξείη*: verba *πρὸς οὓς* ita iungit cum infinitivo *ποιεῖσθαι* Scriptor nofter, ut una pendeant ab *ἐψηφίσαντο*. Mutata igitur ftructura *πρὸς οὓς ποιεῖσθαι* dixit pro: *ὥστε πρὸς τούτους τὸν βουλ. — ποιεῖσθαι.* Cf. infra c. 69 extr., qui locus eft fimillimus.

ὁρῶντες τόν τε τῶν Λακ. — καὶ ἅμα ἐλπίσαντες. Depravati codices Ar. C. Dan. omittunt *τέ*, quae omiffio correctionem redolet. Nam poft parenthefin perfpicuitatis caufa ab Auctore additum videtur *ἐλπίσαντες*, quod participium, nifi ab inchoata ftructura defeciffet, omittere fane poterat. Quamquam etiam ubi non praeceffierit parenthefis, ftructuram ita mutare foleat Thucydides. Infra c. 44. *Οἱ Ἀργεῖοι, ἀκούσαντες τῆς τε ἀγγελίας, καὶ ἐπειδὴ ἔγνωσαν οὐ μετ' Ἀθηναίων πραχθεῖσαν τὴν τῶν Βοιωτῶν ξυμμαχίαν —.* Eodem capite: *δείσαντες, μὴ τήν τε ξυμμαχίαν ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται (οἱ Ἀθηναῖοι), καὶ ἅμα Πύλον ἀπαιτήσοντες ἀντὶ Πανάκτου* (ubi ab initio fortaffe voluerat dicere: *καὶ Πύλον ἀντὶ Πανάκτου οὐκ ἀποδιδῶσι ἀπαιτοῦσιν αὐτοῖς*, vel: *καὶ αὐτοὶ Πύλον οὐ τύχωσι ἀντὶ Πανάκτου*). Non abfimilis eft locus c. 29. *νομίσαντες πλέον τέ τι* (nam ita pro *πλέον τι*, iubentibus libris, ibi legendum eft) *εἰδότας μεταστῆναι αὐτούς, καὶ τοὺς Λακεδαιμονίους ἅμα δι' ὀργῆς ἔχοντες.* Cf. c. 32. *ἐνθυμούμενοι τάς τε ἐν ταῖς μάχαις ξυμφοράς, καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος.* Ubi, nifi ab inchoata ftructura deflectere voluiffet, pergere poterat: *καὶ τὸν ἐν Δελφοῖς θεὸν χρήσαντα* vel *χρῆσαι.*

ἐκκαρπωσάμενοι, de omni

Ἀργεῖοι οὕτως ἐς τὴν ξυμμαχίαν προςεδέχοντο τοὺς ἐθέλοντας τῶν Ἑλλήνων.

29. Μαντινεῖς δ᾽ αὐτοῖς καὶ οἱ ξύμμαχοι αὐτῶν πρῶτοι προςεχώρησαν, δεδιότες τοὺς Λακεδαιμονίους. Τοῖς γὰρ Μαντινεῦσι μέρος τὶ τῆς Ἀρκαδίας κατέστραπτο ὑπήκοον, ἔτι τοῦ πρὸς Ἀθηναίους πολέμου ὄντος· καὶ ἐνόμιζον, οὐ περιόψεσθαι σφᾶς τοὺς Λακεδαιμονίους ἄρχειν, ἐπειδὴ καὶ σχολὴν ἦγον. Ὥςτε ἄσμενοι πρὸς τοὺς Ἀργείους ἐτράποντο, πόλιν τε μεγάλην νομίζοντες, καὶ Λακεδαιμονίοις ἀεὶ διάφορον, δημοκρατουμένην τε, ὥςπερ καὶ αὐτοί. Ἀποστάντων δὲ τῶν Μαντινέων, καὶ ἡ ἄλλη Πελοπόννησος ἐς θροῦν καθίστατο, ὡς καὶ σφίσι ποιητέον τοῦτο· νομίσαντες πλέον τέ τι εἰδότας μεταστῆναι αὐτοὺς, καὶ τοὺς Λακεδαιμονίους ἅμα δι᾽ ὀργῆς ἔχοντες, ἐν ἄλλοις τε, καὶ ὅτι ἐν ταῖς σπονδαῖς ταῖς Ἀττικαῖς ἐγέγραπτο, εὔορκον εἶναι, προςθεῖναι καὶ ἀφελεῖν, ὅ τι ἂν ἀμφοῖν τοῖν πόλεοιν δοκῇ, Λακεδαιμονίοις καὶ Ἀθηναίοις. Τοῦτο γὰρ τὸ γράμμα μάλιστα τὴν Πελοπόννησον διεθορύβει, καὶ ἐς ὑποψίαν καθίστη, μὴ μετὰ Ἀθηναίων σφᾶς βούλωνται Λακεδαιμόνιοι δουλώσασθαι. δίκαιον γὰρ εἶναι,

admittant. 29. Primi Mantinenſes ad Argivos ſe conferunt, ut contra Lacedaemonios eam Arcadiae partem, quam per belli Pelop. priores annos ſibi ſubiecerant, defendant. Deinde pleraeque Peloponneſiae civitates, illorum exemplum ſecutae, eosque plus ſapere putantes,

fructuum et totius rei publicae augmento intelligit Kiſtemakerus. Cf. Diod. Sic. 12, 75 extr.

29. *μέρος τὶ τῆς Ἀρκαδίας.* Fortaſſis haec eſt ἡ Παῤῥασική, quam deferere bello coacti ſunt a Lacedaemoniis non multo poſt. Vid. c. 33.

νομίσαντες πλέον τέ τι —. Vid. ad c. 28.

δίκαιον γὰρ εἶναι, ſubaudi ἐνόμιζον ex praecedente ὑποψίαν. Ita c. 36. Λόγους ποιοῦνται ἰδίους, παραινοῦντες ὅτι μάλιστα ταυτά τε γιγνώσκειν, καὶ πειρᾶσθαι Βοιωτοὺς — Ἀργείους Λακεδαιμονίοις ποιῆσαι ξυμμάχους: οὕτω γὰρ ἥκιστα ἀναγκασθῆναι Βοιωτοὺς ἐς τὰς Ἀττικὰς σπονδὰς ἐςελθεῖν. Cf. c. 63. Mox verba πρὸς τοὺς Ἀργείους ad ξυμμαχίαν ποιεῖσθαι potius, quam ad ὥρμηντο referuntur.

πᾶσι τοῖς ξυμμάχοις γεγράφθαι τὴν μετάθεσιν. Ὥςτε φοβούμενοι οἱ πολλοὶ ὥρμηντο πρὸς τοὺς Ἀργείους, καὶ αὐτοὶ ἕκαστοι ξυμμαχίαν ποιεῖσθαι.

30. Λακεδαιμόνιοι δέ, αἰσθόμενοι τὸν θροῦν τοῦτον ἐν τῇ Πελοποννήσῳ καθεστῶτα, καὶ τοὺς Κορινθίους διδασκάλους τε γενομένους, καὶ αὐτοὺς μέλλοντας σπείσασθαι πρὸς τὸ Ἄργος, πέμπουσι πρέσβεις ἐς τὴν Κόρινθον, βουλόμενοι προκαταλαβεῖν τὸ μέλλον. Καὶ ᾐτιῶντο τήν τε ἐςήγησιν τοῦ παντός, καὶ εἰ Ἀργείοις, σφῶν ἀποστάντες, ξύμμαχοι ἔσονται. Παραβήσεσθαί τε ἔφασαν αὐτοὺς τοὺς ὅρκους, καὶ ἤδη ἀδικεῖν, ὅτι οὐ δέχονται τὰς Ἀθηναίων σπονδάς· εἰρημένον, κύριον εἶναι, ὅ, τι ἂν τὸ πλῆθος τῶν ξυμμάχων ψηφίσηται, ἢν μή τι θεῶν ἢ ἡρώων κώλυμα ᾖ. Κορίνθιοι δέ, παρόντων σφίσι τῶν ξυμμάχων, ὅσοι οὐδ' αὐτοὶ ἐδέξαντο τὰς σπονδάς, (παρεκάλεσαν δὲ αὐτοὺς αὐτοὶ πρότερον,) ἀντέλεγον τοῖς Λακεδαιμονίοις, ἃ μὲν ἠδικοῦντο, οὐ δηλοῦντες ἄντικρυς, ὅτι οὔτε Σόλλιον σφίσιν ἀπέλαβον παρ' Ἀθηναίων, οὔτε Ἀνακτόριον, εἴ τέ τι ἄλλο ἐνόμιζον ἐλασσοῦσθαι· πρόσχημα δὲ ποιούμενοι, τοὺς ἐπὶ Θρᾴκης μὴ προδώσειν. ὀμόσαι γὰρ αὐτοῖς ὅρκους ἰδίᾳ τε, ὅτε μετὰ Ποτιδαιατῶν τὸ πρῶτον ἀφίσταντο, καὶ ἄλλους ὕστερον. Οὔκουν παραβαίνειν τοὺς τῶν ξυμμάχων ὅρκους ἔφασαν, οὐκ ἐσιόντες ἐς

multae vero etiam Lacedaemonios odio habentes, ad Argivos transiere. 30. Legatis Lacedaemoniorum Corin-

30. *αἰσθόμενοι τὸν θροῦν τοῦτον ἐν τῇ Π.* Haec codicum scriptura est pro vulgato *θροῦν τὸν ἐν τῇ Πελ.*
ὅσοι οὐδ' αὐτοὶ ἐδέξαντο τὰς σπονδάς, int. *Ἀθηναίων.* — *Σόλλιον* dedimus pro *Σόλειον*, propter ea, quae monita sunt ad 2, 30.
ὅτε μετὰ Ποτιδαιατῶν τὸ πρῶτον ἀφίσταντο. Vid. 1, 58.
οὔκουν παραβαίνειν — ἔφασαν. Bauerus errat, cum dicit, hunc infinitivum aut pro praeterito positum esse, aut pro futuro. Quidni praesentis vim retineat? „Negabant se violare societatis officia et iusiurandum, si foedera cum Atheniensibus inire nollent.“ — *προδιδόντες αὐτούς*, τοὺς Ποτιδαιάτας. — *ἐκείνοις*, i. e. *Ἀθηναίοις.*

τὰς Ἀθηναίων σπονδάς. Θεῶν γὰρ πίστεις ὀμόσαντες, ἐκείνοις οὐκ ἂν εὐορκεῖν προδιδόντες αὐτούς. Εἰρῆσθαι δ' ὅτι, ἢν μὴ θεῶν ἢ ἡρώων κώλυμα ᾖ· φαίνεσθαι οὖν σφίσι κώλυμα θεῖον τοῦτο. Καὶ περὶ μὲν τῶν παλαιῶν ὅρκων τοσαῦτα εἶπον. περὶ δὲ τῆς Ἀργείας ξυμμαχίας, μετὰ τῶν φίλων βουλευσάμενοι, ποιήσειν, ὅ, τι ἂν δίκαιον ᾖ. Καὶ οἱ μὲν Λακεδαιμονίων πρέσβεις ἀνεχώρησαν ἐπ' οἴκου. Ἔτυχον δὲ παρόντες ἐν Κορίνθῳ καὶ Ἀργείων πρέσβεις, οἳ ἐκέλευον τοὺς Κορινθίους ἰέναι ἐς τὴν ξυμμαχίαν, καὶ μὴ μέλλειν. Οἱ δὲ ἐς τὸν ὕστερον ξύλλογον αὐτοῖς τὸν παρὰ σφίσι προεῖπον ἥκειν.

31. Ἦλθε δὲ καὶ Ἠλείων πρεσβεία εὐθὺς, καὶ ἐποιήσαντο πρὸς Κορινθίους ξυμμαχίαν πρῶτον· ἔπειτα ἐκεῖθεν ἐς Ἄργος ἐλθόντες, καθάπερ προείρητο, Ἀργείων ξύμμαχοι ἐγένοντο. Διαφερόμενοι γὰρ ἐτύγχανον τοῖς Λακεδαιμονίοις περὶ Λεπρέου. Πολέμου γὰρ γενομένου ποτὲ πρὸς Ἀρκάδων τινὰς Λεπρεάταις, καὶ Ἠλείων παρακληθέντων ὑπὸ Λεπρεατῶν ἐς ξυμμαχίαν ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς, καὶ λυσάντων τὸν πόλεμον,

thii ita respondent, ut suam agendi rationem defendant. 31. Statim et Elei cum Corinthiis et mox cum Argivis societatem ineunt, et ipsi Corinthii cum Argivis; item

εἰρῆσθαι δ' ὅτι. Ex superioribus subaudiendum est: *κύριον ἔσται, ὅ, τι ἂν τὸ πλῆθος τῶν ξυμμάχων ψηφίσηται.*

περὶ δὲ τῆς Ἀργείας ξυμμαχίας. Vulgo *Ἀργείων.* Sed cum *Ἀργείας* praebeant optimi libri Cl. Reg. Caff. a manu prima, Aug. Mosq., non dubitavi hoc praeferre. Certe non verisimile est, *Ἀργείων* a librariis vel correctoribus tentari, quae usitatior dicendi ratio est. Sed ne alteram quidem alibi ignorat Thucydides, qui c. 29. dicit: *ὅτι ἐν ταῖς σπονδαῖς ταῖς Ἀττικαῖς ἐγέγραπτο.* Cf. c. 36. *ἐς τὰς Ἀττικὰς σπονδὰς ἐσελθεῖν.*

31. *καθάπερ προείρητο,* quemadmodum iis mandatum erat a suis.

λυσάντων τὸν πόλεμον. Codd. Marg. Cam. *καταλυσάντων,* quae verae lectionis interpretatio est. *αὐτοῖς* h. l. est *solis.* vid. ad c. 60. — Ante *Διὸ* inseruimus cum Benedicto articulum *τῷ,* praeeuntibus multis codicibus. Lectionem *τάλαντον* idem recte defendit. — *Lepreum* est urbs Triphyliae, quae regio erat Elidis. Cf. c. 34. ubi inter Elidem

Ἠλεῖοι τὴν γῆν νεμομένοις αὐτοῖς τοῖς Λεπρεάταις τάλαντον ἔταξαν τῷ Διῒ τῷ Ὀλυμπίῳ ἀποφέρειν. Καὶ μέχρι τοῦ Ἀττικοῦ πολέμου ἀπέφερον· ἔπειτα, παυσαμένων, διὰ πρόφασιν τοῦ πολέμου, οἱ Ἠλεῖοι ἐπηνάγκαζον· οἱ δ᾽ ἐτράποντο πρὸς τοὺς Λακεδαιμονίους. Καὶ δίκης Λακεδαιμονίοις ἐπιτραπείσης, ὑποτοπήσαντες οἱ Ἠλεῖοι μὴ ἴσον ἕξειν, ἀνέντες τὴν ἐπιτροπὴν, Λεπρεατῶν τὴν γῆν ἔτεμον. Οἱ δὲ Λακεδαιμόνιοι οὐδὲν ἧσσον ἐδίκασαν, αὐτονόμους εἶναι Λεπρεάτας, καὶ ἀδικεῖν Ἠλείους· καὶ, ὡς οὐκ ἐμμεινάντων τῇ ἐπιτροπῇ, φρουρὰν ὁπλιτῶν ἐσέπεμψαν ἐς Λέπρεον. Οἱ δὲ Ἠλεῖοι, νομίζοντες, πόλιν σφῶν ἀφεστηκυῖαν δέξασθαι τοὺς Λακεδαιμονίους, καὶ τὴν ξυνθήκην προφέροντες, ἐν ᾗ εἴρητο, ἃ ἔχοντες ἐς τὸν Ἀττικὸν πόλεμον καθίσταντό τινες, ταῦτα ἔχοντας καὶ ἐξελθεῖν, ὡς οὐκ ἴσον ἔχοντες, ἀφίστανται πρὸς τοὺς Ἀργείους. Καὶ τὴν ξυμμαχίαν, ὥσπερ προείρητο, καὶ οὗτοι ἐποιήσαντο. Ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι εὐθὺς μετ᾽ ἐκείνους, καὶ οἱ ἐπὶ Θρᾴκης Χαλκιδεῖς, Ἀργείων ξύμμαχοι. Βοιωτοὶ δὲ καὶ Μεγαρεῖς, τὸ αὐτὸ λέγοντες, ἡσύχαζον, περιορώμενοι ὑπὸ τῶν Λακεδαιμονίων, καὶ νομίζοντες, σφίσι τὴν Ἀργείων δημοκρατίαν, αὐτοῖς ὀλιγαρχουμένοις, ἧσσον ξύμφορον εἶναι τῆς Λακεδαιμονίων πολιτείας.

52. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τοῦ-

Chalcidenſes in Thracia. Boeoti tamen et Megarenſes quieſcunt. 52. Scione ab Athenienſibus recepta Pla-

et Laconicam i. e. Meſſeniam ſita traditur.

ὥσπερ προείρητο, v. ſupra ab initio capitis. In verbis ſequentibus καί et ante οὗτοι, et ante οἱ Κορίνθιοι vulgo uncis incluſum eſt. Sed utroque loco neque codices probati, neque ſententia illam particulam reſpuunt.

τὸ αὐτὸ λέγοντες. Schol. τὴν αὐτὴν γνώμην ἔχοντες. Ninnirum odio habebant et hi Lacedaemonios, quod, ipſis invitis, foedus cum Athenienſibus feciſſent. Cf. c. 17. Huc etiam pertinent verba: περιορώμενοι ὑπὸ τῶν Λακεδαιμονίων, ubi exſpectes: περιορώμενοι μὲν ὑπὸ τῶν Λακ., νομίζοντες δέ. — Ita enim melius haec verba iungerentur. Comma poſt αὐτοῖς migrare iuſſi ante hoc vocabulum, cum Benedicto.

του, Σκιωναίους μὲν Ἀθηναῖοι ἐκπολιορκήσαντες, ἀπέκτειναν τοὺς ἡβῶντας, παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν· καὶ τὴν γῆν Πλαταιεῦσιν ἔδοσαν νέμεσθαι. Δηλίους δὲ κατήγαγον πάλιν ἐς Δῆλον, ἐνθυμούμενοι τάς τε ἐν ταῖς μάχαις ξυμφορὰς, καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος. Καὶ Φωκεῖς καὶ Λοκροὶ ἤρξαντο πολεμεῖν. Καὶ Κορίνθιοι καὶ Ἀργεῖοι, ἤδη ξύμμαχοι ὄντες, ἔρχονται ἐς Τέγεαν, ἀποστήσοντες Λακεδαιμονίων, ὁρῶντες μέγα μέρος ὂν, καὶ, εἰ σφίσι προςγένοιτο, νομίζοντες ἅπασαν ἂν ἔχειν Πελοπόννησον. Ὡς δὲ οὐδὲν ἂν ἔφασαν ἐναντιωθῆναι οἱ Τεγεᾶται Λακεδαιμονίοις, οἱ Κορίνθιοι, μέχρι τούτου προθύμως πράσσοντες, ἀνεῖσαν τῆς φιλονεικίας, καὶ ὠῤῥώδησαν, μὴ οὐδεὶς σφίσιν ἔτι τῶν ἄλλων προςχωρῇ· ὅμως δὲ ἐλθόντες ἐς τοὺς Βοιωτοὺς, ἐδέοντο, σφῶν τε καὶ Ἀργείων γίγνεσθαι ξυμμάχους, καὶ τἄλλα κοινῇ πράσσειν· τάς τε δεχημέρους ἐπισπονδὰς, αἳ ἦσαν Ἀθηναίοις καὶ Βοιωτοῖς πρὸς ἀλλήλους οὐ πολλῷ ὕστερον γενόμεναι τούτων τῶν πεντηκονταετίδων σπονδῶν, ἐκέλευον οἱ Κορίνθιοι τοὺς Βοιωτοὺς ἀκολουθήσαντας Ἀθήναζε, καὶ σφίσι ποιῆσαι, ὥςπερ Βοιωτοὶ εἶχον· μὴ δεχομένων δὲ Ἀθηναίων, ἀπειπεῖν τὴν ἐκεχειρίαν, καὶ τὸ λοιπὸν μὴ σπένδεσθαι ἄνευ αὐτῶν. Βοιωτοὶ δὲ, δεομένων τῶν Κορινθίων, περὶ μὲν τῆς Ἀργείων ξυμμαχίας ἐπισχεῖν αὐτοὺς ἐκέλευον· ἐλθόντες δὲ Ἀθήναζε μετὰ Κορινθίων, οὐχ εὕροντο τὰς δεχημέρους σπονδάς· ἀλλ' ἀπε-

taeenſibus habitanda traditur. Delii in patriam reſtituuntur ab Athenienſibus, calamitates ſuas ab irato deo immiſſas ratis. Bellum inter Phocenſes et Locros coortum. Corinthii et Argivi fruſtra Tegeatas ad bellum cum Lace-

32. ἐνθυμούμενοι — χρήσαντος. Vid. ad c. 28.
τούτων τῶν πεντηκονταετίδων σπονδῶν. Intellige eas σπονδάς, quas ſupra cap. 29. appellat Ἀττικάς. Sed τούτων eſt pro ἐκεινῶν. Non enim quamvis ſuperfluum ſit, ab interprete adiectum eſſe, putem. — ὥςπερ Βοιωτοὶ εἶχον, quemadmodum ipſi eas inducias habebant.

κρίναντο οἱ Ἀθηναῖοι, Κορινθίοις εἶναι σπονδὰς, εἴπερ Λακεδαιμονίων εἰσὶ ξύμμαχοι. Βοιωτοὶ μὲν οὖν οὐδὲν μᾶλλον ἀπεῖπον τὰς δεχημέρους, ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων ξυνθέσθαι σφίσι. Κορινθίοις δὲ ἀνακωχὴ ἄσπονδος ἦν πρὸς Ἀθηναίους.

33. *Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ θέρους πανδημεὶ ἐστράτευσαν, Πλειστοάνακτος τοῦ Παυσανίου Λακεδαιμονίων βασιλέως ἡγουμένου, τῆς Ἀρκαδίας ἐς Παῤῥασίους, Μαντινέων ὑπηκόους ὄντας, κατὰ στάσιν ἐπικαλεσαμένων σφᾶς, ἅμα δὲ καὶ τὸ ἐν Κυψέλοις τεῖχος ἀναιρήσοντες, ἢν δύνωνται, ὃ ἐτείχισαν Μαντινεῖς, καὶ αὐτοὶ ἐφρούρουν, ἐν τῇ Παῤῥασικῇ κείμενον, ἐπὶ τῇ Σκιρίτιδι τῆς Λακωνικῆς. Καὶ οἱ μὲν Λακεδαιμόνιοι τὴν γῆν τῶν Παῤῥασίων ἐδῄουν· οἱ δὲ Μαντινεῖς, τὴν πόλιν Ἀργείοις φύλαξι παραδόντες, αὐτοὶ τὴν ξυμμαχίαν ἐφρούρουν· ἀδύνατοι δ' ὄντες διασῶσαι τό, τε ἐν Κυψέλοις τεῖχος καὶ τὰς ἐν Παῤῥασίοις πόλεις, ἀπῆλθον. Λακεδαιμόνιοι δὲ, τούς τε Παῤῥασίους αὐτονόμους ποιήσαντες, καὶ τὸ τεῖχος καθελόντες, ἀνεχώρησαν ἐπ' οἴκου.*

34. *Καὶ τοῦ αὐτοῦ θέρους, ἤδη ἡκόντων αὐτοῖς τῶν ἀπὸ Θρᾴκης μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν, οὓς ὁ Κλεαρίδας μετὰ τὰς σπονδὰς ἐκόμισεν, οἱ*

daemoniis compellunt; nec propenſiores ad ſuam ſocietatem Boeotos offendunt. 33. Lacedaemoniorum expeditio in Parrhaſios, Arcadiae civitatem, Mantinenſibus ſubditam, quos ab horum dominatione liberant. 34. Tum Helotes illos, qui cum Braſida pugnaverant, in libertatem asſeruerunt, captos autem nobiles illos, ne quid no-

οὐδὲν μᾶλλον ἀπεῖπον, i. e. inducias ſervarunt. Mox iunge *ἀξιούντων Κορινθίων καὶ αἰτιωμένων ξυνθέσθαι σφίσι*, quamvis Corinthii poſtularent et obiicerent, quod ita pacti non efficerent promiſſa.

33. *τὸ ἐν Κυψέλοις τεῖχος.* Erat urbis antiquae nomen *τὰ Κύψελα*, quae ad Alpheum ſita erat in confiniis Laconicae ſeptemtrionalis, ubi Sciritarum ſedes. Vid. infra ad c. 67.

αὐτοὶ τὴν ξυμμαχίαν ἐφρούρουν, i. e. *τὴν Παῤῥασικήν*. Paullo ante *ὑπηκόους* dixerat Parrhaſios. Cf. c. 29.

Λακεδαιμόνιοι ἐψηφίσαντο, τοὺς μὲν μετὰ Βρασίδου Εἵλωτας μαχεσαμένους ἐλευθέρους εἶναι, καὶ οἰκεῖν, ὅπου ἂν βούλωνται· καὶ ὕστερον οὐ πολλῷ αὐτοὺς μετὰ τῶν Νεοδαμωδῶν ἐς Λέπρεον κατέστησαν, κείμενον ἐπὶ τῆς Λακωνικῆς καὶ τῆς Ἠλείας, ὄντες ἤδη διάφοροι Ἠλείοις· τοὺς δ' ἐκ τῆς νήσου ληφθέντας σφῶν, καὶ τὰ ὅπλα παραδόντας, δείσαντες, μή τι, διὰ τὴν ξυμφορὰν νομίσαντες ἐλασσωθήσεσθαι, καὶ ὄντες ἐπίτιμοι, νεωτερίσωσιν, ἤδη καὶ ἀρχάς τινας ἔχοντας, ἀτίμους ἐποίησαν· ἀτιμίαν δὲ τοιάνδε, ὥςτε μήτε ἄρχειν, μήτε πριαμένους τὶ, ἢ πωλοῦντας, κυρίους εἶναι. ὕστερον δὲ αὖθις χρόνῳ ἐπίτιμοι ἐγένοντο.

35. Τοῦ δ' αὐτοῦ θέρους καὶ Θύσσον τὴν ἐν τῇ Ἄθῳ Δικτιδιῆς εἷλον, Ἀθηναίων οὖσαν ξύμμαχον. Καὶ τὸ θέρος τοῦτο πᾶν ἐπιμιξίαι μὲν ἦσαν τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις· ὑπώπτευον δὲ ἀλλήλους εὐθὺς μετὰ τὰς σπονδὰς οἵ τε Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι, κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. Τὴν γὰρ Ἀμφίπολιν, πρότεροι λαχόντες οἱ Λακεδαιμόνιοι ἀποδιδόναι, καὶ τὰ ἄλλα, οὐκ ἀπο-

varum rerum molirentur, capite deminuerunt ita, ut neque magiſtratus gerere, neque emere ac vendere illis liceret. 35. Variae inter Athenienſes et Lacedaemonios contro-

34. Νεοδαμωδῶν. Vulgo vitioſe Νεοδαμώδων, cum ſit a Νεοδαμώδης. Cf. Bauer. Illud codd. h. l. tuentur. De Νεοδαμώδεσι vid. ad Thucyd. 7, 58.

ὕστερον — χρόνῳ. Ita 5, 5. 6, 3. cf. 3, 85. Atque ita legendum eſſe vidimus in ſimilibus ad ſententiam locis 1, 8. 4, 81.

35. καὶ Θύσσον τὴν ἐν τῇ Ἄθῳ Δικτιδιῆς εἷλον. Urbem Thyſſum et ſupra memorat 4, 109. Ibidem mons Athos maſculino genere dicitur ὁ Ἄθως, quod, ne inconſtantiae arguatur Thucydides, etiam h. l. ſervandum, et cum codd. Ar. C. Dan. Moſq. legendum cenſet Benedictus ἐν τῷ Ἄθῳ. Equidem libenter ſequerer, niſi his ipſis codicibus, quorum tenuior fides eſt, lectio alioqui bona quodammodo de correctione ſuſpecta fieret. Cum enim a probatorum librorum fide, niſi ſumma neceſſitate cogente, non ſit diſcedendum, inter ὁ et ἡ Ἄθως diſcrimen eſſe ſtatuam, ut illud denotet *montem*, hoc autem *cherſonneſum* illam, in qua ſitus mons.

καὶ οἱ Λακεδαιμόνιοι. Articulum οἱ e codd. optimis recepimus. Cf. Bened.

δεδώκεσαν· οὐδὲ τοὺς ἐπὶ Θρᾴκης παρεῖχον ξυμμάχους τὰς σπονδὰς δεχομένους, οὐδὲ Βοιωτοὺς, οὐδὲ Κορινθίους, λέγοντες ἀεὶ, ὡς μετ' Ἀθηναίων τούτους, ἢν μὴ θέλωσι, κοινῇ ἀναγκάσουσι. Χρόνους τε προὔθεντο ἄνευ ξυγγραφῆς, ἐν οἷς χρῆν τοὺς μὴ ἐσιόντας ἀμφοτέροις πολεμίους εἶναι. Τούτων οὖν ὁρῶντες οἱ Ἀθηναῖοι οὐδὲν ἔργῳ γιγνόμενον, ὑπώπτευον τοὺς Λακεδαιμονίους μηδὲν δίκαιον διανοεῖσθαι. ὥστε οὔτε Πύλον, ἀπαιτούντων αὐτῶν, ἀπεδίδοσαν, ἀλλὰ καὶ τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδωκότες· τά τε ἄλλα χωρία εἶχον, μένοντες, ἕως σφίσι κἀκεῖνοι ποιήσειαν τὰ εἰρημένα. Λακεδαιμόνιοι δὲ τὰ μὲν δυνατὰ ἔφασαν πεποιηκέναι· τοὺς γὰρ παρὰ σφίσι δεσμώτας ὄντας Ἀθηναίων ἀποδοῦναι, καὶ τοὺς ἐπὶ Θρᾴκης στρατιώτας ἀπαγαγεῖν, καὶ εἴ του ἄλλου ἐγκρατεῖς ἦσαν· Ἀμφιπόλεως δὲ οὐκ ἔφασαν κρατεῖν, ὥστε παραδοῦναι· Βοιωτοὺς δὲ πειράσεσθαι καὶ Κορινθίους ἐς τὰς σπονδὰς ἐσαγαγεῖν, καὶ Πάνακτον ἀπολαβεῖν, καὶ Ἀθηναίων ὅσοι ἦσαν ἐν Βοιωτοῖς αἰχμάλωτοι, κομιεῖν· Πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μὴ, Μεσσηνίους τε καὶ τοὺς Εἵλωτας ἐξαγαγεῖν, ὥσπερ καὶ αὐτοὶ τοὺς ἀπὸ Θρᾴκης· Ἀθηναίους δὲ φρουρεῖν τὸ χωρίον αὐτοὺς, εἰ βούλονται. Πολλάκις δὲ καὶ πολλῶν λόγων γενομένων ἐν τῷ θέρει τούτῳ, ἔπεισαν τοὺς Ἀθηναίους, ὥστε ἐξαγαγεῖν ἐκ Πύλου Μεσσηνίους, καὶ

versiae, quarum causa sibi invicem non habebant fidem.

λέγοντες ἀεὶ, ὡς — ἀναγκάσουσι. Correxi vulgatum *ἀναγκάσωσι*, quod hic locum non habet. Nam *ὡς*, nisi consilium seu finem significat, sed est loco *τοῦ ὅτι*, numquam cum coniunctivo iungitur. Lectioni depravandae ansam dedit verbum proximum *θέλωσι*. Nostram lectionem habet cod. Gr.

ὑπώπτευον τοὺς Λακεδαιμονίους. Marg. Cass. Reg. Aug. exhibent *ὑπετόπευον*, quo ducit etiam Vindob. scriptura *ὑπεπτώπευον*, Ar. C. *ὑπεπώπτευον*. C. 31. *καὶ δίκης Λακεδαιμονίοις ἐπιτραπείσης, ὑποτοπήσαντες οἱ Ἠλεῖοι μὴ ἴσον ἕξειν, ἀνέντες τὴν ἐπιτροπὴν, Λεπρεατῶν τὴν γῆν ἔτεμον.* — *τὰ εἰρημένα,* ea de quibus inter eos convenerat.

τοὺς ἄλλους Εἵλωτάς τε, καὶ ὅσοι ηὐτομολήκεσαν ἐκ τῆς Λακωνικῆς· καὶ κατῴκισαν αὐτοὺς ἐν Κρανίοις τῆς Κεφαλληνίας. Τὸ μὲν οὖν θέρος τοῦτο ἡσυχία ἦν καὶ ἔφοδοι παρ' ἀλλήλους.

36. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος (ἔτυχον γὰρ Ἔφοροι ἕτεροι, καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο, ἄρχοντες ἤδη, καί τινες αὐτῶν καὶ ἐναντίοι ταῖς σπονδαῖς·) ἐλθουσῶν πρεσβειῶν ἀπὸ τῆς ξυμμαχίδος, καὶ παρόντων Ἀθηναίων καὶ Βοιωτῶν καὶ Κορινθίων, καὶ πολλὰ ἐν ἀλλήλοις εἰπόντων, καὶ οὐδὲν ξυμβάντων, ὡς ἀπῄεσαν ἐπ' οἴκου, τοῖς Βοιωτοῖς καὶ Κορινθίοις Κλεόβουλος καὶ Ξενάρης, οὗτοι, οἵπερ τῶν Ἐφόρων ἐβούλοντο μάλιστα διαλῦσαι τὰς σπονδὰς, λόγους ποιοῦνται ἰδίους, παραινοῦντες ὅτι μάλιστα ταυτά τε γιγνώσκειν, καὶ πειρᾶσθαι Βοιωτοὺς, Ἀργείων γενομένους πρῶτον αὐτοὺς ξυμμάχους, αὖθις μετὰ Βοιωτῶν Ἀργείους Λακεδαιμονίοις ποιῆσαι ξυμμάχους· οὕτω γὰρ ἥκιστα ἀναγκασθῆναι Βοιωτοὺς ἐς τὰς Ἀττικὰς σπονδὰς ἐσελθεῖν: ἑλέσθαι γὰρ Λακεδαιμονίους, πρὸ τῆς Ἀθηναίων ἔχθρας, καὶ διαλύσεως τῶν σπονδῶν, Ἀργείους σφίσι φίλους καὶ ξυμμάχους γενέσθαι. Τὸ γὰρ Ἄργος ἀεὶ ἠπίσταντο ἐπιθυμοῦντας

56. Tandem ex Ephoris recentibus duo, foederi inito adverſarii, clam tentant Boeotorum legatos, ut cum Boeo-

36. *καὶ ἐναντίοι ταῖς σπονδαῖς.* Articulum *ταῖς*, quem exhibent codd. Ar. C. Dan. Cl. Reg. et duo Pariſſ., ſicuti iam Kiſtemakerus ſuaſerat, recepi. Non enim minus h. l. neceſſarius eſt, quam paullo ante in verbis: *ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο.*

ταυτά τε γιγνώσκειν. Ita recte coniecit legendum eſſe Heilmannus pro vulgato *ταῦτά τε γιγν.* Concordiam commendant Ephori illi.

ἑλέσθαι γὰρ Λακεδαιμονίους — γενέσθαι. Male hunc locum cepit Bredovius cum aliis, cum iungeret *ἑλέσθαι* cum *πρὸ τῆς Ἀθην. ἔχθρας*, hoc ſenſu: Athenienſium inimicitiae Argivorum amicitiam praeferre. Quae quidem ſententia, ut verum dicam, inepta eſt. Quis enim ſanus non praefert pacem controverſiis et bello? Quamquam Bredovius hunc inde ſenſum expedire ſibi videbatur: Si Argivos amicos et ſocios ſibi conciliarent, non recuſare Lacedaemonios, vel

τοὺς Λακεδαιμονίους καλῶς σφίσι φίλιον γενέσθαι, ἡγούμενοι τὸν ἔξω Πελοποννήσου πόλεμον ῥᾴω ἂν εἶναι. Τὸ μέντοι Πάνακτον, ἐδέοντο Βοιωτοὺς, ὅπως παραδώσουσι Λακεδαιμονίοις· ἵνα, ἀντ' αὐτοῦ Πύλον, ἢν δύνωνται, ἀπολαβόντες, ῥᾶον καθιστῶνται Ἀθηναίοις ἐς πόλεμον.

37. Καὶ οἱ μὲν Βοιωτοὶ καὶ Κορίνθιοι, ταῦτα ἐπεσταλμένοι ἀπό τε τοῦ Ξενάρους καὶ Κλεοβούλου, καὶ ὅσοι φίλοι ἦσαν αὐτοῖς τῶν Λακεδαιμονίων, ὥστε ἀπαγγεῖλαι ἐπὶ τὰ κοινὰ, ἑκάτεροι ἀνεχώρουν. Ἀργείων δὲ δύο ἄνδρες τῆς ἀρχῆς τῆς μεγίστης ἐπετήρουν ἀπιόντας αὐτοὺς καθ' ὁδόν· καὶ ξυγγενόμενοι ἐς λόγους ἦλθον, εἴ πως οἱ Βοιωτοὶ σφίσι ξύμμαχοι γένοιντο, ὥσπερ Κορίνθιοι καὶ Ἠλεῖοι καὶ Μαντινεῖς. Νομίζειν γὰρ ἂν, τούτου προχωρήσαντος, ῥᾳδίως ἤδη καὶ πολεμεῖν καὶ σπένδεσθαι, καὶ πρὸς Λακεδαιμονίους, εἰ

tis Argivos concilient Spartanis. 37. Deinde iam inter Boeotarchos et Argivos, his hortantibus, illis et ipſis

in odium Athenienſium incurrere. Quomodo tamen hanc ſententiam ſine difficultate ex verbis iſtis extricet, equidem non perſpicio. Ephori dicebant, vel potius *fingebant*, Lacedaemonios praetuliſſe ſive optare, priusquam Athenienſium inimicitia denuo erumpat et foedus dirumpatur, (quod impendere videbant; ubi contra foederis leges cum aliis ſocietatem inirent. cf. c. 39 med. 46 med.) ut cum Argivis foedere et ſocietate iungantur. Hanc ſententiam etiam ſequentia comprobant, ubi ἠπίσταντο ad Ephoros pertinet. Nempe propterea quod ſciebant Ephori, Lacedaemonios ſummopere ſocietatem cum Argivis ineundam concupiſcere, fingere illud impune poterant. — καλῶς, opportune. ἡγούμενοι non apte referri poteſt ad Cleobulum et Xenarem, propterea quod cauſam declarat potius, cur Lacedaemonii Argivorum ſocietatem cupierint, quam cur Ephori illi ita putarint. Quare transitum ab oratione obliqua ad rectam eſſe puto, ut Scriptor ἡγούμενοι poſt ἐπιθυμοῦντας ſcripſerit, quod ante ſcripſiſſe ſibi videretur, ἐπεθύμησαν οἱ Λακεδαιμόνιοι. Poterat eo facilius, quatenus haec etiam ipſorum Ephororum ſententia erat.

37. Καὶ οἱ μὲν Βοιωτοὶ καὶ Κορίνθιοι. Articulum οἱ ante Κορίνθιοι delevit Benedictus, novem codicum auctoritate. Secutus ſum, quia ita ſolet Thucydides, ut ſtatim exemplo ſunt verba ἀπό τε τοῦ Ξενάρους καὶ Κλεοβούλου. Cf. ad 1, 71.

βούλοιντο, κοινῷ λόγῳ χρωμένους, καὶ εἴ τινα πρὸς ἄλλον δέοι. Τοῖς δὲ τῶν Βοιωτῶν πρέσβεσιν ἀκούουσιν ἤρεσκε. Κατὰ τύχην γὰρ ἐδέοντο τούτων, ὧνπερ καὶ οἱ ἐκ τῆς Λακεδαίμονος αὐτοῖς φίλοι ἐπεστάλκεσαν. Καὶ οἱ τῶν Ἀργείων ἄνδρες, ὡς ᾔσθοντο αὐτοὺς δεχομένους τὸν λόγον, εἰπόντες, ὅτι πρέσβεις πέμψουσιν ἐς Βοιωτοὺς, ἀπῆλθον. Ἀφικόμενοι δὲ οἱ Βοιωτοὶ ἀπήγγειλαν τοῖς Βοιωτάρχαις τά τε ἐκ τῆς Λακεδαίμονος, καὶ τὰ ἀπὸ τῶν ξυγγενομένων Ἀργείων. Καὶ οἱ Βοιωτάρχαι ἠρέσκοντό τε, καὶ πολλῷ προθυμότεροι ἦσαν, ὅτι ἀμφοτέρωθεν ξυνεβεβήκει αὐτοῖς, τούς τε φίλους τῶν Λακεδαιμονίων τῶν αὐτῶν δεῖσθαι, καὶ τοὺς Ἀργείους ἐς τὰ ὅμοια σπεύδειν. Καὶ οὐ πολλῷ ὕστερον πρέσβεις παρῆσαν Ἀργείων, τὰ εἰρημένα προκαλούμενοι. Καὶ αὐτοὺς ἀπέπεμψαν ἐπαινέσαντες τοὺς λόγους οἱ Βοιωτάρχαι, καὶ πρέσβεις ὑποσχόμενοι ἀποστελεῖν περὶ τῆς ξυμμαχίας ἐς Ἄργος.

38. Ἐν δὲ τούτῳ ἐδόκει πρῶτον τοῖς Βοιωτάρχαις, καὶ Κορινθίοις, καὶ Μεγαρεῦσι, καὶ τοῖς ἀπὸ Θρᾴκης πρέσβεσιν, ὀμόσαι ὅρκους ἀλλήλοις, ἦ μὴν ἔν τε τῷ παρατυχόντι ἀμύνειν τῷ δεομένῳ, καὶ μὴ πολεμήσειν τῳ, μηδὲ ξυμβήσεσθαι ἄνευ κοινῆς γνώμης· καὶ οὕτως ἤδη τοὺς Βοιωτοὺς καὶ Μεγαρέας (τὸ γὰρ αὐτὸ ἐποίουν,) πρὸς τοὺς Ἀργείους σπένδεσθαι. Πρὶν δὲ τοὺς ὅρκους γενέσθαι, οἱ Βοιωτάρχαι ἐκοίνωσαν ταῖς τέσσαρσι βουλαῖς τῶν Βοιωτῶν ταῦτα, αἵπερ ἅπαν τὸ κῦρος ἔχουσι,

cupientibus, convenerat. 38. Cum autem Boeotarchi consilium cum Argivis pacifcendi ad quatuor Boeotorum concilia retulissent, hi metu Lacedaemoniorum refragantur,

κοινῷ λόγῳ χρωμένους, nempe socios illos, Argivos et Boeotos cum reliquis. Ad eosdem pertinent verba εἰ βούλοιντο. Paullo ante ad infinitivos πολεμεῖν καὶ σπένδεσθαι subaudiendum est αὐτούς.

τοὺς φίλους τῶν Λακεδαιμονίων, i. e. τοὺς ἑαυτῶν φίλους ἐν τοῖς Λακεδαιμονίοις, vel, ut Schol., τοὺς ἐκ Λακεδαίμονος αὐτοῖς φίλους.

τὰ εἰρημένα προκαλούμενοι, hortantes ad ea perficienda, de quibus egerant. Cf. c. 35.

καὶ παρῄνουν γενέσθαι ὅρκους ταῖς πόλεσιν, ὅσαι βούλονται ἐπ' ὠφελείᾳ σφίσι ξυνομνύναι. Οἱ δ' ἐν ταῖς βουλαῖς τῶν Βοιωτῶν ὄντες οὐ προσδέχονται τὸν λόγον, δεδιότες, μὴ ἐναντία Λακεδαιμονίοις ποιήσωσι, τοῖς ἐκείνων ἀφεστῶσι Κορινθίοις ξυνομνύντες. Οὐ γὰρ εἶπον αὐτοῖς οἱ Βοιωτάρχαι τὰ ἐκ τῆς Λακεδαίμονος, ὅτι τῶν τε Ἐφόρων Κλεόβουλος καὶ Ξενάρης καὶ οἱ φίλοι παραινοῦσιν, Ἀργείων πρῶτον καὶ Κορινθίων γενομένους ξυμμάχους, ὕστερον μετὰ τῶν Λακεδαιμονίων γίγνεσθαι· οἰόμενοι, τὴν βουλὴν, κἂν μὴ εἴπωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι, ἢ ἃ σφίσι προδιαγνόντες παραινοῦσιν. Ὡς δὲ ἀντέστη τὸ πρᾶγμα, οἱ μὲν Κορίνθιοι καὶ οἱ ἀπὸ Θρᾴκης πρέσβεις ἄπρακτοι ἀπῆλθον· οἱ δὲ Βοιωτάρχαι, μέλλοντες πρότερον, εἰ ταῦτα ἔπεισαν, καὶ τὴν ξυμμαχίαν πειράσεσθαι πρὸς Ἀργείους ποιεῖν, οὐκέτι ἐσήνεγκαν περὶ Ἀργείων ἐς τὰς βουλὰς, οὐδὲ ἐς τὸ Ἄργος τοὺς πρέσβεις, οὓς ὑπέσχοντο, ἔπεμπον· ἀμέλεια δέ τις ἐνῆν καὶ διατριβὴ τῶν πάντων.

39. Καὶ ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ Μηκύβερναν Ὀλύνθιοι, Ἀθηναίων φρουρούντων, ἐπιδραμόντες εἷλον. Μετὰ δὲ ταῦτα (ἐγίγνοντο γὰρ ἀεὶ λόγοι τοῖς τε Ἀθηναίοις καὶ Λακεδαιμονίοις περὶ ὧν εἶχον ἀλλήλων) ἐλπίζοντες οἱ Λακεδαιμόνιοι, εἰ Πάνακτον Ἀθηναῖοι παρὰ Βοιωτῶν ἀπολάβοιεν, κομίσασθαι ἂν αὐτοὶ Πύλον, ἦλθον ἐς τοὺς Βοιωτοὺς πρεσβευόμενοι, καὶ ἐδέοντο σφίσι Πάνακτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι, ἵνα ἀντ' αὐτῶν Πύλον κομίσωνται. Οἱ δὲ Βοιωτοὶ οὐκ ἔφασαν ἀποδώσειν, ἢν μὴ σφίσι ξυμ-

ſcilicet ignorantes, quae illi duo Ephori cum ipſorum legatis communicaverant. Ita res tota irrita facta. 39. Boeoti, inita cum Lacedaemoniis ſocietate, Panactum his traden-

38. *ἐπ' ὠφελείᾳ.* Recte Schol. *συμμαχίᾳ.* Cf. 1, 3; *μετὰ τῶν Λακεδαιμονίων γίγνεσθαι,* i. e. *Λακεδαιμονίων ξυμμάχους γίγνεσθαι.*

μαχίαν ἰδίαν ποιήσωνται, ὥσπερ Ἀθηναίοις. Λακεδαιμόνιοι δέ, εἰδότες μέν, ὅτι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον, ἄνευ ἀλλήλων μήτε σπένδεσθαί τῳ, μήτε πολεμεῖν, βουλόμενοι δὲ τὸ Πάνακτον παραλαβεῖν, ὡς τὴν Πύλον ἀντ᾽ αὐτοῦ κομιούμενοι, καὶ ἅμα τῶν ξυγχέαι σπευδόντων τὰς σπονδὰς προθυμουμένων τὰ ἐς Βοιωτούς, ἐποιήσαντο τὴν ξυμμαχίαν, τοῦ χειμῶνος τελευτῶντος ἤδη, καὶ πρὸς ἔαρ· καὶ τὸ Πάνακτον εὐθὺς καθῃρεῖτο. Καὶ ἑνδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

40. Ἅμα δὲ τῷ ἦρι εὐθὺς τοῦ ἐπιγιγνομένου θέρους οἱ Ἀργεῖοι, ὡς οἵ τε πρέσβεις τῶν Βοιωτῶν, οὓς ἔφασαν πέμψειν, οὐχ ἵκοντο, τό, τε Πάνακτον ᾔσθοντο καθαιρούμενον, καὶ ξυμμαχίαν ἰδίαν γεγενημένην τοῖς Βοιωτοῖς πρὸς τοὺς Λακεδαιμονίους, ἔδεισαν, μὴ μονωθῶσι, καὶ ἐς Λακεδαιμονίους πᾶσα ἡ ξυμμαχία χωρήσῃ. Τοὺς γὰρ Βοιωτοὺς ᾤοντο πεπεῖσθαι ὑπὸ Λακεδαιμονίων τό τε Πάνακτον καθελεῖν, καὶ ἐς τὰς Ἀθηναίων σπονδὰς ἐσιέναι, τούς τε Ἀθηναίους εἰδέναι ταῦτα· ὥστε οὐδὲ πρὸς Ἀθηναίους ἔτι σφίσιν εἶναι ξυμμαχίαν ποιήσασθαι· πρότερον ἐλπίζοντες, ἐκ τῶν

dum evertunt (cf. c. 42.). 40. Qua re permoti Argivi, cum Lacedaemonios cum Tegeatis, Boeotis et Athenien-

39. τῶν ξυγχέαι σπευδόντων —. Intelligendi Ephori, qui c. 36. nominantur, cum amicis idem cupientibus. — τὰ ἐς Βοιωτούς. Sic habent codd. meliores Cl. Reg. Calf. Aug. Vulgo τὰς ἐς Β. In deterioribus libris Ar. C. Dan. deeſt articulus. Haec varietas quodammodo ſuſpectum reddat totum hoc τὰ (vel τὰς) ἐς Βοιωτούς, tam quam ex interpretamento ortum, cum aliquis, cui obſcurius videretur προθυμεῖσθαι, abſolute dictum (cf. c. 16.), huic participio adſcriberet τὰ ἐς Βοιωτούς. Sed haec non ſatis valent per ſe; quare meliorum librorum fidem ſecutus ſum. Cf. ſupra cap. 17. προὐθυμήθη τὴν ξύμβασιν. 8, 1. χαλεποὶ μὲν ἦσαν τοῖς ξυμπροθυμηθεῖσι τῶν ῥητόρων τὸν ἔκπλουν.

40. πρότερον ἐλπίζοντες. Haec refer ad ᾤοντο. — ἐκ τῶν διαφορῶν. Ita codices plerique omnes. Vulgo διαφόρων. Utroque vocabulo de controverſiis et controverſiarum cauſis utitur Thucydides, quare Duckerus ad 4, 86. non audiendus; etſi libri ſaepe in his variant. Cf. variae lectt. ad 5, 43. Comma poſt διαφορῶν, utpote inutile, delevimus.

διαφορῶν εἰ μὴ μείνειαν αὐτοῖς αἱ πρὸς Λακεδαιμονίους σπονδαὶ, τοῖς γοῦν Ἀθηναίοις ξύμμαχοι ἔσεσθαι. Ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι, καὶ φοβούμενοι, μὴ Λακεδαιμονίοις καὶ Τεγεάταις, Βοιωτοῖς καὶ Ἀθηναίοις ἅμα πολεμῶσι, πρότερον οὐ δεχόμενοι τὰς Λακεδαιμονίων σπονδὰς, ἀλλ' ἐν φρονήματι ὄντες τῆς Πελοποννήσου ἡγήσεσθαι, ἔπεμπον ὡς ἐδύναντο τάχιστα ἐς τὴν Λακεδαίμονα πρέσβεις, Εὔστροφον καὶ Αἴσωνα, οἳ ἐδόκουν προσφιλέστατοι αὐτοῖς εἶναι· ἡγούμενοι, ἐκ τῶν παρόντων κράτιστα πρὸς Λακεδαιμονίους σπονδὰς ποιησάμενοι, ὅπῃ ἂν ξυγχωρῇ, ἡσυχίαν ἔχειν.

41. Καὶ οἱ πρέσβεις ἀφικόμενοι αὐτῶν, λόγους ἐποιοῦντο πρὸς τοὺς Λακεδαιμονίους, ἐφ' ᾧ ἂν σφίσιν αἱ σπονδαὶ γίγνοιντο. Καὶ τὸ μὲν πρῶτον οἱ Ἀργεῖοι ἠξίουν δίκης ἐπιτροπὴν σφίσι γενέσθαι, ἢ ἐς πόλιν τινὰ, ἢ ἰδιώτην, περὶ τῆς Κυνουρίας γῆς, ἧς ἀεὶ πέρι διαφέρονται, μεθορίας οὔσης· (ἔχει δὲ ἐν αὐτῇ Θυρέαν, καὶ Ἀνθήνην πόλιν· νέμονται δ' αὐτὴν Λακεδαιμόνιοι.) ἔπειτα δ', οὐκ ἐώντων Λακεδαιμονίων μεμνῆσθαι περὶ αὐτῆς, ἀλλ', εἰ βούλονται σπένδεσθαι ὥσπερ πρότερον, ἕτοιμοι εἶναι, οἱ Ἀργεῖοι πρέσβεις τάδε ὅμως ἐπηγάγοντο τοὺς Λακεδαιμονίους ξυγχωρῆσαι, ἐν μὲν τῷ

ſibus iunctos arbitrarentur, et omni ſe auxilio deſtitutos, ad Lacedaemonios mittere properant, qui foedus icerent. 41. Cum autem Cynurium agrum poſtularent Argivi, Lacedaemonii foedus recuſabant. Tandem et ipſi Argivorum amicitiam concupiſcentes, concedunt conditionem ab Argivis latam, ut utrisque, nullo vel alio bello vel morbo

ἐκ τῶν παρόντων κράτιστα, i. e. pro praeſenti rerum ſtatu utiliſſime. — *ὅπῃ ἂν ξυγχωρῇ*, int. *τὸ πρᾶγμα*, quoquo res evaderet, ſive ad bellum, ſeu ad pacem.

41. *δίκης ἐπιτροπήν.* Supra de ſimili controverſia c. 32. *καὶ δίκης Λακεδαιμονίοις ἐπιτραπείσης.* Et ibid. paullo poſt: *οὐκ ἐμμεινάντων τῇ ἐπιτροπῇ.* — Mox praepoſitionem *ἐς* ante *ἰδιώτην* vulgo repetitam, libris iubentibus expunximus.

ἕτοιμοι εἶναι, ſubaudi ex *οὐκ ἐώντων*, non *λεγόντων*, ſed *ἐπεὶ ἔλεγον*, ſive *λέγουσιν*, propter ſequentem nominativum *ἕτοιμοι*. Nam etiam hic mutata eſt ſtructurae ratio.

παρόντι σπονδὰς ποιήσασθαι ἔτη πεντήκοντα, ἐξεῖναι δ' ὁποτεροισοῦν προσκαλεσαμένοις, μήτε νόσου οὔσης, μήτε πολέμου, Λακεδαίμονι καὶ Ἄργει, διαμάχεσθαι περὶ τῆς γῆς ταύτης, ὥσπερ καὶ πρότερόν ποτε, ὅτε αὐτοὶ ἑκάτεροι ἠξίωσαν νικᾶν· διώκειν δὲ μὴ ἐξεῖναι περαιτέρω τῶν πρὸς Ἄργος καὶ Λακεδαίμονα ὅρων. Τοῖς δὲ Λακεδαιμονίοις τὸ μὲν πρῶτον ἐδόκει μωρία εἶναι ταῦτα, ἔπειτα (ἐπεθύμουν γὰρ τὸ Ἄργος πάντως φίλον ἔχειν) ξυνεχώρησαν, ἐφ' οἷς ἠξίουν, καὶ ξυνεγράψαντο. Ἐκέλευον δ' οἱ Λακεδαιμόνιοι, πρὶν τέλος τὶ αὐτῶν ἔχειν, ἐς τὸ Ἄργος πρῶτον ἐπαναχωρήσαντας αὐτοὺς, δεῖξαι τῷ πλήθει, καὶ, ἢν ἀρέσκοντα ᾖ, ἥκειν ἐς τὰ Ὑακίνθια, τοὺς ὅρκους ποιησομένους. Καὶ οἱ μὲν ἀνεχώρησαν.

42. Ἐν δὲ τῷ χρόνῳ τούτῳ, ᾧ οἱ Ἀργεῖοι ταῦτα ἔπρασσον, οἱ πρέσβεις τῶν Λακεδαιμονίων, Ἀνδρομένης καὶ Φαίδιμος καὶ Ἀντιμενίδας, οὓς ἔδει τὸ Πάνακτον καὶ τοὺς ἄνδρας τοὺς παρὰ Βοιωτῶν παραλαβόντας Ἀθηναίοις ἀποδοῦναι, τὸ μὲν Πάνακτον ὑπὸ τῶν Βοιωτῶν αὐτῶν καθῃρημένον εὗρον, ἐπὶ προφάσει, ὡς ἦσάν ποτε Ἀθηναίοις καὶ Βοιωτοῖς ἐκ διαφορᾶς περὶ αὐτοῦ ὅρκοι παλαιοὶ, μηδετέρους οἰκεῖν τὸ χωρίον,

distractis, de hoc agro armis contendere, provocatione facta, liceret; ne tamen victor fines alterius transiret in persequendo. 42. Cum ex pacto Lacedaemonii captos a Boeotis et Panactum ab iisdem eversum

ὁποτεροισοῦν προκαλεσαμένοις. Ita cum Duckero scripsimus, adstipulantibus MSS. melioribus. Cf. 3, 34. Vulgo προσκαλεσαμένοις. — Post Ἄργει virgula distinximus, praeeunte Kistem., ut οὔσης his dativis iungatur.

ὥσπερ καὶ πρότερόν ποτε, ὅτε — νικᾶν. Hoc certamen, in quo aequo Marte dimicantes circa Croesi tempora, utrique victoriam sibi vindicabant, memoriae prodidit Herodot. 1, 82. — ὥσπερ, int. διεμαχέσαντο.

42. Ἀνδρομένης. Codd. Cl. Cass. Aug. Vindob. et unus ex Pariss. hoc nomen et hic et paullo inferius exhibent Ἀνδρομέδης. Ita etiam Valla. Sed vulgatum praefero, quia alioqui scribendum videretur e Dorica dialecto Ἀνδρομέδας et infra Ἀνδρομέδαν.

ἀλλὰ κοινῇ νέμειν· τοὺς δ' ἄνδρας, οὓς εἶχον αἰχμαλώτους Βοιωτοὶ Ἀθηναίων, παραλαβόντες οἱ περὶ τὸν Ἀνδρομένην ἐκόμισαν τοῖς Ἀθηναίοις, καὶ ἀπέδοσαν· τοῦ τε Πανάκτου τὴν καθαίρεσιν ἔλεγον αὐτοῖς, νομίζοντες καὶ τοῦτο ἀποδιδόναι· πολέμιον γὰρ οὐκέτι ἐν αὐτῷ Ἀθηναίοις οἰκήσειν οὐδένα. Λεγομένων δὲ τούτων, οἱ Ἀθηναῖοι δεινὰ ἐποίουν, νομίζοντες ἀδικεῖσθαι ὑπὸ Λακεδαιμονίων, τοῦ τε Πανάκτου τῇ καθαιρέσει, ὃ ἔδει ὀρθὸν παραδοῦναι, καὶ πυνθανόμενοι, ὅτι καὶ Βοιωτοῖς ἰδίᾳ ξυμμαχίαν πεποίηνται, φάσκοντες πρότερον κοινῇ τοὺς μὴ δεχομένους τὰς σπονδὰς προσαναγκάσειν. Τά τε ἄλλα ἐσκόπουν, ὅσα ἐξελελοίπεσαν τῆς ξυνθήκης, καὶ ἐνόμιζον ἐξηπατῆσθαι. Ὥςτε χαλεπῶς πρὸς τοὺς πρέσβεις ἀποκρινάμενοι ἀπέπεμψαν.

43. Κατὰ τοιαύτην δὴ διαφορὰν ὄντων τῶν Λακεδαιμονίων πρὸς τοὺς Ἀθηναίους, οἱ ἐν ταῖς Ἀθήναις αὖ βουλόμενοι λῦσαι τὰς σπονδὰς, εὐθὺς ἐνέκειντο. Ἦσαν δὲ ἄλλοι τε, καὶ Ἀλκιβιάδης ὁ Κλεινίου, ἀνὴρ ἡλικίᾳ μὲν ἔτι τότε ὢν νέος, ὡς ἐν ἄλλῃ πόλει, ἀξιώματι δὲ προγόνων τιμώμενος· ᾧ ἐδόκει μὲν καὶ ἄμεινον εἶναι πρὸς τοὺς Ἀργείους μᾶλλον χωρεῖν· οὐ μέντοι ἀλλὰ καὶ φρονήματι φιλονεικῶν ἠναντιοῦτο, ὅτι Λακεδαιμόνιοι διὰ Νικίου καὶ Λάχητος ἔπραξαν τὰς

traderent Athenienſibus, hi indignati, quod foederis leges ab illis male ſervatas putarent, legatos cum aſperiore reſponſo dimiſerunt. 43. Interim Athenis Alcibiades, etiam tum iuvenis, Lacedaemoniis adverſatur,

ἀλλὰ κοινῇ νέμειν. Scholiaſtes *νέμειν* de iure compaſcendi accipit. Duckerus quidem latiore ſenſu intelligit de omni fructu et reditu. Sed exempla ab eo allata hanc vim potius medio huius verbi vindicant. Quare Scholiaſtae interpretationem veram puto. Veriſimile eſt, eum agrum ex pacto tantum ad paſtum deſtinatum fuiſſe. — Mox articulum *οἱ* ante *Βοιωτοὶ* codices omitti iubent.

ὃ ἔδει ὀρθὸν παραδοῦναι, ſubaudi *αὐτοὺς, τοὺς Λακεδαιμονίους.* — *Ὀρθὸν, ἑστώς.* Sic iterum c. 46.

σπονδὰς, αὐτὸν κατά τε τὴν νεότητα ὑπεριδόντες, καὶ κατὰ τὴν παλαιὰν προξενίαν ποτὲ οὖσαν οὐ τιμήσαντες· ἣν τοῦ πάππου ἀπειπόντος, αὐτὸς, τοὺς ἐκ τῆς νήσου αὐτῶν αἰχμαλώτους θεραπεύων, διενοεῖτο ἀνανεώσασθαι. Πανταχόθεν τε νομίζων ἐλασσοῦσθαι, τό, τε πρῶτον ἀντεῖπεν, οὐ βεβαίους φάσκων εἶναι Λακεδαιμονίους, ἀλλ', ἵνα Ἀργείους σφίσι σπεισάμενοι ἐξέλωσι, καὶ αὖθις ἐπ' Ἀθηναίους μόνους ἴωσι, τούτου ἕνεκα σπένδεσθαι αὐτούς· καὶ τότε, ἐπειδὴ ἡ διαφορὰ ἐγεγένητο, πέμπει εὐθὺς ἐς Ἄργος ἰδίᾳ, κελεύων ὡς τάχιστα ἐπὶ τὴν ξυμμαχίαν προκαλουμένους ἥκειν μετὰ

ab iis fe contemptum ratus in foedere pangendo. Is et palam Athenienfes contra Lacedaemonios, ut infideles et infeftos, irritat, et clam Argos mittit, qui Argivos et Eleos et Mantinenfes ad focietatem cum Athenienfibus

43. *αὐτὸν κατά τε τὴν νεότητα.* Codd. plerique praebent *ἑαυτόν.* Sed haec fere permutantur in libris (cf. ad cap. 49.), et Schol. h. l. habet vulgatum *αὐτόν.* Erat tum circiter viginti fex annos natus Alcibiades. Vid. Duck. ad h. l. Athenis minor, quam Spartae, aetatis ratio habebatur.

τό, τε πρῶτον ἀντεῖπεν. Ita legendum effe pro *τότε*, iam Frid. Portus videbat. Sequitur enim *καὶ τότε,* quod ad id tempus pertinet, de quo nunc maxime agit Thucydides, cum *τό, τε πρῶτον* intelligendum fit de pace illa in quinquaginta annos cum Lacedaemoniis inita, auctoribus ac fuaforibus maxime Nicia et Lachete. Atque fic eft in Aug. Simillimus locus eft 5, 58 init. *Ἀργεῖοι δὲ, προαισθόμενοι τό, τε πρῶτον* (ita enim pro *τότε πρῶτον* fcribendum) *τὴν παρασκευὴν τῶν Λακεδαιμονίων, καὶ ἐπειδὴ ἐς τὸν Φλιοῦντα, βουλόμενοι τοῖς ἄλλοις προςμῖξαι, ἐχώρουν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί.* Cf. etiam 6, 88. Ceterum ante *καὶ τότε* minus plene interpungendum eft.

ἵνα Ἀργείους σφίσι σπεισάμενοι ἐξέλωσι. Quid valeat h. l. *ἐξέλωσι*, variant interpretum fententiae. Duckerus cum Acacio explicat „fub poteftatem redigerent." Bauerus, quem Bredovius fequitur, vertit: eximerent a reliquo numero fociorum. Neque aliter Valla, cuius haec eft verfio: „ea caufa cum Athenienfibus foedera percuffiffe, ut per haec ab eis Argivos abducerent." Sane *ἐξαιρεῖν* faepiffime apud Thucydidem eft *expugnare*, *capere*, *evertere* (cf. Duck.); tamen altera ratio huic loco aptior videtur et ob *βεβαίους*, et propter fequens *μόνους.* Perperam autem Bauerus addit, *fibi manciparent*, quod effet *ἐξέλωνται.* — *Σφίσι* ad Athenienfes fpectat; *αὐτοὺς* ad Lacedaemonios. — Ceterum codd. Caff. et Aug. habent *ἐξέλωσιν* et *ἴωσιν.* Videntur ubique in fine non folum totius periodi, fed etiam fingulorum membrorum *ν ἐφελκυστικόν* addidiffe.

Μαντινέων καὶ Ἠλείων, ὡς καιροῦ ὄντος, καὶ αὐτὸς ξυμπράξων τὰ μάλιστα.

44. Οἱ δὲ Ἀργεῖοι, ἀκούσαντες τῆς τε ἀγγελίας, καὶ ἐπειδὴ ἔγνωσαν οὐ μετ᾽ Ἀθηναίων πραχθεῖσαν τὴν τῶν Βοιωτῶν ξυμμαχίαν, ἀλλ᾽ ἐς διαφορὰν μεγάλην καθεστῶτας αὐτοὺς πρὸς τοὺς Λακεδαιμονίους, τῶν μὲν ἐν Λακεδαίμονι πρέσβεων, οἵ σφίσι περὶ τῶν σπονδῶν ἔτυχον ἀπόντες, ἠμέλουν, πρὸς δὲ τοὺς Ἀθηναίους μᾶλλον τὴν γνώμην εἶχον· νομίζοντες, πόλιν τε σφίσι φιλίαν ἀπὸ παλαιοῦ, καὶ δημοκρατουμένην, ὥσπερ καὶ αὐτοὶ, καὶ δύναμιν μεγάλην ἔχουσαν τὴν κατὰ θάλασσαν, ξυμπολεμήσειν σφίσιν, ἢν καθιστῶνται ἐς πόλεμον. Ἔπεμπον οὖν εὐθὺς πρέσβεις ὡς τοὺς Ἀθηναίους περὶ τῆς ξυμμαχίας· ξυνεπρεσβεύοντο δὲ καὶ Ἠλεῖοι, καὶ Μαντινεῖς. Ἀφίκοντο δὲ καὶ Λακεδαιμονίων πρέσβεις κατὰ τάχος, δοκοῦντες ἐπιτήδειοι εἶναι τοῖς Ἀθηναίοις, Φιλοχαρίδας καὶ Λέων καὶ Ἔνδιος· δείσαντες, μὴ τήν τε ξυμμαχίαν ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται, καὶ ἅμα Πύλον ἀπαιτήσοντες ἀντὶ Πανάκτου, καὶ περὶ τῆς Βοιωτῶν ξυμμαχίας ἀπολογησόμενοι, ὡς οὐκ ἐπὶ κακῷ τῶν Ἀθηναίων ἐποιήσαντο.

45. Καὶ λέγοντες ἐν τῇ βουλῇ περί τε τούτων, καὶ ὡς αὐτοκράτορες ἥκουσι περὶ πάντων ξυμβῆναι

invitent. 44. Argivi ſtatim cum Eleis et Mantinenſibus legatos Athenas mittunt, hanc ſocietatem Lacedaemoniorum amicitiae praeferentes, quam eo ipſo tempore, miſſis Spartam legatis, ſibi conciliaturi erant. At etiam Lacedaemonii confeſtim legatos mittunt Athenas, qui et prohibeant illam ſocietatem, et Pylum pro Panacto repoſcant, factamque cum Boeotis ſocietatem excuſent. 45. Eos Alcibiades induxit, ut negarent coram populo,

44. *ἀκούσαντες τῆς τε ἀγγελίας.* Vid. ad c. 28.

οὐ μετ᾽ Ἀθηναίων — Βοιωτῶν ξυμμαχίαν. Int. ſocietatem Boeotorum cum Lacedaemoniis, quam conſciis Athenienſibus factam eſſe Argivi opinabantur. Vid. c. 40. — *αὐτούς, Ἀθηναίους.*

δείσαντες, μὴ τήν τε ξυμμαχίαν —. Cf. ad c. 28.

τῶν διαφόρων, τὸν Ἀλκιβιάδην ἐφόβουν, μὴ καὶ, ἢν ἐς τὸν δῆμον ταῦτα λέγωσιν, ἐπαγάγωνται τὸ πλῆθος, καὶ ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία. Μηχανᾶται δὲ πρὸς αὐτοὺς τοιόνδε τι ὁ Ἀλκιβιάδης· τοὺς Λακεδαιμονίους πείθει, πίστιν αὐτοῖς δοὺς, ἢν μὴ ὁμολογήσωσιν ἐν τῷ δήμῳ αὐτοκράτορες ἥκειν, Πύλον τε αὐτοῖς ἀποδώσειν, (πείσειν γὰρ αὐτὸς Ἀθηναίους, ὥςπερ καὶ νῦν ἀντιλέγειν,) καὶ τἄλλα ξυναλλάξειν. Βουλόμενος δὲ αὐτοὺς Νικίου τε ἀποστῆσαι, ταῦτα ἔπρασσε, καὶ ὅπως, ἐν τῷ δήμῳ διαβαλὼν αὐτοὺς, ὡς οὐδὲν ἀληθὲς ἐν νῷ ἔχουσιν, οὐδὲ λέγουσιν οὐδέποτε ταυτὰ, τοὺς Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας ξυμμάχους ποιήσῃ. καὶ ἐγένετο οὕτως. Ἐπειδὴ γὰρ ἐς τὸν δῆμον παρελθόντες, καὶ ἐπερωτώμενοι οὐκ ἔφασαν (ὥςπερ ἐν τῇ βουλῇ) αὐτοκράτορες ἥκειν, οἱ Ἀθηναῖοι οὐκέτι ἠνείχοντο· ἀλλὰ τοῦ Ἀλκιβιάδου πολλῷ μᾶλλον ἢ πρότερον καταβοῶντος τῶν Λακεδαιμονίων, ἐςήκουόν τε, καὶ ἕτοιμοι ἦσαν εὐθὺς παραγαγόντες τοὺς Ἀργείους, καὶ τοὺς μετ' αὐτῶν, ξυμμάχους ποιεῖσθαι. Σεισμοῦ δὲ γενομένου, πρίν τι ἐπικυρωθῆναι, ἡ ἐκκλησία αὕτη ἀνεβλήθη.

46. Τῇ δ' ὑστεραίᾳ ἐκκλησίᾳ ὁ Νικίας, καίπερ τῶν Λακεδαιμονίων αὐτῶν ἠπατημένων, καὶ αὐτὸς ἐξηπατημένος περὶ τοῦ μὴ αὐτοκράτορας ὁμολογῆσαι ἥκειν, ὅμως τοῖς Λακεδαιμονίοις ἔφη χρῆναι φίλους μᾶλλον

ea ſe poteſtate praeditos eſſe, ut de omnibus decernerent. Ita apud populum eos criminatur tamquam bilingues, qui apud ſenatum vana eſſent locuti. 46. Nicia ſuadente, ipſe cum aliis legatis Lacedaemonem mittitur, qui de

45. *πείσειν γὰρ αὐτὸς — ἀντιλέγειν.* Ut *τέ* poſt *Πύλον* habeat, quo referatur, et totius loci ſententia conſtet, minus plene interpungendum ante *πείσειν*, et haec verba parentheſeos ſignis includenda curavimus, monente iam Bauero.

46. *περὶ τοῦ μὴ αὐτοκράτορας ὁμολογῆσαι.* Recte Benedictus *αὐτοκράτορας* pro *αὐτοκράτορες* ex Vind. Aug. et ſex Pariſſ. recepit. Cum enim ad *ὁμολογῆσαι* ſubaudiendum ſit *αὐτοὺς*, nempe *τοὺς Λακεδαιμονίους πρέσβεις*, nominativus h. l. alienus eſt.

γίγνεσθαι, καὶ ἐπισχόντας τὰ πρὸς Ἀργείους, πέμψαι ἔτι ὡς αὐτοὺς, καὶ εἰδέναι, ὅ, τι διανοοῦνται· λέγων, ἐν μὲν τῷ σφετέρῳ καλῷ, ἐν δὲ τῷ ἐκείνων ἀπρεπεῖ, τὸν πόλεμον ἀναβάλλεσθαι. Σφίσι μὲν γὰρ εὖ ἑστώτων τῶν πραγμάτων, ὡς ἐπὶ τὸ πλεῖστον ἄριστον εἶναι διασώσασθαι τὴν εὐπραγίαν· ἐκείνοις δὲ δυστυχοῦσιν, ὅτι τάχιστα εὕρημα εἶναι διακινδυνεῦσαι. Ἔπεισέ τε πέμψαι πρέσβεις, ὧν καὶ αὐτὸς ἦν, κελεύσοντας Λακεδαιμονίους, εἴ τι δίκαιον διανοοῦνται, Πάνακτόν τε ὀρθὸν ἀποδιδόναι, καὶ Ἀμφίπολιν· καὶ τὴν Βοιωτῶν ξυμμαχίαν ἀνεῖναι, ἢν μὴ ἐς τὰς σπονδὰς ἐσίωσι, καθάπερ εἴρητο, ἄνευ ἀλλήλων μηδενὶ ξυμβαίνειν. Εἰπεῖν τε ἐκέλευον, ὅτι καὶ σφεῖς, εἰ ἐβούλοντο ἀδικεῖν, ἤδη ἂν Ἀργείους ξυμμάχους πεποιῆσθαι· ὡς παρεῖναί γ' αὐτοὺς αὐτοῦ τούτου ἕνεκα. εἴ τέ τι ἄλλο ἐνεκάλουν, πάντα ἐπιστείλαντες, ἀπέπεμψαν τοὺς περὶ τὸν Νικίαν πρέσβεις. Καὶ ἀφικομένων αὐτῶν, καὶ ἀπαγγειλάντων τά τε ἄλλα, καὶ τέλος εἰπόντων, ὅτι, εἰ μὴ τὴν ξυμμαχίαν ἀνήσουσι Βοιωτοῖς μὴ ἐσιοῦσιν ἐς τὰς σπονδὰς,

foedere cum Boeotis feparatim facto conqueratur, et poftulet, ut illud foedus, nifi Boeoti et cum Athenienfibus pacifci vellent, miffum faciant; fin minus, et ipfos Athenienfes cum Argivis foedus effe icturos. Sed Spartani in

ὡς ἐπὶ τὸ πλεῖστον. Sic Reg. Cl. Alii omittunt *τό*, haud dubie propter incuriam. — *εὕρημα εἶναι*, refpondet praecedenti *ἄριστον εἶναι.*

ὅτι καὶ σφεῖς — πεποιῆσθαι. Transitus a ftructura per *ὅτι* ad infinitivum, vel potius anacoluthon. Debebat enim fcribere aut *σφᾶς ἂν πεποιῆσθαι*, aut *ὅτι — ἂν — ἐποιήσαντο.* Sed nihil in oratione obliqua frequentius. Vid. ad 2, 102. — Mox *αὐτούς* pertinet ad Argivos.

τὴν ξυμμαχίαν ἀνήσουσι Βοιωτοῖς. Certiffimis exemplis Duckerus evincit, *Βοιωτοῖς* non ad *ἀνήσουσι*, fed ad *ξυμμαχίαν* referendum effe, pro quo paullo ante dixerat Thucydides: *τὴν Βοιωτῶν ξυμμαχίαν ἀνεῖναι.* Nam fubftantivis interdum adiungitur cafus verbi vel adiectivi cognati, ut hoc ipfo libro 5, 5. *περὶ φιλίας τοῖς Ἀθηναίοις.* c. 35. *κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν.* Sic Latini dicunt v. c. *obtemperatio imperatori, infidiae confuli*, et alia. — Verba *ἐπικρατούντων — ἦσαν* parenthefi inclufi. Tantundem enim valent, ac fi dixiffet: *ἐπεκράτουν γὰρ οἱ περὶ τὸν —.*

ποιήσονται καὶ αὐτοὶ Ἀργείους, καὶ τοὺς μετ' αὐτῶν, ξυμμάχους· τὴν μὲν ξυμμαχίαν οἱ Λακεδαιμόνιοι Βοιωτοῖς οὐκ ἔφασαν ἀνήσειν, (ἐπικρατούντων τῶν περὶ τὸν Ξενάρη τὸν Ἔφορον ταῦτα γίγνεσθαι, καὶ ὅσοι ἄλλοι τῆς αὐτῆς γνώμης ἦσαν·) τοὺς δὲ ὅρκους, δεομένου Νικίου, ἀνενεώσαντο. Ἐφοβεῖτο γὰρ, μὴ πάντα ἀτελῆ ἔχων ἀπέλθῃ, καὶ διαβληθῇ, (ὅπερ καὶ ἐγένετο,) αἴτιος δοκῶν εἶναι τῶν πρὸς Λακεδαιμονίους σπονδῶν. Ἀναχωρήσαντός τε αὐτοῦ, ὡς ἤκουσαν οἱ Ἀθηναῖοι οὐδὲν ἐκ τῆς Λακεδαίμονος πεπραγμένον, εὐθὺς δι' ὀργῆς εἶχον· καὶ νομίζοντες ἀδικεῖσθαι, (ἔτυχον γὰρ παρόντες οἱ Ἀργεῖοι, καὶ οἱ ξύμμαχοι, παραγαγόντος Ἀλκιβιάδου, ἐποιήσαντο σπονδὰς καὶ ξυμμαχίαν πρὸς αὐτοὺς τήνδε.

47. „ΣΠΟΝΔΑΣ ἐποιήσαντο ἑκατὸν Ἀθηναῖοι ἔτη, καὶ Ἀργεῖοι, καὶ Μαντινεῖς, καὶ Ἠλεῖοι, ὑπὲρ σφῶν αὐτῶν, καὶ τῶν ξυμμάχων ὧν ἄρχουσιν ἑκάτεροι, ἀδόλους, καὶ ἀβλαβεῖς, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε Ἀργείους, καὶ Ἠλείους, καὶ Μαντινέας, καὶ τοὺς ξυμμάχους, ἐπὶ Ἀθηναίους καὶ τοὺς ξυμμάχους, ὧν ἄρχουσιν Ἀθηναῖοι, μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους, ἐπὶ Ἀργείους, καὶ Ἠλείους, καὶ Μαντινέας, καὶ τοὺς ξυμμάχους, τέχνῃ μηδὲ μηχανῇ μηδεμιᾷ. Κατὰ τάδε ξυμμάχους εἶναι Ἀθηναίους, καὶ Ἀργείους, καὶ Ἠλείους, καὶ Μαντινέας, ἑκατὸν ἔτη. Καὶ ἢν πολέμιοι ἴωσιν ἐς τὴν γῆν τὴν Ἀθηναίων, βοηθεῖν Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας Ἀθήναζε, καθότι ἂν ἐπαγγέλλωσιν Ἀθηναῖοι, τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυ-

ſententia perſtant. Itaque Athenienſes cum Argivis eorumque ſociis foedus et ſocietatem pangunt; 47. cuius

47. ἐς τὴν γῆν τὴν Ἀθηναίων. Vulgo τῶν Ἀθηναίων. Nos lectionem Marg. Caſſ. Aug. τὴν praetulimus, quia elegantior eſt, et ſic infra in eadem re legitur ἐπὶ τὴν γῆν τὴν Ἠλείων, ubi depravati tantum libri Ar. C. habent τῶν.

ροτάτῳ, κατὰ τὸ δυνατόν. Ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Ἀργείοις, καὶ Μαντινεῦσι, καὶ Ἠλείοις, καὶ Ἀθηναίοις, καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τούτων τῶν πόλεων. Καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν πόλιν μηδεμιᾷ τῶν πόλεων, ἢν μὴ ἁπάσαις δοκῇ. Βοηθεῖν δὲ καὶ Ἀθηναίους ἐς Ἄργος, καὶ Μαντίνειαν, καὶ Ἦλιν, ἢν πολέμιοι ἴωσιν ἐπὶ τὴν γῆν τὴν Ἠλείων, ἢ τὴν Μαντινέων, ἢ τὴν Ἀργείων, καθότι ἂν ἐπαγγέλλωσιν αἱ πόλεις αὗται, τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ, κατὰ τὸ δυνατόν. Ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Ἀθηναίοις, καὶ Ἀργείοις, καὶ Μαντινεῦσι, καὶ Ἠλείοις, καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τούτων τῶν πόλεων. Καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν πόλιν, ἢν μὴ ἁπάσαις δοκῇ ταῖς πόλεσιν. Ὅπλα δὲ μὴ ἐᾶν ἔχοντας διϊέναι ἐπὶ πολέμῳ διὰ τῆς γῆς τῆς σφετέρας αὐτῶν, καὶ τῶν ξυμμάχων, ὧν ἂν ἄρχωσιν ἕκαστοι, μηδὲ κατὰ θάλασσαν, ἢν μὴ ψηφισαμένων τῶν πόλεων ἁπασῶν, τὴν δίοδον εἶναι, Ἀθηναίων, καὶ Ἀργείων, καὶ Μαντινέων, καὶ Ἠλείων. Τοῖς δὲ βοηθοῦσιν ἡ πόλις ἡ πέμπουσα παρεχέτω μέχρι μὲν τριάκοντα ἡμερῶν σῖτον, ἐπὴν ἔλθῃ

leges deſcriptae.

ὑπὸ πασῶν τούτων τῶν πόλεων. Hic verborum ordo etiam infra in vulgaribus libris. Sed h. l. in Bredenkampiana et Lipſienſi apud Tauchnitzium venali legitur ὑπὸ πασῶν τῶν πόλεων τούτων.

τὴν δίοδον εἶναι. Bauerus negat, haec verba pendere poſſe a ψηφισαμένων, ſed referenda eſſe ad μήτε κατὰ θάλασσαν. Equidem neque neceſſitatem eius explicationis video, et contra eam, quam ille refutat, verborum ordini maxime conſentaneam puto; modo comma ſit ante Ἀθηναίων. Quid enim cauſae eſt, quod illam conditionem (ἢν μὴ ψηφισαμένων) in maritima profectione potius ferendam cenſeant? Cur eandem non in terreſtri quoque tulerunt, ubi magis etiam ea vel opus eſſe, vel adhiberi poſſe videatur? Has difficultates vitamus, ſi verba τὴν δίοδον εἶναι pendere ſinamus a ψηφισαμένων; quippe tum ad utrumque referri poſſunt, et ad terreſtrem, et ad maritimum transitum. Nomina Ἀθηναίων — Ἠλείων explicationem eſſe τῶν πόλεων ἁπασῶν, iam alii monuerunt.

ἐπὴν ἔλθῃ, int. ἡ βοήθεια ex τοῖς βοηθοῦσιν. — ἡ πέμπου-

ἐς τὴν πόλιν τὴν ἐπαγγείλασαν βοηθεῖν, καὶ ἀπιοῦσι, κατὰ ταυτά. Ἣν δὲ πλέονα βούλωνται χρόνον τῇ στρατιᾷ χρῆσθαι, ἡ πόλις ἡ μεταπεμψαμένη διδότω σῖτον, τῷ μὲν ὁπλίτῃ, καὶ ψιλῷ, καὶ τοξότῃ, τρεῖς ὀβολοὺς Αἰγιναίους τῆς ἡμέρας ἑκάστης· τῷ δ' ἱππεῖ, δραχμὴν Αἰγιναίαν. Ἡ δὲ πόλις ἡ μεταπεμψαμένη, τὴν ἡγεμονίαν ἐχέτω, ὅταν ἐν τῇ αὐτῇ ὁ πόλεμος ᾖ· ἢν δέ ποι δόξῃ ταῖς πόλεσι κοινῇ στρατεύεσθαι, τὸ ἴσον τῆς ἡγεμονίας μετεῖναι ἁπάσαις ταῖς πόλεσιν. Ὀμόσαι δὲ τὰς σπονδὰς Ἀθηναίους μὲν, ὑπέρ τε σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων· Ἀργεῖοι δὲ, καὶ Μαντινεῖς, καὶ Ἠλεῖοι, καὶ οἱ ξύμμαχοι τούτων, κατὰ πόλεις ὀμνύντων. Ὀμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἕκαστοι τὸν μέγιστον κατὰ ἱερῶν τελείων. Ὁ δὲ ὅρκος ἔστω ὅδε· Ἐμμένω τῇ ξυμμαχίᾳ κατὰ τὰ ξυγκείμενα, δικαίως καὶ ἀβλαβῶς καὶ ἀδόλως· καὶ οὐ παραβήσομαι τέχνῃ οὐδὲ μηχανῇ οὐδεμιᾷ. Ὀμνύντων δὲ Ἀθήνησι μὲν ἡ βουλὴ καὶ αἱ ἔνδημοι ἀρχαί· ἐξορκούντων δὲ οἱ πρυτάνεις. ἐν Ἄργει δὲ, ἡ βουλὴ, καὶ οἱ ὀγδοήκοντα, καὶ αἱ ἀρτύναι· ἐξορκούντων δὲ οἱ ὀγδοήκοντα. ἐν δὲ

σα, int. *αὐτοὺς, τοὺς βοηθοῦντας*, cui opponitur *ἡ μεταπεμψαμένη*.

ἐν τῇ αὐτῇ. Verisimilis est Duckeri coniectura *ἐν τῇ αὐτῆς*.

κατὰ ἱερῶν τελείων. Articulum *τῶν* ante *ἱερῶν*, in hac formula omitti solitum, iam Duckerus codicum auctoritate expungere volebat. Probat etiam Benedictus. Duckerus cum Budaeo *ἱερὰ τέλεια* intelligit *maiores* et *eximias hostias*, quales hecatombae sunt apud Homerum, quas Scholia min. ad Hom. Il. *α*. 65 *τελείας θυσίας* perhibent.

ἐξορκούντων δὲ οἱ πρυτάνεις, i. e. adigant ad iusiurandum, vel exigant iusiurandum Prytanes. — Ceterum hac breviori imperativi forma ubique utitur Thucydides pro latiore illa in *ετωσαν*. Et nuper apud Anglos docuit vir doctus, *Elmsleius*, in libro, qui inscribitur Museum Criticum, Lond. 1816., etiam Herodotum et omnes priores non solum poëtas, sed etiam prosaicos scriptores hanc eandem formam solam usurpare; alterius autem prima vestigia in Archestrati, qui Aristotelis aequalis erat, versibus apud Athenaeum, et apud Menandrum inveniri. — *οἱ θεωροί*. Quid sint *θεωροί*, notum est; nempe ii, qui ad certamina sacra, vel ad oracula consulenda publice mittebantur. Cf. c. 16. Sed h. l. videntur Duckero ordinarii quidam sacerdotes apud Mantinenses intelligendi esse.

Μαντινείᾳ, οἱ δημιουργοὶ, καὶ ἡ βουλὴ, καὶ αἱ ἄλλαι ἀρχαί· ἐξορκούντων δὲ οἱ θεωροὶ, καὶ οἱ πολέμαρχοι. ἐν δὲ Ἤλιδι, οἱ δημιουργοὶ, καὶ οἱ τὰ τέλη ἔχοντες, καὶ οἱ ἑξακόσιοι· ἐξορκούντων δὲ οἱ δημιουργοὶ, καὶ οἱ θεσμοφύλακες. Ἀνανεοῦσθαι δὲ τοὺς ὅρκους, Ἀθηναίους μὲν, ἰόντας ἐς Ἦλιν, καὶ ἐς Μαντίνειαν, καὶ ἐς Ἄργος, τριάκοντα ἡμέραις πρὸ Ὀλυμπίων· Ἀργείους δὲ, καὶ Ἠλείους, καὶ Μαντινέας ἰόντας Ἀθήναζε, δέκα ἡμέραις πρὸ Παναθηναίων τῶν μεγάλων. Τὰς δὲ ξυνθήκας τὰς περὶ τῶν σπονδῶν καὶ τῶν ὅρκων καὶ τῆς ξυμμαχίας ἀναγράψαι ἐν στήλῃ λιθίνῃ· Ἀθηναίους μὲν, ἐν πόλει· Ἀργείους δὲ, ἐν ἀγορᾷ, ἐν τοῦ Ἀπόλλωνος τῷ ἱερῷ· Μαντινέας δὲ, ἐν τοῦ Διὸς τῷ ἱερῷ, ἐν τῇ ἀγορᾷ. Καταθέντων δὲ καὶ Ὀλυμπίασι στήλην χαλκῆν κοινῇ Ὀλυμπίοις τοῖς νυνί. Ἐὰν δέ τι δοκῇ ἄμεινον εἶναι ταῖς πόλεσι ταύταις, προσθεῖναι πρὸς τοῖς ξυγκειμένοις. ὅ τι δ' ἂν δόξῃ ταῖς πόλεσιν ἁπάσαις κοινῇ βουλευσαμέναις, τοῦτο κύριον εἶναι."

48. Αἱ μὲν σπονδαὶ καὶ αἱ ξυμμαχίαι οὕτως ἐγένοντο· καὶ αἱ τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων οὐκ ἀπείρηντο τούτου ἕνεκα οὐδ' ὑφ' ἑτέρων. Κορίνθιοι δὲ, Ἀργείων ὄντες ξύμμαχοι, οὐκ ἐσῆλθον ἐς αὐτὰς, ἀλλὰ καὶ, γενομένης πρὸ τούτου Ἠλείοις καὶ Ἀργείοις καὶ Μαντινεῦσι ξυμμαχίας, τοῖς αὐτοῖς πολεμεῖν καὶ

48. Corinthii, in prioribus cum Argivis foederibus acquiefcentes, huius focietatis participes eſſe noluerunt, fed

ἐν πόλει, in arce, ut fupra c. 18. — *Ὀλυμπίασι*, vid. ad c. 18. — *Ὀλυμπίοις τοῖς νυνί*, cf. c. 49.

κοινῇ βουλευσαμέναις. Benedictus *βουλευομέναις* e decem codicibus refcribendum cenfet, cum etiam Cl. Reg. Gr. Caff. eodem ducant, qui corrupte legunt *βουλευομένοις.* Mihi vulgatum aptius videtur, cum participiis aoriſtorum Graeci utantur pro futuro exacto. Vid. ad cap. 63. cf. Hermann. ad Viger. p. 774.

48. *γενομένης πρὸ τούτου Ἠλείοις καὶ Ἀργείοις καὶ Μαντιν. ξυμμ.* De Mantinenfium cum Argivis focietate vid. c. 29. De Eleorum c. 31. Item Corinthios Argivorum focios factos effe, obiter narrat c. 31 extr. *τοῖς αὐτοῖς πολεμεῖν*, non idem eſt, quod fupra c. 27. dice-

εἰρήνην ἄγειν, οὐ ξυνώμοσαν· ἀρκεῖν δ᾽ ἔφασαν σφίσι τὴν πρώτην γενομένην ἐπιμαχίαν, ἀλλήλοις βοηθεῖν, ξυνεπιστρατεύειν δὲ μηδενί. Οἱ μὲν Κορίνθιοι οὕτως ἀπέστησαν τῶν ξυμμάχων, καὶ πρὸς τοὺς Λακεδαιμονίους πάλιν τὴν γνώμην εἶχον.

49. Ὀλύμπια δ᾽ ἐγένετο τοῦ θέρους τούτου, οἷς Ἀνδροσθένης Ἀρκὰς παγκράτιον τὸ πρῶτον ἐνίκα· καὶ Λακεδαιμόνιοι τοῦ ἱεροῦ ὑπὸ Ἠλείων εἵρχθησαν, ὥςτε μὴ θύειν, μηδ᾽ ἀγωνίζεσθαι, οὐκ ἐκτίνοντες τὴν δίκην αὐτοῖς, ἣν ἐν τῷ Ὀλυμπιακῷ νόμῳ Ἠλεῖοι κατεδικάσαντο αὐτῶν, φάσκοντες, σφᾶς ἐπὶ Φύρκον τε τεῖχος ὅπλα ἐπενεγκεῖν, καὶ ἐς Λέπρεον αὐτῶν ὁπλίτας ἐν ταῖς Ὀλυμπιακαῖς σπονδαῖς ἐςπέμψαι. Ἡ δὲ καταδίκη δισχίλιαι μναῖ ἦσαν, κατὰ τὸν ὁπλίτην ἕκαστον δύο μναῖ, ὥςπερ ὁ νόμος ἔχει. Λακεδαιμόνιοι δέ, πρέσβεις πέμψαντες, ἀντέλεγον, μὴ δικαίως σφῶν καταδεδικάσθαι, λέγοντες μὴ ἐπηγγέλθαι πω ἐς Λακεδαί-

magis ad Lacedaemonios iterum animum converterunt. 49. Elei autem ludis Olympicis tum forte commissis Lacedaemonios aditu templi prohibuerunt, quod poenam

bat τῇ ἀλλήλων ἐπιμαχεῖν, sed arctius quoddam vinculum denotat, ad omnia sociorum bella subeunda obstringens. Quod quidem inter Argivos et Eleos et Mantinenses fuisse patet et hoc loco, cum statim ab eorum societate distinguatur ἡ πρώτη γενομένη ἐπιμαχία, et aliis locis, ubi Ἀργεῖοι καὶ οἱ ξύμμαχοι vel Ἀργεῖοι καὶ οἱ μετ᾽ αὐτῶν (c. 45 extr. 46 extr.) sunt Argivi et Elei et Mantinenses, non autem Corinthii.

49. παγκράτιον τὸ πρῶτον ἐνίκα. Cum alias nomen illius, qui stadio vicerat, addi soleat, Thucydides hic pancratii victorem nominat, ut supra 3, 8., ubi qui nominatur Dorieus, tribus continuis Olympiadibus pancratio vicit, auctore Pausania 2, 7. Vid. Duck.

φάσκοντες, σφᾶς — ὅπλα ἐπενεγκεῖν. Pronomen σφᾶς praeter Thucydidis morem h. l. usurpatum est pro αὐτούς, qui usus nescio an nullo ex hoc Scriptore exemplo probari possit. — ἐς Λέπρεον; cf. c. 31. φρουρὰν ὁπλιτῶν ἐςέπεμψαν ἐς Λέπρεον. Ceterum ex h. l. discimus non solum in universum, lege cautum fuisse, ne quis induciarum Olympicarum tempore alterum laederet, sed etiam quanta fuerit multa constituta, si quis laesisset. Nempe binas in singulos milites minas multae nomine exigere, lex Olympiaca iubebat.

μὴ ἐπηγγέλθαι πω. Ita praestantissimi libri Cl. Reg. Cass.

μόνα τὰς σπονδάς, ὅτι ἐςέπεμψαν τοὺς ὁπλίτας. Ἠλεῖοι δὲ τὴν παρ' αὐτοῖς ἐκεχειρίαν ἤδη ἔφασαν εἶναι, (πρώτοις γὰρ σφίσιν αὐτοῖς ἐπαγγέλλουσι) καὶ ἡσυχαζόντων σφῶν, καὶ οὐ προςδεχομένων, ὡς ἐν σπονδαῖς, αὐτοὺς λαθεῖν ἀδικήσαντάς. Οἱ δὲ Λακεδαιμόνιοι ὑπελάμβανον, οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγεῖλαι ἔτι ἐς Λακεδαίμονα, εἰ ἀδικεῖν γε ἤδη ἐνόμιζον αὐτούς· ἀλλ' οὐχ ὡς νομίζοντας τοῦτο δρᾶσαι. καὶ ὅπλα οὐδαμόσε ἔτι αὐτοῖς ἐπενεγκεῖν. Ἠλεῖοι δὲ τοῦ αὐτοῦ λόγου εἴχοντο, ὡς μὲν οὐκ ἀδικοῦσι, μὴ ἂν πεισθῆναι· εἰ δὲ βούλον-

non perſolviſſent, quam ex lege Olympiaca ipſi illis impoſuerant, propterea quod Lepreo armatos immiſerint

Gr. Aug. Moſq. legunt pro ποτέ, quod h. l. nihili eſt.

Ἠλεῖοι δὲ — ἤδη ἔφασαν εἶναι, i. e. aiebant apud ſe inducias iam eſſe. Εἶναι h. l. eſt praeteritum actionis infectae. Proxima verba: πρώτοις γὰρ σφίσιν αὐτοῖς ἐπαγγέλλουσι, parentheſi includenda eſſe putavi, et maiorem diſtinctionem poſt εἶναι ſuſtuli. Nam σφίσιν αὐτοῖς aperte ad eosdem Eleos pertinet, et cauſam, cur ipſis iam tum fuerint induciae, neque de defenſione agri ſui cogitarint, continet.

οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγεῖλαι —. Totius loci ſententia haec eſt: Dixerant Elei, ſe tempore Olympiaci foederis, (i. e. induciarum, quae per totam Graeciam agebantur, quandocumque certamina Olympica committebantur) ipſis (i. e. Eleis) iam indicti, non exſpectaſſe Lacedaemoniorum incurſionem, et iniuria ab his affectos eſſe. Ad quae Lacedaemonii reſpondent, „ſi iniuriam ſibi illatam putaſſent, non opus fuiſſe inducias poſtea nihilo ſecius Spartae indicere; hoc tamen eos feciſſe (i. e. inducias poſtea indixiſſe), non ut rem ita aeſtimantes (nempe iniuriam ſibi illatam eſſe a Lacedaemoniis). Neque ſe usquam alio amplius arma illis intuliſſe.“ Mutavimus igitur interpunctionem, poſt αὐτούς et poſt δρᾶσαι paullo plenius interpungentes. Huic rationi non obſtat, quod in poſtremo membro caſus ſubiecti nullus apparet. Quippe nominativus latet in verbo ἔλεγον, quod ex ὑπελάμβανον ſubaudiendum eſt. Paullo ante autem accuſativus νομίζοντας ſubiectum Ἠλείους ſatis perſpicue indicat. Ceterum de more eiusmodi ferias indicendi infra dicemus ad 8, 9.

ὡς μὲν οὐκ ἀδικοῦσι — πεισθῆναι. Infinitivus πεισθῆναι pendet a τοῦ λόγου. — Mox αὑτῶν offenderit pro αὐτῶν, quae ſaepiſſime corrumpuntur. Cf. 4, 42 extr. καταλιπόντες τοὺς ἡμίσεις αὑτῶν ἐν Κεγχρειᾷ, ubi optimi codices αὐτῶν. Item 4, 61 extr. in verbis οὐ γὰρ ἀπὸ τῆς αὑτῶν ὁρμῶνται Ἀθηναῖοι, et cap. 62. τὴν δὲ αὑτοῦ τινὰ σωτηρίαν προϊδεῖν; et paullo poſt τὰ αὑτῶν, iisdem fere codicibus praebentibus αὐτῶν et αὐτοῦ. Etiam 5, 59. ἐν τῇ αὑτῶν pro vulgato αὐτῶν. Sic tamen omnes 4, 27. Κλέων δέ, γνοὺς αὑτῶν τὴν ἐς αὑτὸν

ται σφίσι Λέπρεον ἀποδοῦναι, τό τε αὐτῶν μέρος ἀφιέναι τοῦ ἀργυρίου, καὶ ὃ τῷ θεῷ γίγνεται, αὐτοὶ ὑπὲρ ἐκείνων ἐκτίσειν.

50. Ὡς δ' οὐκ ἐσήκουον, αὖθις τάδε ἠξίουν, Λέπρεον μὲν μὴ ἀποδοῦναι, εἰ μὴ βούλονται· ἀναβάντες δὲ ἐπὶ τὸν βωμὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου, ἐπειδὴ προθυμοῦνται χρῆσθαι τῷ ἱερῷ, ἀπομόσαι ἐναντίον τῶν Ἑλλήνων, ἦ μὴν ἀποδώσειν ὕστερον τὴν καταδίκην. Ὡς δὲ οὐδὲ ταῦτα ἤθελον, Λακεδαιμόνιοι μὲν εἴργοντο τοῦ ἱεροῦ θυσίας, καὶ ἀγώνων, καὶ οἴκοι ἔθυον· οἱ δὲ ἄλλοι Ἕλληνες ἐθεώρουν, πλὴν Λεπρεατῶν. Ὅμως δὲ οἱ Ἠλεῖοι, δεδιότες, μὴ βίᾳ θύσωσι, ξὺν ὅπλοις τῶν νεωτέρων φυλακὴν εἶχον. Ἦλθον δὲ αὐτοῖς καὶ Ἀργεῖοι καὶ Μαντινεῖς, χίλιοι ἑκατέρων, καὶ Ἀθηναίων ἱππεῖς, οἳ ἐν Ἄργει ὑπέμενον τὴν ἑορτήν. Δέος δ' ἐγένετο τῇ πανηγύρει μέγα, μὴ ξὺν ὅπλοις ἔλθωσιν οἱ Λακεδαιμόνιοι, ἄλλως τε καὶ ἐπειδὴ καὶ Λείχας ὁ Ἀρκεσιλάου Λακεδαιμόνιος ἐν τῷ ἀγῶνι ὑπὸ τῶν ῥαβδούχων πληγὰς ἔλαβεν, ὅτι, νικῶντος τοῦ ἑαυ-

foederis Olympici tempore. 50. Ac ne per vim accedere poſſent (id quod tota panegyris metuebat) armatos

ὑποψίαν. Ibid. cap. 18. ὡς ἂν αἱ τύχαι αὐτῶν ἡγήσωνται. Cf. ad 3, 61.

50. τοῦ ἱεροῦ θυσίας, καὶ ἀγώνων. Recte Valla iungit τοῦ ἱεροῦ θυσίας. Vulgo poſt ἱεροῦ commate diſtinguitur, ut tria ſint, a quibus arceri dicantur Lacedaemonii. Sed cum ſequatur καὶ οἴκοι ἔθυον, altera ratio non ſolum doctior, ſed etiam verior eſt. Solet autem Thucydides in talibus cuique verbo vel nomini apponere particulam καί. Cap. 47. exemplis abundat. Neque dura eſt haec genitivi iunctura. — ἐθεώρουν, ludis intererant et operam dabant, ſpectabant.

μὴ βίᾳ θύσωσι, int. οἱ Λακεδαιμόνιοι. Nam infra dicit, huc reverſus: Οἱ μέντοι Λακεδαιμόνιοι ἡσύχασαν. — ξὺν ὅπλοις τῶν νεωτέρων, i. e. ἐκέλευον τοὺς νεωτέρους φυλακὴν ἔχειν ξὺν ὅπλοις.

ὑπὸ τῶν ῥαβδούχων. Bredovius quoque intelligit Ἑλλανοδίκας, vel ἀγωνοθέτας, laudans Schol. ad Ariſtoph. Pac. V. 733., unde Suidas ſua hauſerit. Rem conficit locus Pauſaniae 2, 2., ubi eadem res narratur his verbis: Λίχας, Ἀρκεσιλάου παῖς, εἰργομένων τηνικαῦτα τοῦ ἀγῶνος Λακεδαιμονίων, καθῆκεν ἐπὶ ὀνόματι τοῦ Θηβαίων δήμου τὸ ἅρμα, τὸν δὲ ἡνίοχον νικήσαντα ἀνέδησεν αὐ-

τοῦ ζεύγους, καὶ ἀνακηρυχθέντος Βοιωτῶν δημοσίου, κατὰ τὴν οὐκ ἐξουσίαν τῆς ἀγωνίσεως, προελθὼν ἐς τὸν ἀγῶνα, ἀνέδησε τὸν ἡνίοχον, βουλόμενος δηλῶσαι, ὅτι ἑαυτοῦ ἦν τὸ ἅρμα. ὥστε πολλῷ δὴ μᾶλλον ἐπεφόβηντο πάντες, καὶ ἐδόκει τι νέον ἔσεσθαι. Οἱ μέντοι Λακεδαιμόνιοι ἡσύχασάν τε, καὶ ἡ ἑορτὴ αὐτοῖς οὕτω διῆλθεν. Ἐς δὲ Κόρινθον μετὰ τὰ Ὀλύμπια Ἀργεῖοί τε καὶ οἱ ξύμμαχοι ἀφίκοντο, δεησόμενοι αὐτῶν παρὰ σφᾶς ἐλθεῖν. Καὶ Λακεδαιμονίων πρέσβεις ἔτυχον παρόντες· καὶ πολλῶν λόγων γενομένων, τέλος οὐδὲν ἐπράχθη· ἀλλὰ, σεισμοῦ γενομένου, διελύθησαν ἕκαστοι ἐπ' οἴκου. Καὶ τὸ θέρος ἐτελεύτα.

51. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, Ἡρακλεώταις τοῖς ἐν Τραχῖνι μάχη ἐγένετο πρὸς Αἰνιᾶνας, καὶ Δόλοπας, καὶ Μηλιέας, καὶ Θεσσαλῶν τινάς. Προσοικοῦντα γὰρ τὰ ἔθνη ταῦτα τῇ πόλει πολέμια ἦν. οὐ γὰρ ἐπ' ἄλλῃ τινὶ γῇ, ἢ τῇ τούτων, τὸ χωρίον ἐτειχίσθη· καὶ εὐθύς τε καθισταμένῃ τῇ πόλει ἠναντιοῦντο, ἐς ὅσον ἐδύναντο φθείροντες, καὶ τότε τῇ μάχῃ ἐνίκησαν τοὺς Ἡρακλεώτας, καὶ Ξενάρης ὁ Κνίδιος Λακεδαιμόνιος ἄρχων αὐτῶν ἀπέθανε· διεφθάρησαν δὲ

custodes partim suorum, partim sociorum, Elei disponunt. 51. Insequente hieme Heracleotae in Trachiniis a vicinis Thessaliae populis, semper infestis huic oppido, clade

τὸς ταινίᾳ. Καὶ ἐπὶ τούτῳ μαστιγοῦσιν αὐτὸν (τὸν Λείχαν) οἱ Ἑλλανοδίκαι.

51. τὰ ἔθνη ταῦτα τῇ πόλει. Vulgo ταύτῃ τῇ πόλει, quod iam correxit ex plurimis libris Benedictus. — Inferius paullo Xenares vocatur ὁ Κνίδιος Λακεδαιμόνιος, ubi Wassius inconsulte disputat, quoniam Cnidii Lacedaemoniorum coloni fuerint, hunc Cnidium Xenarem Lacedaemonium dici a Thucydide. Nam si erat Cnidius, quid opus erat et qui licebat, eum Lacedaemonium vocare? Deinde non solet articulum addere Scriptor noster nominibus gentilibus, sive patris nomen cum articulo praecesserit, sive non, ut c. 50. Λείχας ὁ Ἀρκεσιλάου Λακεδαιμόνιος. Quod autem c. 52. legitur Ἡγησιππίδαν τὸν Λακεδαιμόνιον, ibi articulum ad rem summam demonstrandam necessarium esse arbitramur. Ergo Κνίδιος genitivus est a Κνίδις, quod erat nomen patri Xenaris, si lectio certa. Hanc etiam Heilmanni sententiam fuisse video.

καὶ ἄλλοι τῶν Ἡρακλεωτῶν. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ δωδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

52. Τοῦ δ᾽ ἐπιγιγνομένου θέρους, εὐθὺς ἀρχομένου, τὴν Ἡράκλειαν, ὡς μετὰ τὴν μάχην κακῶς ἐφθείρετο, Βοιωτοὶ παρέλαβον, καὶ Ἡγησιππίδαν τὸν Λακεδαιμόνιον, ὡς οὐ καλῶς ἄρχοντα, ἐξέπεμψαν. Δείσαντες δὲ παρέλαβον τὸ χωρίον, μὴ, Λακεδαιμονίων τὰ κατὰ Πελοπόννησον θορυβουμένων, Ἀθηναῖοι λάβωσι. Λακεδαιμόνιοι μέντοι ὠργίζοντο αὐτοῖς. Καὶ τοῦ αὐτοῦ θέρους Ἀλκιβιάδης ὁ Κλεινίου, στρατηγὸς ὢν Ἀθηναίων, Ἀργείων καὶ τῶν ξυμμάχων ξυμπρασσόντων, ἐλθὼν ἐς Πελοπόννησον μετ᾽ ὀλίγων Ἀθηναίων ὁπλιτῶν καὶ τοξοτῶν, καὶ τῶν αὐτόθεν ξυμμάχων παραλαβὼν, τά τε ἄλλα ξυγκαθίστη περὶ τὴν ξυμμαχίαν, διαπορευόμενος Πελοπόννησον τῇ στρατιᾷ, καὶ Πατρέας τε τείχη καθεῖναι ἔπεισεν ἐς θάλασσαν, καὶ αὐτὸς ἕτερον διενοεῖτο τειχίσαι ἐπὶ τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ. Κορίνθιοι δὲ καὶ Σικυώνιοι, καὶ οἷς ἦν ἐν βλάβῃ τειχισθὲν, βοηθήσαντες διεκώλυσαν.

53. Τοῦ δ᾽ αὐτοῦ θέρους Ἐπιδαυρίοις καὶ Ἀργείοις πόλεμος ἐγένετο, προφάσει μὲν, περὶ τοῦ θύματος τοῦ Ἀπόλλωνος τοῦ Πυθέως, ὃ δέον ἀπαγαγεῖν,

afficiuntur. Finis anni duodecimi. 52. Sequente aestate Boeoti Heracleam recipiunt, veriti, ne Athenienses id faciant. Alcibiades, dux Atheniensium expeditionem cum paucis copiis in Peloponnesum facit, et ibi res sociorum ordinat, Patrensibus persuadet, ut murum usque ad mare perducant, et ipse alium murum usque ad Rhium Achaicum struere occipit, impeditus tamen a Corinthiis et Sicyoniis. 53. Bellum inter Epidaurios et Argivos

52. **καὶ τῶν αὐτόθεν ξυμμάχων παραλαβών,** int. cum Schol. τινάς vel μέρος τι, ut saepe. Nam ita omisso καί ante παραλαβών legendum esse ex optimis libris, iam Duckerus docuerat, etsi frustra. αὐτόθεν, e Peloponneso. Qui igitur in Peloponneso erant socii, eos non adducebat secum, sed ibi recipiebat. — *Patrae*, urbs Achaiae.

53. **τοῦ Ἀπόλλωνος τοῦ Πυθέως.** Huius templum, auctore Pausania 2, 35, 2, in agro

οὐκ ἀπέπεμπον ὑπὲρ παραποταμίων Ἐπιδαύριοι· (κυριώτατοι δὲ τοῦ ἱεροῦ ἦσαν Ἀργεῖοι) ἐδόκει δὲ, καὶ ἄνευ τῆς αἰτίας, τὴν Ἐπίδαυρον τῷ τε Ἀλκιβιάδῃ καὶ τοῖς Ἀργείοις προςλαβεῖν, ἢν δύνωνται, τῆς τε Κορίνθου ἕνεκα ἡσυχίας, καὶ ἐκ τῆς Αἰγίνης βραχυτέραν ἔσεσθαι τὴν βοήθειαν, ἢ Σκύλλαιον περιπλεῖν, τοῖς Ἀθηναίοις. Παρεσκευάζοντο οὖν οἱ Ἀργεῖοι, ὡς αὐτοὶ ἐς τὴν Ἐπίδαυρον διὰ τοῦ θύματος τὴν ἔςπραξιν ἐςβαλοῦντες.

54. Ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι κατὰ τοὺς αὐτοὺς χρόνους πανδημεὶ ἐς Λεῦκτρα τῆς ἑαυτῶν μεθορίας, πρὸς τὸ Λύκαιον, Ἄγιδος τοῦ Ἀρχιδάμου βασιλέως ἡγουμένου. Ἤιδει δὲ οὐδεὶς, ὅποι στρατεύουσιν, οὐδὲ αἱ πόλεις, ἐξ ὧν ἐπέμφθησαν. Ὡς δ' αὐτοῖς τὰ διαβατήρια θυομένοις οὐ προὐχώρει, αὐτοί τε ἀπῆλθον ἐπ' οἴκου, καὶ τοῖς ξυμμάχοις περιήγγειλαν, μετὰ τὸν μέλλοντα (Καρνεῖος δ' ἦν μὴν, ἱερο-

ortum, Alcibiade incitante. 54. Lacedaemonii quidem usque ad Leuctra in confiniis caſtra movebant, ſed ominibus moniti recedebant domum, Carnea celebraturi.

Hermionico erat. Lectio *ὑπὲρ βοταμίων*, quam, Vallam ſecuti, interpretantur *paſcuorum nomine*, haud dubie corrupta eſt. In codd. Reg. Cam. Marg. Gr. et uno Pariſ. legitur: *ὑπὲρ παραποταμίων*, quod amplectitur Benedictus, de regione ad fluvium quendam ſita accipiens, cuius nomine tributi quoddam genus, nempe hoſtiam, in templo Apollinis Pythii offerre debuerint Epidaurii. cf. c. 31. Originem corruptae lectionis ſignificare videtur unius codicis Pariſienſis ſcriptura *ὑπερπαραβοπαμίων*. Eandem lectionem iam Weſſelingius ad Diodor. Sic. T. I. p. 533. probabat, intelligens *accolas fluvii* in Epidauriorum vicinia. Quare, cum ſententiam fundat haec ſcriptura ſatis aptam, et cauſa corruptelae ita facillime intelligi poſſit, veram haud dubie lectionem recepi.

κυριώτατοι δὲ — Ἀργεῖοι. Haec verba ceteris tamquam parenthesin interiecta eſſe, docet ratio particularum *μέν — δέ*, et illud *καὶ ἄνευ τῆς αἰτίας*, quod reſpicit ad *προφάσει*. Vulgo poſt *Ἐπιδαύριοι* et *Ἀργεῖοι* plene interpungitur. Etiam inferius interpunctio neglecta erat ante *τοῖς Ἀθηναίοις*, ubi comma ponendum eſt, ut haec verba etiam ad *βραχυτέραν ἔσεσθαι* facilius poſſint referri. — *Σκύλλαιον* eſt promontorium Argolidis.

54. *μετὰ τὸν μέλλοντα*, int. *μῆνα* ex ſequenti parentheſi.

μήνια Δωριεῦσι,) παρασκευάζεσθαι, ὡς στρατευσομένους. Ἀργεῖοι δ', ἀναχωρησάντων αὐτῶν, τοῦ πρὸ τοῦ Καρνείου μηνὸς ἐξελθόντες τετράδι φθίνοντος, καὶ ἄγοντες τὴν ἡμέραν ταύτην, πάντα τὸν χρόνον ἐσέβαλον ἐς τὴν Ἐπιδαυρίαν, καὶ ἐδῄουν. Ἐπιδαύριοι δὲ τοὺς ξυμμάχους ἐπεκαλοῦντο· ὧν τινές, οἱ μὲν τὸν μῆνα προὐφασίσαντο, οἱ δέ, καὶ ἐς μεθορίαν τῆς Ἐπιδαυρίας ἐλθόντες, ἡσύχαζον.

55. Καὶ καθ' ὃν χρόνον ἐν τῇ Ἐπιδαύρῳ οἱ Ἀργεῖοι ἦσαν, ἐς Μαντίνειαν πρεσβεῖαι ἀπὸ τῶν πόλεων ξυνῆλθον, Ἀθηναίων παρακαλεσάντων. Καὶ γιγνομένων λόγων, Εὐφαμίδας ὁ Κορίνθιος οὐκ ἔφη τοὺς λόγους τοῖς ἔργοις ὁμολογεῖν. Σφεῖς μὲν γὰρ περὶ εἰρήνης ξυγκαθῆσθαι, τοὺς δ' Ἐπιδαυρίους καὶ τοὺς ξυμμάχους, καὶ τοὺς Ἀργείους μεθ' ὅπλων ἀντιτετάχθαι.

Interim Argivi Epidauriam vaſtabant. 55. Legationes urbium poſtquam Mantineam convenerant, Epidaurium bellum componitur, in breve tempus; de pace univerſali

Apparet autem ex verbis τὸν μῆνα προὐφασίσαντο, totum menſem Carneum, vel certe maximam eius partem, ſacris ac diebus feſtis apud Lacedaemonios deſtinatum fuiſſe. Nec tamen ideo lectio ἱερομήνια praeferenda eſt alteri ἱερομηνία, quae, ut Duck. docet (Ed. Lipſ. T. II. p. 809.) non unius, ſed plurium etiam dierum ſacrum indicat, (cf. ad 3, 56.) licet Schol. h. l. ἱερομηνία interpretetur: ἡ ἑορτώδης ἡμέρα.

πάντα τὸν χρόνον ἐσέβαλον. Sic vulgo. Sed fortaſſis praeſtat lectio duorum codicum ἐσέβαλλον propter verba πάντα τὸν χρόνον, quod ſive de tota aeſtate cum Bredovio intelligas, ſive de tempore τῶν ἱερομηνιῶν, quod mihi veriſimilius videtur, certe non conveniat aoriſto, niſi ſi hunc ſtatueris accipiendum eſſe pro participio ἐσβαλόντες ἐδῄουν, ut magis ad ἐδῄουν, quam ad ἐσέβαλον pertineant verba πάντα τὸν χρόνον. Quae ratio ferri poſſe videtur. cf. cap. 55. — ἄγοντες cum Schol. multi de celebratione dierum feſtorum intellexerunt. Sed intelligendum eſſe τὸν στρατόν, vel ex antecedentibus verbis: ἐξελθόντες τετράδι φθίνοντος recte colligitur. Nam urbem relinquebant ſex diebus ante menſem Carneum.

55. ἐν τῇ Ἐπιδαύρῳ οἱ Ἀργεῖοι ἦσαν. Articulum οἱ, codicibus iubentibus, adieci. — Ob eandem cauſam, et quia ſic eſt 4, 119., pro Ἐφαμίδας ſcripſi Εὐφαμίδας. Cf. Benedict. — Verba ἀπὸ τῶν πόλεων de foederatis tantum vel ſociis civitatibus intelligenda ſunt.

Διαλῦσαι οὖν πρῶτον χρῆναι ἀφ' ἑκατέρων ἐλθόντας τὰ στρατόπεδα, καὶ οὕτω πάλιν λέγειν περὶ τῆς εἰρήνης. Καὶ πεισθέντες ᾤχοντο, καὶ τοὺς Ἀργείους ἀπήγαγον ἐκ τῆς Ἐπιδαυρίας. Ὕστερον δὲ ἐς τὸ αὐτὸ ξυνελθόντες, οὐδ' ὣς ἐδυνήθησαν ξυμβῆναι· ἀλλ' οἱ Ἀργεῖοι πάλιν ἐς τὴν Ἐπιδαυρίαν ἐσέβαλον, καὶ ἐδῄουν. Ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐς Καρύας· καὶ ὡς οὐδ' ἐνταῦθα τὰ διαβατήρια αὐτοῖς ἐγένετο, ἐπανεχώρησαν. Ἀργεῖοι δὲ, τεμόντες τῆς Ἐπιδαυρίας ὡς τὸ τρίτον μέρος, ἀπῆλθον ἐπ' οἴκου· καὶ Ἀθηναίων αὐτοῖς χίλιοι ἐβοήθησαν ὁπλῖται, καὶ Ἀλκιβιάδης στρατηγός. Πυθόμενοι δὲ τοὺς Λακεδαιμονίους ἐξεστρατεῦσθαι, καὶ ὡς οὐδὲν ἔτι αὐτῶν ἔδει, ἀπῆλθον. Καὶ τὸ θέρος οὕτω διῆλθε.

56. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι, λαθόντες Ἀθηναίους, φρουρούς τε τριακοσίους, καὶ Ἀγησιππίδαν ἄρχοντα κατὰ θάλασσαν ἐς Ἐπίδαυρον ἐσέπεμψαν. Ἀργεῖοι δ' ἐλθόντες παρ' Ἀθηναίους, ἐπεκάλουν, ὅτι, γεγραμμένον ἐν ταῖς σπονδαῖς, διὰ τῆς ἑαυτῶν ἑκάστους μὴ ἐᾶν πολεμίους διϊέναι, ἐάσειαν κατὰ θάλασσαν παραπλεῦσαι· καὶ εἰ μὴ κἀκεῖνοι ἐς Πύλον κομιοῦσιν ἐπὶ Λακεδαιμονίους τοὺς Μεσσηνίους

nihil conficitur. 56. Lacedaemonii CCC milites clam Athenienſibus Epidaurum mittunt per mare. Qua re

διαλῦσαι οὖν — στρατόπεδα. Ordo verborum eſt: ἐλθόντας ἀφ' ἑκατέρων χρῆναι διαλῦσαι τὰ στρατόπεδα. Sed quinam ſunt ἑκάτεροι? Argivos ab altera parte eſſe patet, ab altera autem Corinthios, et ſemper (cf. 1, 105.) et hic quoque Epidauriorum ſocios ac patronos, intellexerim. Nam Epidauriorum legatos affuiſſe, non eſt credibile, cum non ſolum ſocii non eſſent Argivorum, ſed etiam hoſtes eo tempore.

ἐς Καρύας. Κάρυαι oppidum Laconicae ſeptemtrionalis. Erat in itinere Lacedaemone Argos et in Argolidem proficiſcentibus.

ἐξεστρατεῦσθαι, cum Bredovio interpretandum eſt, *expeditioni ſinem impoſuiſſe.* Haec enim vis eſt *perfecti* medii.

56. Ἀγησιππίδαν. Supra c. 52. Ἡγησιππίδας quidam Lacedaemonius commemorabatur, Heracleae Trachiniae qui praefuerat. Fortaſſis idem hic intelligendus.

ἐπὶ Λακεδαιμονίους, i. e. damno vel detrimento Lacedae-

καὶ Εἵλωτας, ἀδικήσεσθαι αὐτοί. Ἀθηναῖοι δὲ, Ἀλκιβιάδου πείσαντος, τῇ μὲν Λακωνικῇ στήλῃ ὑπέγραψαν, ὅτι οὐκ ἐνέμειναν οἱ Λακεδαιμόνιοι τοῖς ὅρκοις, ἐς δὲ Πύλον ἐκόμισαν τοὺς ἐκ Κρανίων Εἵλωτας λῄζεσθαι· τὰ δ' ἄλλα ἡσύχαζον. Τὸν δὲ χειμῶνα τοῦτον, πολεμούντων Ἀργείων καὶ Ἐπιδαυρίων, μάχη μὲν οὐδεμία ἐγένετο ἐκ παρασκευῆς, ἐνέδραι δὲ καὶ καταδρομαὶ, ἐν αἷς, ὡς τύχοιεν, ἑκατέρων τινὲς διεφθείροντο. Καὶ τελευτῶντος τοῦ χειμῶνος πρὸς ἔαρ ἤδη, κλίμακας ἔχοντες οἱ Ἀργεῖοι ἦλθον ἐπὶ τὴν Ἐπίδαυρον, ὡς, ἐρήμου οὔσης διὰ τὸν πόλεμον, βίᾳ αἱρήσοντες· καὶ ἄπρακτοι ἀπῆλθον. Καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ τρίτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

57. Τοῦ δ' ἐπιγιγνομένου θέρους μεσοῦντος Λακεδαιμόνιοι, ὡς αὐτοῖς οἵ τε Ἐπιδαύριοι, ξύμμαχοι ὄντες, ἐταλαιπώρουν, καὶ τἄλλα ἐν τῇ Πελοποννήσῳ, τὰ μὲν ἀφειστήκει, τὰ δ' οὐ καλῶς εἶχε, νομίσαντες, εἰ μὴ προκαταλήψονται ἐν τάχει, ἐπὶ πλέον χωρήσεσθαι αὐτὰ, ἐστράτευον αὐτοὶ καὶ οἱ Εἵλωτες πανδημεὶ ἐπ' Ἄργος. ἡγεῖτο δὲ Ἆγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς. Ξυνεστράτευον δ' αὐτοῖς Τεγεᾶταί τε καὶ ὅσοι ἄλλοι Ἀρκάδων Λακεδαιμονίοις ξύμμαχοι ἦσαν. Οἱ

offenſi Argivi cum poſtularent, ut Athenienſes Pylum Meſſenios et Helotes reducerent: illi morem iis geſſerunt. Bellum cum Epidauriis integratum. 57. Ne gliſceret haec civitatum Peloponneſiacarum defectio, latiusque ſerperet, Lacedaemonii antevertere ſtatuunt, et duce Agide

moniorum. — ἀδικήσεσθαι modo pro paſſivo, ut ſaepe. — τῇ Λακωνικῇ στήλῃ, quae Athenis quidem erat, ſic tamen nominatur, quod in ea ſcriptum erat foedus Laconicum.

τοὺς ἐκ Κρανίων. Vid. cap. 35 extr. Κατῴκισαν αὐτοὺς ἐν Κρανίοις τῆς Κεφαλληνίας.

ὡς, ἐρήμου οὔσης — βίᾳ αἱρήσοντες. Virgula interpunxi poſt ὡς, quia melius haec particula iungitur cum αἱρήσοντες, quam cum οὔσης. Ita c. 54. Τοῖς ξυμμάχοις περιήγγειλαν — παρασκευάζεσθαι, ὡς στρατευσομένους. Neque tamen ita notio voculae ὡς verbis ἐρήμου οὔσης ſubtrahitur, quia hoc membrum pendet ab altero ὡς βίᾳ αἱρήσοντες, et ad ſolam cogitationem referri poteſt.

δ' ἐκ τῆς ἄλλης Πελοποννήσου ξύμμαχοι, καὶ οἱ ἔξωθεν, ἐς Φλιοῦντα ξυνελέγοντο· Βοιωτοὶ μὲν, πεντακισχίλιοι ὁπλῖται, καὶ τοσοῦτοι ψιλοὶ, καὶ ἱππεῖς πεντακόσιοι, καὶ ἅμιπποι ἴσοι· Κορίνθιοι δὲ, δισχίλιοι ὁπλῖται· οἱ δ' ἄλλοι, ὡς ἕκαστοι· Φλιάσιοι δὲ πανστρατιᾷ, ὅτι ἐν τῇ ἐκείνων ἦν τὸ στράτευμα.

58. Ἀργεῖοι δὲ, προαισθόμενοι τό, τε πρῶτον τὴν παρασκευὴν τῶν Λακεδαιμονίων, καὶ ἐπειδὴ ἐς τὸν Φλιοῦντα, βουλόμενοι τοῖς ἄλλοις προσμίξαι, ἐχώρουν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί. Ἐβοήθησαν δ' αὐτοῖς καὶ Μαντινεῖς, ἔχοντες τοὺς σφετέρους ξυμμάχους, καὶ Ἠλείων τρισχίλιοι ὁπλῖται. Καὶ προϊόντες, ἀπαντῶσι τοῖς Λακεδαιμονίοις ἐν Μεθυδρίῳ τῆς Ἀρκαδίας· καὶ καταλαμβάνουσιν ἑκάτεροι λόφον. Καὶ οἱ μὲν Ἀργεῖοι ὡς μεμονωμένοις τοῖς Λακεδαιμονίοις παρεσκευάζοντο μάχεσθαι· ὁ δὲ Ἆγις, τῆς νυκτὸς ἀναστήσας τὸν στρατὸν, καὶ λαθὼν, ἐπορεύετο ἐς Φλιοῦντα παρὰ τοὺς ἄλλους ξυμμάχους. Καὶ οἱ Ἀργεῖοι, αἰσθόμενοι, ἅμα ἕῳ ἐχώρουν, πρῶτον μὲν, ἐς Ἄργος, ἔπειτα δὲ, ᾗ προσεδέχοντο τοὺς Λακεδαιμονίους μετὰ τῶν ξυμμάχων καταβήσεσθαι, τὴν κατὰ Νεμέαν ὁδόν. Ἆγις δὲ ταύτην μὲν, ἣν προσεδέχοντο, οὐκ ἐτράπετο, παραγγείλας δὲ τοῖς Λακεδαιμονίοις καὶ Ἀρκάσι καὶ Ἐπιδαυρίοις, ἄλλην ἐχώρησε χαλεπὴν, καὶ κατέβη ἐς τὸ Ἀργείων πεδίον· καὶ Κορίνθιοι καὶ Πελληνεῖς καὶ Φλιάσιοι ὄρθριον ἑτέραν ἐπορεύοντο· τοῖς δὲ Βοιωτοῖς

una cum ſociis tendunt adverſus Argos. Copiae ſociorum enumerantur. 58. Argivi ſentientes contra eunt; at Agis alio itinere ad ſocios pervenit, quibuscum conſilio

57. *ἅμιπποι*, pedites ſunt iuxta equites collocati. Vid. Kühn. ad Polluc. I, 131. „Ἅμιπποι, inquit, proprie equites ſunt, qui duos una equos trahunt et alternis uſurpant. Horum nomen ὁμωνύμως peditibus communicatur, quod ſoleant in acie immiſceri equitibus pro uſu bellico, imprimis πρὸς ἐκδρομάς." Cf. Xen. Hellen. 7, 5, 23. ibique Schneider.

58. *προαισθόμενοι τό, τε πρῶτον.* Cf. ad 5, 43.

ὄρθριον ἑτέραν ἐπορεύοντο. Vulgata lectio ὄρθιον expli-

καὶ Μεγαρεῦσι καὶ Σικυωνίοις εἴρητο τὴν ἐπὶ Νεμέας ὁδὸν καταβαίνειν, ᾗ οἱ Ἀργεῖοι ἐκάθηντο, ὅπως, εἰ οἱ Ἀργεῖοι ἐπὶ σφᾶς ἰόντες ἐς τὸ πεδίον βοηθοῖεν, ἐφεπόμενοι τοῖς ἵπποις χρῷντο. Καὶ ὁ μὲν, οὕτω διατάξας, καὶ ἐσβαλὼν ἐς τὸ πεδίον, ἐδῄου Σάμινθόν τε καὶ ἄλλα.

59. Οἱ δὲ Ἀργεῖοι, γνόντες, ἐβοήθουν ἡμέρας ἤδη ἐκ τῆς Νεμέας, καὶ περιτυχόντες τῷ Φλιασίων καὶ Κορινθίων στρατοπέδῳ, τῶν μὲν Φλιασίων ὀλίγους ἀπέκτειναν, ὑπὸ δὲ τῶν Κορινθίων αὐτοὶ οὐ πολλῷ πλείους διεφθάρησαν. Καὶ οἱ Βοιωτοὶ καὶ οἱ Μεγαρεῖς καὶ οἱ Σικυώνιοι ἐχώρουν, ὥςπερ εἴρητο αὐτοῖς, ἐπὶ τῆς Νεμέας· καὶ τοὺς Ἀργείους οὐκέτι κατέλαβον· ἀλλὰ καταβάντες, ὡς ἑώρων τὰ ἑαυτῶν δῃούμενα, ἐς μάχην παρετάσσοντο. Ἀντιπαρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι· ἐν μέσῳ δὲ ἀπειλημμένοι ἦσαν οἱ Ἀργεῖοι. Ἐκ μὲν γὰρ τοῦ πεδίου οἱ Λακεδαιμόνιοι εἶργον τῆς πόλεως, καὶ οἱ μετ' αὐτῶν· καθύπερθε δὲ, Κορίνθιοι καὶ Φλιάσιοι καὶ Πελληνεῖς· τὸ δὲ πρὸς Νεμέας, Βοιωτοὶ καὶ Σικυώνιοι καὶ Μεγαρεῖς. Ἵπποι

expoſito, 59. undique Argivos circumcludit. Quod periculum cum animadvertiſſent principes quidam Argi-

eari quidem poteſt intellecto ὁδόν. Sed plurimorum optimorumque librorum auctoritati non eſt reſiſtendum. Etiam Valla legit aut ὄρθριον, aut ὄρθριοι; nam vertit: „diverſo itinere matutini perrexere." Cf. Benedictus, qui hunc loquendi uſum ex Herodoto demonſtrat, non refragante Bredovio. Et Bauerus, etſi vulgatum probat, monet tamen, femininum ὀρθίαν in uſu eſſe. Corrupti codices Ar. C. praebent ex interpretamento: κατὰ ὄρθριον. — ἐπὶ σφᾶς ἰόντες, int. Lacedaemonios, Arcades et Epidaurios, qui cum Agide erant.

59. ἀλλὰ καταβάντες, intelligendi Argivi. Vid. ad 1, 3. 39. — Mox in verbis εἶργον ἀπὸ τῆς πόλεως praepoſitionem ἀπὸ cum Waſſio et Benedicto abiecimus, duodecim codd. auctoritate. ἡ πόλις h. l. Ἄργος. τὸ δὲ πρὸς Νεμέας, dictum ut πρὸς μεσημβρίας, πρὸς ἑσπέρας, pro accuſativo πρὸς Νεμέαν, verſus Nemeam. — αὐτοῖς, Ἀργείοις. — ἵπποι — οὐ παρῆσαν. Ex hoc loco colligo, Argivos cum ſociis Peloponneſiacis tum temporis omnino caruiſſe equitatu, cum eum hic et alibi (c. 50.) Athenienſes ſoli adduxiſſe dicantur, qui tum nondum

δὲ αὐτοῖς οὐ παρῆσαν· οὐ γάρ πω οἱ Ἀθηναῖοι μόνοι τῶν ξυμμάχων ἧκον. Τὸ μὲν οὖν πλῆθος τῶν Ἀργείων καὶ τῶν ξυμμάχων οὐχ οὕτω δεινὸν τὸ παρὸν ἐνόμιζον, ἀλλ' ἐν καλῷ ἐδόκει ἡ μάχη ἔσεσθαι, καὶ τοὺς Λακεδαιμονίους ἀπειληφέναι ἐν τῇ αὑτῶν τε καὶ πρὸς τῇ πόλει. Τῶν δὲ Ἀργείων δύο ἄνδρες, Θράσυλλός τε, τῶν πέντε στρατηγῶν εἷς ὤν, καὶ Ἀλκίφρων, πρόξενος Λακεδαιμονίων, ἤδη τῶν στρατοπέδων ὅσον οὐ ξυνιόντων, προσελθόντε Ἄγιδι, διελεγέσθην, μὴ ποιεῖν μάχην. ἑτοίμους γὰρ εἶναι Ἀργείους δίκας δοῦναι καὶ δέξασθαι ἴσας καὶ ὁμοίας, εἴ τι ἐπικαλοῦσιν Ἀργείοις Λακεδαιμόνιοι, καὶ τὸ λοιπὸν εἰρήνην ἄγειν, σπονδὰς ποιησαμένους.

60. Καὶ οἱ μὲν ταῦτα εἰπόντες τῶν Ἀργείων, ἀφ' ἑαυτῶν, καὶ οὐ τοῦ πλήθους κελεύσαντος, εἶπον. Καὶ ὁ Ἆγις, δεξάμενος τοὺς λόγους, αὐτὸς, καὶ οὐ μετὰ τῶν πλειόνων οὐδὲ αὐτὸς βουλευσάμενος, ἀλλ' ἢ ἑνὶ ἀνδρὶ κοινώσας τῶν ἐν τέλει ξυστρατευομένων, σπένδεται τέσσαρας μῆνας, ἐν οἷς ἔδει ἐπιτελέσαι αὐτοὺς τὰ ῥηθέντα. καὶ ἀπήγαγε τὸν στρατὸν εὐθὺς,

vorum, ad Agidem ſe conferunt, petentes, ne proelium committat. Se enim ad pacem faciendam paratos eſſe. 60. Panguntur igitur induciae in quatuor menſes cum eo, ut interea Argivi efficerent, quae promiſiſſent. Sed

aderant. Etiam ceterae civitates Peloponneſi non videntur equites habuiſſe, praeter Lacedaemonios, qui exiguum tamen equorum numerum alebant, et Corinthios. Maxime autem equi ad bellum alebantur a Theſſalis et Boeotiae populis.

ἀπειληφέναι ἐν τῇ αὑτῶν —. Subaudi ἐνόμιζον ex praecedente ἐδόκει. Pro αὑτῶν et hic plurimi libri αὐτῶν. Vid. ad c. 49.

προσελθόντε Ἄγιδι. Benedictus ex Vindob. Ar. C. Cl. Caſſ. Aug. et ſex Pariſſ. praefert προσελθόντες. — ποιεῖν recte de duce. Cf. ad c. 76.

60. αὐτὸς, καὶ οὐ μετὰ τῶν πλ. Αὐτὸς eſt ſolus. C. 31. Ἠλεῖοι τὴν γῆν νεμομένοις αὐτοῖς τοῖς Λεπρεάταις τάλαντον ἔταξαν τῷ Διῒ τῷ Ὀλυμπίῳ ἀποφέρειν. Vid. 5, 81. Theocrit. X, 19. τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος. Hom. Il. ϑ', 99. — Poſt Ἆγις Abreſchius, probante Bauero, excidiſſe putabat δέ, quippe abſorptum a prima ſequentis vocabuli ſyllaba. Sed uſus particulae καί latius patet apud Noſtrum, ut poſt μέν etiam τοῦ δέ

οὐδενὶ φράσας τῶν ἄλλων ξυμμάχων. Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι εἵποντο μὲν, ὡς ἡγεῖτο, διὰ τὸν νόμον, ἐν αἰτίᾳ δ' εἶχον κατ' ἀλλήλους πολλῇ τὸν Ἆγιν, νομίζοντες, ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν, καὶ πανταχόθεν αὐτῶν ἀποκεκλεισμένων καὶ ὑπὸ ἱππέων καὶ πεζῶν, οὐδὲν δράσαντες ἄξιον τῆς παρασκευῆς ἀπιέναι. Στρατόπεδον γὰρ δὴ τοῦτο κάλλιστον Ἑλληνικὸν τῶν μέχρι τοῦδε ξυνῆλθεν· ὤφθη δὲ μάλιστα, ἕως ἔτι ἦν ἀθρόον ἐν Νεμέᾳ, ἐν ᾧ Λακεδαιμόνιοί τε πανστρατιᾷ ἦσαν, καὶ Ἀρκάδες, καὶ Βοιωτοὶ, καὶ Κορίνθιοι, καὶ Σικυώνιοι, καὶ Πελληνεῖς, καὶ Φλιάσιοι, καὶ Μεγαρεῖς· καὶ οὗτοι πάντες λογάδες ἀφ' ἑκάστων, ἀξιόμαχοι δοκοῦντες εἶναι οὐ τῇ Ἀργείων μόνον ξυμμαχίᾳ, ἀλλὰ καὶ ἄλλῃ ἔτι προσγενομένῃ. Τὸ μὲν οὖν στρατόπεδον, οὕτως ἐν αἰτίᾳ ἔχοντες τὸν Ἆγιν, ἀνεχώρουν τε καὶ διελύθησαν ἐπ' οἴκου ἕκαστοι. Ἀργεῖοι δὲ καὶ αὐτοὶ ἔτι ἐν πολλῷ πλείονι αἰτίᾳ εἶχον τοὺς σπεισαμένους ἄνευ τοῦ πλήθους, νομίζοντες κἀκεῖνοι, μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν, Λακεδαιμονίους διαπεφευγέναι· πρός τε γὰρ τῇ σφε-

Agidi ea res magnam invidiam conflavit; nec minus Argivi illi proceres odio erant suis, opinantibus, optimam Lacedaemonios profligandi occasionem per eos sibi ere-

vice fungatur. Vide, quae notavimus ad 4, 73. Itaque h. l. καὶ ὁ Ἆγις est pro ὁ δὲ Ἆγις.

διὰ τὸν νόμον. Cap. 66. Βασιλέως γὰρ ἄγοντος, ὑπ' ἐκείνου πάντα ἄρχεται. Vide ibi plura.

αὐτῶν ἀποκεκλεισμένων, int. Ἀργείων, vel τῶν πολεμίων. Obscurior sane pronominis relatio, non absimilis ei, quae est in verbis c. 72. Καὶ (ξυνέβη) τοὺς πολεμίου φθάσαι τῇ προσμίξει· καὶ, κελεύσαντος αὐτοῦ, ἐπὶ τοὺς Σκιρίτας ὡς οὐ παρῆλθον οἱ λόχοι, πάλιν αὖ σφίσι προσμῖξαι, μὴ δυνηθῆναι ἔτι, μηδὲ τούτους ξυγκλεῖσαι. Ubi pronomen τούτους ad τοὺς πολεμίους, quod remotius vocabulum est, pertinet. Hoc loco praecesserat αὐτούς, quod ad Argivos, quibuscum agebatur ab Agide, spectabat.

ἐν Νεμέᾳ. Iam in Scholiis quaestio subiicitur, quomodo dicere potuerit Thucydides, Nemeae congregatas fuisse omnes Lacedaemoniorum copias. Certe ante inducias non fuerunt; trifariam enim divisae erant. cf. c. 58. Videntur igitur abeuntes hac via incessisse omnes, utpote expeditiore. cf. ibid. — ἐν ᾧ, int. χρόνῳ.

τέρᾳ πόλει καὶ μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων τὸν ἀγῶνα ἂν γίγνεσθαι. Τόν τε Θράσυλλον, ἀναχωρήσαντες, ἐν τῷ Χαράδρῳ, οὗπερ τὰς ἀπὸ στρατείας δίκας, πρὶν ἐσιέναι, κρίνουσιν, ἤρξαντο λεύειν. Ὁ δὲ, καταφυγὼν ἐπὶ τὸν βωμὸν, περιγίγνεται· τὰ μέντοι χρήματα ἐδήμευσαν αὐτοῦ.

61. Μετὰ δὲ τοῦτο, Ἀθηναίων βοηθησάντων χιλίων ὁπλιτῶν, καὶ τριακοσίων ἱππέων, ὧν ἐστρατήγουν Λάχης καὶ Νικόστρατος, οἱ Ἀργεῖοι (ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν λῦσαι πρὸς τοὺς Λακεδαιμονίους,) ἀπιέναι ἐκέλευον αὐτοὺς, καὶ πρὸς τὸν δῆμον οὐ προσῆγον, βουλομένους χρηματίσαι, πρὶν ἡ Μαντινεῖς καὶ Ἠλεῖοι (ἔτι γὰρ παρῆσαν) κατηνάγκασαν δεόμενοι. Καὶ ἔλεγον οἱ Ἀθηναῖοι, Ἀλκιβιάδου πρεσβευτοῦ παρόντος, ἔν τε τοῖς Ἀργείοις καὶ ξυμμάχοις, ταῦτα, ὅτι οὐκ ὀρθῶς αἱ σπονδαὶ ἄνευ τῶν ἄλλων ξυμμάχων καὶ γένοιντο, καὶ νῦν (ἐν καιρῷ γὰρ παρεῖναι σφεῖς) ἅπτεσθαι χρῆναι τοῦ πολέμου. Καὶ πείσαντες ἐκ τῶν λόγων τοὺς ξυμμάχους, εὐθὺς ἐχώρουν ἐπὶ Ὀρχομενὸν τὸν Ἀρκαδικὸν πάντες, πλὴν Ἀργείων (οὗτοι δὲ, ὅμως καὶ πεισθέντες, ὑπελείποντο πρῶτον, ἔπειτα δ' ὕστερον καὶ οὗτοι ἦλθον·) καὶ προσκαθεζόμενοι τὸν

ptam. 61. Interim Alcibiades, cum Athenienſium copiae duce Lachete Argos adveniſſent, perſuadet ſociis, ut

οὗπερ τὰς ἀπὸ στρατείας δίκας. Sic pro τὰς ἀπὸ στρατιᾶς δίκας iam legere volebat Aem. Portus, probante Kiſten. Vid. Bredov. ad h. l. Cum praeter codd. Ar. C. etiam Caſſ. Aug. hanc aptiorem lectionem exhibeant, non dubitavi eam recipere.

61. ὅτι οὐκ ὀρθῶς — καὶ γένοιντο, καὶ νῦν ἅπτεσθαι χρῆναι τ. π. Transitus a ſtructura per ὅτι ad infinitivum. Vid. ſupra ad c. 46. — Mox πείσαντες τοὺς ξυμμάχους dictum eſt minus accurate pro: πεισθέντων τῶν ξυμμάχων. Sequitur enim ἐχώρουν πάντες. Tamen, quia in his *univerſis* etiam Athenienſes latent, Auctor ſic iungere potuit.

οὗτοι δὲ — καὶ οὗτοι ἦλθον. Haec verba parentheſin conſtituunt, ut docet totius loci oratio contexta. Ὀρχομενὸν τὸν Ἀρκαδικὸν nominat, quia et aliud huius nominis nobile oppidum erat, in Boeotia ſitum. Cf. 4, 76.

Ὀρχομενὸν πάντες ἐπολιόρκουν· καὶ προςβολὰς ἐποιοῦντο, βουλόμενοι ἄλλως τε προςγενέσθαι σφίσι, καὶ ὅμηροι ἐκ τῆς Ἀρκαδίας ἦσαν αὐτόθι ὑπὸ Λακεδαιμονίων κείμενοι. Οἱ δὲ Ὀρχομένιοι, δείσαντες τήν τε τοῦ τείχους ἀσθένειαν, καὶ τοῦ στρατοῦ τὸ πλῆθος, καὶ, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, μὴ προαπόλωνται, ξυνέβησαν, ὥςτε ξύμμαχοί τε εἶναι, καὶ ὁμήρους σφῶν τε αὐτῶν δοῦναι Μαντινεῦσι, καὶ οὓς κατέθεντο Λακεδαιμόνιοι, παραδοῦναι.

62. Μετὰ δὲ τοῦτο, ἔχοντες ἤδη τὸν Ὀρχομενὸν, ἐβουλεύοντο οἱ ξύμμαχοι, ἐφ' ὅ, τι χρὴ πρῶτον ἰέναι τῶν λοιπῶν. Καὶ Ἠλεῖοι μὲν ἐπὶ Λέπρεον ἐκέλευον, Μαντινεῖς δὲ ἐπὶ Τέγεαν. Καὶ προςέθεντο οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι τοῖς Μαντινεῦσι. Καὶ οἱ μὲν Ἠλεῖοι, ὀργισθέντες, ὅτι οὐκ ἐπὶ Λέπρεον ἐψηφίσαντο, ἀνεχώρησαν ἐπ' οἴκου· οἱ δὲ ἄλλοι ξύμμαχοι παρεσκευάζοντο ἐν τῇ Μαντινείᾳ, ὡς ἐπὶ Τέγεαν ἰόντες. καὶ τινὲς αὐτοῖς καὶ αὐτῶν Τεγεατῶν ἐν τῇ πόλει ἐνεδίδοσαν τὰ πράγματα.

Orchomenum aggrediantur; qua urbe capta, 62. Tegeam obſidere decernunt, praeter Eleos, qui propter of-

καὶ ὅμηροι — κείμενοι. Structura mutata, ſic loquitur pro *ὁμήρων κειμένων*, vel *καὶ ὅτι ὅμηροι* —. *ὑπὸ Λακεδαιμ. κείμενοι* pro *παρατεθέντες*. Nam praepoſitio *ὑπό* non minus verbis neutralibus vel intranſitivis iungitur, quam veris paſſivis. Notum eſt Homericum *ἀποθανεῖν ὑπό τινος*.

δοῦναι Μαντινεῦσι. Vulgo ante *Μαντινεῦσι* inſeritur *καί*, quod cum codd. Cl. Gr. Caſſ. Aug. Moſq. Reg. cum duobus aliis Pariſſ. et Valla, praeeunte Benedicto, expunximus. Rem illuſtrat locus c. 77. *Καὶ τὼς ἄνδρας τὼς ἐν Μαντινείᾳ τοῖς Λακεδαιμονίοις ἀποδιδόντας.*

62. *αὐτῶν Τεγεατῶν — ἐνεδίδοσαν.* Articulum *τῶν* ante *Τεγεατῶν* recte abiecit Benedict., quia a plurimis codd. abeſt. — *ἐνεδίδοσαν* Bauerus eſſe vult *παρεδίδοσαν* ſimpliciter, et refellere conatur et Duckerum, qui proditionis ſignificationem ineſſe dixerat, et Scholiaſtam, qui explicat *ἤμελλον*. At enim vero *ἐνδιδόναι* numquam ſimpliciter eſt *tradere*, ſed remittere, animum abiicere, ideoque non amplius defendere aut tueri. Hoc innuere voluit Schol. Duckerus autem rectius retulit ad *proditionem*, quia illa ſive remiſſio, ſive traditio rei publicae ſine proditione fieri non poterat.

63. Λακεδαιμόνιοι δὲ, ἐπειδὴ ἀνεχώρησαν ἐξ Ἄργους, τὰς τετραμήνους σπονδὰς ποιησάμενοι, Ἄγιν ἐν μεγάλῃ αἰτίᾳ εἶχον, οὐ χειρωσάμενον σφίσιν Ἄργος, παρασχὸν καλῶς, ὡς οὔπω πρότερον αὐτοὶ ἐνόμιζον· ἀθρόους γὰρ τοσούτους ξυμμάχους καὶ τοιούτους οὐ ῥᾴδιον εἶναι λαβεῖν. Ἐπειδὴ δὲ καὶ περὶ Ὀρχομενοῦ ἠγγέλλετο, ἑαλωκέναι, πολλῷ δὴ μᾶλλον ἐχαλέπαινον, καὶ ἐβούλευον εὐθὺς ὑπ' ὀργῆς, παρὰ τὸν τρόπον τὸν ἑαυτῶν, ὡς χρὴ τήν τε οἰκίαν αὐτοῦ κατασκάψαι, καὶ δέκα μυριάσι δραχμῶν ζημιῶσαι. Ὁ δὲ παρῃτεῖτο, μηδὲν τούτων δρᾷν· ἔργῳ γὰρ ἀγαθῷ ῥύσεσθαι τὰς αἰτίας στρατευσάμενος· ἢ τότε ποιεῖν αὐτοὺς ὅ, τι βούλονται. Οἱ δὲ τὴν μὲν ζημίαν καὶ τὴν κατασκαφὴν ἐπέσχον· νόμον δὲ ἔθεντο ἐν τῷ παρόντι, ὃς οὔπω πρότερον ἐγένετο αὐτοῖς. δέκα γὰρ ἄνδρας Σπαρτιατῶν προςείλοντο αὐτῷ ξυμβούλους, ἄνευ ὧν μὴ κύριον εἶναι ἀπάγειν στρατιὰν ἐκ τῆς πόλεως.

fenſionem quandam domum receſſerunt. 63. Lacedaemonii, ira incitati, acerbius quam pro more ſuo in Agidem ſtatuunt, ut domus eius diruatur, ipſe grandi pecunia damnetur. Sed, deprecante eo, iram compeſcunt, privilegium tamen de Agide faciunt, ne exercitum urbe educere liceret ſine decem conſiliariis, ad hoc ipſum de-

Itaque etiam alibi ſic uſurpatur hoc verbum, e. c. 4, 76. *Χαιρώνειαν δὲ ἄλλοι ἐξ Ὀρχομενοῦ ἐνεδίδοσαν.* Latinum voc. *prodere* eandem notionem involvit, ut ſimul ſit dare et perfidioſe agere.

63. *οὐ ῥᾴδιον εἶναι.* Pendet hic infinitivus aut ab *ἐνόμιζον*, quod hic animo repetendum eſt, aut a verbo *ἔλεγον* vel ſimili, ex verbis *ἐν μεγάλῃ αἰτίᾳ εἶχον* ſubaudiendo. Cf. infra h. cap. et ad c. 29.

παρὰ τὸν τρόπον τὸν ἑαυτῶν. Non enim indicta cauſa et ſine certis criminis indiciis argumentisque quemquam condemnabant. Exemplum accurati eorum iudicii Auctor ſupra libro I, 132 ſeqq. in Pauſaniae crimine retulit. Leviſſimi contra hoc in genere Athenienſes erant omnium Graecorum. — *ῥύσεσθαι*, compenſare, redimere. Pro *στρατευσάμενος* optimi codices Cl. Caſſ. Aug. praebent *στρατευσόμενος*, quod praeferendum vulgato h. l. non eſt. Senſus eſt: „ſimulac *profectus fuerit* in bellum;" non „*profecturus.*" Vid. ſupra ad c. 47.

ἄνευ ὧν μὴ κύριον εἶναι, int. *τὸν Ἄγιν.* Erat enim illa lex privilegium in Agidem ſolum. De conſtructione infinitivi cum relativo vid. ad c. 28.

64. Ἐν τούτῳ δὲ ἀφικνεῖται αὐτοῖς ἀγγελία παρὰ τῶν ἐπιτηδείων ἐκ Τεγέας, ὅτι, εἰ μὴ παρέσονται ἐν τάχει, ἀποστήσεται αὐτῶν Τέγεα πρὸς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ὅσον οὐκ ἀφέστηκεν. Ἐνταῦθα δὴ βοήθεια τῶν Λακεδαιμονίων γίγνεται αὐτῶν τε καὶ τῶν Εἱλώτων πανδημεὶ ὀξεῖα, καὶ οἵα οὔπω πρότερον. Ἐχώρουν δὲ ἐς Ὀρέστειον τῆς Μαιναλίας· καὶ τοῖς μὲν Ἀρκάδων σφετέροις οὖσι ξυμμάχοις προεῖπον ἀθροισθεῖσιν ἰέναι κατὰ πόδας αὐτῶν ἐς Τέγεαν· αὐτοὶ δέ, μέχρι μὲν τοῦ Ὀρεστείου πάντες ἐλθόντες, ἐκεῖθεν δὲ τὸ ἕκτον μέρος σφῶν αὐτῶν ἀποπέμψαντες ἐπ' οἴκου, ἐν ᾧ τὸ πρεσβύτερόν τε καὶ τὸ νεώτερον ἦν, ὥστε τὰ οἴκοι φρουρεῖν, τῷ λοιπῷ στρατεύματι ἀφικνοῦνται ἐς Τέγεαν. Καὶ οὐ πολλῷ ὕστερον οἱ ξύμμαχοι ἀπ' Ἀρκάδων παρῆσαν. Πέμπουσι δὲ καὶ ἐς τὴν Κόρινθον, καὶ Βοιωτούς, καὶ Φωκέας, καὶ Λοκρούς, βοηθεῖν κελεύοντες κατὰ τάχος ἐς Μαντίνειαν. ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγίγνετο, καὶ οὐ ῥᾴδιον ἦν μὴ ἀθρόοις, καὶ ἀλλήλους περιμείνασι, διελθεῖν τὴν πολεμίαν· ξυνέκλειε γὰρ διὰ μέσου· ὅμως δὲ ἠπείγοντο. Λακεδαιμόνιοι δέ, ἀναλαβόντες τοὺς παρόντας Ἀρκάδων ξυμμάχους, ἐσέβαλον ἐς τὴν

lectis. 64. Interim cum Tegeatae ſui periculi nuntium miſiſſent, Lacedaemonii et ipſi omnes cum Helotibus ſtatim ſuccurrunt, et ſocios Arcades excitant, ut ſe Tegeam ſequerentur. Praeterea etiam Corinthios, Boeotos, Pho-

64. *Καὶ οἷα οὔπω πρότερον.* Cum in plerisque libris ſit aut *οἷα* aut *οἵα*, poſterius cum Benedicto recepi. *Ὡς* eſt interpretamentum *τοῦ οἵα*, quod ex *οἷα* corruptione factum eſt.

ἐς Ὀρέστειον. Lectio fluctuat in codd. inter *Ὀρέσθειον, Ὀρίσθειον, Ὀρίστειον, Ὀρίσειον.* Praeſtantiſſimi codices Cl. Gr. Caſſ. Aug. et vett. edd. partim hic, partim infra tuentur *Ὀρέσθειον.* Sed iam Scholiaſtae temporibus incerta erat ſcriptura, ſiquidem notatur praeter *Ὀρέστειον*, quod eſt in capite Scholii, legi etiam *Ὀρίσειον. Μαιναλία* regio Arcadiae.

ἐν ᾧ τὸ πρεσβύτερον — ἦν. Vulgo haec verba parentheſeos ſignis includuntur, praeter neceſſitatem. — *ἐν ᾧ*, int. *μέρει.* — *ἐξ ὀλίγου*, nempe *χρόνου.* Schol. *ἐξαίφνης.*

Μαντινικὴν, καὶ στρατοπεδευσάμενοι πρὸς τῷ Ἡρακλείῳ, ἐδῄουν τὴν γῆν.

65. Οἱ δὲ Ἀργεῖοι καὶ οἱ ξύμμαχοι, ὡς εἶδον αὐτοὺς, καταλαβόντες χωρίον ἐρυμνὸν καὶ δυσπρόσοδον, παρετάξαντο ὡς ἐς μάχην. Καὶ οἱ Λακεδαιμόνιοι εὐθὺς αὐτοῖς ἐπῄεσαν· καὶ μέχρι μὲν λίθου καὶ ἀκοντίου βολῆς ἐχώρησαν· ἔπειτα τῶν πρεσβυτέρων τις Ἄγιδι ἐπεβόησεν, ὁρῶν πρὸς χωρίον καρτερὸν ἰόντας σφᾶς, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι· δηλῶν, τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως τὴν παροῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βουλομένην εἶναι. Ὁ δὲ, εἴτε καὶ διὰ τὸ ἐπιβόημα, εἴτε καὶ αὐτῷ ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ δόξαν ἐξαίφνης, πάλιν τὸ στράτευμα κατὰ τάχος, πρὶν ξυμμίξαι, ἀπῆγε. Καὶ ἀφικόμενος πρὸς τὴν Τεγεᾶτιν, τὸ ὕδωρ ἐξέτρεπεν ἐς τὴν Μαντινικὴν, περὶ οὗπερ, ὡς τὰ πολλὰ βλάπτοντος, ὁποτέρωσε ἂν ἐσπίπτῃ, Μαντινεῖς καὶ Τεγεᾶται πολεμοῦσιν. Ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου, βοηθοῦντας

censos et Locros invitant. 65. Argivi occurrunt locumque editum ac natura munitum occupant. Quos cum Agis aggredi statuisset, monitus increpatione senioris cuiusdam gregarii militis, mutat sententiam, et, reducto

65. *κακὸν κακῷ ἰᾶσθαι.* Sophocles apud Stobaeum, laudante Duck., *Ἐνταῦθα μέντοι πάντα τ' ἀνθρώπων νοσεῖ, κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.* Scholiasta hoc adagium de Oreste primum dictum narrat, qui patris morti nece matris mederi voluerit. Cf. Herod. 3, 53.

εἴτε καὶ διὰ τὸ ἐπιβόημα. Recte Bauerus monet, *καὶ* h. l. esse *vel, iam;* ob ipsam succlamationem solam, ut alia caussa abesset, haec una sufficeret. Ante *δόξαν* vulgo male commate interpunctum est, cum *δόξαν* pertineat ad *εἴτε καὶ αὐτῷ ἄλλο τι.*

ἐξέτρεπεν ἐς τὴν Μαντινικήν. Codices consentiunt in scriptura *ἐς τὴν Μ.* pro vulgato *πρός.*

ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου —. Quod hic *ὁ λόφος,* idem initio capitis vocabatur *χωρίον ἐρυμνὸν καὶ δυσπρόσοδον.* Ibi autem constiterant Argivi cum sociis. Ergo non erat, quod diserte adderetur *τοὺς Ἀργείους καὶ τοὺς ξυμμάχους.* Hoc tamen perspicuitatis caussa facere poterat Scriptor, neque ideo in suspicionem venire debebant haec verba, quod olim mihi acciderat in Programmate quodam (Stendaliae 1817. p. 19). Ne locus qui-

ἐπὶ τὴν τοῦ ὕδατος ἐκτροπὴν, ἐπειδὰν πύθωνται, καταβιβάσαι τοὺς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ἐν τῷ ὁμαλῷ τὴν μάχην ποιεῖσθαι. Καὶ ὁ μὲν, τὴν ἡμέραν ταύτην μείνας αὐτοῦ περὶ τὸ ὕδωρ, ἐξέτρεπεν· οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι, τὸ μὲν πρῶτον καταπλαγέντες τῇ ἐξ ὀλίγου [αἰφνιδίῳ] αὐτῶν ἀναχωρήσει, οὐκ εἶχον, ὅ, τι εἰκάσωσιν· εἶτα, ἐπειδὴ ἀναχωροῦντες ἐκεῖνοί τε ἀπέκρυψαν, καὶ σφεῖς ἡσύχαζον, καὶ

exercitu, aquam avertit in Mantinenſium ſines, atque ita

dem, quem obtinent, ſuſpecta reddit haec verba, quippe Homericae dicendi rationi (v. Hom. Il. θ', 355 ſq. 444.) non convenientior, quam Thucydideae. Sic enim pluribus locis Thucydides loquitur. 6, 57. *Καὶ ὁ μὲν — διαφεύγει ὁ Ἀριστογείτων.* 7, 57. *Ῥόδιοι δὲ καὶ Κυθήριοι, Δωριεῖς ἀμφότεροι, οἱ μὲν Λακεδαιμονίων ἄποικοι Κυθήριοι, ἐπὶ Λακεδαιμονίους — ὅπλα ἔφερον.* 2, 29. *Ἀλλ' ὁ μὲν ἐν Δαυλίᾳ τῆς Φωκίδος νῦν καλουμένης γῆς ὁ Τηρεὺς ᾤκει.* Ubi Scholiaſtes cum id *ὁ μέν* adſcriberet *ὁ Τηρεὺς ὁ ἀρχαῖος*, videtur tantum indicare voluiſſe tempus, quo vixerit ille Tereus, diverſum, licet vel ipſo nomine diverſus fuerit. 8, 44. *Οἱ δὲ χρήματα μὲν ἐξέλεξαν ἐς δύο καὶ τριάκοντα τάλαντα οἱ Πελοποννήσιοι.* Sed participium *βοηθοῦντας*, ſi iungatur cum verbis *τοὺς ἀπὸ τοῦ λόφου*, pro futuro *βοηθήσοντας* accipiatur neceſſe eſt, etſi ne ſic quidem commoda ſententia efficiatur, cum neque ad hoc conſtituti fuerint in colle, neque illud Agidis inceptum ſuſpicari potuerint. Ergo *βοηθοῦντας* non poteſt iungi cum *τοὺς ἀπὸ τοῦ λόφου*, ſed poſt *λόφου* comma ponendum eſt. Neque *βοηθοῦντας*, nude per ſe poſitum, conſilium opis ferendae ſignificare poteſt, ſed adiiciendum fuiſſet, ſi haec Auctoris mens eſſet, *ἅτε* vel *οἷον εἰκός.* Hic autem *βοηθοῦντας* intelligo: „dum ad opem ferendam accederent." Thucydides, brevitatis ſtudioſus, *τοὺς ἀπὸ τοῦ λόφου καταβιβάσαι* dixit pro: *τοὺς ἐπὶ τοῦ* (ſ. *ἐν τῷ*) *λόφου ἱδρυθέντας καταβιβάσαι ἀπ' αὐτοῦ.* Sic 4, 131. *Οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ Μένδῃ πολιορκούμενοι ἐπίκουροι, βιασάμενοι παρὰ θάλασσαν τὴν φυλακὴν, νυκτὸς ἀφικνοῦνται* (pro *οἱ ἐν τῇ ἀκροπόλει τῆς Μένδης πολιορκούμενοι — ἀφικνοῦνται ἐξ αὐτῆς.*) 7, 2. *Οἱ δ' ἐκ τῆς Λευκάδος Κορίνθιοι — ἐβοήθουν.* Cf. ad 2, 80.

τῇ ἐξ ὀλίγου [αἰφνιδίῳ] αὐτῶν ἀναχωρήσει. Vocem *αἰφνιδίῳ*, quae iam Duckero ſuſpecta erat, neque comparet in cod. Reg., interpretamentum eſſe, verbis *ἐξ ὀλίγου* adſcriptum, pro certo habemus; praeſertim cum ad c. 64. hoc exſtet Scholion: *ἐξ ὀλίγου τε ἐγίγνετο] ἐξαίφνης.* Et iterum c. 66. *ὁρῶσι δι' ὀλίγου] ἐξαίφνης.*

ἀπέκρυψαν. Intelligendum eſſe *αὐτοὺς* (i. e. *Ἀργείους*) docuit Duckerus. Nam *ἀποκρύπτειν τινά* proprie dicitur de navigantibus, qui locum quendam deſeruerunt, et e conſpectu eius evaſerunt. Conferri poteſt Virgilianum illud Aen. 3, 291. „Phaeacum abſcondimus arces."

οὐκ ἐπηκολούθουν, ἐνταῦθα τοὺς ἑαυτῶν στρατηγοὺς αὖθις ἐν αἰτίᾳ εἶχον, τό, τε πρότερον καλῶς ληφθέντας πρὸς Ἄργει Λακεδαιμονίους ἀφεθῆναι, καὶ νῦν, ὅτι ἀποδιδράσκοντας οὐδεὶς ἐπιδιώκει, ἀλλὰ καθ' ἡσυχίαν οἱ μὲν σώζονται, σφεῖς δὲ προδίδονται. Οἱ δὲ στρατηγοὶ ἐθορυβήθησαν μὲν τὸ παραυτίκα, ὕστερον δὲ ἀπάγουσιν αὐτοὺς ἀπὸ τοῦ λόφου, καὶ προελθόντες ἐς τὸ ὁμαλὸν, ἐστρατοπεδεύσαντο, ὡς ἰόντες ἐπὶ τοὺς πολεμίους.

66. Τῇ δ' ὑστεραίᾳ οἵ τε Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ξυνετάξαντο, ὡς ἔμελλον μαχεῖσθαι, ἢν περιτύχωσιν· οἵ τε Λακεδαιμόνιοι, ἀπὸ τοῦ ὕδατος πρὸς τὸ Ἡράκλειον πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον ἰόντες, ὁρῶσι δι' ὀλίγου τοὺς ἐναντίους ἐν τάξει τε ἤδη πάντας, καὶ ἀπὸ τοῦ λόφου προεληλυθότας. Μάλιστα δὴ Λακεδαιμόνιοι, ἐς ὃ ἐμέμνηντο, ἐν τούτῳ τῷ καιρῷ ἐξεπλάγησαν. διὰ βραχείας γὰρ μελλήσεως ἡ παρασκευὴ αὐτοῖς ἐγίγνετο. Καὶ εὐθὺς ὑπὸ σπουδῆς καθίσταντο ἐς κόσμον τὸν ἑαυτῶν, Ἄγιδος τοῦ βασιλέως ἕκαστα ἐξηγουμένου κατὰ τὸν νόμον. Βασιλέως γὰρ ἄγοντος, ὑπ' ἐκείνου πάντα ἄρχεται· καὶ τοῖς μὲν πολεμάρχοις αὐτὸς φράζει τὸ δέον, οἱ δὲ τοῖς λοχαγοῖς, ἐκεῖνοι δὲ

duces Argivorum, multitudini quietis impatienti ſuſpectos permovet, ut in planitiem deſcendant. 66. Raptim quidem ſed ordine conſueto Lacedaemonii aciem inſtruunt.

66. *πρὸς τὸ Ἡράκλειον.* Vid. c. 64 extr. — *δι' ὀλίγου* non de tempore, ſed de *intervallo* intelligendum cenſeo.

μάλιστα δὴ Λακεδαιμόνιοι. Legendum videtur *μάλιστα δέ.* Saepiſſime quidem Thucydides *δὴ* uſurpat poſt ſuperlativos, etiam poſt *μάλιστα.* Sed h. l. particula adverſativa aptior eſt, ne dicam neceſſaria.

πολεμάρχοις. Hi ſingulis moris praefecti erant. Sed infra c. 71 extr. Hipponoïdas et Ariſtocles, qui polemarchi erant, lochorum tantum duces memorantur. Quod non praeter morem accidiſſe videatur, in graviore negotio; nec militum, unum lochum conſtituentium, numerus ſemper idem erat. Nam Thucydides c. 68. in numeris militum et tota deſcriptione exercitus Lacedaemoniorum valde diſcrepat a Xenophonte et aliis, qua de re videndus Bredovius ad h. l.

τοῖς πεντηκοντῆρσιν, αὖθις δ' οὗτοι τοῖς ἐνωμοτάρχαις, καὶ οὗτοι τῇ ἐνωμοτίᾳ. Καὶ αἱ παραγγέλσεις, ἤν τι βούλωνται, κατὰ τὰ αὐτὰ χωροῦσι, καὶ ταχεῖαι ἐπέρχονται. Σχεδὸν γάρ τι πᾶν, πλὴν ὀλίγου, τὸ στρατόπεδον τῶν Λακεδαιμονίων, ἄρχοντες ἀρχόντων εἰσὶ, καὶ τὸ ἐπιμελὲς τοῦ δρωμένου, πολλοῖς προςήκει.

67. Τότε δὲ κέρας μὲν εὐώνυμον Σκιρῖται αὐτοῖς καθίσταντο, ἀεὶ ταύτην τὴν τάξιν μόνοι Λακεδαιμονίων ἐπὶ σφῶν αὐτῶν ἔχοντες· παρὰ δ' αὐτοῖς οἱ ἐπὶ Θράκης Βρασίδειοι στρατιῶται, καὶ Νεοδαμώδεις μετ' αὐτῶν. Ἔπειτ' ἤδη Λακεδαιμόνιοι αὐτοὶ ἑξῆς καθίστασαν τοὺς λόχους, καὶ παρ' αὐτοὺς Ἀρκάδων Ἡραιεῖς, μετὰ δὲ τούτους, Μαινάλιοι· καὶ ἐπὶ τῷ δεξιῷ κέρᾳ, Τεγεᾶται, καὶ Λακεδαιμονίων ὀλίγοι, τὸ ἔσχατον ἔχοντες, καὶ οἱ ἱππεῖς αὐτῶν ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. Λακεδαιμόνιοι μὲν οὕτως ἐτάξαντο. Οἱ δ' ἐναντίοι αὐτοῖς, δεξιὸν μὲν κέρας Μαντινεῖς εἶχον, ὅτι ἐν τῇ

67. Utrorumque acies qualis fuerit.

τοῖς πεντηκοντῆρσιν. Sic e pluribus libris et Schol., praeeunte Benedicto, edidi pro τοῖς πεντηκονταρτῆρσιν. Et ſic Xenophon ubique. Paullo poſt ex iisdem codicibus vulgatum σχεδὸν γάρ τοι iam correxit idem Benedictus. — πλὴν ὀλίγου, int. gregarios milites ſingulis ἐνωμοτίαις adſcriptos. Ceteri quidem omnes et accipiunt imperata, et aliis eadem imperant. In illos autem non cadit aliis imperare, ſed tantum imperata exſequi.

67. Σκιρῖται. Schol. λόχος Λακωνικὸς, οὕτω λεγόμενος. Hesychius Ἀρκαδικόν nominat, fortaſſe quia Scirum urbem, quae in Laconicae et Arcadiae confiniis eſt, Arcadiae tribuebat. cf. ſupra c. 33., ubi haec regio Laconicae Σκιρῖτις vocatur. Erat λόχος peditum ſelectorum, qui circa regem ſtare ſolebat, atque in proelio laborantibus ſuccurrebat. — τότε non exceptionem notat. Licet enim Agis tum in media acie conſtiterit (cf. c. 72.), Sciritae autem in extremo cornu ſiniſtro; tamen verba ἀεὶ ταύτην τὴν τάξιν μόνοι — ἔχοντες docent, de more Sciritas in ſiniſtro cornu ſtetiſſe. Erat iis fortaſſis hic honos datus, quod illi cornu dextrum idque plerumque fortiſſimum hoſtium cornu ex adverſo erat. Ergo verba τότε δέ orationi continuandae inſerviunt.

καὶ Νεοδαμώδεις. Vid. ad 7, 58.

οἱ δ' ἐναντίοι αὐτοῖς, pro τῶν δ' ἐναντίων αὐτοῖς. Cf. ad 4, 90.

ἐκείνων τὸ ἔργον ἐγίγνετο· παρὰ δ' αὐτοῖς οἱ ξύμμαχοι Ἀρκάδων ἦσαν· ἔπειτα Ἀργείων οἱ χίλιοι λογάδες, οἷς ἡ πόλις ἐκ πολλοῦ ἄσκησιν τῶν ἐς τὸν πόλεμον δημοσίᾳ παρεῖχε· καὶ ἐχόμενοι αὐτῶν οἱ ἄλλοι Ἀργεῖοι, καὶ μετ' αὐτοὺς οἱ ξύμμαχοι αὐτῶν, Κλεωναῖοι καὶ Ὀρνεᾶται· ἔπειτα Ἀθηναῖοι ἔσχατοι, τὸ εὐώνυμον κέρας ἔχοντες, καὶ ἱππεῖς μετ' αὐτῶν οἱ οἰκεῖοι.

68. Τάξις μὲν ἥδε καὶ παρασκευὴ ἀμφοτέρων ἦν· τὸ δὲ στρατόπεδον τῶν Λακεδαιμονίων μεῖζον ἐφάνη. Ἀριθμὸν δὲ γράψαι, ἢ καθ' ἑκάστους ἑκατέρων, ἢ ξύμπαντας, οὐκ ἂν ἐδυνάμην ἀκριβῶς. Τὸ μὲν γὰρ Λακεδαιμονίων πλῆθος διὰ τῆς πολιτείας τὸ κρυπτὸν ἠγνοεῖτο· τῶν δ' αὖ διὰ τὸ ἀνθρώπειον κομπῶδες ἐς τὰ οἰκεῖα πλήθη ἠπιστεῖτο. Ἐκ μέντοι τοιοῦδε λογι-

68. De numero utriusque exercitus nihil certi conſtare; Lacedaemoniorum tamen numerum ratiocinando inveniri

παρὰ δ' αὐτοῖς — ἦσαν. Cum omnes fere codices et editiones antiquae habeant αὐτοὺς pro αὐτοῖς, redeundum videatur ad antiquam lectionem, quam *aptiſſimam* vocat Benedictus. Mihi quidem videtur aliquid differre hic locus ab eo, quem ex h. cap. afferunt omnes: καὶ παρ' αὐτοῖς Ἀρκάδων Ἡραιῆς (καθίστασαν), quod verbum accuſativo ſane aptius, quam noſtro loco ἦσαν. Et afferri ſimiliter ex hoc ipſo capite poteſt exemplum dativi, quod qui non cupide agit, diſſimulare non debet: παρὰ δ' αὐτοῖς οἱ ἐπὶ Θρᾴκης Βρασίδειοι στρατιῶται. Ceterum vulgatum, a Stephano haud dubie non ſine omni critica auctoritate receptum, iam ipſe duxerim abrogandum, quia παρά, *de loco* intelligendum, et alibi cum accuſativo iungi conſtat. Cuius tamen uſus exemplum non niſi unum apud Thucyd. inveni 7, 39 extr. — οἱ χίλιοι λογάδες, cf. Diodor. 12, 75 extr.

Κλεωναῖοι καὶ Ὀρνεᾶται. Eorum oppida Cleonae et Orneae in Argolidis ſeptemtrionali parte ſitae erant. Strabo lib. VIII. Cleonas dicit mediocre oppidum eſſe, in via ſitum, quae ex Argo Corinthum ducat. Orneas idem inter vicos Argivi agri recenſet.

68. ἢ καθ' ἑκάστους ἑκατέρων, ἢ ξύμπαντας. Fruſtra Bauerus variatam eſſe ſtructuram putat pro ξυμπάντων. Non enim haec pendent ab ἀριθμόν, ſed a γράψαι: „numerum vero, aut ſingulos populos utriusque partis, aut univerſos accurate enumerare nequeam." Profecto ſtudium minutiarum in oratione indagandarum nonnumquam in errorem abripuit virum doctiſſimum; nec raro eius ἀκρίβεια lectori taedium affert.

σμοῦ ἔξεστί τῳ σκοπεῖν τὸ Λακεδαιμονίων τότε παραγενόμενον πλῆθος. Λόχοι μὲν γὰρ ἐμάχοντο ἑπτὰ, ἄνευ Σκιριτῶν, ὄντων ἑξακοσίων· ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν τέσσαρες, καὶ ἐν τῇ πεντηκοστύϊ ἐνωμοτίαι τέσσαρες. Τῆς τε ἐνωμοτίας ἐμάχοντο ἐν τῷ πρώτῳ ζυγῷ τέσσαρες, ἐπὶ δὲ βάθος ἐτάξαντο μὲν οὐ πάντες ὁμοίως, ἀλλ' ὡς λοχαγὸς ἕκαστος ἐβούλετο· ἐπὶ πᾶν δὲ κατέστησαν ἐπὶ ὀκτώ. Παρὰ δὲ ἅπαν, πλὴν Σκιριτῶν, τετρακόσιοι καὶ δυοῖν δέοντες πεντήκοντα ἄνδρες ἡ πρώτη τάξις ἦν.

69. Ἐπεὶ δὲ ξυνιέναι ἔμελλον ἤδη, ἐνταῦθα καὶ παραινέσεις καθ' ἑκάστους ὑπὸ τῶν οἰκείων στρατηγῶν τοιαίδε ἐγίγνοντο· Μαντινεῦσι μὲν, ὅτι ὑπέρ τε πατρίδος ἡ μάχη ἔσται, καὶ ὑπὲρ ἀρχῆς ἅμα καὶ δουλείας, τὴν μὲν μὴ, πειρασαμένοις, ἀφαιρεθῆναι, τῆς δὲ μὴ αὖθις πειρᾶσθαι· Ἀργείοις δὲ, ὑπὲρ τῆς τε παλαιᾶς ἡγεμονίας καὶ τῆς ἐν Πελοποννήσῳ ποτὲ ἰσομοιρίας, μὴ διὰ παντὸς στερισκομένους ἀνέχεσθαι, καὶ

posse. 69. Orationum ad singulos populos habitarum

ἐν τῷ πρώτῳ ζυγῷ. Pollux I, c. 10. *Τῶν μαχομένων τὸ μὲν ἔμπροσθεν, μέτωπον, καὶ ζυγὸν, καὶ πρόσωπον καλεῖται.* Erant igitur ter mille quingenti octoginta quatuor Lacedaemonii, praeter Sciritas sexcentos.

69. *τὴν μὲν μὴ, πειρασαμένοις, ἀφαιρεθῆναι.* Negationem *μὴ* refer ad infinitivum *ἀφαιρεθῆναι*. Participium igitur *πειρασαμένοις* (int. *αὐτῆς*, *τῆς ἀρχῆς*), cum *ἀφαιρεῖσθαι* non iungatur dativo, referendum est ad verba praecedentia *ἡ μάχη ἔσται*, ideoque commatibus ab iis verbis, quibus interiectum est, secernendum.

ὑπὲρ τῆς τε παλαιᾶς ἡγεμονίας — ἰσομοιρίας. Haec ad antiqua et mythica tempora spectare, patet. Rem egregie illustrat locus Herodoti 7, 148., ubi Lacedaemoniorum legatis, ad societatem contra Persas compellentibus, Argivi respondent: *ὡς ἑτοῖμοί εἰσι Ἀργεῖοι ποιέειν ταῦτα, τριήκοντα ἔτεα εἰρήνην σπεισάμενοι Λακεδαιμονίοισι, καὶ ἡγεόμενοι κατὰ τὸ ἥμισυ πάσης τῆς συμμαχίης· καίτοι κατά γε τὸ δίκαιον γίνεσθαι τὴν ἡγεμονίην ἑωϋτῶν, ἀλλ' ὅμως σφι ἀποχρᾶν κατὰ τὸ ἥμισυ ἡγεομένοισι.* Et c. 149. Lacedaemonii ex mandato haec referunt: *Σφί μὲν εἶναι δύο βασιλῆας, Ἀργείοισι δὲ ἕνα· οὔκων δυνατὸν εἶναι τῶν ἐκ Σπάρτης οὐδέτερον παῦσαι τῆς ἡγεμονίης· μετὰ δὲ δύο τῶν σφετέρων ὁμόψηφον τὸν Ἀργεῖον εἶναι, κωλύειν οὐδέν.* Cf. Diodor. 12, 75. — Sed ne impedita sit loci structura, post

ἄνδρας ἅμα ἐχθροὺς καὶ ἀστυγείτονας ὑπὲρ πολλῶν ἀδικημάτων ἀμύνασθαι· τοῖς δὲ Ἀθηναίοις, καλὸν εἶναι, μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων ἀγωνιζομένους, μηδενὸς λείπεσθαι· καὶ ὅτι ἐν Πελοποννήσῳ Λακεδαιμονίους νικήσαντες, τήν τε ἀρχὴν βεβαιοτέραν καὶ μείζω ἕξουσι, καὶ οὐ μή ποτέ τις αὐτοῖς ἄλλος ἐς τὴν γῆν ἔλθῃ. Τοῖς μὲν Ἀργείοις καὶ ξυμμάχοις τοιαῦτα παρῃνέθη. Λακεδαιμόνιοι δέ, καθ' ἑκάστους τε, καὶ μετὰ τῶν πολεμικῶν νόμων, ἐν σφίσιν αὐτοῖς, ὧν ἠπίσταντο, τὴν παρακέλευσιν τῆς μνήμης ἀγαθοῖς οὖσιν ἐποιοῦντο· εἰδότες, ἔργων ἐκ πολλοῦ μελέτην πλείω σώζουσαν, ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραίνεσιν.

70. Καὶ μετὰ ταῦτα ἡ ξύνοδος ἦν· Ἀργεῖοι μὲν καὶ οἱ ξύμμαχοι, ἐντόνως καὶ ὀργῇ χωροῦντες, Λακε-

argumenta. 70. Acriter Argivi, lento et aequo gradu

ἰσομοιρίας, virgula interpungendum eſt. Nam ὑπὲρ nullo modo iungi poteſt cum στεριοκομένους ἀνέχεσθαι, ſed ex ſuperioribus ſubaudiatur neceſſe eſt: ὅτι ἡ μάχη ἔσται. Poſtea tranſit ad infinitivum, καλὸν εἶναι. Tum rurſus ad conſtructionem per ὅτι.

ἐς τὴν γῆν ἔλθῃ. Recte ἔλθῃ, poſt οὐ μή, quod plene et proprie eſt οὐ δέος ἐστὶ μή. Eurip. Hecub. v. 1014. οὔτι μὴ φύγητε. Male olim coniunctivum tentabam in ſpecimine obſervatt. (Krit. Beitrag z. 5. B. d. Thuc. Stendal 1817.) p. 8.

τοιαῦτα παρῃνέθη. Recte τοιαῦτα pro ταῦτα e codd. recepit Benedictus, non ſolum ob variarum adhortationum argumenta, ſed etiam propter Thucydidis conſuetudinem in afferendis orationum argumentis, de qua vid. Waſſius ad 5, 46. cf. idem ad 6, 8.

μετὰ τῶν πολεμικῶν νόμων. Haec recte Schol. ad ᾄσματα Lacedaemoniorum, quum in pugnam ipſam procederent, vel progreſſuri eſſent (ἐμβατήρια) refert. — ὧν ἠπίσταντο Bredovius pertinere putat ad τοὺς νόμους πολεμικούς. Sed ita intelligere non licet per horum verborum locum. Senſus eſt: „Et ſinguli, et plures una cantantes carmina bellica invicem ſibi, quod ſciebant, fortes ſe eſſe viros, in memoriam revocabant." Pendent verba (ἐκείνων) ὧν ἠπίσταντο a ſequentibus ſubſtantivis, et illud ipſum ſignificant, quod deinde diſerte addit: ἀγαθοῖς οὖσιν.

70. ἡ ξύνοδος ἦν· Ἀργεῖοι μὲν — χωροῦντες. Debebat eſſe: Ἀργείων — χωρούντων. Sed ita loquitur, quaſi antea dixiſſet: Καὶ μετὰ ταῦτα ξυνῄεσαν vel ξύνοδον ἐποιοῦντο. Vid. ad 5, 36. — ὁρμῇ, quod ex Gellio laudatur pro ὀργῇ idem eſt, quod ἐντόνως, et vitium librarii.

δαιμόνιοι δέ, βραδέως, καὶ ὑπὸ αὐλητῶν πολλῶν νόμου, ἐγκαθεστώτων οὐ τοῦ θείου χάριν, ἀλλ' ἵνα, ὁμαλῶς μετὰ ῥυθμοῦ βαίνοντες, προέλθοιεν, καὶ μὴ διασπασθείη αὐτοῖς ἡ τάξις· ὅπερ φιλεῖ τὰ μεγάλα στρατόπεδα ἐν ταῖς προςόδοις ποιεῖν.

71. Ξυνιόντων δ' ἔτι, Ἆγις ὁ βασιλεὺς τοιόνδε ἐβουλεύσατο δρᾶσαι. Τὰ στρατόπεδα ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο· ἐπὶ τὰ δεξιὰ κέρατα αὐτῶν ἐν ταῖς ξυνόδοις μᾶλλον ἐξωθεῖται, καὶ περιΐσχουσι κατὰ τὸ τῶν ἐναντίων εὐώνυμον ἀμφότεροι τῷ δεξιῷ, διὰ τὸ, φοβουμένους, προστέλλειν τὰ γυμνὰ ἕκαστον ὡς μάλιστα τῇ τοῦ ἐν δεξιᾷ παρατεταγμένου ἀσπίδι, καὶ νομίζειν τὴν πυκνότητα τῆς ξυγκλείσεως εὐσκεπαστότατον εἶναι. Καὶ ἡγεῖται μὲν τῆς αἰτίας ταύτης ὁ πρωτοστάτης τοῦ δεξιοῦ κέρως, προθυμούμενος ἐξαλλάσσειν ἀεὶ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν, ἕπονται δὲ διὰ τὸν αὐτὸν φόβον καὶ οἱ ἄλλοι. Καὶ τότε περιέσχον μὲν οἱ Μαντινεῖς πολὺ τὸ κέρας τῶν Σκιριτῶν, ἔτι δὲ πλέον οἱ Λακεδαιμόνιοι καὶ Τεγεᾶται τῶν Ἀθηναίων, ὅσῳ μεῖζον τὸ στράτευμα εἶχον. Δείσας

Lacedaemonii procedunt congreſſuri. 71. Agidis ratio,

καὶ ὑπὸ αὐλητῶν πολλῶν νόμου, ἐγκαθεστώτων. Vulgo poſt ἐγκαθεστώτων demum interpungitur, et legitur *νόμῳ*, ut intelligantur *tubicines lege conſtituti.* Sed ſcriptura codicum praeſtantiſſimorum Cl. Caſſ. Aug. Gr. *νόμου*, quae non facile ex altera illa oriri potuit, et haud dubie vera eſt, nos cogit ad interpunctionem mutandam ſic, ut nos fecimus, praeeunte iam Kiſtem., qui tamen νόμῳ ſervabat, fortaſſe quia ad ſenſum nihil intereſt.

71. *προστέλλειν τὰ γυμνά*, ſimpliciter eſt *latus tegere.* Unus enim quisque, ut etiam dextrum latus, telis hoſtilibus obnoxium, tegat, militi ad dextram iuxta conſtituto ſe adiungit.

ἡγεῖται τῆς αἰτίας, i. e. princeps huius cauſae, vel auctor eſt. — Mox *ἐξαλλάσσειν — γύμνωσιν* eſt ſubducere hoſtibus latus apertum. — Mox pro *τῷ κέρᾳ πολὺ* non ſolum alio ordine ſcribi iubent codd. πολὺ τῷ κέρᾳ, ut Benedictus monuit, ſed e codd. Gr. Reg. Caſſ., quorum poſteriores duo habent τὸ κέρᾳ, Gr. τὸ κέρας, hoc recipiendum, ut περιέχειν, quod non poteſt cum genitivo iungi, habeat, quo referatur. Et pro τῶν Ἀθηναίων fortaſſe legendum τὸ Ἀθηναίων vel τὸ τῶν Ἀθ. Cf. Benedict. ad 5, 16.

δὲ Ἆγις, μὴ σφῶν κυκλωθῇ τὸ εὐώνυμον, καὶ νομίσας, ἄγαν περιέχειν τοὺς Μαντινέας, τοῖς μὲν Σκιρίταις καὶ Βρασιδείοις ἐσήμηνεν, ἐπεξαγαγόντας ἀπὸ σφῶν ἐξισῶσαι τοῖς Μαντινεῦσιν· ἐς δὲ τὸ διάκενον τοῦτο παρήγγελλεν ἀπὸ τοῦ δεξιοῦ κέρως δύο λόχους τῶν πολεμάρχων Ἱππονοΐδᾳ καὶ Ἀριστοκλεῖ ἔχουσι παρελθεῖν, καὶ ἐσβαλόντας πληρῶσαι, νομίζων, τῷ θ' ἑαυτῶν δεξιῷ ἔτι περιουσίαν ἔσεσθαι, καὶ τὸ κατὰ τοὺς Μαντινέας βεβαιότερον τετάξεσθαι.

72. Ξυνέβη οὖν αὐτῷ, ἅτε ἐν αὐτῇ τῇ ἐφόδῳ καὶ ἐξ ὀλίγου παραγγείλαντι, τόν τε Ἀριστοκλέα καὶ τὸν Ἱππονοΐδαν μὴ θελῆσαι παρελθεῖν, — ἀλλὰ καὶ διὰ τοῦτο τὸ αἰτίαμα ὕστερον φεύγειν ἐκ Σπάρτης, δόξαντας μαλακισθῆναι· — καὶ τοὺς πολεμίους φθάσαι τῇ προςμίξει· καὶ, κελεύσαντος αὐτοῦ, ἐπὶ τοὺς Σκιρίτας ὡς οὐ παρῆλθον οἱ λόχοι, πάλιν αὖ σφίσι προςμίξαι, μὴ δυνηθῆναι ἔτι, μηδὲ τούτους ξυγκλεῖσαι. Ἀλλὰ μάλι-

laevum ſuorum cornu hoſtibus aequandi. 72. Pugnae

ἐπεξαγαγόντας ἀπὸ σφῶν, i. e. a media acie, ubi ceteri Lacedaemonii cum rege Agide collocati erant. Cf. c. 67. ἐπεξάγειν eſt vocabulum militare (eine Flankenbewegung machen).

72. ἀλλὰ καὶ διὰ τοῦτο — μαλακισθῆναι. Haec verba adiecta ſunt ὡς ἐν παρόδῳ. Nam etſi grammatica ex ratione pendent a ξυνέβη, tamen re eo non pertinent. Parentheſeos ſignis abuti nolui propter grammaticam illam rationem. Lineolis potius utar, in libris graecis praeter Wolfianam Homeri editionem nondum adhibitis.

καὶ, κελεύσαντος αὐτοῦ — ξυγκλεῖσαι. Interpunctio vulgo laborat. Nam verba κελεύσαντος αὐτοῦ ſi referenda eſſent ad παράγγελσιν Agidis, quam detrectabant polemarchi duo, perſpicuitatis cauſa comma poſt αὐτοῦ tollendum eſſet, ne quis cum ſequentibus iungenda putaret. Sed quid opus erat verbis ἐπὶ τοὺς Σκιρίτας — οἱ λόχοι denuo addere κελεύσαντος αὐτοῦ? quae verba potius de novo quodam imperio ſive mandato, nempe ut Sciritae ad ſuos ſe reciperent, accipienda ſunt et cum ſequentibus: πάλιν αὖ σφίσι προςμίξαι iungenda. Quocirca poſt προςμίξαι comma ponendum, et ad δυνηθῆναι ſubaudiendum eſt αὐτό, i. e. προςμίξαι. — τούτους, i. e. πολεμίους, quos paullo ante dixerat anteverliſſe, impetu in vacuum illud ſpatium facto. Exſpectes ἐκείνους. Sed etiam alibi Thucydides pronomen οὗτος de remotiore ſubiecto uſurpat. Cf. ad c. 60.

στα δὴ κατὰ πάντα τῇ ἐμπειρίᾳ Λακεδαιμόνιοι ἐλασσωθέντες τότε, τῇ ἀνδρείᾳ ἔδειξαν οὐχ ἧσσον περιγενόμενοι. Ἐπειδὴ γὰρ ἐν χερσὶν ἐγίγνοντο τοῖς ἐναντίοις, τὸ μὲν τῶν Μαντινέων δεξιὸν τρέπει αὐτῶν τοὺς Σκιρίτας καὶ τοὺς Βρασιδείους· καὶ ἐσπεσόντες οἱ Μαντινεῖς καὶ οἱ ξύμμαχοι αὐτῶν, καὶ τῶν Ἀργείων οἱ χίλιοι λογάδες, κατὰ τὸ διάκενον καὶ οὐ ξυγκλεισθὲν, τοὺς Λακεδαιμονίους διέφθειρον, καὶ κυκλωσάμενοι ἔτρεψαν, καὶ ἐξέωσαν ἐς τὰς ἁμάξας, καὶ τῶν πρεσβυτέρων τῶν ἐπιτεταγμένων ἀπέκτεινάν τινας. Καὶ ταύτῃ μὲν ἡσσῶντο οἱ Λακεδαιμόνιοι· τῷ δ' ἄλλῳ στρατοπέδῳ, καὶ μάλιστα τῷ μέσῳ, ᾗπερ ὁ βασιλεὺς Ἆγις ἦν, καὶ περὶ αὐτὸν οἱ τριακόσιοι ἱππεῖς καλούμενοι, προσ-

eventus ab altera parte Mantinenſibus, ab altera Lacedae-

τῇ ἐμπειρίᾳ — ἐλασσωθέντες τότε. Arte ſuperabantur Lacedaemonii in hac quidem pugna a Mantinenſibus reliquisque hoſtibus, virtute ſuperabant. Ita ait Thucydides; Bauerus non credit, quia Lacedaemonii uſu belli exercitati maxime omnium Graecorum. Non veniebat in mentem viro doctiſſimo, Spartanos πανδημεὶ, ὡς οὔπω πρότερον una cum Helotibus profectos eſſe in bellum. Cap. 64. Ad unum enim omnes egreſſi erant, dein ſexta tantum ipſorum pars (ſeniorum et iuniorum) ad urbem tutandam remiſſi. Itaque haud dubie permulti milites in Lacedaemoniorum agmine erant, qui, tamquam tirones, numquam vidiſſent hoſtem, et uſu belli carerent. Braſidei quidem et Νεοδαμώδεις belli expertes non erant, ſed ante pugnam ad Amphipolin ne Braſidas quidem multum illis tribuebat. Vid. 5, 8. Δεδιὼς τὴν αὑτοῦ παρασκευὴν, καὶ νομίζων ὑποδεεστέρους εἶναι, οὐ τῷ πλήθει, ἀλλὰ τῷ ἀξιώματι. Denique vocula τότε de exceptione h. l. agi, demonſtrat. Et hoſtium exercitus tum numero quidem minor erat, ſed hominum lectiſſimorum et haud dubie exercitatorum belli laboribus. Cf. c. 67., ubi memorantur Ἀργείων οἱ χίλιοι λογάδες. De Benedicti locum corrigendi conatu non attinet dicere.

ἐς τὰς ἁμάξας, int. impedimenta exercitus Lacedaemoniorum. —

ᾗπερ ὁ βασιλεὺς Ἆγις ἦν. In codd. Ar.C. Reg.Gr. ἦν eſt ante Ἆγις, in Dan. deeſt. Si plures codices omitterent, eiicerem. Nam ſaepe ἦν ab interpretibus additum invenitur. Cf. ad 2, 13. προσπεσόντες pertinet ad praecedens Λακεδαιμόνιοι. — οἱ τριακόσιοι ἱππεῖς καλούμενοι, ita dicti quidem, ſed re vera ὁπλῖται ſelecti erant. Cf. Bredov. — τοῖς πρεσβυτέροις. Videntur et hi ſelecta quaedam veteranorum manus fuiſſe. — οὐδὲ ἐς χεῖρας, ſubaudi ἐλθεῖν.

πεσόντες τῶν τε Ἀργείων τοῖς πρεσβυτέροις, καὶ πέντε λόχοις ὠνομασμένοις, καὶ Κλεωναίοις, καὶ Ὀρνεάταις, καὶ Ἀθηναίων τοῖς παρατεταγμένοις, ἔτρεψαν, οὐδὲ ἐς χεῖρας τοὺς πολλοὺς ὑπομείναντας, ἀλλ', ὡς ἐπῄεσαν οἱ Λακεδαιμόνιοι, εὐθὺς ἐνδόντας, καὶ ἔστιν οὓς καὶ καταπατηθέντας, τοῦ μὴ φθῆναι τὴν ἐγκατάληψιν.

73. Ὡς δὲ ταύτῃ ἐνεδεδώκει τὸ τῶν Ἀργείων καὶ ξυμμάχων στράτευμα, παρεῤῥήγνυντο ἤδη ἅμα καὶ ἐφ' ἑκάτερα, καὶ ἅμα τὸ δεξιὸν τῶν Λακεδαιμονίων καὶ Τεγεατῶν ἐκυκλοῦτο τῷ περιέχοντι σφῶν τοὺς Ἀθηναίους. Καὶ ἀμφοτέρωθεν αὐτοὺς κίνδυνος περιειστήκει, τῇ μὲν, κυκλουμένους, τῇ δὲ, ἤδη ἡσσημένους· καὶ μάλιστ' ἂν τοῦ στρατεύματος ἐταλαιπώρησαν, εἰ μὴ οἱ ἱππεῖς παρόντες αὐτοῖς ὠφέλιμοι ἦσαν. Καὶ ξυνέβη, τὸν Ἆγιν, ὡς ᾔσθετο τὸ εὐώνυμον σφῶν πονοῦν τὸ κατὰ τοὺς Μαντινέας καὶ τῶν Ἀργείων τοὺς χιλίους, παραγγεῖλαι παντὶ τῷ στρατεύματι χωρῆσαι ἐπὶ τὸ νικώμενον. Καὶ γενομένου τούτου, οἱ μὲν Ἀθηναῖοι ἐν τούτῳ, ὡς παρῆλθε καὶ ἐξέκλινεν ἀπὸ σφῶν

moniis magis favet. 73. Tandem Mantinenſes, cum

τοῦ μὴ φθῆναι τὴν ἐγκατάληψιν. Genitivus pendet ab omiſſa quadam praepoſitione, ut ἕνεκα; „propterea quod non anteverterant hoſtium occupationem."

73. παρεῤῥήγνυντο ἤδη. Bredovius hoc refert ad Lacedaemonios. Sed cur Auctor paullo poſt diſerte appellat τὸ δεξιὸν τῶν Λακεδαιμονίων, ſi etiam hic ſunt intelligendi Lacedaemonii? Manifeſtum eſt, hoc verbum ad Argivos eorumque ſocios pertinere, qui ad utramque partem disiiciebantur perrupti ab Agide, ab altera etiam circumcludebantur dextro Lacedaemoniorum cornu.

καὶ ἀμφοτέρωθεν αὐτούς, τοὺς Ἀθηναίους. — ἐκυκλοῦτο, Schol. ἐκύκλον. Cf. c. 72. κυκλωσάμενοι 4, 127. κυκλοῦνται.

οἱ μὲν Ἀθηναῖοι ἐν τούτῳ. Verba ἐν τούτῳ neſcio qua vel codicum auctoritate vel criticorum ſuſpicione uncis includuntur vulgo, ut alia. Nulla autem e codicibus varietas lectionis enotatur, et verba mihi genuina videntur, quia hoc loco prorſus neceſſaria ſunt. Nam pugna nondum erat finita, nec niſi eo ſervati ſunt Athenienſes, quod illud temporis intervallum, cum Lacedaemonii ad ſiniſtrum cornu converſi procederent, in ſuam utilitatem convertebant. Quare uncos ſummovi.

τὸ στράτευμα, καθ᾽ ἡσυχίαν ἐσώθησαν, καὶ τῶν Ἀργείων μετ᾽ αὐτῶν τὸ ἡσσηθέν. οἱ δὲ Μαντινεῖς καὶ οἱ ξύμμαχοι, καὶ τῶν Ἀργείων οἱ λογάδες οὐκέτι πρὸς τὸ ἐγκεῖσθαι τοῖς ἐναντίοις τὴν γνώμην εἶχον, ἀλλ᾽ ὁρῶντες τούς τε σφετέρους νενικημένους, καὶ τοὺς Λακεδαιμονίους ἐπιφερομένους, ἐς φυγὴν ἐτράποντο. Καὶ τῶν μὲν Μαντινέων καὶ πλείους διεφθάρησαν, τῶν δὲ Ἀργείων λογάδων τὸ πολὺ ἐσώθη. Ἡ μέντοι φυγὴ καὶ ἀποχώρησις οὐ βίαιος οὐδὲ μακρὰ ἦν. Οἱ γὰρ Λακεδαιμόνιοι, μέχρι μὲν τοῦ τρέψαι, χρονίους τὰς μάχας καὶ βεβαίους τῷ μένειν ποιοῦνται, τρέψαντες δὲ, βραχείας καὶ οὐκ ἐπὶ πολὺ τὰς διώξεις.

74. Καὶ ἡ μὲν μάχη τοιαύτη καὶ ὅτι ἐγγύτατα τούτων ἐγένετο, πλείστου δὲ χρόνου μεγίστη δὴ τῶν Ἑλληνικῶν, καὶ ὑπὸ ἀξιολογωτάτων πόλεων ξυνελθοῦσα. Οἱ δὲ Λακεδαιμόνιοι, προθέμενοι τῶν πολεμίων νεκρῶν τὰ ὅπλα, τροπαῖον εὐθὺς ἵστασαν, καὶ τοὺς νεκροὺς ἐσκύλευον, καὶ τοὺς αὐτῶν ἀνείλοντο, καὶ ἀπήγαγον ἐς Τέγεαν, οὗπερ ἐτάφησαν· καὶ τοὺς τῶν πολεμίων ὑποσπόνδους ἀπέδοσαν. Ἀπέθανον δ᾽ Ἀργείων μὲν καὶ Ὀρνεατῶν καὶ Κλεωναίων, ἑπτακόσιοι· Μαντινέων δὲ, διακόσιοι· καὶ Ἀθηναίων ξὺν Αἰγινήταις, διακόσιοι, καὶ οἱ στρατηγοὶ ἀμφότεροι. Λακεδαιμονίων δὲ οἱ μὲν ξύμμαχοι οὐκ ἐταλαιπώρησαν, ὥστε καὶ ἀξιόλογόν τι ἀπογενέσθαι· αὐτῶν δὲ χαλεπὸν μὲν ἦν τὴν ἀλήθειαν πυθέσθαι, ἐλέγοντο δὲ περὶ τριακοσίους ἀποθανεῖν.

ſocios victos viderent, et Agidem adverſus ſe aciem ducentem, non ſuſtinuerunt, ſed et ipſi in fugam ſe converterunt. 74. Haec ex longinquo tempore maxima inter Graecos pugna erat. Numerus caeſorum.

74. *τοὺς νεκροὺς ἐσκύλευον*, quod alias facere non ſolebant. Aelian. 6, 6. Odium ergo vicit mores et publica inſtituta.
αὐτῶν δὲ — πυθέσθαι. Noli cum Bauero *αὐτῶν* cum *πυθέσθαι* iungere. Sententia aliud quid flagitat, nempe ut numerus caeſorum *Lacedaemoniorum* indicetur, cum antea de eorum ſo-

75. Τῆς δὲ μάχης μελλούσης ἔσεσθαι, καὶ Πλειστοάναξ ὁ ἕτερος βασιλεὺς, ἔχων τούς τε πρεσβυτέρους καὶ νεωτέρους, ἐβοήθησε. Καὶ μέχρι μὲν Τεγέας ἀφίκετο· πυθόμενος δὲ τὴν νίκην, ἀπεχώρησε. Καὶ τοὺς ἀπὸ Κορίνθου καὶ ἔξω ἰσθμοῦ ξυμμάχους ἀπέστρεψαν πέμψαντες οἱ Λακεδαιμόνιοι· καὶ αὐτοὶ ἀναχωρήσαντες, καὶ τοὺς ξυμμάχους ἀφέντες (Κάρνεια γὰρ αὐτοῖς ἐτύγχανον ὄντα) τὴν ἑορτὴν ἦγον. Καὶ τὴν ὑπὸ τῶν Ἑλλήνων τότε ἐπιφερομένην αἰτίαν, ἔς τε μαλακίαν, διὰ τὴν ἐν τῇ νήσῳ ξυμφορὰν, καὶ ἐς τὴν ἄλλην ἀβουλίαν τε καὶ βραδυτῆτα, ἑνὶ ἔργῳ τούτῳ ἀπελύσαντο· τύχῃ μὲν, ὡς ἐδόκουν, κακιζόμενοι, γνώμῃ δὲ οἱ αὐτοὶ ἔτι ὄντες. Τῇ δὲ προτεραίᾳ ἡμέρᾳ ξυνέβη τῆς μάχης ταύτης, καὶ τοὺς Ἐπιδαυρίους πανδημεὶ ἐςβαλεῖν ἐς τὴν Ἀργείαν, ὡς ἔρημον οὖσαν, καὶ τοὺς ὑπολοίπους φύλακας, τῶν Ἀργείων ἐξελθόντων αὐτῶν, διαφθεῖραι πολλούς. Καὶ Ἠλείων τριςχιλίων ὁπλιτῶν βοηθησάντων Μαντινεῦσιν ὕστερον τῆς μάχης, καὶ Ἀθηναίων χιλίων πρὸς τοῖς προτέροις, ἐστράτευσαν ἅπαντες οἱ ξύμμαχοι οὗτοι εὐθὺς ἐπὶ Ἐπίδαυρον, ἕως

75. Lacedaemonii, dimiſſis ſociis, et ipſi domum redeunt, et Carnea celebrant. Bellum ab Epidauriis integratum. Argivorum ſocii Epidaurum circumvallare conantes, Heraeum promontorium muniunt, cuſtodiaque ibi relicta, dis-

ciis ſermo fuiſſet. *Αὐτῶν* ergo pendet ab *ἀλήθειαν*, quod accipiendum eſt pro *ἀληθῆ ἀριθμόν*.

75. *ἀπέστρεψαν.* Optimam hanc plerorumque codicum lectionem, iam Duckero probatam, recepi. Vulgo adhuc legitur *ἀπέτρεψαν*, quod eſt avertere, dehortari. Cf. etiam Benedict. — *Κάρνεια.* Vide cap. 54., ubi de Carneis ſuperioris anni agitur.

ἔς τε μαλακίαν. Cf. 4, 40. *βραδυτῆτα*, cf. 1, 71. *κακιζόμενοι*, contumelia affecti.

τῶν Ἀργείων ἐξελθόντων, διαφθεῖραι πολλούς. In codicibus Ar. C. Dan. Marg. Cam. Cl. Caſſ. Aug. Vind. et quinque Pariſſ. poſt *ἐξελθόντων* inſeritur *αὐτῶν*, quod, etſi recipiendum eſt, (nulla enim cauſa eſt, cur interpretamentum eiusmodi adiectum putemus) pertinet tamen ad *Ἀργείων*, non ad *πολλούς*, quo refert Benedictus. Sic ſupra c. 33. *Οἱ Μαντινεῖς, τὴν πόλιν Ἀργείοις φύλαξι παραδόντες, αὐτοὶ τὴν ξυμμαχίαν ἐφρούρουν.* — *τοὺς ὑπολοίπους φύλακας διαφθ. πολλούς*, pro *τῶν ὑπολοίπων φυλάκων δ. π.* Infra 5, 96. Cf. ad 5, 10.

οἱ Λακεδαιμόνιοι Κάρνεια ἦγον· καὶ διελόμενοι τὴν πόλιν περιετείχιζον. Καὶ οἱ μὲν ἄλλοι ἐξεπαύσαντο· Ἀθηναῖοι δὲ, ὥςπερ προςετάχθησαν, τὴν ἄκραν τὸ Ἡραῖον εὐθὺς ἐξειργάσαντο. Καὶ ἐν τούτῳ ξυγκαταλιπόντες ἅπαντες τῷ τειχίσματι φρουρὰν, ἀνεχώρησαν κατὰ πόλεις ἕκαστοι. Καὶ τὸ θέρος ἐτελεύτα.

76. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἀρχομένου, εὐθὺς οἱ Λακεδαιμόνιοι, ἐπειδὴ τὰ Κάρνεια ἤγαγον, ἐξεστράτευσαν, καὶ ἀφικόμενοι ἐς Τέγεαν, λόγους προὔπεμπον ἐς τὸ Ἄργος ξυμβατηρίους. Ἦσαν δὲ αὐτοῖς πρότερόν τε ἄνδρες ἐπιτήδειοι, καὶ βουλόμενοι τὸν δῆμον τὸν ἐν Ἄργει καταλῦσαι· καὶ ἐπειδὴ ἡ μάχη ἐγεγένητο, πολλῷ μᾶλλον ἐδύναντο πείθειν τοὺς πολλοὺς ἐς τὴν ὁμολογίαν. Ἐβούλοντο δὲ, πρῶτον σπονδὰς ποιήσαντες πρὸς τοὺς Λακεδαιμονίους, αὖθις ὕστερον καὶ ξυμμαχίαν, καὶ οὕτως ἤδη τῷ δήμῳ ἐπιτίθεσθαι. Καὶ ἀφικνεῖται πρόξενος ὢν Ἀργείων Λίχας ὁ Ἀρκεσιλάου, παρὰ τῶν Λακεδαιμονίων δύο λόγω φέρων ἐς τὸ Ἄργος· τὸν μὲν, καθότι εἰ βούλονται πολεμεῖν· τὸν δ', ὡς εἰ εἰρήνην ἄγειν. Καὶ γενομένης

cedunt. 76. Legati Lacedaemoniorum de pace Argos veniunt, et, agentibus nonnullis Argivorum, pacis con-

76. ἐπειδὴ — ἤγαγον, Aoriſtus pro plusquamperfecto. — In verbis αὖθις ὕστερον καὶ ξυμμαχίαν ſupplendum fuerit ποιεῖν ex ποιήσαντες. Multo tamen aptius Thucydideae loquendi rationi hic locus conformatus ſit, ſi, deleto καὶ ante οὕτως, illa verba referre poſſis ad ποιήσαντες. Et ſic mihi faciendum videtur. Ceterum ποιήσαντες non ποιησάμενοι, quia non ſibi, ſed populo foedus pangebant, et rem modo curabant, adminiſtrabant. Sic ποιεῖν habes c. 59. et infra c. 80., ubi iterum Bauerus ποιῆσαι pro medio ποιησάμενος eſſe contendit. Nec vero ipſe Demoſthenes ibi inter ἀγωνιστάς ſive ἀθλητάς erat, ſed curabat tantum ſive committebat certamen.

Λίχας ὁ Ἀρκεσιλάου. Vide de hoc ſupra c. 22. — Ad καθότι et ὡς ſubaudiendum εἴη vel ἔσται, quod Scriptoris brevitas reſpuit. Verte: „Duas afferebat conditiones, unam, quemadmodum, ſi bellum mallent, foret, alteram, quomodo ſi pacem.“ — Paullo inferius pro συμβατήριον ſcripſimus ξυμβατήριον.

πολλῆς ἀντιλογίας, (ἔτυχε γὰρ καὶ ὁ Ἀλκιβιάδης παρὼν) οἱ ἄνδρες οἱ τοῖς Λακεδαιμονίοις πράσσοντες, ἤδη καὶ ἐκ τοῦ φανεροῦ τολμῶντες, ἔπεισαν τοὺς Ἀργείους προσδέξασθαι τὸν ξυμβατήριον λόγον. ἔστι δὲ ὅδε.

77. „ΚΑΤΤΑΔΕ δοκεῖ τᾷ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων ξυμβαλέσθαι ποττὼς Ἀργείως· ἀποδιδόντας τὼς παῖδας τοῖς Ὀρχομενίοις, καὶ τὼς ἄνδρας τοῖς Μαιναλίοις, καὶ τὼς ἄνδρας τὼς ἐν Μαντινείᾳ τοῖς Λακεδαιμονίοις ἀποδιδόντας, καὶ ἐξ Ἐπιδαύρω ἐκβῶντας, καὶ τὸ τεῖχος ἀναιροῦντας. Αἰ δέ κα μὴ εἴκωντι τοὶ Ἀθηναῖοι ἐξ Ἐπιδαύρω, πολεμίους ἦμεν τοῖς Ἀργείοις καὶ τοῖς Λακεδαιμονίοις, καὶ τοῖς τῶν Λακεδαιμονίων ξυμμάχοις καὶ τοῖς τῶν Ἀργείων ξυμμάχοις. Καὶ αἴ τινα τοὶ Λακεδαιμόνιοι παῖδα ἔχοντι, ἀποδόμεν ταῖς πολίεσι πάσαις. Περὶ δὲ τῶ τῶ σιῶ σύματος ἦμεν λῆν τοῖς Ἐπιδαυρίοις ὅρκον, δόμεν δὲ αὐτοὺς ὀμόσαι.

ditiones ab Argivis accipiuntur. 77. Foedus inter

77. *ἀποδιδόντας* h. l. videtur esse pro *εἰ ἀποδίδουσι.* Ad rem quod attinet, pueros istos et viros eosdem obsides esse coniicio, quos supra c. 61., cum Orchomenus ab Argivis et sociis caperetur, Mantinensibus ad custodiam traditos refert. — *τὸ τεῖχος*, *τὴν ἄκραν τὸ Ἡραῖον*, cap. 75.

καὶ αἴ τινα τοὶ Λακεδαιμόνιοι παῖδα ἔχοντι. Vulgo *καὶ ἂν — ἔχωντι.* Sed cum indicativum *ἔχοντι* plerique et optimi libri tueantur, etiam Gr. et Mosq., qui *ἂν* habent; *αἰ* autem praeter vett. edd. exhibeant Caff. Aug. Ar. C. Bar. Vindob., haec lectio praeferenda est propter codicum fidem.

περὶ δὲ τῶ τῶ σιῶ σύματος ἦμεν λῆν τοῖς Ἐπιδαυρίοις ὅρκον. Valde depravatus est hic locus. Vulgo legebatur: *περὶ δὲ τῶ σιῶ, συμβατόσαι μεν λῆν* —. Codices variant. Regius habet *ξυμβατῶσαι μὲν*, Gr. *συμβατόσαι μὲν*, Caff. Aug. *σύματος εμεν.* E vestigiis harum codicum lectionum Valckenaerius (Ep. ad Roev. p. 73 sq.) emendabat: *περὶ δὲ τῶ τῶ Σιῶ σύματος, σέμεν* (i. e. *τιθέναι*) *λῆν τοῖς Ἐπιδαυρίοις ὅρκον, δῶμεν δὲ αὐτῶς ὀμόσαι.* Idem in Digress. IV. ad Theocriti Adon. p. 284. legebat: *περὶ δὲ τῶ τῶ Σιῶ σύματος εἶμεν λῆν τ. Ἐπιδ. ὅρκ.* Nos, quod nobis ad veritatem, certe codicum scripturam, proxime accedere videbatur, reposuimus: *περὶ δὲ τῶ τῶ σιῶ σύματος ἦμεν λῆν* — i. e. *περὶ τοῦ τοῦ θεοῦ* (Apollinis cf. c. 53.) *θύματος εἶναι ἐθέλειν* — *τοῖς Ἐπιδ. ὅρκον, δόμεν δὲ* (pro *δῶμεν* ex codd. bonis) *αὐτοὺς ὀμόσαι.* Articulus *τῶ*, quem cum Valckenaerio adieci-

Τὰς δὲ πόλιας τὰς ἐν Πελοποννάσῳ, καὶ μικρὰς καὶ μεγάλας, αὐτονόμους ἦμεν πάσας καττὰ πάτρια. Αἱ δέ κα τῶν ἐκτὸς Πελοποννάσω τὶς ἐπὶ τὰν Πελοπόννασον γᾶν ἴῃ ἐπὶ κακῷ, ἀλεξέμεναι ἀμόθι, βουλευσαμένους, ὅπα κα δικαιότατα δοκῇ τοῖς Πελοποννασίοις. Ὅσοι δ᾽ ἐκτὸς Πελοποννάσω τῶν Λακεδαιμονίων ξύμμαχοι ἐντὶ, ἐν τῷ αὐτῷ ἐσοῦνται, ἐν τῷπερ καὶ τοὶ τῶν Λακεδαιμονίων καὶ τοὶ τῶν Ἀργείων ξύμμαχοι ἐντὶ, τὰν αὑτῶν ἔχοντες. Ἐπιδείξαντας δὲ τοῖς ξυμμάχοις ξυμβαλέσθαι, αἴ κα αὐτοῖς δοκῇ. αἱ δέ τι καὶ ἄλλο δοκῇ τοῖς ξυμμάχοις, οἴκαδ᾽ ἀπιάλλειν."

Lacedaemonios et Argivos, dorice ſcriptum.

mus, facile potuit excidere, hic autem neceſſarius eſt. ἦμεν an εἶμεν reponendum eſſet, aliquamdiu dubitavi, cum εἶμεν non ſolum ad codicum ſcripturam propius venire videatur, ſed etiam ſupra in verbis πολεμίους ἦμεν τοῖς Ἀργείοις multi et boni codices praebeant εἶμεν. Sed tamen alibi in hoc et 79. capite exhibetur et editur ἦμεν, itaque conſtantiae cauſa ſic erat ſcribendum. δόμεν eſt infinitivus ad Lacedaemonios referendus, qui ſe ad iusiurandum adacturos eſſe promittunt Epidaurios, vel iurisiurandi formulam his oblaturos.

αὐτονόμους ἦμεν. Ne quid contra codices in re incerta moliar, paullo ante αὐτούς, pro quo Valcken. legebat αὐτῶς, et h. l. αὐτονόμους retinui, monente me per litteras Poppone, in adiectivis has formas ne apud Theocritum quidem et Pindarum reperiri. Sed quod idem etiam genitivum in ῶ vel in ſubſtantivis verum eſſe negat, non poſſum concedere, ideoque mox repoſui Πελοποννάσω, ut paullo inferius in plerisque libris legitur. Mox cum Duckero e codd. ſcripſi ὅπα κα pro ὅπα καί. Poſt ἀμόθι, cuius loco in multis libris eſt ἀμόθεί, rectius diſtinguitur, quam poſt βουλευσαμένους, ſi quidem ἀμόθι eſt *uspiam*, non *una*; cf. Bredov.

ἐπιδείξαντας — ἀπιάλλειν. „His de conditionibus ad ſocios referre et cum iis ſermonem conferre, ſi illis videatur; ſin aliud quid videatur ſociis, eos domum dimittere (non cogere)." Sic recte Bredovius. Pro αἱ δέ τι καὶ ἄλλο legendum cenſeo αἱ δέ τί κα ἄλλο. Nam ſimplex αἱ, ut proſaicum εἰ, licet rariora quaedam particulae huius cum coniunctivo iunctae exempla reperiantur, ut 1, 139. 6, 21., tamen plerumque et tantum non ſemper indicativum accipit. Καί et paullo ante corrupte legebatur pro κα. At etiam c. 79. duo exſtant loci, ubi coniunctivus ſequitur particulam αἰ. Primus hic eſt: αἰ δέ ποι στρατείας δέῃ κοινᾶς. An legendum δέοι? Ita paullo poſt αἰ δέ τις ἐρίοδοι. Deinde paullo poſt: αἰ δέ τινι τᾶν πολίων ᾖ ἀμφίλογα. Olim coniiciebam ἦς ἀμφίλογα. Ἧς dorice pro ἦν. Nihil autem frequentius quam litterae ς cum ι

78. Τοῦτον μὲν τὸν λόγον προςεδέξαντο πρῶτον οἱ Ἀργεῖοι· καὶ τῶν Λακεδαιμονίων τὸ στράτευμα ἀνεχώρησεν ἐκ τῆς Τεγέας ἐπ' οἴκου. Μετὰ δὲ τοῦτο, ἐπιμιξίας οὔσης ἤδη παρ' ἀλλήλους, οὐ πολλῷ ὕστερον ἔπραξαν αὖθις οἱ αὐτοὶ ἄνδρες, ὥςτε τὴν Μαντινέων καὶ Ἠλείων καὶ τὴν Ἀθηναίων ξυμμαχίαν ἀφέντας Ἀργείους, σπονδὰς καὶ ξυμμαχίαν ποιήσασθαι πρὸς Λακεδαιμονίους. καὶ ἐγένοντο αἵδε.

79. „ΚΑΤΤΑΔΕ ἔδοξε τοῖς Λακεδαιμονίοις καὶ Ἀργείοις σπονδὰς καὶ ξυμμαχίαν ἦμεν πεντηκονταετῆ· ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις δίκας διδόντας καττὰ πάτρια· ταὶ δὲ ἄλλαι πόλιες ταὶ ἐν Πελοποννάσῳ, κοινανεόντων τᾶν σπονδᾶν καὶ τᾶν ξυμμαχιᾶν, αὐτόνομοι

78. Paullo post etiam societatem cum Lacedaemoniis ineunt Argivi, Mantinensium, Eleorum et Atheniensium societate omissa. 79. Eius formula, item dorice con-

subscripto permutatio. Vid. var. lectt. ad 5, 71. cf. ad 3, 59. At imperfectum ἦν sententiae repugnat. An forte ἄν pro αἰ legendum est, cum etiam illae litterae saepe confundantur? Vid. hoc ipso capite superius. Cf. Poppo Obss. critt. p. 252. Sed contra codices nihil moverim, cum in loco memorabili 6, 21. certa sit scriptura: Ἄλλως τε καὶ εἰ ξυστῶσιν αἱ πόλεις φοβηθεῖσαι, καὶ μὴ ἀντιπαράσχωσιν ἡμῖν φίλοι τινὲς γενόμενοι ἄλλοι — ἱππικόν. Et fortassis in Dorica dialecto Optativus magis ferri possit.

79. δίκας διδόντας. Δίκας διδόναι dicitur is reus, qui iudicium subit. Participium autem διδόντας ostendit, Scriptorem huius foederis eam structuram vel locutionem, qua periodum ingrediebatur, oblitum esse, et aliam ei in mente fuisse, quae accusativum postularet, veluti: Καττάδε ἔδοξε τοῖς Λακεδαιμονίοις καὶ Ἀργείοις σπονδὰς καὶ ξυμ. ποιεῖσθαι πρὸς ἀλλήλους, — δίκας διδόντας. Vid. ad 3, 36 init. Sophocl. Antig. 857 seqq.

κοινᾶν ἐόντων τᾶν σπονδᾶν. Cum cod. Mosq. praebeat ἐχόντων, hanc prorsus ineptam lectionem arripuit Bauerus, scribens κοινὰν ἐχόντων τὰν σπονδάν; quamquam Thucydides ubique αἱ σπονδαί de foederibus dicere soleat. Valckenaerio (Not. in Eurip. Phoen. p. 65.) scribendum videbatur κοινανεόντων (dorice pro κοινωνεόντων), quod Bredovius verissimum esse putat. Neque ego aliter iudico, praesertim cum in his capitibus permulta a librariis, doricam dialectum ignorantibus, aut dilacerata, aut male concinnata sint. ἐόντων imperativus esse nequit, qui est ἔστωσαν vel ἔστων. Nisi autem imperativum habeas h. l., verba ταὶ πόλιες carebunt verbo finito. Ergo potius verisimilem coniecturam, quae bonum sensum efficeret, volui recipere, quam

καὶ αὐτοπόλιες, τὰν αὐτῶν ἔχοντες, καττὰ πάτρια δίκας διδόντες τὰς ἴσας καὶ ὁμοίας. Ὅσοι δὲ ἔξω Πελοποννάσω Λακεδαιμονίοις ξύμμαχοι ἐντὶ, ἐν τοῖς αὐτοῖς ἐσοῦνται, τοῖςπερ καὶ τοὶ Λακεδαιμόνιοι. καὶ τοὶ τῶν Ἀργείων ξύμμαχοι ἐν τῷ αὐτῷ ἐσοῦνται, τῷπερ καὶ τοὶ Ἀργεῖοι, τὰν αὐτῶν ἔχοντες. Αἰ δέ ποι στρατείας δέῃ κοινᾶς, βουλεύεσθαι Λακεδαιμονίως καὶ Ἀργείως, ὅπα κα δικαιότατα κρίναντας τοῖς ξυμμάχοις. Αἰ δέ τινι τᾶν πολίων ᾖ ἀμφίλογα, ἢ τᾶν ἐντὸς ἢ τᾶν ἐκτὸς Πελοποννάσω, αἴτε περὶ ὅρων, αἴτε περὶ ἄλλου τινὸς, διακριθῆμεν. Αἰ δέ τις τῶν ξυμμάχων πόλις πόλει ἐρίζοι, ἐς πόλιν ἐλθεῖν, ἅν τινα ἴσαν ἀμφοῖν ταῖς πολίεσι δοκοίη. τοῖς δὲ ἔταις καττὰ πάτρια δικάζεσθαι."

80. Αἱ μὲν σπονδαὶ καὶ ἡ ξυμμαχία αὕτη ἐγεγένητο· καὶ ὁπόσα ἀλλήλων πολέμῳ, ἢ εἴ τι ἄλλο εἶχον, διελύσαντο. Κοινῇ δὲ ἤδη τὰ πράγματα τιθέμενοι,

ſcriptae. 80. Lacedaemonii et Argivi cum Thraciae

ineptam librariorum oſcitantium ſcripturam usque propagare. Unus ex Pariſſ. habet κοιρανεόντων.

αἰ δέ ποι στρατείας δέῃ. Vulgo στρατιᾶς. Sed Graev. habet στρατίας, quod ad veram lectionem ducere poteſt, quam vel ποί exigit. Ad verba ὅπα κα δικαιότατα ſubaudi εἴη. Diiudicandum autem erat, quid in bello futuro praeſtandum a ſingulis ſociis eſſet, quot milites tribuendi, quantum cibariorum.

πόλις πόλει ἐρίζοι. Doricam formam ἐρίσδοι cum Valckenaerio reponerem, niſi codd. vulgatum ἐρίζοι tuerentur omnes. Mox autem codicibus adſtipulantibus ſcribendum eſt ἅν τινα ἴσαν (pro ἄν τινα ἴσαν) i. e. „quam aequam utrique iudicem putaverit." Nec ſpernenda eſt optimorum librorum non prorſus oblitterata lectio δοκεῖ οἱ pro δοκοίη, quam per litteras mihi indicavit vir ſummus, God. Hermannus. Eidem διακριθῆμεν ad ἀμφίλογα pertinere et duplex huic loco protaſis ineſſe videbatur, cui una apodoſis ἐς πόλιν ἐλθεῖν communiter reſponderet. Equidem putabam, priore membro in univerſum, poſteriore magis definite, rationem controverſiarum diiudicandarum pronuntiari. Quare non mutavi vulgatam diſtinctionem. Infinitivi διακριθῆμεν, ἐλθεῖν, δικάζεσθαι pendent ab ἔδοξε, quod erat initio capitis, ſicut cetera. — δικάζεσθαι corruptum videbatur Valckenaerio, qui emendabat δίκας ἐσεῖσθαι. Mihi hac medicina non opus videtur, niſi forte ſcribendum ſit δικάσδεσθαι. — Ἔτης h. l. πολίτης, δημότης.

80. ἢ εἴ τι ἄλλο εἶχον, διε-

ἐψηφίσαντο, κήρυκα καὶ πρεσβείαν παρ' Ἀθηναίων μὴ προσδέχεσθαι, ἢν μὴ ἐκ Πελοποννήσου ἐξίωσι, τὰ τείχη ἐκλιπόντες· καὶ μὴ ξυμβαίνειν τῳ, μηδὲ πολεμεῖν, ἀλλ' ἢ ἅμα. Καί τά τε ἄλλα θυμῷ ἔφερον, καὶ ἐς τὰ ἐπὶ Θρᾴκης χωρία καὶ ὡς Περδίκκαν ἔπεμψαν ἀμφότεροι πρέσβεις, καὶ ἀνέπεισαν Περδίκκαν ξυνομόσαι σφίσιν· (οὐ μέντοι εὐθύς γε ἀπέστη τῶν Ἀθηναίων, ἀλλὰ διενοεῖτο, ὅτι καὶ τοὺς Ἀργείους ἑώρα· ἦν δὲ καὶ αὐτὸς τὸ ἀρχαῖον ἐξ Ἄργους·) καὶ τοῖς Χαλκιδεῦσι τούς τε παλαιοὺς ὅρκους ἀνενεώσαντο, καὶ ἄλλους ὤμοσαν. Ἔπεμψαν δὲ καὶ παρὰ τοὺς Ἀθηναίους οἱ Ἀργεῖοι πρέσβεις, τὸ ἐξ Ἐπιδαύρου τεῖχος κελεύοντες ἐκλιπεῖν. Οἱ δ' ὁρῶντες ὀλίγοι πρὸς πλείους ὄντες τοὺς ξυμφύλακας, ἔπεμψαν Δημοσθένην, τοὺς σφετέρους ἐξάξοντα. Ὁ δὲ, ἀφικόμενος, καὶ ἀγῶνά τινα πρόφασιν γυμνικὸν ἔξω τοῦ φρουρίου ποιήσας, ὡς

populis et cum Perdicca contra Athenienſes ſocietates inire ſtudent, et ab his petunt, ut ex Epidauria cedant. Quod

λύσαντο, int. περὶ τούτων, de his omnibus compoſitionem fecerunt. Verba εἴτι ἄλλο fortaſſe ad Cynurium agrum pertinent. Cf. c. 41. — τὰ τείχη, in agro Epidauriorum, c. 75.

ἦν δὲ καὶ αὐτὸς — ἐξ Ἄργους. Parentheſeos notam paullo ſuperius, quam vulgo factum videmus, fiximus. De proavis Perdiccae Argis oriundis cf. Herodot. 8, 137 ſeqq. — διενοεῖτο, in animo habebat, ſecum reputabat.

τὸ ἐξ Ἐπιδαύρου τεῖχος κελ. ἐκλ. Breviter et contorte, ut aſſolet pro: τὸ τεῖχος ἐν Ἐπιδαύρῳ κελεύοντες ἐκλιπεῖν, ἐξιόντας ἐξ αὐτῆς.

οἱ δ' ὁρῶντες ὀλίγοι πρὸς πλείους ὄντας. Nemo graece dicere, opinor, poteſt: ὁρῶσι ὀλίγοι πρὸς πολλούς, pro ὀλίγοι εἶναι vel ὄντες. Quare Abreſchii coniecturam, ὄντας facili errore ortum eſſe ex ὄντες, veram puto, et ſic ſcribendum. — ποιήσας cf. ad c. 76. πρόφασιν v. 3, 111. πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες. — φρούριον licet Bauerus defendat, comparans Latinorum *praeſidium* et Graecorum στρατόπεδον, (φυλακὴν quidem melius omiſiſſet, quia non eſt ſimile exemplum); tamen vel hoc durius videtur nobis, quod idem vocabulum tam parvo intervallo diverſa ſignificatione uſurpatur. Quare praeferam cum Duckero codd. Gr. Cam. Marg. et haud dubie aliorum lectionem τὸ ἄλλο φρουρικόν, i. e. ἡ ἄλλη φρουρά, οἱ φρουροί. — αὐτοί, i. e. ἀφ' ἑαυτῶν.

ἐξῆλθε τὸ ἄλλο φρουρικὸν, ἀπέκλεισε τὰς πύλας. Καὶ ὕστερον Ἐπιδαυρίοις ἀνανεωσάμενοι τὰς σπονδὰς αὐτοὶ οἱ Ἀθηναῖοι ἀπέδοσαν τὸ τείχισμα.

81. Μετὰ δὲ τὴν τῶν Ἀργείων ἀπόστασιν ἐκ τῆς ξυμμαχίας, καὶ οἱ Μαντινεῖς, τὸ μὲν πρῶτον ἀντέχοντες, ἔπειτ᾽ οὐ δυνάμενοι ἄνευ τῶν Ἀργείων, ξυνέβησαν καὶ αὐτοὶ τοῖς Λακεδαιμονίοις, καὶ τὴν ἀρχὴν ἀφεῖσαν τῶν πόλεων. Καὶ Λακεδαιμόνιοι καὶ Ἀργεῖοι, χίλιοι ἑκάτεροι, ξυστρατεύσαντες, τά τ᾽ ἐν Σικυῶνι ἐς ὀλίγους μᾶλλον κατέστησαν αὐτοὶ οἱ Λακεδαιμόνιοι ἐλθόντες, καὶ μετ᾽ ἐκεῖνα ξυναμφότερα ἤδη καὶ τὸν ἐν Ἄργει δῆμον κατέλυσαν· καὶ ὀλιγαρχία ἐπιτηδεία τοῖς Λακεδαιμονίοις κατέστη. Καὶ πρὸς ἔαρ ἤδη ταῦτα ἦν, τοῦ χειμῶνος λήγοντος· καὶ τέταρτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

82. Τοῦ δ᾽ ἐπιγιγνομένου θέρους, Διχτιδιῆς τε οἱ ἐν Ἄθῳ ἀπέστησαν Ἀθηναίων πρὸς Χαλκιδέας, καὶ Λακεδαιμόνιοι τὰ ἐν Ἀχαΐᾳ, οὐκ ἐπιτηδείως πρότερον

poſtea factum eſt. 81. Etiam Mantinenſes cum Lacedaemoniis paciſcuntur. Lacedaemonii Sicyone oligarchiam inſtituunt; item Argis. Finis anni quarti decimi. 82. Dictidienſes deſciſcunt ab Athenienſibus ad Chalcidenſes. Res Achaiae in utilitatem ſuam componunt Lacedaemonii. Argis plebs optimates opprimit pugna com-

81. *Καὶ Λακεδαιμόνιοι — ξυστρατεύσαντες — κατέστησαν αὐτοὶ οἱ Λακεδ. ἐλθόντες.* Structura huius loci mutata eſt, non enim prioribus poſteriora reſpondent. Auctor ſe ſcripſiſſe putabat *Λακεδαιμονίων καὶ Ἀργείων, χιλίων ἑκατέρων, ξυστρατευσάντων.* Eiusmodi anacolutha apud noſtrum Scriptorem ſaepe deprehendes. Cf. 4, 36. 80. coll. 3, 34., imprimis 8, 80. — *αὐτοί*, ſoli. v. ad c. 60. His ita demonſtratis, nemo facile de veritate lectionis *ξυναμφότερα*, cuius loco ſunt, qui *ξυναμφότεροι* velint ſubſtituere, amplius dubitabit. Lacedaemonii narrantur populo Argivo ſummum imperium eripuiſſe (*δῆμον κατέλυσαν*), poſtquam duo perfecerant. Quaenam igitur ſunt illa duo? Nimirum primum expeditio in Sicyoniam, una cum Argivis ſuscepta: alterum mutatio reipublicae Sicyoniorum, per ſolos Lacedaemonios confecta. — Ceterum hanc reipublicae Argivorum converſionem per mille illos ſelectos (*λογάδας* cf. ſupra c. 67.) confectam tradit Diodor. 12, 80.

ἔχοντα, καθίσταντο. Καὶ Ἀργείων ὁ δῆμος, κατ' ὀλίγον ξυνιστάμενός τε καὶ ἀναθαρσήσας, ἐπέθεντο τοῖς ὀλίγοις, τηρήσαντες αὐτὰς τὰς γυμνοπαιδίας τῶν Λακεδαιμονίων. Καὶ μάχης γενομένης ἐν τῇ πόλει, ἐπεκράτησεν ὁ δῆμος· καὶ τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἐξήλασεν. Οἱ δὲ Λακεδαιμόνιοι, ἕως μὲν αὐτοὺς μετεπέμποντο οἱ φίλοι, οὐκ ἦλθον ἐκ πλείονος· ἀναβαλλόμενοι δὲ τὰς γυμνοπαιδίας, ἐβοήθουν. Καὶ ἐν Τεγέᾳ πυθόμενοι, ὅτι νενίκηνται οἱ ὀλίγοι, προελθεῖν μὲν οὐκέτι ἠθέλησαν, δεομένων τῶν διαπεφευγότων· ἀναχωρήσαντες δὲ ἐπ' οἴκου, τὰς γυμνοπαιδίας ἦγον. Καὶ ὕστερον, ἐλθόντων πρέσβεων ἀπό τε τῶν ἐν τῇ πόλει [ἀγγέλων], καὶ τῶν ἔξω Ἀργείων, παρόντων τε τῶν ξυμμάχων, καὶ ῥηθέντων πολλῶν ἀφ' ἑκατέρων, ἔγνωσαν μὲν ἀδικεῖν τοὺς ἐν τῇ πόλει, καὶ ἔδοξεν αὐτοῖς στρατεύειν ἐς Ἄργος· διατριβαὶ δὲ καὶ μελλήσεις ἐγίγνοντο. Ὁ δὲ δῆμος τῶν Ἀργείων ἐν τούτῳ, φοβούμενος τοὺς Λακεδαιμονίους, καὶ τὴν τῶν Ἀθηναίων ξυμμαχίαν πάλιν προςαγόμενός τε, καὶ νομίζων μέγιστον ἂν σφᾶς ὠφελήσειν, τειχίζει μακρὰ τείχη ἐς θάλασσαν, ὅπως, ἢν τῆς γῆς εἴργωνται, ἡ κατὰ θάλασσαν σφᾶς μετὰ τῶν Ἀθηναίων ἐπαγωγὴ τῶν ἐπιτηδείων ὠφελῇ. Ξυνῄδεσαν δὲ τὸν τειχισμὸν καὶ τῶν ἐν

miſſa. Sero, nec priusquam arceſſerentur, Lacedaemonii ſuccurrunt, et nihil agentes domum redeunt. Mox ab Argivis ſocietas cum Athenienſibus redintegrata, et longi

82. *τὰς γυμνοπαιδίας.* Erant gymnici puerorum ludi, vel chori in honorem Apollinis.

ἐλθόντων πρέσβεων — ἀγγέλων. Bauerus per appoſitionem accipi vult, *legati nuntii* (ſc. qui eſſent). Sed quidnam tandem nuntiant, vel nuntiaturi erant? Potius quod defenderent vel poſtularent, habebant. Indigna eſſet tam otioſa h. l. vox noſtro ſcriptore, qui numquam de legatis ita loquitur. Quare cum Porto utroque vocem *ἀγγέλων* ineptum interpretis alicuius additamentum eſſe iudico.

ξυνῄδεσαν, int. *αὐτοῖς.* Fruſtra Bauerus *ξυνῄεσαν* coniicit. Res occulte ab Argivis perficienda erat, ne Lacedaemonii ſentientes impedirent et occuparent. Cf. c. 83 init.

Πελοποννήσῳ τινὲς πόλεων. Καὶ οἱ μὲν Ἀργεῖοι πανδημεί, καὶ αὐτοὶ, καὶ γυναῖκες, καὶ οἰκέται ἐτείχιζον· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς ἦλθον τέκτονες καὶ λιθουργοί· καὶ τὸ θέρος ἐτελεύτα.

83. *Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι, ὡς ᾔσθοντο τειχιζόντων, ἐστράτευσαν ἐς τὸ Ἄργος, αὐτοί τε καὶ οἱ ξύμμαχοι, πλὴν Κορινθίων. Ὑπῆρχε δέ τι αὐτοῖς καὶ [ἐκ τοῦ Ἄργους] αὐτόθεν πρασσόμενον. Ἦγε δὲ τὴν στρατιὰν Ἆγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς. Καὶ τὰ μὲν ἐκ τῆς πόλεως δοκοῦντα προϋπάρχειν οὐ προὐχώρησεν ἔτι· τὰ δὲ οἰκοδομούμενα τείχη ἑλόντες καὶ καταβαλόντες, καὶ Ὑσιὰς, χωρίον τῆς Ἀργείας, λαβόντες, καὶ τοὺς ἐλευθέρους ἅπαντας, οὓς ἔλαβον, ἀποκτείναντες, ἀνεχώρησαν, καὶ διελύθησαν κατὰ πόλεις. Ἐστράτευσαν δὲ μετὰ τοῦτο καὶ Ἀργεῖοι ἐς τὴν Φλιασίαν, καὶ δῃώσαντες ἀπῆλθον, ὅτι σφῶν τοὺς φυγάδας ὑπεδέχοντο. οἱ γὰρ πολλοὶ αὐτῶν ἐνταῦθα κατῴκηντο. Κατέκλεισαν δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ Μακεδονίας Ἀθηναῖοι Περδίκκαν, ἐπικαλοῦντες τήν τε πρὸς Ἀργείους καὶ*

muri usque ad mare ducti. 83. Lacedaemonii cum sociis longum murum Argivorum evertunt, nihil amplius ex iis, quae parabant, perficientes. Argivi adversus Phliasios, qui exsules suos receperant, expeditionem faciunt, eorumque agrum devastant. Athenienses Perdiccam, ob

83. *καὶ [ἐκ τοῦ Ἄργους] αὐτόθεν.* Iam Duckerus suspicabatur, verba *ἐκ τοῦ Ἄργους* spuria esse. Nam, nisi ineptos pleonasmos Thucydidi volumus obtrudere, alterum supervacaneum iudicandum est, aut illa verba, aut *αὐτόθεν*; deinde hoc exstat Scholion: *αὐτόθεν πρασσόμενον*] *ἐκ τοῦ Ἄργους*. Patet, Scholiastam verba *ἐκ τοῦ Ἄργους* non invenisse in libro suo, et ex ipsis scholiis forlasse ea in textum irrepserunt.

τοὺς φυγάδας ὑπεδέχοντο. Sic, praeeunte Benedicto, e codd. plurimis dedi pro *ἀπεδέχοντο*, quia illud magis proprium de iis, qui amice aliquem recipiunt.

κατέκλεισαν — καὶ Μακεδονίας Ἀθηναῖοι Περδίκκαν. Vulgatam lectionem sensu cassam esse omnes docent interpretationes, quas referre taedet. Cf. Bredov. Coniicio legendum esse *ἐν Μακεδονίᾳ*,

Λακεδαιμονίους γενομένην ξυνωμοσίαν, καὶ ὅτι, παρασκευασαμένων αὐτῶν στρατιὰν ἄγειν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης, καὶ Ἀμφίπολιν, Νικίου τοῦ Νικηράτου στρατηγοῦντος, ἔψευστο τὴν ξυμμαχίαν, καὶ ἡ στρατιὰ μάλιστα διελύθη ἐκείνου ἀπάραντος. Πολέμιος οὖν ἦν. Καὶ ὁ χειμὼν ἐτελεύτα οὕτω· καὶ πέμπτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

84. Τοῦ δ' ἐπιγιγνομένου θέρους Ἀλκιβιάδης τε πλεύσας ἐς Ἄργος ναυσὶν εἴκοσιν, Ἀργείων τοὺς δοκοῦντας ἔτι ὑπόπτους εἶναι, καὶ τὰ Λακεδαιμονίων φρονεῖν, ἔλαβε τριακοσίους ἄνδρας· καὶ κατέθεντο αὐτοὺς Ἀθηναῖοι ἐς τὰς ἐγγὺς νήσους, ὧν ἦρχον. Καὶ ἐπὶ Μῆλον τὴν νῆσον Ἀθηναῖοι ἐστράτευσαν ναυσὶν, ἑαυτῶν μὲν τριάκοντα, Χίαις δὲ ἕξ, Λεσβίαις δὲ δυοῖν, καὶ ὁπλίταις, ἑαυτῶν μὲν διακοσίοις καὶ χιλίοις, καὶ τοξόταις τριακοσίοις, καὶ ἱπποτοξόταις εἴκοσι, τῶν δὲ ξυμμάχων καὶ νησιωτῶν ὁπλίταις μάλιστα πεντακοσίοις καὶ χιλίοις. Οἱ δὲ Μήλιοι Λακεδαιμονίων μὲν εἰσὶν ἄποικοι, τῶν δ' Ἀθηναίων οὐκ ἤθελον ὑπακούειν, ὥσπερ οἱ ἄλλοι νησιῶται· ἀλλὰ τὸ μὲν πρῶτον οὐδετέρων ὄντες, ἡσύχαζον, ἔπειτα, ὡς αὐτοὺς ἠνάγκαζον οἱ

coniurationem cum Lacedaemoniis et Argivis factam, coercent in Macedonia, et hostem iudicant. Finis anni quinti decimi. 84. Iidem cum sociis expeditionem navalem adversus Melios suscipiunt, qui ipsorum impe-

quod facile depravari potuit in *Μακεδονίας* (cf. ad cap. 77.), cum primum scriberetur errore librarii *ἐν Μακεδονίας*, deinde ab alio quodam id corrigeretur delenda praepositione. Certe locum aliquem, ubi alia quaedam eiusdem temporis res gerebatur, designari, demonstrat locus, quem particula *καὶ* occupat. In ceteris Scholiastae interpretatio valere debet, qua ad *κατέκλεισαν* intelligitur *τῶν εἰσαγωγίμων ἢ τῆς θαλάσσης.*

84. *ἐς τὰς ἐγγὺς νήσους.* Vid. ad 4, 57.

καὶ ἐπὶ Μῆλον. Iam sexto belli Peloponnesiaci anno expeditionem contra Melios fecerant Athenienses, duce Nicia. Vid. 3, 91. — Pro *Λεσβίαιν* praestantissimi libri Cl. Reg. Cass. Ang. Gr. exhibent *Λεσβίαις*, quorum auctoritati obtemperandum censeo. Nam pluralis saepe pro duali usurpatur; supra c. 4. *ναυσὶ δύο*, et 8, 101. *δυοῖν ἡμέραις* legitur.

Ἀθηναῖοι δῃοῦντες τὴν γῆν, ἐς πόλεμον φανερὸν κατέστησαν. Στρατοπεδευσάμενοι οὖν ἐς τὴν γῆν αὐτῶν τῇ παρασκευῇ ταύτῃ οἱ στρατηγοὶ Κλεομήδης τε ὁ Λυκομήδους καὶ Τισίας ὁ Τισιμάχου, πρὶν ἀδικεῖν τι τῆς γῆς, λόγους πρῶτον ποιησομένους ἔπεμψαν πρέσβεις. οὓς οἱ Μήλιοι πρὸς μὲν τὸ πλῆθος οὐκ ἤγαγον, ἐν δὲ ταῖς ἀρχαῖς καὶ τοῖς ὀλίγοις λέγειν ἐκέλευον, περὶ ὧν ἥκουσιν. Οἱ δὲ τῶν Ἀθηναίων πρέσβεις ἔλεγον τοιάδε.

85. ΑΘ. „ΕΠΕΙΔΗ οὐ πρὸς τὸ πλῆθος οἱ λόγοι γίγνονται, ὅπως δὴ μὴ ξυνεχεῖ ῥήσει οἱ πολλοὶ, ἐπαγωγὰ καὶ ἀνέλεγκτα ἐσάπαξ ἀκούσαντες ἡμῶν, ἀπατηθῶσι (γιγνώσκομεν γὰρ, ὅτι τοῦτο φρονεῖ ὑμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγὴ) ὑμεῖς οἱ καθήμενοι ἔτι ἀσφαλέστερον ποιήσατε. Καθ᾽ ἕκαστον γὰρ καὶ μηδ᾽ ὑμεῖς ἑνὶ λόγῳ, ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν ἐπιτηδείως λέγεσθαι εὐθὺς ὑπολαμβάνοντες, κρίνετε. Καὶ πρῶτον, εἰ ἀρέσκει ὡς λέγομεν, εἴπατε.“ Οἱ δὲ τῶν Μηλίων ξύνεδροι ἀπεκρίναντο.

86. ΜΗΛ. „Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ᾽ ἡσυχίαν ἀλλήλους, οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου, παρόντα ἤδη, καὶ οὐ μέλλοντα, διαφέροντα αὐτοῦ φαίνεται. Ὁρῶμεν γὰρ αὐτούς τε κριτὰς ἥκοντας ὑμᾶς τῶν λεχθησομένων, καὶ τὴν τελευτὴν ἐξ αὐτοῦ, κατὰ τὸ εἰκὸς, περιγενομένοις μὲν τῷ δικαίῳ, καὶ δι᾽ αὐτὸ μὴ ἐνδοῦσι, πόλεμον ἡμῖν φέρουσαν, πεισθεῖσι δὲ, δουλείαν.

87. ΑΘ. „Εἰ μὲν τοίνυν ὑπονοίας τῶν μελλόντων λογιούμενοι, ἢ ἄλλο τι ξυνήκετε, ἢ ἐκ τῶν παρόντων

rium ſoli ex inſulanis detrectabant. 85 — 111. Legati

85. ἑνὶ λόγῳ. In codd. pleriſque mendoſe legitur ἐν ὀλίγῳ.
86. διαφέροντα αὐτοῦ, int. τοῦ διδάσκειν καθ᾽ ἡσυχίαν. Sic mox ἐξ αὐτοῦ referes ad αὐτοὺς κριτὰς ἥκοντας ὑμᾶς, unde ſubaudiendus infinitivus ἥκειν. — περιγενομένοις, codicibus iubentibus reſtituimus loco vulgatae περιγιγνομένοις. Et ſequuntur aoriſti participia, et res ἀορίστως cogitatur.
87. ἢ ἄλλο τι, utrum iungas cum ξυνήκετε, an cum βουλεύσον-

καὶ ὧν ὁρᾶτε περὶ σωτηρίας βουλεύσοντες τῇ πόλει, παυοίμεθ' ἄν· εἰ δ' ἐπὶ τοῦτο, λέγοιμεν ἄν.

88. ΜΗΛ. „Εἰκὸς μὲν καὶ ξυγγνώμη, ἐν τῷ τοιῷδε καθεστῶτας, ἐπὶ πολλὰ καὶ λέγοντας καὶ δοκοῦντας τρέπεσθαι· ἡ μέντοι ξύνοδος καὶ περὶ σωτηρίας ἥδε πάρεστι, καὶ ὁ λόγος, ᾧ προκαλεῖσθε τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω.

89. ΑΘ. „Ἡμεῖς τοίνυν οὔτε αὐτοὶ μετ' ὀνομάτων καλῶν, ὡς ἢ δικαίως τὸν Μῆδον καταλύσαντες, ἄρχομεν, ἢ ἀδικούμενοι νῦν ἐπεξερχόμεθα, λόγων μῆκος ἄπιστον παρέξομεν· οὔθ' ὑμᾶς ἀξιοῦμεν, ἢ, ὅτι, Λακεδαιμονίων ἄποικοι ὄντες, οὐ ξυνεστρατεύσατε, ἢ ὡς ἡμᾶς οὐδὲν ἠδικήκατε, λέγοντας, οἴεσθαι πείσειν· τὰ δυνατὰ δ' ἐξ ὧν ἑκάτεροι ἀληθῶς φρονοῦμεν, διαπράσσεσθαι, ἐπισταμένους πρὸς εἰδότας, ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται; δυνατὰ δὲ οἱ προὔχοντες πράσσουσι, καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν.

90. ΜΗΛ. „Ἧι μὲν δὴ νομίζομέν γε χρήσιμον, (ἀνάγκη γὰρ, ἐπειδὴ ὑμεῖς οὕτω, παρὰ τὸ δίκαιον, τὸ ξυμφέρον λέγειν ὑπέθεσθε,) μὴ καταλύειν ἡμᾶς τὸ

Atheniensium praemissi ad colloquium de singulis rebus τες, ad sensum non multum refert. Illud tamen praestat, propter sequentia verba: εἰ δ' ἐπὶ τοῦτο. Comma igitur post ἄλλο τι delendum et ἐς subaudiendum est.

88. καὶ περὶ σωτηρίας. Particula καὶ non transposita est, cum proprie ad totam rem (πάρεστι περὶ σωτηρίας) potius, quam ad ξύνοδος, quod oppositum est τῷ λόγῳ, pertineat. Sic duas concedunt res: καὶ πάρεστι περὶ σωτηρίας ἡ ξύνοδος ἥδε, καὶ ὁ λόγος γιγνέσθω.

89. μετ' ὀνομάτων καλῶν, nominibus sive caussis speciosis, — λόγων μῆκος ἄπιστον per hypallagen pro μῆκος λόγων ἀπίστων. — οὐ ξυνεστρατεύσατε, int. αὐτοῖς, nempe in hoc bello Peloponnesiaco. Cf. 2, 9. 3, 91.

ὅτι δίκαια μὲν — κρίνεται. Sententia est: iustitiam tum servari ex hominum iudicio, cum neutra pars potentior neutra, iura vi perrumpere valeat, sed utraque ab utraque cogi possit, ut iure agat.

90. ὑπέθεσθε, auctores fuistis. — Mox pro ἡμᾶς Duck. ex Cass. Aug., probante Benedicto, volebat scribi ὑμᾶς. Sed vulga-

κοινὸν ἀγαθὸν, ἀλλὰ τῷ ἀεὶ ἐν κινδύνῳ γιγνομένῳ εἶναι τὰ εἰκότα καὶ δίκαια, καί τι καὶ ἐντὸς τοῦ ἀκριβοῦς πείσοντά τινα ὠφεληθῆναι. Καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, ὅσῳ καὶ ἐπὶ μεγίστῃ τιμωρίᾳ σφαλέντες ἂν τοῖς ἄλλοις παράδειγμα γένοισθε.

91. ΑΘ. „Ἡμεῖς δὲ τῆς ἡμετέρας ἀρχῆς, ἢν καὶ παυσθῇ, οὐκ ἀθυμοῦμεν τὴν τελευτήν. Οὐ γὰρ οἱ ἄρχοντες ἄλλων, ὥσπερ καὶ Λακεδαιμόνιοι, οὗτοι δεινοὶ τοῖς νικηθεῖσιν· (ἔστι δὲ οὐ πρὸς Λακεδαιμονίους ἡμῖν ὁ ἀγὼν) ἀλλ' ἢν οἱ ὑπήκοοί που τῶν ἀρξάντων, αὐτοὶ ἐπιθέμενοι, κρατήσωσι. Καὶ περὶ μὲν τούτου ἡμῖν ἀφείσθω κινδυνεύεσθαι. Ὡς δὲ ἐπ' ὠφελείᾳ τε πάρεσμεν τῆς ἡμετέρας ἀρχῆς, καὶ ἐπὶ σωτηρίᾳ νῦν τοὺς λόγους ἐροῦμεν τῆς ὑμετέρας πόλεως, ταῦτα δηλώσομεν· βουλόμενοι ἀπόνως μὲν ὑμῶν ἄρξαι, χρησίμως δ' ὑμᾶς ἀμφοτέροις σωθῆναι.

92. ΜΗΛ. „Καὶ πῶς χρήσιμον ἂν ξυμβαίη ἡμῖν δουλεῦσαι, ὥσπερ καὶ ὑμῖν ἄρξαι;

ſingulatim tractandis provocant. Adnuentibus Meliis, illud tum referri poteſt ad utrosque, adeoque ad omnes, quod modeſtius dictum videtur; et ſequuntur demum verba: καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, quae idem imprimis Athenienſibus utile eſſe declarant. — *τὸ κοινὸν ἀγαθόν* Schol. cod. Caſſ. bene interpretatur τὴν ἐλευθερίαν.

ἐντὸς τοῦ ἀκριβοῦς. Vulgo ἐκτός, quod non peiorem fundit ſententiam. Sed ἐντός tuentur Mſſ. omnes, i. e. citra accuratam expoſitionem.

ἐπὶ μεγίστῃ τιμωρίᾳ — παράδειγμα γένοισθε. Sententia eſt: Ipſi ceteris exemplum exhibuiſtis, graviſſimam in vobis, ſi quando male rem geſſeritis, ultionem exercendi. Kiſtemak. *ἐπὶ* vertit *poſt* (poſt graviſſimum de nobis ſumptum ſupplicium). Non placet. Cap. 91. ὡς δὲ ἐπ' ὠφελείᾳ τε πάρεσμεν τῆς ἡμετέρας ἀρχῆς, καὶ ἐπὶ σωτηρίᾳ νῦν τοὺς λόγους ἐροῦμεν τῆς ὑμετέρας πόλεως, ταῦτα δηλώσομεν.

91. *ἔστι δὲ οὐ πρὸς Λακ. ἡμῖν ὁ ἀγών.* Haec verba parentheſeos ſignis incluſi. Nam quae ſequuntur: ἀλλ' ἢν οἱ ὑπήκοοι — κρατήσωσιν, aperte reſpondent et opponuntur praecedentibus verbis οὐ γὰρ οἱ ἄρχοντες ἄλλων — τοῖς νικηθεῖσι. Innuere vult Athenienſis, ſibi nihil a Lacedaemoniis timendum eſſe, cum non tam ii, qui aliis imperent, veluti Spartani, victis ſint metuendi (et cum Spartanis ne eſſe quidem bellum ſibi); quam ſubditi, qui rebellent et detrectent imperium.

ἡμῖν ἀφείσθω κινδυνεύεσθαι, permiſſum ſit nobis de hac re periclitari.

93. ΑΘ. „Ὅτι ὑμῖν μὲν, πρὸ τοῦ τὰ δεινότατα παθεῖν, ὑπακοῦσαι ἂν γένοιτο· ἡμεῖς δὲ, μὴ διαφθείραντες ὑμᾶς, κερδαίνοιμεν ἄν.

94. ΜΗΛ. „Ὥςτε δὲ, ἡσυχίαν ἄγοντας ἡμᾶς, φίλους μὲν εἶναι ἀντὶ πολεμίων, ξυμμάχους δὲ μηδετέρων, οὐκ ἂν δέξοισθε;

95. ΑΘ. „Οὐ γὰρ τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα ὑμῶν, ὅσον ἡ φιλία μὲν, ἀσθενείας, τὸ δὲ μῖσος, δυνάμεως παράδειγμα τοῖς ἀρχομένοις δηλούμενον.

96. ΜΗΛ. „Σκοποῦσι δ' ὑμῶν οὕτως οἱ ὑπήκοοι τὸ εἰκὸς, ὥςτε τούς τε μὴ προςήκοντας, καὶ ὅσοι, ἄποικοι ὄντες οἱ πολλοὶ, καὶ ἀποστάντες τινὲς κεχείρωνται, ἐς τὸ αὐτὸ τιθέασι;

97. ΑΘ. „Δικαιώματι γὰρ οὐδετέρους ἐλλείπειν ἡγοῦνται, κατὰ δύναμιν δὲ, τοὺς μὲν περιγίγνεσθαι, ἡμᾶς δὲ φόβῳ οὐκ ἐπιέναι. ὥςτε, ἔξω καὶ τοῦ πλεόνων ἄρξαι, καὶ τὸ ἀσφαλὲς ἡμῖν διὰ τὸ καταστραφῆναι ἂν παράσχοιτε, ἄλλως τε καὶ νησιῶται, ναυκρατόρων, καὶ ἀσθενέστεροι ἑτέρων ὄντες, εἰ μὴ περιγένοισθε.

colloquium inſtituitur, quo Athenienſes quidem conantur

95. ὅσον ἡ φιλία μὲν — δηλούμενον. Subaudiendum ad ἡ φιλία eſt ex ſuperioribus verbum βλάπτει. Eſt enim abruptius dictum pro: ὅσον ἡ φιλία· ἡ μὲν γὰρ φιλία ὑμῶν ἀσθενείας παράδειγμα, τὸ δὲ μῖσος δυνάμεως, δηλοῦται τοῖς ἀρχομένοις. Vide ſimiles locos uberius explicatos ad 3, 12.

96. καὶ ὅσοι, ἄποικοι ὄντες οἱ πολλοὶ —. Perplexe dictum pro: καὶ ἐκείνους, ὅσοι, ἀποίκων ὄντων τῶν πολλῶν, καὶ ἀποστάντων τινῶν, κεχείρωνται.

97. δικαιώματι γάρ. Sic c. 95. οὐ γὰρ τοσοῦτον — et c. 99. οὐ γὰρ νομίζομεν. Γάρ indicat ſuppreſſam vel negationem, vel affirmationem, ut notum ſatis. Vid. Buttmann. Gram. p. 521. — δικαιώματι, disceptatione de iure ſuo. Cap. 105. δικαιοῦμεν ἢ πράσσομεν. — οὐδετέρους, neque nos, neque ſocios noſtros.

ναυκρατόρων. Vulgo hic et c. 109. mendoſe et contra codices plerosque omnes ναυτοκρατόρων, qui eſſent praefecti nautarum, non navium et maris potentes. — Reliqua verba difficilia intellectu ſunt. Nam ex vulgata interpungendi ratione quo referas genitivum ναυκρατόρων, non habes. Equidem comma poſui poſt νησιῶται, ut iungantur

98. *ΜΗΛ.* „Ἐν δ' ἐκείνῳ οὐ νομίζετε ἀσφάλειαν; (δεῖ γὰρ αὖ καὶ ἐνταῦθα, ὥσπερ ὑμεῖς, τῶν δικαίων λόγων ἡμᾶς ἐκβιβάσαντες, τῷ ὑμετέρῳ ξυμφόρῳ ὑπακούειν πείθετε, καὶ ἡμᾶς τὸ ἡμῖν χρήσιμον διδάσκοντας, εἰ τυγχάνει καὶ ὑμῖν τὸ αὐτὸ ξυμβαῖνον, πειρᾶσθαι πείθειν.) ὅσοι γὰρ νῦν μηδετέροις ξυμμαχοῦσι, πῶς οὐ πολεμώσεσθε αὐτοὺς, ὅταν, ἐς τάδε βλέψαντες, ἡγήσωνταί ποτε ὑμᾶς καὶ ἐπὶ σφᾶς ἥξειν; κἀν τούτῳ τί ἄλλο ἢ τοὺς μὲν ὑπάρχοντας πολεμίους μεγαλύνετε, τοὺς δὲ μηδὲ μελλήσοντας γενέσθαι, ἄκοντας ἐπάγεσθε;

99. *ΑΘ.* „Οὐ γὰρ νομίζομεν ἡμῖν τούτους δεινοτέρους, ὅσοι, ἠπειρῶταί που ὄντες, τῷ ἐλευθέρῳ πολλὴν τὴν διαμέλλησιν τῆς πρὸς ἡμᾶς φυλακῆς ποιήσονται, ἀλλὰ τοὺς νησιώτας τέ που ἀνάρκτους, ὥσπερ ὑμᾶς, καὶ τοὺς ἤδη τῆς ἀρχῆς τῷ ἀναγκαίῳ παροξυνομένους. Οὗτοι γὰρ, πλεῖστ' ἂν τῷ ἀλογίστῳ ἐπιτρέψαντες, σφᾶς τε αὐτοὺς καὶ ἡμᾶς ἐς πρόὔπτον κίνδυνον καταστήσειαν.

100. *ΜΗΛ.* „Ἦπου ἄρα, εἰ τοσαύτην γε ὑμεῖς τε, μὴ παυσθῆναι ἀρχῆς, καὶ οἱ δουλεύοντες ἤδη, ἀπαλλαγῆναι, τὴν παρακινδύνευσιν ποιοῦνται, ἡμῖν γε,

demonſtrare, iuſtum adeoque utile Meliis ſuum imperium verba *παγκρατόρων, εἰ μὴ περιγένοισθε*, quae ſine ironia dicta videntur. „Adeo, praeter imperii augmentum, etiam ſecuritatem noſtram a nobis ſubacti augeatis, praeſertim inſulani, (nobis) maris potentibus ſi non ſuperiores eſſe poſſitis, qui aliis inferiores eſtis.“ Cf. c. 99.

98. *εἰ τυγχάνει.* Hoc cum Benedicto recepi pro *τυγχάνοι*, quia *εἰ* h. l. eſt particula conditionalis *ſi*, non interrogativa *an*, nec pendet a *πειρᾶσθαι πείθειν*, quo qui referrent, in errorem inducti ſunt. Non dubitanter Melii loquuntur, an forte ſuum commodum Athenienſibus utile ſit; ſed modeſte affirmant, idem et illis expedire.

99. *τῷ ἐλευθέρῳ*, propter libertatem ſuam. Libertas enim animum reddit ſecurum.

ποιήσωνται. Codd. Ar. C. Reg. Caſſ. Aug. Moſq. praebent *ποιήσονται*, quod verum puto, et recepi, quia coniunctivi h. l. in oratione recta, nulla ratio. Mox *ἀλλά* maluit, quam *ἤ*, quod ad comparativum *δεινοτέρους* pertineret.

τοῖς ἔτι ἐλευθέροις, πολλὴ κακότης καὶ δειλία, μὴ πᾶν πρὸ τοῦ δουλεῦσαι ἐπεξελθεῖν.

101. ΑΘ. „Οὔκ, ἤν γε σωφρόνως βουλεύησθε. Οὐ γὰρ περὶ ἀνδραγαθίας ὁ ἀγὼν ἀπὸ τοῦ ἴσου ὑμῖν, μὴ αἰσχύνην ὄφλειν, περὶ δὲ σωτηρίας μᾶλλον ἡ βουλὴ, πρὸς τοὺς κρείσσονας πολλῷ μὴ ἀνθίστασθαι.

102. ΜΗΛ. „Ἀλλ' ἐπιστάμεθα τὰ τῶν πολεμίων ἔστιν ὅτε κοινοτέρας τὰς τύχας λαμβάνοντα, ἢ κατὰ τὸ διαφέρον ἑκατέρων πλῆθος. καὶ ἡμῖν τὸ μὲν εἶξαι εὐθὺς, ἀνέλπιστον· μετὰ δὲ τοῦ δρωμένου ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς.

103. ΑΘ. „Ἐλπὶς δὲ, κινδύνῳ παραμύθιον οὖσα, τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε· τοῖς δ' ἐς ἅπαν τὸ ὑπάρχον ἀναῤῥιπτοῦσι (δάπανος γὰρ φύσει) ἅμα τε γιγνώσκεται σφαλέντων, καὶ, ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν, οὐκ ἐλλείπει. Ὃ ὑμεῖς, ἀσθενεῖς τε καὶ ἐπὶ ῥοπῆς μιᾶς

esse, certe tam firmum et validum, ut Melii illud depel-

102. **τὰ τῶν πολεμίων.** Bauerus e cod. Mosq. lectionem **πολέμων** praefert; et unice veram existimat. Sed in tali re quis fidem habeat uni codici, eique non raro depravato? Cum sequatur **ἑκατέρων**, patet, intelligendos esse non hostes Meliorum, sed hostes sibi invicem oppositos in universum. Etiam **κοινοτέρας** propter codicum consensum defendo, (licet altera lectio, quae est apud Stob. et in codd. Dan. Mosq., **καινοτέρας**, et per se magis placeat, et propter sequentia verba: *καὶ ἡμῖν τὸ μὲν εἶξαι εὐθὺς*, **ἀνέλπιστον**). Luctantes et proeliantes communia subeunt fata, quatenus succumbere utrique accidere potest. Inter populos, qui diversis opibus instructi bella gerunt, non secus belli fortuna vel Mars communis versatur, quam inter pares viribus; quin etiam validiores magis, quam pro numero utriusque partis, clades illas fortunae communes experiuntur. *Κοινοτέρας* igitur resolvo in **μᾶλλον κοινάς**, et *μᾶλλον* iungo cum *λαμβάνοντα*. Vid. ad 2,40.

103. **οὐ καθεῖλε**, aoristus hic indicat, saepe ita fieri solere. Cf. Buttmann. Gr. § 124. pag. 468. — **ἀναῤῥιπτοῦσι**, int. *κίνδυνον*. — **δάπανος** ad *ἐλπίδα* spectat, *sumptuosa*, *profusa*.

καὶ, ἐν ὅτῳ ἔτι — οὐκ ἐλλείπει. Obscura vero verba! Schol. explicat: *Καὶ οὐδὲν αὐτοῖς ὑπολείπεται, ἐν ᾧ γνωρίσαντες τὸ ἀβέβαιον τῆς ἐλπίδος, ἐπιφυλάξονται* (leg. *ἔτι φυλάξονται*). Sive igitur ad *ἐλλείπει* subaudias *ἡ ἐλπίς*, sive hoc verbum neutraliter accipias cum Schol., sententia

ὄντες, μὴ βούλεσθε παθεῖν, μηδὲ ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς παρὸν ἀνθρωπείως ἔτι σώζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλείπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται, μαντικήν τε καὶ χρησμοὺς, καὶ ὅσα τοιαῦτα μετ' ἐλπίδων λυμαίνεται.

104. *ΜΗΛ.* „Χαλεπὸν μὲν καὶ ἡμεῖς (εὖ ἴστε) νομίζομεν, πρὸς δύναμίν τε τὴν ὑμετέραν καὶ τὴν τύχην, εἰ μὴ ἀπὸ τοῦ ἴσου ἔσται, ἀγωνίζεσθαι· ὅμως δὲ πιστεύομεν, τῇ μὲν τύχῃ ἐκ τοῦ θείου μὴ ἐλασσώσεσθαι, ὅτι ὅσιοι πρὸς οὐ δικαίους ἱστάμεθα· τῆς δὲ δυνάμεως τῷ ἐλλείποντι τὴν Λακεδαιμονίων ἡμῖν ξυμμαχίαν προσέσεσθαι, ἀνάγκην ἔχουσαν, καὶ εἰ μὴ τοῦ ἄλλου, τῆς γε ξυγγενείας ἕνεκα καὶ αἰσχύνῃ βοηθεῖν. καὶ οὐ παντάπασιν οὕτως ἀλόγως θρασυνόμεθα.

105. *ΑΘ.* „Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον εὐμενείας οὐδ' ἡμεῖς οἰόμεθα λελείψεσθαι. Οὐδὲν γὰρ ἔξω

lere non possint. Melii contra iniustam et noxiam esse domi-

erit: „neque ubi quis sibi caveat ab ea, (i. e. abiiciat eam) quam falsam et vanam cognoverit, locus ullus relinquitur, (nempe quod desperatio inde sequatur necesse sit,)" Ita ἐλλείπειν accipiendum fuerit pro ὑπολείπειν. Nam si propria eius vi intelligere velis *deficere*, *derelinquere*, plane contraria sententia exsistat: „et, in quo sibi quis caveat ab ea, quam perspexit falsam esse, numquam deest." Quod toti argumentationi adversatur. — σφαλέντων, int. αὐτῶν.

μὴ βούλεσθε. Vulgo μὴ βούλησθε, contra linguae usum. Quare recte Poppo emendavit βούλεσθε. Vid. 1, 43.

104. εὖ ἴστε, *nobis credite*, formula asseverationis. — ἀπὸ τοῦ ἴσου, ex aequo, i. e. pari et fortuna et potentia. Nempe illam (fortunam) deos ipsis propitios sperant exaequaturos, hanc (potentiam) Lacedaemonios adaucturos. — ἐλασσώσεσθαι, pro ἐλασσωθήσεσθαι, ut saepe. cf. c. 105.

τῆς δὲ δυνάμεως τῷ ἐλλείποντι —. Haec verba iunge cum προσέσεσθαι; alter autem dativus ἡμῖν ad ξυμμαχίαν pertinet. Cf. Duck. ad 5, 46. — αἰσχύνῃ, δι' αἰσχύνην, structura de more variata. Cap. 105. διὰ τὸ αἰσχρόν. Cf. c. 106.

105. πρὸς τὸ θεῖον, h. e. quod ad deos attinet. Sic infra, ubi ad hanc propositionem redit, loquitur: Καὶ πρὸς μὲν τὸ θεῖον, οὕτως ἐκ τοῦ εἰκότος οὐ φοβούμεθα ἐλασσώσεσθαι. — τῶν μὲν ἐς τὸ θεῖον νομίσεως de religionibus et deorum colendorum ritu intelligendum. Nam νόμισις (a νόμος, νομίζω) est pro νενομισμένα, εἰθισμένα. — ἐς σφᾶς

τῆς ἀνθρωπείας, τῶν μὲν ἐς τὸ θεῖον νομίσεως, τῶν δ' ἐς σφᾶς αὐτοὺς βουλήσεως, δικαιοῦμεν ἢ πράσσομεν. Ἡγούμεθα γὰρ τό τε θεῖον δόξῃ, τὸ ἀνθρώπειόν τε σαφῶς, διὰ παντὸς ὑπὸ φύσεως ἀναγκαίας, οὗ ἂν κρατῇ, ἄρχειν. Καὶ ἡμεῖς οὔτε θέντες τὸν νόμον, οὔτε κειμένῳ πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες, καὶ ἐσόμενον ἐς ἀεὶ καταλείψοντες, χρώμεθα αὐτῷ· εἰδότες καὶ ὑμᾶς ἄν, καὶ ἄλλους, ἐν τῇ αὐτῇ δυνάμει ἡμῖν γενομένους, δρῶντας ἂν αὐτό. Καὶ πρὸς μὲν τὸ θεῖον, οὕτως ἐκ τοῦ εἰκότος οὐ φοβούμεθα ἐλασσώσεσθαι· τῆς δὲ ἐς Λακεδαιμονίους δόξης, ἣν διὰ τὸ αἰσχρὸν δὴ βοηθήσειν ὑμῖν πιστεύετε αὐτούς, μακαρίσαντες ὑμῶν τὸ ἀπειρόκακον, οὐ ζηλοῦμεν τὸ ἄφρον. Λακεδαιμόνιοι γὰρ πρὸς σφᾶς μὲν αὐτοὺς καὶ τὰ ἐπιχώρια νόμιμα, πλεῖστα ἀρετῇ χρῶνται· πρὸς δὲ τοὺς ἄλλους, πολλὰ ἄν τις ἔχων εἰπεῖν, ὡς προσφέρονται, ξυνελὼν μάλιστ' ἂν δηλώσειεν· ὅτι ἐπιφανέστατα, ὧν ἴσμεν, τὰ μὲν ἡδέα καλὰ νομίζουσι, τὰ δὲ ξυμφέροντα δίκαια. καίτοι οὐ πρὸς τῆς ὑμετέρας νῦν ἀλόγου σωτηρίας ἡ τοιαύτη διάνοια.

106. ΜΗΛ. „Ἡμεῖς δὲ κατ' αὐτὸ τοῦτο ἤδη καὶ μάλιστα πιστεύομεν τῷ ξυμφέροντι αὐτῶν, Μηλίους

nationem Athenienſium contendunt, ſibique glorioſum fore,

αὐτοὺς nempe *ἀνθρώπους*, quod non ſolum ex *τῶν*, ſed etiam, unde hoc, ipſum, ex *ἀνθρωπείας* ſubaudiendum eſt.

τὸ ἀνθρώπειόν τε σαφῶς. Poſt *σαφῶς*, Kiſtemakero monente, comma ponimus. Opponuntur *δόξῃ* et *σαφῶς*. Divina ex opinione quadam recepta exiſtimamus, humana liquido cernimus et certo ſcimus.

τῆς δὲ ἐς Λακεδαιμονίους δόξης, ἣν — αὐτούς. Genitivum pendere puta ab ultimo periodi verbo: *τὸ ἄφρον*. Sic etiam Bauerus accipit, immemor ſui. Nam plerumque praepoſitionibus in eiusmodi locis abutitur. — *ἥν*, ſi aliter huius caſus rationem aſſequi nequis, intellige *κατά*.

106. *τῷ ξυμφέροντι αὐτῶν*, rurſus *διὰ τὸ ξυμφέρον* intellige. Cf. ad c. 104. — *βουλήσεσθαι.* Sic cum Benedicto ex optimis libris Cl. Reg. Caſſ. Aug. tribus Pariſſ. Schol. et Valla recepimus. Nam Schol. cum dicat: *τοὺς Λακεδαιμονίους πιστεύομεν καὶ μάλιστα ἕξειν ἡμῖν*

ἀποίκους ὄντας, μὴ βουλήσεσθαι προδόντας, τοῖς μὲν εὔνοις τῶν Ἑλλήνων ἀπίστους καταστῆναι, τοῖς δὲ πολεμίοις ὠφελίμους.

107. ΑΘ. „Οὐκοῦν οἴεσθε τὸ ξυμφέρον μὲν μετὰ ἀσφαλείας εἶναι, τὸ δὲ δίκαιον καὶ καλὸν μετὰ κινδύνου δρᾶσθαι· ὃ Λακεδαιμόνιοι ἥκιστα ὡς ἐπὶ τὸ πολὺ τολμῶσιν.

108. ΜΗΛ. „Ἀλλὰ καὶ τοὺς κινδύνους τε ἡμῶν ἕνεκα μᾶλλον ἡγούμεθ' ἂν ἐγχειρίσασθαι αὐτοὺς, καὶ βεβαιοτέρους, ἢ ἐς ἄλλους, νομιεῖν, ὅσῳ πρὸς μὲν τὰ ἔργα, τῆς Πελοποννήσου ἐγγὺς κείμεθα, τῆς δὲ γνώμης τῷ ξυγγενεῖ πιστότεροι ἑτέρων ἐσμέν.

109. ΑΘ. „Τὸ δ' ἐχυρόν γε τοῖς ξυναγωνιουμένοις οὐ τὸ εὔνουν τῶν ἐπικαλεσαμένων φαίνεται, ἀλλ' ἢν τῶν ἔργων τὶς δυνάμει πολὺ προὔχῃ· ὃ Λακεδαιμόνιοι καὶ πλεῖόν τι τῶν ἄλλων σκοποῦσι. Τῆς γοῦν οἰκείας παρασκευῆς ἀπιστίᾳ, καὶ μετὰ ξυμμάχων πολλῶν τοῖς

quammaxime reniti, ne ſponte iugum ſubiiſſe videantur.

βοηθούς, haud dubie futurum βουλήσεσθαι in cod. ſuo invenit.

107. οὐκοῦν οἴεσθε — δρᾶσθαι. Codd. plerique omnes praebent δρᾶσαι, quod priusquam amplecteretur Benedictus, demonſtrandum ei fuiſſet, primum verba οἴεσθε δρᾶσαι ut coniungantur, per loci ſententiam licere; deinde εἶναι non ſolum in quibusdam formulis, ut ἑκὼν εἶναι, τὸ νῦν εἶναι, κατὰ πάντα εἶναι, τὸ σήμερον εἶναι, ſed ubique Attice redundare poſſe. Apparet, ſententiam generalem proponi, et ad Lacedaemonios potius, de quibus c. 106. ſermo fuerat, quam ad Melios rem referendam eſſe. Neque Benedicti rationi aoriſti infinitivus favet. Quamobrem vulgatum retinendum videtur.

108. βεβαιοτέρους, ἢ ἐς ἄλλους, νομιεῖν. Haec alii aliter. Nos cum Bauero ſubaudimus ἡμᾶς ἐς αὐτούς, quomodo etiam *Iacobi* in verſione expreſſit. — ὅσῳ — κείμεθα, repete μᾶλλον ex praecedentibus. — τῆς γνώμης τῷ ξυγγενεῖ. Haec divelli nequeunt, ut tentat Bauerus, genitivum praepoſitione περί fulciens, et immemor eorum, quae ſupra ad c. 105. de verbis τῆς δόξης disputaverat. Ceterum h. l. non tam de cognatione ſanguinis agitur, quam de animorum aequalitate, quae inter propinquos ſolet uſu venire. τὸ ξυγγενές pro ἡ ξυγγένεια, ut c. 99. τὸ ἐλεύθερον pro ἡ ἐλευθερία, c. 105. τὸ ἀνθρώπειον pro οἱ ἄνθρωποι.

πέλας ἐπέρχονται. ὥστε οὐκ εἰκὸς, ἐς νῆσόν γε αὐτοὺς, ἡμῶν ναυκρατόρων ὄντων, περαιωθῆναι.

110. ΜΗΛ. „Οἱ δὲ καὶ ἄλλους ἂν ἔχοιεν πέμψαι· πολὺ δὲ τὸ Κρητικὸν πέλαγος, δι' οὗ τῶν κρατούντων ἀπορώτερος ἡ λῆψις, ἢ τῶν λαθεῖν βουλομένων ἡ σωτηρία. Καὶ εἰ τοῦδε σφάλλοιντο, τράποιντ' ἂν καὶ ἐς τὴν γῆν ὑμῶν, καὶ ἐπὶ τοὺς λοιποὺς τῶν ξυμμάχων, ὅσους μὴ Βρασίδας ἐπῆλθε. καὶ οὐ περὶ τῆς μὴ προςηκούσης μᾶλλον, ἢ τῆς οἰκειοτέρας ξυμμαχίδος τε [καὶ γῆς,] ὁ πόνος ὑμῖν ἔσται.'

111. ΑΘ. „Τούτων μὲν καὶ πεπειραμένοις ἄν τι γένοιτο καὶ ὑμῖν, καὶ οὐκ ἀνεπιστήμοσιν, ὅτι οὐδ' ἀπὸ μιᾶς πώποτε πολιορκίας Ἀθηναῖοι δι' ἄλλων φόβον

109. ἡμῶν ναυκρατόρων. Vid. ad c. 97.

110. καὶ ἄλλους ἂν ἔχοιεν πέμψαι. Innuit Dores in Creta et Caria, ni fallor, cum eos per Creticum mare adventuros dicat.

ἢ τῆς οἰκειοτέρας ξυμμαχίδος τε [καὶ γῆς]. Καὶ sententiam loci turbare, consentiunt omnes. Kistemakerus quidem τὲ καὶ volebat transponere ante ξυμμαχίδος, et in eandem sententiam incidit Benedictus. Nobis tamen multo verisimilius videtur, καὶ ex margine in textum fluxisse. Certe cod. Reg., qui est ex praestantissimis, alio loco habet καί, nempe post γῆς. Ita iam Duckerus et Bredovius iudicabant. Sed ego paullo sum audacior, qui non solum καί, sed etiam γῆς spurium puto. Saepe enim talia interpretationis causa in margine notari, satis omnibus notum. Deinde nemo satis potest perspicere, cuius rei explicandae causa καί in margine notatum sit; nam τέ non eget explicatione. Suspicor igitur primum adscriptum esse γῆς, quod ad τῆς οἰκειοτέρας ξυμμαχίδος τε intelligeretur, deinde ab aliis, qui ξυμμαχίδος substantive dici opinabantur etiam aliud fulcrum esse additum καί; denique utrumque, in Reg. quidem alio ordine, in Scriptoris orationem intrusum. Quo magis sic existimem, movent me Scholiastae verba, quae sunt haec: ὥςτε ὑμῖν οὐ περὶ τῆς μὴ προσηκούσης τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται, ἀλλὰ περὶ τῆς τῶν συμμάχων καὶ τῆς ὑμετέρας. Non habet γῆς, quod haud dubie in expositione tam accurata non omisisset, si in codice suo reperisset.

111. τούτων μὲν καὶ πεπειραμένοις ἄν τι γένοιτο καὶ ὑμῖν. Haec verba sic iunge: τούτων τι γένοιτο ἂν καὶ ὑμῖν πεπειραμένοις, quod dictum fuerit pro τούτων τι καὶ ὑμεῖς πεπειρᾶσθε ἄν. Perfectum h. l. vim habet futuri exacti Latinorum, quo caret lingua Graeca. Nondum enim experti erant Melii, sed mox experturi in ipsorum terra.

ἀπεχώρησαν. Ἐνθυμούμεθα δὲ, ὅτι, φήσαντες περὶ σωτηρίας βουλεύσειν, οὐδὲν ἐν τοσούτῳ λόγῳ εἰρήκατε, ᾧ ἄνθρωποι ἂν πιστεύσαντες νομίσαιεν σωθήσεσθαι· ἀλλ᾽ ὑμῶν τὰ μὲν ἰσχυρότατα, ἐλπιζόμενα μέλλεται· τὰ δ᾽ ὑπάρχοντα, βραχέα πρὸς τὰ ἤδη ἀντιτεταγμένα περιγίγνεσθαι. πολλήν τε ἀλογίαν τῆς διανοίας παρέχετε, εἰ μὴ, μεταστησάμενοι ἔτι ἡμᾶς, ἄλλο τι τῶνδε σωφρονέστερον γνώσεσθε. Οὐ γὰρ δὴ ἐπί γε τὴν ἐν τοῖς αἰσχροῖς καὶ προὔπτοις κινδύνοις πλεῖστα διαφθείρουσαν ἀνθρώπους αἰσχύνην τρέψεσθε. Πολλοῖς γὰρ, προορωμένοις ἔτι, ἐς οἷα φέρονται, τὸ αἰσχρὸν καλούμενον, ὀνόματος ἐπαγωγοῦ δυνάμει, ἐπεσπάσατο, ἡσσηθεῖσι τοῦ ῥήματος, ἔργῳ ξυμφοραῖς ἀνηκέστοις ἑκόντας περιπεσεῖν, καὶ αἰσχύνην αἰσχίω μετὰ ἀνοίας, ἢ τύχης, προσλαβεῖν. Ὃ ὑμεῖς, ἢν εὖ βουλεύησθε, φυλάξεσθε· καὶ οὐκ ἀπρεπὲς νομιεῖτε, πόλεώς τε τῆς μεγίστης ἡσσᾶσθαι, μέτρια προκαλουμένης, ξυμμάχους γενέσθαι, ἔχοντας τὴν ὑμετέραν αὐτῶν ὑποτελεῖς, καὶ, δοθείσης αἱρέσεως πολέμου πέρι, καὶ ἀσφαλείας, μὴ τὰ χείρω φιλονεικῆσαι. Ὡς, οἵτινες τοῖς μὲν ἴσοις μὴ

βραχέα πρὸς τὰ ἤδη ἀντιτεταγμένα περιγίγνεσθαι. Πρός ſive comparativo ſenſu pro *ad* accipias, ſive pro *contra*, *adverſus*, cum infinitivo περιγίγνεσθαι iungi nequit. Is enim pendet a βραχέα, vel ſi malis ab ὥςτε, quod ſit ſubaudiendum. Cf. Hermann. ad Viger. p. 885.

ἐν τοῖς αἰσχροῖς — κινδύνοις. Bauerus ſe torquet in illuſtrandis his verbis, quae paucis poſſunt declarari. Intelligenda pericula, in quae quis ruens, per amentiam, μετὰ ἀνοίας, incurrit, cum vitare potuerit, et vero debuerit, quia ſunt προὔπτα, manifeſta. Eiusmodi enim pericula qui ſponte, licet pudore quodam motus, ſubit, ignominiam ſibi contrahit. Haec interpretatio ſequentibus: τὸ αἰσχρὸν καλούμενον — (πολλοῖς) ἐπεσπάσατο — ξυμφοραῖς ἀνηκέστοις ἑκόντας περιπεσεῖν, καὶ αἰσχύνην αἰσχίω μετὰ ἀνοίας, ἢ τύχης, προσλαβεῖν, maxime conſentanea eſt. Ad τύχης repete μετά.

ἔχοντας τὴν ὑμετέραν αὐτῶν ὑποτελεῖς. Sic legendum eſſe ob conſtantem Thucydidis uſum pro ὑποτελῆ, iam demonſtraverat Duckerus. Codicibus plerisque omnibus olim collatis, aditipulantur octo ex Pariſſ. Vulgata fortaſſe ex Scholiis originem traxit. — *μὴ φιλονεικῆσαι* pendet ab οὐκ ἀπρεπὲς νομιεῖτε.

εἴκουσι, τοῖς δὲ κρείσσοσι καλῶς προσφέρονται, πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι, πλεῖστ' ἂν ὀρθοῖντο. Σκοπεῖτε οὖν καὶ μεταστάντων ἡμῶν, καὶ ἐνθυμεῖσθε πολλάκις, ὅτι περὶ πατρίδος βουλεύεσθε, ἧς μιᾶς πέρι, καὶ ἐς μίαν βουλὴν, τυχοῦσάν τε καὶ μὴ κατορθώσασαν, ἔσται."

112. Καὶ οἱ μὲν Ἀθηναῖοι μετεχώρησαν ἐκ τῶν λόγων· οἱ δὲ Μήλιοι, κατὰ σφᾶς αὐτοὺς γενόμενοι, ὡς ἔδοξεν αὐτοῖς παραπλήσια, καὶ ἀντέλεγον, ἀπεκρίναντο τάδε· „Οὔτε ἄλλα δοκεῖ ἡμῖν, ἢ ἅπερ καὶ τὸ πρῶτον, ὦ Ἀθηναῖοι· οὔτ' ἐν ὀλίγῳ χρόνῳ πόλεως ἑπτακόσια ἔτη ἤδη οἰκουμένης τὴν ἐλευθερίαν ἀφαιρησόμεθα, ἀλλὰ τῇ τε μέχρι τοῦδε σωζούσῃ τύχῃ ἐκ τοῦ θείου αὐτὴν, καὶ τῇ ἀπὸ τῶν ἀνθρώπων καὶ Λακεδαιμονίων τιμωρίᾳ πιστεύοντες, πειρασόμεθα σώζεσθαι. Προκαλούμεθα δὲ ὑμᾶς, φίλοι μὲν εἶναι, πολέμιοι δὲ

112. Re seorsum deliberata, Melii in eadem sententia

ἧν, μιᾶς πέρι, καὶ ἐς μίαν βουλὴν — ἔσται. Longum esset, varia aliorum commenta de emendando vel interpretando hoc vexatissimo loco referre. Neque nos auderemus, nostram coniecturam hic proponere, si aut ulla interpretum ratio nobis satis probaretur, aut prorsus hic locus conclamatus nobis videretur. Sed cum rationem nostram a Scholiastae interpretatione quodammodo confirmatam viderimus, licet caussam corruptionis indicare nequeamus, tamen silentio praeterire difficillimum locum non possumus. Legendum igitur censemus: ἧς μιᾶς πέρι, καὶ ἐς μίαν βουλὴν — ἔσται, et ad ἔσται ex superiori βουλεύεσθε subaudiendum βουλεύεσθαι. Ita omnia plana sunt, nec mutatio ipsa non lenis, et iam aliis probata. Illud unum addimus, Thucydidem et alibi eundem verborum ordinem servasse, ut 6, 61. ὧν πέρι ἄλλων.

112. παραπλήσια καὶ ἀντέλεγον. Cum haec iungenda sint, comma ante καί delendum videatur. Similis locus est 7, 71 extr.

προκαλούμεθα δὲ ὑμᾶς — ποιησαμένους. Mira vero structurae facilitas, ab ipso linguae ingenio concessa. Nam verba προκαλούμεθα ὑμᾶς si singula spectes, προκαλούμεθα admittit φίλοι εἶναι, ex linguae usu; ὑμᾶς vero ἀναχωρῆσαι ποιησαμένους. Thucydides, brevitatis studiosus, hoc zeugmatis genere utitur, duas res uno verbo complexus. Latius et accuratius qui loquatur, sic dixerit: ἡμεῖς μὲν βουλόμεθα (ὑπισχνούμεθα) φίλοι τε εἶναι ὑμῖν καὶ πολέμιοι μηδετέροις, ὑμᾶς δὲ προκαλούμεθα, ἐκ τῆς γῆς ἀναχωρῆσαι.

μηδετέροις, καὶ ἐκ τῆς γῆς ἡμῶν ἀναχωρῆσαι, σπονδὰς ποιησαμένους, αἵτινες δοκοῦσιν ἐπιτήδειοι εἶναι ἀμφοτέροις."

113. Οἱ μὲν δὴ Μήλιοι τοσαῦτα ἀπεκρίναντο· οἱ δὲ Ἀθηναῖοι, διαλυόμενοι ἤδη ἐκ τῶν λόγων, ἔφασαν· „Ἀλλ' οὖν μόνοι γε, ἀπὸ τούτων τῶν βουλευμάτων ὡς ἡμῖν δοκεῖτε, τὰ μὲν μέλλοντα τῶν ὁρωμένων σαφέστερα κρίνετε, τὰ δὲ ἀφανῆ, τῷ βούλεσθαι, ὡς γιγνόμενα ἤδη θεᾶσθε· καὶ Λακεδαιμονίοις, καὶ τύχῃ καὶ ἐλπίσι πλεῖστον δὴ παραβεβλημένοι καὶ πιστεύσαντες, πλεῖστον καὶ σφαλήσεσθε."

114. Καὶ οἱ μὲν Ἀθηναίων πρέσβεις ἀνεχώρησαν ἐς τὸ στράτευμα. Οἱ δὲ στρατηγοὶ αὐτῶν, ὡς οὐδὲν ὑπήκουον οἱ Μήλιοι, πρὸς πόλεμον εὐθὺς ἐτράποντο, καὶ διελόμενοι κατὰ πόλεις περιετείχισαν κύκλῳ τοὺς Μηλίους. Καὶ ὕστερον φυλακὴν σφῶν τε αὐτῶν καὶ τῶν ξυμμάχων καταλιπόντες οἱ Ἀθηναῖοι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, ἀνεχώρησαν τῷ πλείονι τοῦ στρατοῦ. Οἱ δὲ λειπόμενοι, παραμένοντες ἐπολιόρκουν τὸ χωρίον.

115. Καὶ Ἀργεῖοι κατὰ τὸν χρόνον τὸν αὐτόν, ἐςβαλόντες ἐς τὴν Φλιασίαν, καὶ λοχισθέντες

perſtant, idque Athenienſibus reſpondent; 113. qui eventum praedicunt, 114. ſtatim ad obſidionem ſe parant, et urbem munitione cingunt. 115. Argivorum

Poſſes ad *φίλοι τε εἶναι* ſubaudire *ὥστε*, niſi *καί* impediret. Aliena autem eſt Benedicti explicandi ratio, ad 6, 80 propoſita, *εἶναι* ex Atticiſmo abundare. Cf. ad cap. 107.

113. *ἀπὸ τούτων τῶν βουλευμάτων ὡς ἡμῖν δοκεῖτε.* Vulgo ante *ὡς* interpungitur. Nobis haec verba *ἀπὸ τούτων — δοκεῖτε* iungenda videntur, ut ſit: „ut nobis ſecundum illa veſtra conſilia (i. e. illa veſtra conſilia conſiderantibus) videmini." Itaque poſt *μόνοι γε* comma poſuimus. — Paullo ante *διαλυόμενοι ἐκ τῶν λόγων*, perperam Kiſtem. exponit: „Athenienſes dixerunt, ſe haec iam in colloquio *repudiaſſe*. Enimvero, pergunt dicere etc." Senſus eſt: *qui iam e colloquio diſceſſerant.*

ὑπό τε [τῶν] Φλιασίων καὶ τῶν σφετέρων φυγάδων, διεφθάρησαν ὡς ὀγδοήκοντα. Καὶ οἱ ἐκ τῆς Πύλου Ἀθηναῖοι Λακεδαιμονίων πολλὴν λείαν ἔλαβον. Καὶ Λακεδαιμόνιοι δι' αὐτὸ, τὰς μὲν σπονδὰς οὐδ' ὡς ἀφέντες, ἐπολέμουν αὐτοῖς· ἐκήρυξαν δὲ, εἴ τις βούλεται παρὰ σφῶν Ἀθηναίους λῄζεσθαι. Καὶ Κορίνθιοι ἐπολέμησαν ἰδίων τινῶν διαφορῶν ἕνεκα τοῖς Ἀθηναίοις· οἱ δ' ἄλλοι Πελοποννήσιοι ἡσύχαζον. Εἷλον δὲ καὶ οἱ Μήλιοι τῶν Ἀθηναίων τοῦ περιτειχίσματος τὸ κατὰ τὴν ἀγορὰν, προσβαλόντες νυκτὸς, καὶ ἄνδρας τε ἀπέκτειναν, καὶ ἐσενεγκάμενοι σῖτόν τε καὶ ὅσα πλεῖστα ἐδύναντο χρήσιμα, ἀναχωρήσαντες ἡσύχαζον. Καὶ οἱ Ἀθηναῖοι ἄμεινον τὴν φυλακὴν τὸ ἔπειτα παρεσκευάζοντο. Καὶ τὸ θέρος ἐτελεύτα.

116. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι, μελλήσαντες ἐς τὴν Ἀργείαν στρατεύειν, ὡς

incurſio in Phliaſiam. Athenienſes, Pylo profecti, a Lacedaemoniorum agro praedas abigunt. Spartani idem cuilibet ſuorum in Athenienſes facere permittunt. Corinthii cum Athenienſibus de ſuis quibusdam rebus bellum gerebant. Melii partem munitionis Athenienſium capiunt, et frumentum important. 116. Sed cum iterum partem

115. ὑπό τε [τῶν] Φλιασίων. Articulum τῶν plerique codices omittunt.

τὸ κατὰ τὴν ἀγοράν. Adſentior Duckero, qui ob ea, quae mox de frumento et aliis rebus a Meliis raptis Thucydides refert, forum rerum venalium in Athenienſium caſtris deſignari putat; etſi obſcurius Thucydides hoc ſignificat.

καὶ ἐσενεγκάμενοι σῖτόν τε καὶ ὅσα — χρήσιμα. Vulgo cum plerisque codicibus legitur χρήμασι pro χρήσιμα, quod Bauerus, ſuppleto ἐν ſive ἐπί, explicabat an Geräthe. Neque Benedictus ab hac vulgata lectione discedere audebat, comma ponens poſt ἐδύναντο, atque hanc ſententiam eruens: „frumentum et alia quam plurima poterant comportantes (ex Athenienſium munitionibus rapta) cum bonis varii generis receſſerunt et quieverunt.“ Quem ſenſum e verbis extorqueri poſſe, cum praepoſitio ξύν, μετά abſit, nemo facile conceſſerit. Palmariam diximus Abreſchii coniecturam χρήσιμα, nunc etiam duobus Mſſ. Pariſienſibus comprobatam. Quare eam, conſentiente Bredovio, recepimus.

αὐτοῖς τὰ διαβατήρια ἱερὰ ἐν τοῖς ὁρίοις οὐκ ἐγίγνετο, ἀνεχώρησαν. Καὶ Ἀργεῖοι, διὰ τὴν ἐκείνων μέλλησιν, τῶν ἐν τῇ πόλει τινὰς ὑποτοπήσαντες, τοὺς μὲν ξυνέλαβον, οἱ δ' αὐτοὺς καὶ διέφυγον. Καὶ οἱ Μήλιοι περὶ τοὺς αὐτοὺς χρόνους αὖθις καθ' ἕτερόν τι τοῦ περιτειχίσματος εἷλον τῶν Ἀθηναίων, παρόντων οὐ πολλῶν τῶν φυλάκων. Καὶ ἐλθούσης στρατιᾶς ὕστερον ἐκ τῶν Ἀθηνῶν ἄλλης, ὡς ταῦτα ἐγίγνετο, ἧς ἦρχε Φιλοκράτης ὁ Δημέου, καὶ κατὰ κράτος ἤδη πολιορκούμενοι, γενομένης καὶ προδοσίας τινὸς, ἀφ' ἑαυτῶν ξυνεχώρησαν τοῖς Ἀθηναίοις, ὥστ' ἐκείνους περὶ αὐτῶν βουλεῦσαι. Οἱ δὲ ἀπέκτειναν Μηλίων, ὅσους ἡβῶντας ἔλαβον, παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν· τὸ δὲ χωρίον αὐτοὶ ᾤκισαν, ἀποίκους ὕστερον πεντακοσίους πέμψαντες.

munitionum cepiſſent, ab Athenienſibus ſtudioſius oppugnantur, et ſponte ſe dedunt. Tum omnes ad unum trucidantur praeter mulieres et pueros. Athenienſium coloni Melum deducti.

116. *καθ' ἕτερόν τι τοῦ περιτειχίσματος εἷλον*, int. τὶ αὐτοῦ. Paullo ante *μέλλησις* eſt conſilium.

ἀφ' ἑαυτῶν. Sunt qui haec verba malint iungere cum γενομένης προδοσίας τινός, et accipere pro ἐξ ἑαυτῶν. Vulgata diſtinctio praeſtat, cum ἀφ' ἑαυτῶν ſit *ſua ſponte, ultro;* de qua ſignificatione non erat, quod dubitaret Bauerus.

τὸ δὲ χωρίον αὐτοὶ ᾤκισαν. Sic codd. Cl. Reg. Ar. Dan. pro vulgato ᾤκησαν. Saepiſſime haec verba in codicibus confunduntur. Vid. 1, 12. Et ita h. l. legendum eſſe, docent verba *ἀποίκους ὕστερον πεντακοσίους πέμψαντες*.

ΘΟΥΚΥΔΙΔΟΥ

ΊΟΔΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ἝΚΤΟΝ.

ΤΟΥ δ' αὐτοῦ χειμῶνος Ἀθηναῖοι ἐβούλοντο αὖθις μείζονι παρασκευῇ τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος, ἐπὶ Σικελίαν πλεύσαντες, καταστρέψασθαι, εἰ δύναιντο· ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου, καὶ τῶν ἐνοικούντων τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων· καὶ ὅτι οὐ πολλῷ τινι ὑποδεέστερον πόλεμον ἀνῃροῦντο, ἢ τὸν πρὸς Πελοποννησίους. Σικελίας γὰρ περίπλους μέν ἐστιν ὁλκάδι οὐ πολλῷ τινι ἔλασσον ἢ ὀκτὼ ἡμερῶν· καὶ, τοσαύτη οὖσα, ἐν εἴκοσι σταδίων μάλιστα μέτρῳ τῆς θαλάσσης διείργεται, τὸ μὴ ἤπειρος οὖσα.

1. Athenienfes maiore apparatu Siciliam fubigere ftatuunt, imperiti rei, quam moliebantur, magnitudinis.

1. *τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος.* Non eodem tempore Laches et Eurymedon Athenienfium duces in Sicilia fuerant; fed Lacheti fucceſſerat Pythodorus, atque huic fubmiffi erant Sophocles et Eurymedon. Vid. 3, 115., coll. 4, 65.

οὐ πολλῷ τινι ἔλασσον. Malit quispiam ἐλάσσων, confentiente Benedicto. Cf. tamen cap. 25. *τριήρεσι μὲν οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι.* Cap. 67. *τοὺς δὲ ἱππέας ἐπετάξαντο ἐπὶ τῷ δεξιῷ, οὐκ ἔλασσον ὄντας, ἢ διακοσίους καὶ χιλίους.*

καὶ, τοσαύτη οὖσα, — τὸ μὴ ἤπειρος οὖσα. Varia in hoc loco notarunt interpretes inde a Scholiafta, qui praepofitio-

2. Ὠικίσθη δὲ ἤδη τὸ ἀρχαῖον, καὶ τοσάδε ἔθνη ἔσχε τὰ ξύμπαντα. Παλαιότατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι· ὧν ἐγὼ οὔτε γένος ἔχω εἰπεῖν, οὔτε ὁπόθεν εἰσῆλθον, ἢ ὅποι ἀπεχώρησαν. ἀρκείτω δὲ, ὡς ποιηταῖς τε εἴρηται, καὶ ὡς ἕκαστός πῃ γιγνώσκει περὶ αὐτῶν. Σικανοὶ δὲ μετ' αὐτοὺς πρῶτοι φαίνονται ἐνοικισάμενοι, ὡς μὲν αὐτοί φασι, καὶ πρότεροι, διὰ τὸ αὐτόχθονες

2. Principes Siciliae incolae Cyclopes et Laeſtrygones,

nem ἐν abundare dicit, et cum vulgatam pro varia lectione afferat, videtur legiſſe in ſuo exemplo σταδίοις pro σταδίων, et ſic e codd. Marg. Cl. notatur. Tum participium in verbis: τὸ μὴ ἤπειρος οὖσα, quod eſt pro infinitivo εἶναι, (cf. 4, 57.) interpretes vexavit. Neque abeſſe poteſt τό, neque per graecitatis legem redundat; ſed h. l. plane neceſſarium eſt (vid. exempla ad 3, 1.). Denique miramur Baueri iudicium de verbis τοσαύτη οὖσα. „Claudicat, inquit, argumentum; quid enim magnitudini inſulae cum anguſtiis freti? aut quid impediat, *magnam* inſulam dirimi *exiguo* freto? Tamquam conveniat, *ambitu magnam* inſulam *intervallo* quoque magno a continenti abeſſe!“ Quibus verbis docuit vir doctus, ſe Thucydidis mentem parum eſſe aſſecutum. Hoc enim vult Scriptor noſter: Sicilia non ſolum ampla eſt inſula, (ut Creta, Cyprus al.) ſed non multum abeſt, quin ipſa ſit pars continentis, quippe exiguo tantum intervallo viginti ſtadiorum a continente discreta. Quare hic locus eſt ex iis, ubi καί praemiſſo μέν ſubiicitur pro δέ, de qua ſtructura egimus ſupra ad 4, 73. Punctum igitur, quod erat poſt ἡμερῶν, in colon mutavimus.

2. ᾠκίσθη δὲ ὧδε τὸ ἀρχαῖον. Cum decem libris Benedictus ſcribi iubet ἦδε τὸ ἀρχ., quod mihi languidum et a Thucydidis more dicendi abhorrens videtur. Libentius feram alteram quinque Pariſſ. lectionem ἤδη τὸ ἀρχαῖον, quam falſam iudicat et ex illa depravatam idem Benedictus; quamquam quid vetat, hacc eadem arma in ipſum convertere? Cum vulgatum ὧδε, quod ſenſum ſatis aptum ſequentibus admittit, neque codicum fide ſatis firmetur, et veriſimile ſit, illud e correctione quadam ortum eſſe: ad optionem dantur lectiones tres: ἦδε, ἤδη et ἧδε, quorum id, quod poſtremo loco poſuimus, nemini placebit, ſed fortaſſe vulgatae lectionis originem monſtrabit; primum illud ἦδε boni codices Cl. Gr. Caſſ. Aug. habent: ſed h. l. non aptum eſt, et facile potuit negligentia librariorum exiſtere ex ἤδη, quod ſenſum optimum fundit „iam antiquitus hanc inſulam ab hominibus cultam, et per omnes aetates has habuiſſe gentes.“ Etiam cod. Moſq. ſcriptura ἤδη propius accedit ad eam lectionem, quam nos defendimus, quam ad alteram illam ἦδε, quae eius correctio eſſe potuit.

ὡς ποιηταῖς τε εἴρηται, Homero in Odyſſ. ι et κ.

εἶναι· ὡς δὲ ἡ ἀλήθεια εὑρίσκεται, Ἴβηρες ὄντες, καὶ ἀπὸ τοῦ Σικανοῦ ποταμοῦ τοῦ ἐν Ἰβηρίᾳ ὑπὸ Λιγύων ἀναστάντες. Καὶ ἀπ' αὐτῶν Σικανία τότε ἡ νῆσος ἐκαλεῖτο, πρότερον Τρινακρία καλουμένη. οἰκοῦσι δὲ ἔτι καὶ νῦν τὰ πρὸς ἑσπέραν τῆς Σικελίας. Ἰλίου δὲ ἁλισκομένου, τῶν Τρώων τινὲς, διαφυγόντες Ἀχαιοὺς, πλοίοις ἀφικνοῦνται πρὸς τὴν Σικελίαν· καὶ ὅμοροι τοῖς Σικανοῖς οἰκήσαντες, ξύμπαντες μὲν Ἔλυμοι ἐκλήθησαν, πόλεις δ' αὐτῶν Ἔρυξ τε καὶ Ἔγεστα. Προσξυνῴκησαν δὲ αὐτοῖς καὶ Φωκέων τινὲς τῶν ἀπὸ Τροίας, τότε χειμῶνι ἐς Λιβύην πρῶτον, ἔπειτα ἐς Σικελίαν ἀπ' αὐτῆς κατενεχθέντες. Σικελοὶ δ' ἐξ Ἰταλίας (ἐνταῦθα γὰρ ᾤκουν) διέβησαν ἐς Σικελίαν, φεύγοντες Ὀπικοὺς, ὡς μὲν εἰκὸς, καὶ λέγεται, ἐπὶ σχεδιῶν, τηρήσαντες τὸν πορθμὸν, κατιόντος τοῦ ἀνέμου, τάχα ἂν δὲ καὶ ἄλλως πως ἐσπλεύσαντες. Εἰσὶ δὲ καὶ νῦν ἔτι ἐν τῇ Ἰταλίᾳ Σικελοί· καὶ ἡ χώρα ἀπὸ Ἰταλοῦ, βασιλέως τινὸς Σικελῶν, τοὔνομα τοῦτο ἔχοντος,

post hos Sicani ex Iberia et Elymi Troia oriundi, tum

οἰκοῦσι δὲ — τὰ πρὸς ἑσπέραν τῆς Σικελίας. Quatuordecim codices, probante Benedicto, exhibent τὴν Σικελίαν. In Mosq. deest articulus τήν. Mihi nescio quomodo suspecta sunt verba τῆς Σικελίας vel τὴν Σικελίαν, tamquam ex interpretamento vel scholio in Scriptoris orationem coniecta. Non enim aliter varietatis tam insignis caussam satis perspicere possum; et cum paullo ante ἡ νῆσος memorata, et duplici nomine appellata fuerit, nihil minus erat necessarium, quam tertium nomen, quo tum gaudebat, afferre.

κατιόντος τοῦ ἀνέμου, cum ventus inde a continente versus insulam flaret. Cf. Duck. — τηρήσαντες τὸν πορθμόν, non video, quid h. l. vetet, τὸν πορθμόν de freto Siculo intelligere. Bauerus, qui negat ita intelligi posse, interpretatur *opportunitatem*, conditionem traiiciendi.

βασιλέως τινὸς Σικελῶν. Vulgo τινὸς Ἀρκάδων. Sed codicum plurimorum optimorumque auctoritati non est repugnandum, praesertim cum Servius ad Virg. Aen. I, 2 et 537. Italum Siculorum regem e Sicilia in Italiam venisse scribat, et ad VIII, 328., aliter hoc narrans, hunc locum Thucydidis citet. Dixi, non esse repugnandum tantae codicum auctoritati. Nam caussam erroris, quo Ἀρκάδων ortum est, nondum potui invenire. Sed etiam ideo alteram lectionem praeferendam esse, quod aliter non appareat, quare Thucydides,

οὕτως [Ἰταλία] ἐπωνομάσθη. Ἐλθόντες δὲ ἐς τὴν Σικελίαν στρατὸς πολὺς, τούς τε Σικανοὺς κρατοῦντες μάχῃ, ἀπέστειλαν πρὸς τὰ μεσημβρινὰ καὶ ἑσπέρια αὐτῆς, καὶ ἀντὶ Σικανίας Σικελίαν τὴν νῆσον ἐποίησαν καλεῖσθαι, καὶ τὰ κράτιστα τῆς γῆς ᾤκησαν ἔχοντες, ἐπεὶ διέβησαν, ἔτη ἐγγὺς τριακόσια, πρὶν Ἕλληνας ἐς Σικελίαν ἐλθεῖν· ἔτι δὲ καὶ νῦν τὰ μέσα καὶ τὰ πρὸς βοῤῥᾶν τῆς νήσου ἔχουσιν. Ὤικουν δὲ καὶ Φοίνικες περὶ πᾶσαν μὲν τὴν Σικελίαν, ἄκρας τε ἐπὶ τῇ θαλάσσῃ ἀπολαβόντες, καὶ τὰ ἐπικείμενα νησίδια, ἐμπορίας ἕνεκα τῆς πρὸς τοὺς Σικελούς. Ἐπειδὴ δὲ οἱ Ἕλληνες πολλοὶ κατὰ θάλασσαν ἐπεσέπλεον, ἐκλιπόντες τὰ πλείω, Μοτύην καὶ Σολόεντα καὶ Πάνορμον ἐγγὺς τῶν Ἐλύμων ξυνοικίσαντες ἐνέμοντο, ξυμμαχίᾳ τε πίσυνοι τῇ τῶν Ἐλύμων, καὶ ὅτι ἐντεῦθεν ἐλάχιστον πλοῦν Καρχηδὼν Σικελίας ἀπέχει. Βάρβαροι μὲν οὖν τοσοίδε Σικελίαν καὶ οὕτως ᾤκησαν.

3. Ἑλλήνων δὲ πρῶτοι Χαλκιδεῖς, ἐξ Εὐβοίας, πλεύσαντες μετὰ Θουκλέους οἰκιστοῦ, Νάξον ᾤκισαν,

Siculi et Phoenices. 3. Graecorum primi in inſulam migrarunt Chalcidenſes ex Euboea, qui duce Thucle

mentione Siculorum, Italiae incolarum, iniecta, ſtatim narrationem de Italo rege adiunxerit, recte iam monuit Benedictus.

οὕτως [Ἰταλία] ἐπωνομάσθη. Uncis incluſi nomen Ἰταλία, quod manifeſtum eſt gloſſema; etſi ſine varietate legitur. Appinxit quidam interpretationis cauſa vocabulo οὕτως, et nihili eſt, quod hoc ipſum *hinc, ea de cauſa,* διὰ τοῦτο, explicare conatur Bauerus.

ἐμπορίας ἕνεκεν. In codd. Dan. Moſq. eſt ἕνεκα, qua forma ſemper uti Thucydidem teſtatur Thomas Mag. Contra eiusdem Grammatici auctoritatem infra cap. 56 extr. legitur ἀσφαλείας οὕνεκα, pro ἕνεκα, quod ibi praebent Gr. Caſſ. Utroque loco, cum plura ex ipſo Scriptore exempla inſolentioris et poëticae formae non afferantur, legerim ἕνεκα, Grammaticorum auctoritatem ſecutus.

3. *Νάξον ᾤκισαν.* Sic recte Cl. Caſſ. et unus e Pariſſ. Vulgo ᾤκησαν. Vide ad 5, 116. Naxum Apollinis filium facit Schol. Apollonii IV, 1492. Fortaſſis Apollini cognomen Ἀρχηγέτου, quia coloniae in Siciliam deducendae dux et auctor putabatur. Urbs condita eſt anno 736 ante aeram Chriſt.

καὶ Ἀπόλλωνος Ἀρχηγέτου βωμὸν, ὅστις νῦν ἔξω τῆς πόλεώς ἐστιν, ἱδρύσαντο· ἐφ᾽ ᾧ, ὅταν ἐκ Σικελίας θεωροὶ πλέωσι, πρῶτον θύουσι. Συρακούσας δὲ τοῦ ἐχομένου ἔτους Ἀρχίας τῶν Ἡρακλειδῶν ἐκ Κορίνθου ᾤκισε, Σικελοὺς ἐξελάσας πρῶτον ἐκ τῆς νήσου, ἐν ᾗ νῦν οὐκέτι περικλυζομένη ἡ πόλις ἡ ἐντός ἐστιν· ὕστερον δὲ χρόνῳ καὶ ἡ ἔξω, προστειχισθεῖσα, πολυάνθρωπος ἐγένετο. Θουκλῆς δὲ καὶ οἱ Χαλκιδεῖς, ἐκ Νάξου ὁρμηθέντες, ἔτει πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας, Λεοντίνους τε, πολέμῳ τοὺς Σικελοὺς ἐξελάσαντες, οἰκίζουσι, καὶ μετ᾽ αὐτοὺς Κατάνην. οἰκιστὴν δὲ αὐτοὶ Καταναῖοι ἐποιήσαντο Εὔαρχον.

4. Κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Λάμις, ἐκ Μεγάρων, ἀποικίαν ἄγων, ἐς Σικελίαν ἀφίκετο, καὶ ὑπὲρ Παντακίου τε ποταμοῦ Τρώτιλόν τι ὄνομα χωρίον οἰκίσας, καὶ ὕστερον αὐτόθεν τοῖς Χαλκιδεῦσιν ἐς Λεοντίνους ὀλίγον χρόνον ξυμπολιτεύσας, καὶ ὑπὸ αὐτῶν ἐκπεσὼν, καὶ Θάψον οἰκίσας, αὐτὸς μὲν ἀποθνήσκει· οἱ δ᾽ ἄλλοι, ἐκ τῆς Θάψου ἀναστάντες, Ὕβλωνος βασιλέως Σικελοῦ προδόντος τὴν χώραν, καὶ καθηγησαμένου, Μεγαρέας ᾤκισαν τοὺς Ὑβλαίους κληθέντας.

Naxum condidere 736 a. Chr., et uno anno poſt hos Syracuſae conditae ſunt ab Archia Corinthio. Chalcidenſes porro, Naxo profecti, Leontinos et Catanam colonias deduxerunt. 4. Lamis cum Megarenſibus in

ὅταν ἐκ Σικελίας θεωροὶ πλέωσι. Vulgatum πλεύσωσι codicum plurimorum auctoritate correxit Benedictus.

ἐκ τῆς νήσου. Eius nomen Ortygia, quae arx et quinta pars Syracuſarum erat. Schol. ad h. l. refert, eam cum Sicilia connexam eſſe διὰ χώματος. Sed nomen inſulae manſit. Cf. Liv. 24, 21.

4. καὶ ὕστερον αὐτόθεν τοῖς Χαλκιδεῦσιν — Suſtuli comma, quod vulgo eſt poſt αὐτόθεν, quia hoc vocabulum cum ξυμπολιτεύσας iungendum eſt. — προδόντος τὴν χώραν nolim cum Bredovio vertere *tradente oppidum*. Nam ἡ χώρα h. l. non eſt Megara Hyblaea, quae etiam tum condenda erat, ſed regio ea, in qua Thapſus ſita. Eam nempe relinquebat ſeu prodebat Hyblon, haud dubie ideo, quia defendere non poterat; et cum inde ſe reciperet, ſecum duxit Megarenſes, et locum iis habitandum conceſſit.

Καὶ ἔτη οἰκήσαντες πέντε καὶ τεσσαράκοντα καὶ διακόσια, ὑπὸ Γέλωνος τυράννου Συρακουσίων ἀνέστησαν ἐκ τῆς πόλεως καὶ χώρας. Πρὶν δὲ ἀναστῆναι, ἔτεσιν ὕστερον ἑκατὸν, ἢ αὐτοὺς οἰκίσαι, Πάμμιλον πέμψαντες, [ἐς] Σελινοῦντα κτίζουσι· καὶ ἐκ Μεγάρων, τῆς μητροπόλεως οὔσης αὐτοῖς, ἐπελθὼν, ξυγκατῴκισε. Γέλαν δὲ Ἀντίφημος ἐκ Ῥόδου καὶ Ἔντιμος ἐκ Κρήτης, ἐποίκους ἀγαγόντες, κοινῇ ἔκτισαν, ἔτει πέμπτῳ καὶ τεσσαρακοστῷ μετὰ τὴν Συρακουσῶν οἴκισιν. Καὶ τῇ μὲν πόλει ἀπὸ τοῦ Γέλα ποταμοῦ τοὔνομα ἐγένετο· τὸ δὲ χωρίον, οὗ νῦν ἡ πόλις ἐστὶ, καὶ ὃ πρῶτον ἐτειχίσθη, Λίνδιοι καλεῖται· νόμιμα δὲ Δωρικὰ ἐτέθη αὐτοῖς. Ἔτεσι δὲ ἐγγύτατα ὀκτὼ καὶ ἑκατὸν μετὰ τὴν σφετέραν οἴκισιν Γελῷοι Ἀκράγαντα ᾤκισαν, τὴν μὲν πόλιν ἀπὸ τοῦ Ἀκράγαντος ποταμοῦ ὀνομάσαντες, οἰκιστὰς δὲ ποιήσαντες Ἀριστόνουν καὶ Πυστίλον, νόμιμα

Siciliam advectus, primum Trotilum condidit, dein Thapſum; quam urbem poſt eius obitum deſerere coacti Megarenſes, duce Hyblone, rege Siculo, Megara Hyblaea condiderunt, unde ducentis quadraginta annis poſt a Gelone moti ſunt. Interim vero Selinuntem coloniam de-

Πάμμιλον πέμψαντες, [ἐς] Σελινοῦντα κτίζουσι. Cum in bonis codicibus, Reg. Caſſ. Gr. Aug., legatur *Ἑλινοῦντα*, Duckeri coniecturae, praepoſitionem *ἐς* delendam eſſe, tamquam ex vocis praecedentis fine ortam, novum argumentum accedit. Facile quidem ſuppleas *αὐτήν* ad *κτίζουσι*. Sed cum Selinus nondum fuerit, et eius origo h. l. memoretur, *ἐς* eiiciendum eſt, et poſt *πέμψαντες* comma ponendum. — Paullo ante in verbis: *ἢ αὐτοὺς οἰκίσαι*, non audimus Duckerum, qui cum Mſſ. malit legere *οἰκῆσαι*. *Initium* enim *οἰκήσεως*, quod h. l. temporum ratio reſpicit, non poteſt declarari verbo *οἰκῆσαι*, ſed notione ea, quam habet *οἰκίσαι*. Sic infra bis ex uno Caſſ. reſtituendum eſſe *οἴκισιν* pro *οἴκησιν*, poſt Ae. Portum recte cenſuit Benedictus. Vid. ad 5, 116. Et male Stephanus in verbis *Ἀκράγαντα ᾤκισαν* volebat *ᾤκησαν*, quod habent deteriores libri.

τῆς μητροπόλεως οὔσης αὐτοῖς, i. e. Megarenſibus Hyblaeis, quorum metropolis erant Megara illa prope Atticam, unde oriundus Pammilus in Siciliam ad cognatos venerat.

καὶ τῇ μὲν πόλει — ἐτέθη αὐτοῖς. Haec verba vulgo parentheſeos ſignis includuntur, quae nos tamquam inutilia et inepta ſuſtulimus.

δὲ τὰ Γελώων δόντες. Ζάγκλη δὲ τὴν μὲν ἀρχὴν, ἀπὸ Κύμης τῆς ἐν Ὀπικίᾳ Χαλκιδικῆς πόλεως λῃστῶν ἀφικομένων, ᾠκίσθη, ὕστερον δὲ καὶ ἀπὸ Χαλκίδος καὶ τῆς ἄλλης Εὐβοίας πλῆθος ἐλθὸν ξυγκατενείμαντο τὴν γῆν· καὶ οἰκισταὶ Περιήρης καὶ Κραταιμένης ἐγένοντο αὐτῆς, ὁ μὲν ἀπὸ Κύμης, ὁ δὲ ἀπὸ Χαλκίδος. Ὄνομα δὲ τὸ μὲν πρῶτον, Ζάγκλη ἦν ὑπὸ τῶν Σικελῶν κληθεῖσα, ὅτι δρεπανοειδὲς τὸ χωρίον [τὴν ἰδέαν] ἐστί· (τὸ δὲ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσιν·) ὕστερον δὲ, αὐτοὶ μὲν ὑπὸ Σαμίων καὶ ἄλλων Ἰώνων ἐκπίπτουσιν, οἳ, Μήδους φεύγοντες, προσέβαλον Σικελίᾳ.

5. Τοὺς δὲ Σαμίους Ἀναξίλας, Ῥηγίνων τύραννος, οὐ πολλῷ ὕστερον ἐκβαλὼν, καὶ τὴν πόλιν αὐτοῖς ξυμμίκτων ἀνθρώπων οἰκίσας, Μεσσήνην ἀπὸ τῆς ἑαυτοῦ τὸ ἀρχαῖον πατρίδος ἀντωνόμασε. Καὶ Ἱμέρα ἀπὸ

duxerant. Gela ab Antiphemo Rhodio et Entimo Cretenſi communiter condita 690 a. Chr., inde Agrigentum. Zancle primum a piratis Cumaeis condita, tum a Chalcidenſibus Euboicis aucta, nomen apud Siculos traxit a forma falci non abſimili; poſtea oppreſſa a Samiis, 5. quibus eiectis, Anaxilas, Rheginorum tyrannus, urbem mixtis incolis reſtauratam a ſua patria Meſſanam appellavit.

ἀπὸ Κύμης τῆς ἐν Ὀπικίᾳ — ἀφικομένων. Ante et poſt haec verba commatibus diſtinguendum eſſe, caſuum abſolutorum ratio docet. Ὀπικία eſt Campania Italiae, ubi tum Auſones vel Oſci habitabant.

ὕστερον δὲ καὶ ἀπὸ Χαλκίδος. Particulam καί, quae aptiſſima eſt h. l., cum Benedicto e codd. recepi.

ὅτι δρεπανοειδὲς τὸ χωρίον τὴν ἰδέαν ἐστί. Verba τὴν ἰδέαν in codicibus diverſo loco leguntur, in aliis ante τὸ χωρίον, in Reg. poſt ἐστί in fine membri, in aliis, ut vulgo, inter τὸ χωρίον et ἐστί. Benedictus pleroſque codices ſecutus probavit ὅτι δρεπανοειδὲς τὴν ἰδέαν τὸ χωρίον ἐστί. Mihi ſuſpectum videtur τὴν ἰδέαν, et propter incertam ſedem, et quia poſt δρεπανοειδές inutile et languidum eſt. Libentius ferrem τὴν θέσιν, ut 5,7. legitur, quia ſic tautologia certe abſit. Itaque uncis diſtinxi. Sequentia autem verba: τὸ δὲ δρέπανον — καλοῦσιν parentheſeos ſignis incluſi, ne Scriptoris oratio in commemorandis urbis nominibus, quibus diverſo tempore vocata eſt, magis etiam turbetur, ſatis interrupta eo, quod novi capitis initium intercedit.

5. ἀπὸ τῆς ἑαυτοῦ τὸ ἀρχαῖον πατρίδος. Ipſe igitur

Ζάγκλης ᾠκίσθη ὑπὸ Εὐκλείδου, καὶ Σίμου, καὶ Σάκωνος. Καὶ Χαλκιδεῖς μὲν οἱ πλεῖστοι ἦλθον ἐς τὴν ἀποικίαν· ξυνῴκισαν δὲ αὐτοῖς καὶ ἐκ Συρακουσῶν φυγάδες, στάσει νικηθέντες, οἱ Μυλητίδαι καλούμενοι. Καὶ φωνὴ μὲν μεταξὺ τῆς τε Χαλκιδέων καὶ Δωρίδος ἐκράθη· νόμιμα δὲ τὰ Χαλκιδικὰ ἐκράτησεν. Ἄκραι δὲ καὶ Κάσμεναι ὑπὸ Συρακουσίων ᾠκίσθησαν· Ἄκραι μὲν, ἑβδομήκοντα ἔτεσι μετὰ Συρακούσας, Κάσμεναι δὲ, ἐγγὺς εἴκοσι μετὰ Ἄκρας. Καὶ Καμαρίνα τὸ πρῶτον ὑπὸ Συρακουσίων ᾠκίσθη, ἔτεσιν ἐγγύτατα πέντε καὶ τριάκοντα καὶ ἑκατὸν μετὰ Συρακουσῶν κτίσιν. οἰκισταὶ δὲ ἐγένοντο αὐτῆς Δάσκων καὶ Μενέκωλος. Ἀναστάτων δὲ Καμαριναίων γενομένων πολέμῳ ὑπὸ Συρακουσίων δι᾽ ἀπόστασιν, χρόνῳ Ἱπποκράτης ὕστερον Γέλας τύραννος, λύτρα ἀνδρῶν Συρακουσίων αἰχμαλώτων λαβὼν τὴν γῆν τὴν Καμαριναίων, αὐτὸς οἰκιστὴς γενόμενος, κατῴκισε Καμαρίναν. Καὶ αὖθις ὑπὸ Γέλωνος ἀνάστατος γενομένη, τὸ τρίτον κατῳκίσθη ὑπὸ Γέλωνος.

6. Τοσαῦτα ἔθνη Ἑλλήνων καὶ βαρβάρων Σικελίαν ᾤκει· καὶ ἐπὶ τοσήνδε οὖσαν αὐτὴν οἱ Ἀθηναῖοι στρατεύειν ὥρμηντο, ἐφιέμενοι μὲν, τῇ ἀληθεστάτῃ

Inde Himera' orta, mixtis Chalcidenſibus et Syracuſanis exſulibus, quorum lingua quidem confuſa, inſtituta a Chalcidenſibus deſumpta. Acrae et Caſmenae, et Camarina Syracuſarum coloniae. Sed Camarinam, a Syracuſiis propter ſeditionem vacuefactam, poſt Hippocrati, Gelae tyranno, conceſſam, hic reſtauravit. Eadem urbs poſtea a Gelone et vacuefacta, et denuo incolis repleta eſt. 6. Verum quidem Athenienſium conſilium erat, totam

antiquitus proſapiam ſuam e Meſſenia deducebat. Sed Rhegini erant Iones, et in Leontinorum foedere, propter cognationem. Vid. 3, 86. — Paullo poſt malim ξυνῴκισαν cum Caſſ. pro ξυνῴκησαν.

χρόνῳ Ἱπποκράτης ὕστερον —. Rem etiam Herodotus 7, 154. narrat.

6. ἐφιέμενοι μὲν — τῆς πάσης ἄρχειν. In Mſſ. plerisque eſt ἄρξειν pro ἄρχειν, quam lectionem, usque neglectam,

προφάσει, τῆς πάσης ἄρχειν, βοηθεῖν δὲ ἅμα εὐπρεπῶς βουλόμενοι τοῖς ἑαυτῶν ξυγγενέσι, καὶ τοῖς προςγεγενημένοις ξυμμάχοις. Μάλιστα δ᾽ αὐτοὺς ἐξώρμησαν Ἐγεσταίων τε πρέσβεις παρόντες, καὶ προθυμότερον ἐπικαλούμενοι. Ὅμοροι γὰρ ὄντες τοῖς Σελινουντίοις, ἐς πόλεμον καθέστασαν, περί τε γαμικῶν τινων, καὶ περὶ γῆς ἀμφισβητήτου· καὶ οἱ Σελινούντιοι, Συρακουσίους ἐπαγόμενοι ξυμμάχους, κατεῖργον αὐτοὺς τῷ πολέμῳ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν· ὥςτε, τὴν γενομένην ἐπὶ Λάχητος καὶ τοῦ προτέρου πολέμου Λεοντίνων οἱ Ἐγεσταῖοι ξυμμαχίαν ἀναμιμνήσκοντες

Siciliam ſibi ſubiicere; ſed ſpecioſa cauſa utebantur, cognatis ſuis et ſociis auxilii ferendi. Maxime vero ab

non ineptam cenſet Benedictus, quia rem longo poſt tempore demum futuram indicet. Iudicent peritiores. Nos, licet varietate lectionis, quae tot codicibus firmatur, quodammodo moveamur, tamen vulgatum deſerere non audemus, quia participii ἐφιέμενοι notio a futuro tempore abhorrere videtur. Si quid mutandum ſit, ſcribamus ἄρξαι, quod corrumpi in ἄρξειν et ἄρχειν potuit. — Mox idem Benedictus cum Duckero probat depravatorum codd. lectionem προγεγενημένοις pro προςγεγενημένοις. Recte οἱ ξυγγενεῖς Ἀθηναίων atque οἱ προςγεγενημένοι ξύμμαχοι diſtinguuntur. Inter illos referendi omnes Iones, veluti Leontini, Naxii, Catanaei; inter novos ſocios cenſendi nonnulli ex reliquis Siciliae populis, nempe Camarinenſes et Agrigentini, quos a Phaeace, Athenienſium legato, conciliatos eſſe legimus ſupra 5, 4.

Ἐγεσταίων τε πρέσβεις παρόντες. Particulam τέ potius poſt παρόντες, quam poſt Ἐγεσταίων locum legitimum habere putes. Quare ſunt, qui de transpoſitione particulae hic et alibi loquantur. Quae transpoſitio ficta magis et commenticia, quam vera videtur. Nam verba Ἐγεσταίων πρέσβεις παρόντες in graeco ſermone tam arcte connexa ſunt, quam in vernacula noſtra: der Segeſtaner anweſende Geſandſchaft. Itaque non abſurde particulae τέ — καί membrorum principiis ſubiiciuntur; quemadmodum latine non vitioſe dixeris: „Maxime vero eos incitabant et Segeſtanorum praeſentes, et acrius adhortantes legati.“ Sane vitioſum eſſet, ſi hoc ordine legerentur verba: πρέσβεις παρόντες Ἐγεσταίων τε. Ceterum de re cf. Diod. Sic. 12, 82 ſeq.

τὴν γενομένην ἐπὶ Λάχητος — ξυμμαχίαν. Patet hoc loco, iam antea Egeſtaeos ad Athenienſium et Leontinorum ſocietatem acceſſiſſe. Sed nuspiam, quod ſciam, Auctor eorum ſocietatis diſerte mentionem iniecit. Cf. tamen 3, 86. 6, 52., ubi verba σφίσι τὰ ὅρκια εἶναι eodem referenda videntur. Clarius iterum meminit 6, 75 med. clariſſime cap. 79. et 82 init.

τοὺς Ἀθηναίους, ἐδέοντο σφίσι ναῦς πέμψαντας ἐπαμῦναι· λέγοντες ἄλλα τε πολλὰ, καὶ κεφάλαιον· εἰ Συρακούσιοι, Λεοντίνους τε ἀναστήσαντες, ἀτιμώρητοι γενήσονται, καὶ τοὺς λοιποὺς ἔτι ξυμμάχους αὐτῶν διαφθείροντες, αὐτοὶ τὴν ἅπασαν δύναμιν τῆς Σικελίας σχήσουσι, κίνδυνον εἶναι, μή ποτε μεγάλῃ παρασκευῇ Δωριεῖς τε Δωριεῦσι, κατὰ τὸ ξυγγενὲς, καὶ ἅμα ἄποικοι τοῖς ἐκπέμψασι Πελοποννησίοις βοηθήσαντες, καὶ τὴν ἐκείνων δύναμιν ξυγκαθέλωσι. Σῶφρον δ' εἶναι, μετὰ τῶν ὑπολοίπων ἔτι ξυμμάχων ἀντέχειν τοῖς Συρακουσίοις, ἄλλως τε καὶ χρήματα σφῶν παρεξόντων ἐς τὸν πόλεμον ἱκανά. Ὧν ἀκούοντες οἱ Ἀθηναῖοι, ἐν ταῖς ἐκκλησίαις τῶν τε Ἐγεσταίων πολλάκις λεγόντων, καὶ τῶν ξυναγορευόντων αὐτοῖς, ἐψηφίσαντο, πρέσβεις πέμψαντες πρῶτον ἐς τὴν Ἔγεσταν, περί τε τῶν χρημάτων σκεψομένους, εἰ ὑπάρχει, ὥςπερ φασὶν, ἐν τῷ κοινῷ, καὶ ἐν τοῖς ἱεροῖς, καὶ τὰ τοῦ πολέμου ἅμα πρὸς τοὺς Σελινουντίους, ἐν ὅτῳ ἐστὶν, εἰσομένους.

7. Καὶ οἱ μὲν πρέσβεις τῶν Ἀθηναίων ἀπεστάλησαν ἐς τὴν Σικελίαν. Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ

Segeftanorum, qui bello cum Selinuntiis et Syracufanis premebantur, legatis ad rem fuscipiendam incitabantur; quorum promiffis capti, decreverunt auxilium mittere, fi per legatos in Siciliam miffos rem certius exploraverint. 7. Lacedaemonii Argivorum agri partem non magnam

ἐδέοντο σφίσι ναῦς πέμψαντας ἐπαμῦναι. Vulgatum *πέμψαντες* per Grammaticae leges locum habere non poteft. In Gr. e *πέμψαντας* factum erat vulgatum *πέμψαντες*. Itaque illud huius codicis auctoritate reftitui.

Δωριεῖς τε Δωριεῦσι. Nam Syracufani Dores erant, Corintho oriundi. Vid. fupra cap. 3. — *ἐκείνων*, Athenienfium.

ὧν ἀκούοντες οἱ Ἀθηναῖοι. Codd. Cl. Reg. pro *ὧν ἀκούοντες* exhibent *ὧν ἀκούσαντες*. Sed vulgatum defenditur verbis *πολλάκις λεγόντων*.

ἐψηφίσαντο, int. *ξυμμαχίαν ποιεῖσθαι* vel *ναῦς πέμψαντες ἐπαμῦναι*.

καὶ τὰ τοῦ πολέμου — εἰσομένους. Mutata conftructione alterum additur participium, cum fequi debuiffet: *καὶ περὶ τοῦ πολέμου, ἐν ὅτῳ ἐστίν*.

χειμῶνος, καὶ οἱ ξύμμαχοι, πλὴν Κορινθίων, στρατεύσαντες ἐς τὴν Ἀργείαν, τῆς τε γῆς ἔτεμον οὐ πολλὴν, καὶ σῖτον ἀνεκομίσαντο, τινὰ ζεύγη κομίσαντες, καὶ ἐς Ὀρνεὰς κατοικίσαντες τοὺς Ἀργείων φυγάδας, καὶ τῆς ἄλλης στρατιᾶς παρακαταλιπόντες αὐτοῖς ὀλίγους. Καὶ σπεισάμενοί τινα χρόνον, ὥστε μὴ ἀδικεῖν Ὀρνεάτας καὶ Ἀργείους τὴν ἀλλήλων, ἀπεχώρησαν τῷ στρατῷ ἐπ' οἴκου. Ἐλθόντων δὲ Ἀθηναίων οὐ πολλῷ ὕστερον ναυσὶ τριάκοντα καὶ ἑξακοσίοις ὁπλίταις, οἱ Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων πανστρατιᾷ ἐξελθόντες, τοὺς μὲν ἐν Ὀρνεαῖς μίαν ἡμέραν ἐπολιόρκουν· ὑπὸ δὲ νύκτα, αὐλισαμένου τοῦ στρατεύματος ἄπωθεν, ἐκδιδράσκουσιν οἱ ἐκ τῶν Ὀρνεῶν. Καὶ τῇ ὑστεραίᾳ οἱ

devaſtant, et exſules Argivos, Orneas ductos, cum parvo praeſidio ibi relinquunt. Qui cum unum diem ab Argivis Athenienſibusque eſſent obſeſſi, noctu urbem deſerunt,

7. τῆς τε γῆς ἔτεμον οὐ πολλήν. Cum in loco parallelo Diodorus 12, 81. ſcribat: ἐμβάλλοντες εἰς τὴν Ἀργείαν, καὶ πολλὴν τῆς χώρας δηώσαντες —, et Valla etiam negationem οὐ non legiſſe videatur: Benedictus eam delendam cenſet. Sed non tanta eſt Diodori apud nos auctoritas, ut propter eam Thucydidis narrationem contra omnes eius libros mutemus. Qua praeterea Benedictus affert ad ſuam lectionem vel ſtabiliendam vel commendandam, nullius momenti ſunt omnia. Nam quamvis exiguam terrae alicuius partem aliquis vaſtet, tamen aliquot plauſtra (τινὰ ζεύγη) onerare, opinor, poterit; ac ſi parvam tantum amplioris provinciae partem hoſtes vaſtaverint, Auctor diligens ne hoc quidem memorare negligit, ſi quidem ad propoſitum ei finem haec pertinet commemoratio; certe non poterit tenuem rem aut verbis exaggerare, aut manca deſcriptione maiorem oſtendere. — Mox pro ἀνεκόμισαν e Mſſ. cum Bened. recepimus ἀνεκομίσαντο. — κομίσαντες int. de adductis in hunc uſum domo plauſtris vel iumentis.

καὶ τῆς ἄλλης στρατιᾶς παρακ. Dicit τῆς ἄλλης, quia illi quoque exſules Argivi una militabant in Lacedaemoniorum exercitu contra Argivos.

οἱ Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων πανστρατιᾷ ἐξελθόντων. Corruptam puto omnium librorum ſcripturam in participio ἐξελθόντων. Valla videtur legiſſe ἐξελθόντες, quod iam probabat Ae. Portus. Recte; nam ſexcenti Athenienſes tantum aderant. De iis dicere πανστρατιᾷ non convenit; et corruptioni anſam dedit genitivus τῶν Ἀθηναίων, qui modo praeceſſerat.

ἐκδιδράσκουσιν οἱ ἐκ τῶν Ὀρνεῶν. Brevius dictum pro οἱ ἐν ταῖς Ὀρνεαῖς ὄντες ἐξ αὐ-

Ἀργεῖοι, ὡς ᾔσθοντο, κατασκάψαντες τὰς Ὀρνεὰς, ἀνεχώρησαν, καὶ οἱ Ἀθηναῖοι ὕστερον ταῖς ναυσὶν ἐπ' οἴκου. Καὶ ἐς Μεθώνην τὴν ὅμορον Μακεδονίᾳ ἱππέας κατὰ θάλασσαν κομίσαντες Ἀθηναῖοι, σφῶν τε αὐτῶν, καὶ Μακεδόνων τοὺς παρὰ σφίσι φυγάδας, ἐκακούργουν τὴν Περδίκκου. Λακεδαιμόνιοι δὲ, πέμψαντες παρὰ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, ἄγοντας πρὸς Ἀθηναίους δεχημέρους σπονδὰς, ξυμπολεμεῖν ἐκέλευον Περδίκκᾳ· οἱ δ' οὐκ ἤθελον. καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ἕκτον καὶ δέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

8. Τοῦ δ' ἐπιγιγνομένου θέρους, ἅμα ἦρι, οἱ τῶν Ἀθηναίων πρέσβεις ἧκον ἐκ τῆς Σικελίας, καὶ οἱ Ἐγεσταῖοι μετ' αὐτῶν, ἄγοντες ἑξήκοντα τάλαντα ἀσήμου ἀργυρίου, ὡς ἐς ἑξήκοντα ναῦς μηνὸς μισθὸν, ἃς ἔμελλον δεήσεσθαι πέμπειν. Καὶ οἱ Ἀθηναῖοι, ἐκκλησίαν ποιήσαντες, καὶ ἀκούσαντες τῶν τε Ἐγεσταίων καὶ τῶν σφετέρων πρέσβεων τά τε ἄλλα ἐπαγωγὰ, καὶ οὐκ ἀληθῆ, καὶ περὶ τῶν χρημάτων, ὡς εἴη ἑτοῖμα ἔν τε τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τῷ κοινῷ, ἐψηφίσαντο ναῦς

ſtatim poſtridie ab Argivis dirutam. — Athenienſes equites in Macedoniam mittunt adverſus Perdiccam. Chalcidenſes in Thracia, a Lacedaemoniis contra Athenienſes ſtimulati, non obtemperant. — Finis anni ſexti decimi. 8. Reverſis ex Sicilia legatis, Athenienſes ſexaginta naves in Siciliam mittere decreverunt, Alcibiade, Nicia et La-

τῆς ἐκδιδράσκουσι. Similiter 4, 131. Οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ Μένδῃ πολιορκούμενοι ἐπίκουροι. 5, 4. ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν, i. e. ἐκ τῶν Συρακουσῶν ἐλθόντες, ἀπολιπόντες αὐτάς. 5, 65. Ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου βοηθοῦντας ἐπὶ τὴν τοῦ ὕδατος ἐκτροπὴν, ἐπειδὰν πύθωνται, καταβιβάσαι —.

8. καὶ ἐν τῷ κοινῷ. Codices magno numero exhibent καὶ ἐν τοῖς κοινοῖς, quod defendit Benedictus. Nos ita reponere dubitavimus, quia Thucydides de publico aerario ſemper ſingulari τῷ κοινῷ utitur, ut cap. 6 extr. (cf. Ducker.) neque hic de plurium civitatum aerariis ſermo ſit, ut Bauerus opinabatur. Facile librarii praecedente τοῖς ἱεροῖς induci poterant, ut terminationem vocabuli τὸ κοινόν illi aequarent.

ἑξήκοντα πέμπειν ἐς Σικελίαν, καὶ στρατηγοὺς αὐτοκράτορας, Ἀλκιβιάδην τε τὸν Κλεινίου, καὶ Νικίαν τὸν Νικηράτου, καὶ Λάμαχον τὸν Ξενοφάνους, βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους, ἤν τι περιγίγνηται αὐτοῖς τοῦ πολέμου, καὶ τἄλλα τὰ ἐν τῇ Σικελίᾳ πρᾶξαι, ὅπη ἂν γιγνώσκωσιν ἄριστα Ἀθηναίοις. Μετὰ δὲ τοῦτο ἡμέρᾳ πέμπτῃ ἐκκλησία αὖθις ἐγίγνετο, καθότι χρὴ τὴν παρασκευὴν ταῖς ναυσὶ τάχιστα γίγνεσθαι, καὶ τοῖς στρατηγοῖς, εἴ του προσδέοιντο, ψηφισθῆναι ἐς τὸν ἔκπλουν. Καὶ ὁ Νικίας, ἀκούσιος μὲν ᾑρημένος ἄρχειν, νομίζων δὲ τὴν πόλιν οὐκ ὀρθῶς βεβουλεῦσθαι, ἀλλὰ προφάσει βραχείᾳ καὶ εὐπρεπεῖ τῆς Σικελίας ἁπάσης, μεγάλου ἔργου, ἐφίεσθαι, παρελθὼν, ἀποτρέψαι ἐβούλετο, καὶ παρῄνει τοῖς Ἀθηναίοις τοιάδε.

9. „Η ΜΕΝ ἐκκλησία περὶ παρασκευῆς τῆς ἡμετέρας ἥδε ξυνελέγη, καθότι χρὴ ἐς Σικελίαν ἐκπλεῖν. Ἐμοὶ μέντοι δοκεῖ καὶ περὶ αὐτοῦ τούτου ἔτι χρῆναι σκέψασθαι, εἰ ἄμεινόν ἐστιν ἐκπέμπειν τὰς ναῦς, καὶ μὴ οὕτω βραχείᾳ βουλῇ περὶ μεγάλων πραγμάτων, ἀνδράσιν ἀλλοφύλοις πειθομένους, πόλεμον οὐ προσήκοντα ἄρασθαι. Καίτοι ἔγωγε καὶ τιμῶμαι ἐκ τοῦ τοιούτου, καὶ ἧσσον ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι ὀῤῥωδῶ· (νομίζων, ὁμοίως ἀγαθὸν πολίτην εἶναι, ὃς ἂν καὶ τοῦ σώματός τι καὶ τῆς οὐσίας προνοῆται· μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι' ἑαυτὸν βούλοιτο ὀρθοῦσθαι·) ὅμως δὲ οὔτε ἐν τῷ πρότερον

macho ducibus conſtitutis. Nicias quidem quinque diebus poſt in alia eccleſia avocare ab hoc conſilio Athenienſes conatur, 9 — 14. rei et difficultatem

ἀκούσιος μὲν ᾑρημένος ἄρχειν. Sic e codd. plurimis pro vulgato ἀκούσας μὲν — repoſui. Satis hanc lectionem iam ſtabilivit Duckerus, probantibus ſequioribus Criticis.

9. νομίζων, ὁμοίως ἀγαθὸν πολίτην εἶναι — ὀρθοῦσθαι. Parentheſeos ſigna, quae Bauerus induxit, parum illuſtrant ſententiam quodammodo impeditam, quia notionem con-

χρόνῳ διὰ τὸ προτιμᾶσθαι εἶπον παρὰ γνώμην, οὔτε νῦν, ἀλλὰ ᾗ ἂν γιγνώσκω βέλτιστα, ἐρῶ. Καὶ πρὸς μὲν τοὺς τρόπους τοὺς ὑμετέρους ἀσθενὴς ἄν μου ὁ λόγος εἴη, εἰ τά τε ὑπάρχοντα σώζειν παραινοίην, καὶ μὴ τοῖς ἑτοίμοις περὶ τῶν ἀφανῶν καὶ μελλόντων κινδυνεύειν. Ὡς δὲ οὔτε ἐν καιρῷ σπεύδετε, οὔτε ῥᾴδιά ἐστι κατασχεῖν, ἐφ᾽ ἃ ὥρμησθε, ταῦτα διδάξω.

10. „Φημὶ γὰρ, ὑμᾶς, πολεμίους πολλοὺς ἐνθάδε ὑπολιπόντας, καὶ ἑτέρους ἐπιθυμεῖν, ἐκεῖσε πλεύσαντας, δεύτερον ἐπαγαγέσθαι. Καὶ οἴεσθε ἴσως, τὰς γενομένας ὑμῖν σπονδὰς ἔχειν τὶ βέβαιον, αἳ, ἡσυχαζόντων

et periculum demonſtrans.

ceſſionalem in participio *νομίζων* deſideres; quam hoc loco cum Kiſtemakero intelligere, verba *ἥσσον ἑτέρων — ὀῤῥωδῶ* vetare videantur. Totius enim loci ratio primo adſpectu potius eo ducere videtur, ut participium *νομίζων* accipiatur pro *νομίζω γάρ*. Cui ſententiae congruit lectio cod. Marg. et Stobaei *πρόηται* (i. e. offerat, impendat) pro *προνοῆται*. Neque displicebat haec lectio Duckero. Verum tamen vitioſa eſt. Nam eam reſpuunt verba ſequentia: *μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι᾽ ἑαυτὸν βούλοιτο ὀρθοῦσθαι*, quae vulgatae lectioni cummaxime favent. Hanc eandem tuetur Scholiaſtae interpretatio. Neceſſe igitur eſt, ut *νομίζων* eo ſenſu intelligatur, quam ſententiarum nexus vel patiatur, vel potius flagitet, i. e. *καίτοι νομίζω*, vel etiam *νομίζω δέ*, quod h. l. eandem ſententiam fundit.

10. *Φημὶ γὰρ, ὑμᾶς — δεύτερον ἐπαγαγέσθαι.* Duabus in lectionibus h. l. codicibus obtemperavit Benedictus, legens *ἡμᾶς* pro *ὑμᾶς*, et *δεύτερον* pro *δεῦρο*. Altera varietas ex eo eſt genere, in quo nihil, certe non multum codicibus tribuendum; altera vero non negligenda videtur. Optime quidem *δεῦρο* reſpondet *τῷ ἐκεῖσε*. Neque tamen *δεύτερον* nullum ſenſum huic loco aptum admittit. Nam ſi hoſtes *ἐνθάδε* relictos Peloponneſios intelligis et ſocios Lacedaemoniorum, *καὶ ἕτεροι* non poſſunt quidem iidem eſſe Peloponneſii, id quod vult Benedictus, ſed ad novos illos hoſtes referenda ſunt haec verba, quos in Sicilia hoc impetu ſibi excitabant Athenienſes. Nihilo minus tamen *δεύτερον* de his ſolis apte dicitur, quatenus *alterum id fuerit bellum, quod Athenienſes ſibi ipſi conflarint. Δεύτερον* igitur non arcte cum *ἑτέρους* iungendum, ſed abſolute accipiendum eſt pro *ὕστερον*. Quae ſignificatio cum exquiſitior ſit, certe minus trita, facile *δεύτερον* corrigendo corrumpi potuit in *δεῦρο*. Contra quomodo e *δεῦρο* fieri potuerit *δεύτερον*, non facile perſpicias, niſi fortuito et caſu; quod tamen in tanto codicum numero non admodum veriſimile eſt. Antiquior certe et difficilior lectio, eaque codicum plurimorum auctoritate comprobata, *δεύτερον* eſt, ideoque eam recepimus.

μὲν ὑμῶν, ὀνόματι σπονδαὶ ἔσονται· (οὕτω γὰρ ἐνθένδε τε ἄνδρες ἔπραξαν αὐτὰ, καὶ ἐκ τῶν ἐναντίων·) σφαλέντων [δέ] που ἀξιόχρεῳ δυνάμει, ταχεῖαν τὴν ἐπιχείρησιν ἡμῖν οἱ ἐχθροὶ ποιήσονται, οἷς πρῶτον μὲν διὰ ξυμφορῶν ἡ ξύμβασις, καὶ ἐκ τοῦ αἰσχίονος, ἢ ἡμῖν, κατ᾽ ἀνάγκην ἐγένετο· ἔπειτα ἐν αὐτῇ ταύτῃ πολλὰ τὰ ἀμφισβητούμενα ἔχομεν. Εἰσὶ δ᾽, οἳ οὐδὲ ταύτην πω τὴν ὁμολογίαν ἐδέξαντο, καὶ οὐχ οἱ ἀσθενέστατοι· ἀλλ᾽ οἱ μὲν ἄντικρυς πολεμοῦσιν, οἱ δὲ, καὶ διὰ τὸ Λακεδαιμονίους ἔτι ἡσυχάζειν, δεχημέροις σπονδαῖς καὶ αὐτοὶ [ἔτι] κατέχονται. τάχα δ᾽ ἂν ἴσως, εἰ δίχα ἡμῶν τὴν δύναμιν λάβοιεν, (ὅπερ νῦν σπεύδομεν,) καὶ πάνυ ἂν ξυνεπίθοιντο μετὰ Σικελιωτῶν, οὓς πρὸ πολλῶν ἂν ἐτιμήσαντο ξυμμάχους σφίσι γενέσθαι ἐν τῷ πρὶν χρόνῳ. Ὥστε χρὴ σκοπεῖν τινα αὐτὰ, καὶ μὴ μετεώρῳ τε πόλει ἀξιοῦν κινδυνεύειν, καὶ ἀρχῆς ἄλλης

ἔπραξαν αὐτά. Vulgo αὐτάς. Illud octo codices exhibent, et Duckero Benedictoque probatum recepi. Non pertinet αὐτά ad σπονδάς, nec fententia magis, quam grammatica ratione. Refpicit Nicias Alcibiadem et ex Lacedaemoniorum parte ephoros illos Cleobulum et Xenarem. Cf. 5, 36. Ii agebant id, ut foedus dirumperetur. Ergo αὐτά eft pro: ὥστε ὀνόματι μόνον σπονδὰς εἶναι. Vid. Schol. et Duck. — Mox Bauero et Bredovio adfentior, particulam δέ poft σφαλέντων reftituendam effe e codd. Gr. Marg. duobus Pariff. Neceffaria enim hoc loco eft, propter praecedens μέν, et omittendi occafio patet. Ex fcholiis enim videmus, hunc locum prava diftinctione in codd. laboraffe; fiquidem verba ἐκ τῶν ἐναντίων σφαλέντων in fcholiis coniunguntur. Quae conftructio uti poft deperditam demum particulam δέ inftitui potuit, ita caufa eiusdem eiiciendae potuit effe. Ergo δέ inferui.

ἀλλ᾽ οἱ μὲν ἄντικρυς πολεμοῦσιν, Corinthii nempe. οἱ δὲ — κατέχονται, Thebani 5, 26. 32., et Chalcidenfes 6, 7. Alterum ἔτι, quod eft ante κατέχονται, cum Valla quatuordecim libri ignorant. — Paullo ante τὰ ἀμφισβητούμενα refer ad Amphipolin Athenienfibus non redditam, et urbes Thraciae, Boeotos et Corinthios neque conciliatos ex foedere Athenienfibus, neque vi ad pacem coactos a Lacedaemoniis. Vid. 5, 35.

ξυμμάχους σφίσι γενέσθαι. Cum duodecim libris Benedictus pronomen σφίσι expungit; quod non fum imitatus, quia aegre hoc vocabulo caremus. Neque Scholiaftae auctoritate hic abutendum erat, e cuius interpretatione ξυμμάχους ἔχειν non modo non poffit colligi, σφίσι ab eo lectum non effe, fed potius contrarium probari.

ὥστε χρὴ σκοπεῖν τινα αὐτά. Innuit Alcibiadem. cf.

ὀρέγεσθαι, πρὶν, ἣν ἔχομεν, βεβαιωσώμεθα, εἰ Χαλκιδεῖς γε οἱ ἐπὶ Θρᾴκης, ἔτη τοσαῦτα ἀφεστῶτες ἡμῶν, ἔτι ἀχείρωτοί εἰσι, καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους ἐνδοιαστῶς ἀκροῶνται. Ἡμεῖς δὲ Ἐγεσταίοις δὴ, οὖσι ξυμμάχοις, ὡς ἀδικουμένοις, ὀξέως βοηθοῦμεν· ὑφ' ὧν δ' αὐτῶν, πάλαι ἀφεστώτων, ἀδικούμεθα, ἔτι μέλλομεν ἀμύνεσθαι.

11. „Καίτοι τοὺς μὲν, κατεργασάμενοι, κἂν κατάσχοιμεν· τῶν δ' εἰ καὶ κρατήσαιμεν, διὰ πολλοῦ γε καὶ πολλῶν ὄντων, χαλεπῶς ἂν ἄρχειν δυναίμεθα. Ἀνόητον δ', ἐπὶ τοιούτους ἰέναι, ὧν κρατήσας τε μὴ κατασχήσει τὶς, καὶ μὴ κατορθώσας, μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται. Σικελιῶται δ' ἄν μοι δοκοῦσιν, ὥς γε νῦν ἔχουσι, καὶ ἔτι ἂν ἧσσον δεινοὶ ἡμῖν γενέσθαι, εἰ ἄρξειαν αὐτῶν Συρακούσιοι· ὅπερ οἱ Ἐγεσταῖοι μάλιστα ἡμᾶς ἐκφοβοῦσι. Νῦν μὲν γὰρ κἂν ἔλθοιεν ἴσως Λακεδαιμονίων ἕκαστοι χάριτι· ἐκείνως δ', οὐκ εἰκὸς, ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι. Ὧι γὰρ ἂν τρόπῳ τὴν ἡμετέραν μετὰ Πελοποννησίων ἀφέλωνται, εἰκὸς, ὑπὸ τῶν αὐτῶν καὶ τὴν σφετέραν διὰ τοῦ αὐτοῦ καθαιρεθῆναι. Ἡμᾶς δ' ἂν οἱ ἐκεῖ Ἕλληνες

c. 12. *Μετεώρῳ πόλει*, metaphoram ductam a navibus putat Scholiastes. Rectius referas ad aedificium, quod certo et firmo satis fundamento caret, quo pertinet *βεβαιωσώμεθα*. — In verbis: *εἰ Χαλκιδεῖς γε* — miror, Duckero lectionem nonnullorum deteriorum codicum: *οἱ Χαλκιδεῖς γάρ*, quae ex correctione corruptae ex parte scripturae orta est, placere potuisse. Equidem in vulgata nihil video difficultatis. — *ἐνδοιαστῶς ἀκροῶνται*, Schol. *οὐ βεβαίως ὑπακούουσιν*.

11. *Καίτοι τοὺς μὲν*, int. *Χαλκιδέας*. — *τῶν δέ*, *Σικελιωτῶν*.

μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι, propterea quod clade afflictum etiam domum persequuntur et instant.

Σικελιῶται δ' ἄν μοι δοκοῦσιν —. Male Marg. Bar. *δοκῶσιν*. Duplex *ἂν* saepius reperitur etiam apud Thucydidem. E prioribus quidem libris exempla congessit Poppo p. 123. Cf. 6, 18. *καὶ τὸ πάνυ ἀκριβὲς ἂν ξυγκραθὲν, μάλιστ' ἂν ἰσχύειν*.

ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι, i. e. Syracusanos contra Athenienses. — *ὑπὸ τῶν αὐτῶν*, i. e. *Λακεδαιμονίων*. — *δι' ὀλίγου*, int. *χρόνου*.

μάλιστα μὲν ἐκπεπληγμένοι εἶεν, εἰ μὴ ἀφικοίμεθα, ἔπειτα δὲ καὶ, εἰ, δείξαντες τὴν δύναμιν, δι᾽ ὀλίγου ἀπέλθοιμεν· εἰ δὲ σφαλείημέν τι, τάχιστ᾽ ἂν ὑπεριδόντες, μετὰ τῶν ἐνθάδε ἐπίθοιντο. Τὰ γὰρ διὰ πλείστου πάντες ἴσμεν θαυμαζόμενα, καὶ τὰ πεῖραν ἥκιστα τῆς δόξης δόντα. Ὅπερ νῦν ὑμεῖς, ὦ Ἀθηναῖοι, ἐς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πεπόνθατε, διὰ τὸ, παρὰ γνώμην αὐτῶν, πρὸς ἃ ἐφοβεῖσθε τὸ πρῶτον, περιγεγενῆσθαι καταφρονήσαντες, ἤδη καὶ Σικελίας ἐφίεσθαι. Χρὴ δὲ μὴ πρὸς τὰς τύχας τῶν ἐναντίων ἐπαίρεσθαι, ἀλλὰ τὰς διανοίας κρατήσαντας θαῤῥεῖν· μηδὲ, Λακεδαιμονίους ἄλλο τι, ἡγήσασθαι, ἢ διὰ τὸ αἰσχρὸν σκοπεῖν, ὅτῳ τρόπῳ ἔτι καὶ νῦν, ἢν δύνωνται, σφήλαντες ἡμᾶς, τὸ σφέτερον ἀπρεπὲς εὖ θήσονται, ὅσῳ καὶ περὶ πλείστου, καὶ διὰ πλείστου, δόξαν ἀρετῆς μελετῶσιν. Ὥστε οὐ περὶ τῶν ἐν Σικελίᾳ Ἐγεσταίων ἡμῖν, ἀνδρῶν βαρβάρων, ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλ᾽, ὅπως πόλιν δι᾽ ὀλιγαρχίας ἐπιβουλεύουσαν ὀξέως φυλαξώμεθα.

τὰ γὰρ διὰ πλείστου, subaudi *ὄντα*. Ea, quae maxime remota et longinqua ſunt, homines maxime mirantur.

ὅπερ νῦν ὑμεῖς — ἐφίεσθαι. Ex vulgata lectione, qua ultima verba ſic leguntur et diſtinguuntur: *περιγεγενῆσθαι, καταφρονήσαντες, ἤδη καὶ Σικελίας ἐφίεσθε*, vix ſanam ſententiam expedias; certe verba *καταφρονήσαντες ἐφίεσθε*, unde pendeant, non habent. Codices praeſtantiſſimi, Reg. Caſſ. Aug. Gr. exhibent *ἐφίεσθαι*, quod optime quadrat ad ſtructuram loci, dummodo comma poſt *περιγεγενῆσθαι* deleatur, ut hic infinitivus pendeat a *καταφρονήσαντες*. Totius enim loci haec eſt ſententia: „Quam admirationem (*θαυμάζεσθαι*) nunc vos, Athenienſes, apud Lacedaemonios eorumque ſocios adepti eſtis eo, quod, non contenti victoria, quam praeter illorum opinionem in iis, quae ab initio timebatis, reportaviſtis, nunc etiam Siciliam affectatis. Non tamen decet, propter caſus adverſariorum animos extollere cet. " Vulgatum *ἐφίεσθε* e Scholiis naſci potuit.

ἀλλὰ τὰς διανοίας κρατήσαντας. *Τὰς διανοίας* int. *τῶν ἐναντίων*, *τῶν πολεμίων*, i. e. *Λακεδαιμονίων*.

ὅσῳ καὶ περὶ πλείστου. Vulgo *ὅσῳ δὲ καὶ περὶ πλ.* Illud *δὲ* turbat huius membri nexum cum praecedentibus, quo illud pertinere manifeſtum eſt. Codices plerique omittunt. Ergo expunxi cum Benedicto, et colon ante *ὅσῳ* mutavi in comma.

12. „Καὶ μεμνῆσθαι χρὴ ἡμᾶς, ὅτι νεωστὶ ἀπὸ νόσου μεγάλης καὶ πολέμου βραχύ τι λελωφήκαμεν, ὥστε καὶ χρήμασι καὶ τοῖς σώμασιν ηὐξῆσθαι· καὶ ταῦτα ὑπὲρ ἡμῶν δίκαιον ἐνθάδε εἶναι ἀναλοῦν, καὶ μὴ ὑπὲρ ἀνδρῶν φυγάδων τῶνδε, ἐπικουρίας δεομένων, οἷς τό τε ψεύσασθαι καλῶς χρήσιμον, καὶ τῷ τοῦ πέλας κινδύνῳ, αὐτοὺς λόγους μόνον παρασχομένους, ἢ κατορθώσαντας, χάριν μὴ ἀξίαν εἰδέναι, ἢ πταίσαντάς που, τοὺς φίλους ξυναπολέσθαι. Εἴ τέ τις, ἄρχειν ἄσμενος αἱρεθεὶς, παραινεῖ ὑμῖν ἐκπλεῖν, τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ νεώτερος ὢν ἔτι ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, διὰ δὲ πολυτέλειαν καὶ

12. καὶ ταῦτα ὑπὲρ ἡμῶν δίκαιον ἐνθάδε εἶναι ἀναλοῦν. Exigua est auctoritas librorum, Bar. Gr. et edd. Ald. Bas., a quibus abest εἶναι. In vulgatis tamen editionibus hic infinitivus uncis est circumscriptus, quos sustuli, suspicatus, correctoribus infinitivum molestum et inutilem visum, ideoque e nonnullis libris eiectum esse. Sane εἶναι h. l. si absit, nemo desideret. Sed saepissime Thucydides a constructione per ὅτι ad infinitivum transit; et possunt certe haec verba quodammodo pendere a μεμνῆσθαι χρή. Quare post ηὐξῆσθαι minus plene interpunxi. Hermannus ad Viger. p. 750. εἶναι pro ἐξεῖναι accipit.

ξυναπολέσθαι. Videtur scribendum ξυναπολέσαι, ut monuit Lindavius in Spicileg. p. 11. Valla vertit: amicos secum in perniciem trahere.

εἴ τέ τις, ἄρχειν ἄσμενος αἱρεθείς. Alcibiadem describit. cf. cap. 10. — ἔτι cum solus Gr. omittat, uncinos delevi.

ἀπὸ τῆς ἱπποτροφίας. Bauerus luxum Alcibiadis notari his verbis, negat, sed eum equis ad rei militaris usum praebendis inclarescere voluisse, contendit. At vero in Alcibiadis oratione cap. 16., ubi ad haec Niciae verba respondet, certe ea respicit, septem currus ad ludos Olympiacos se misisse, atque primam, secundam et quartam palmam ex his quadrigis reportasse gloriatur, qua re civitati utilitatem (ὠφέλειαν) se attulisse profitetur. Neque aliunde constat, singulos cives rei publicae equos ad bellum vel donasse, vel aluisse. Apparet igitur, Bauerum haec esse commentum, quia loci sententiam non perspiceret. Arguit enim Alcibiadem Nicias, quod sui commodi et luxus causa *imperium* sibi quaesierit, quo res ad tantos sumptus suppeteret. *Bellum* autem non molitus esset, nisi inde imperium penderet. Neque ipsius Thucydidis ratio ab hac discrepat. Nam cap. 15. de Alcibiade haec dicit: Καὶ τὰ ἴδια ἅμα, εὐτυχήσας, χρήμασί τε καὶ δόξῃ ὠφελήσειν. Ὢν γὰρ ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις μείζοσιν, ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν, ἐχρῆτο, ἔς τε τὰς ἱπποτροφίας καὶ τὰς ἄλλας δαπάνας. — Maxime igitur Alcibiadem stimulabat cupido, equis alendis excellendi; ut ei

ὠφεληθῇ τι ἐκ τῆς ἀρχῆς· μηδὲ τούτῳ ἐμπαράσχητε, τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι· νομίσατε δὲ, τοὺς τοιούτους τὰ μὲν δημόσια ἀδικεῖν, τὰ δὲ ἴδια ἀναλοῦν· καὶ τὸ πρᾶγμα μέγα εἶναι, καὶ μὴ οἷον νεωτέρῳ βουλεύσασθαί τε καὶ ὀξέως μεταχειρίσαι.

13. „Οὓς ἐγὼ ὁρῶν νῦν ἐνθάδε τῷ αὐτῷ ἀνδρὶ παρακελευστοὺς καθημένους, φοβοῦμαι, καὶ τοῖς πρεσβυτέροις ἀντιπαρακελεύομαι, μὴ καταισχυνθῆναι, εἴ τῳ τὶς παρακάθηται τῶνδε, ὅπως μὴ δόξῃ, ἂν μὴ ψηφίζηται πολεμεῖν, μαλακὸς εἶναι· μηδ', ὅπερ ἂν αὐτοὶ πάθοιεν, δυςέρωτας εἶναι τῶν ἀπόντων, γνόντας, ὅτι ἐπιθυμίᾳ μὲν ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ πλεῖστα· ἀλλ' ὑπὲρ τῆς πατρίδος, ὡς μέγιστον δὴ τῶν πρὶν κίνδυνον ἀναῤῥιπτούσης, ἀντιχειροτονεῖν, καὶ ψηφίζεσθαι, τοὺς μὲν Σικελιώτας, οἷςπερ νῦν ὅροις χρωμένους πρὸς ὑμᾶς οὐ μεμπτοῖς, τῷ τε Ἰονίῳ κόλπῳ,

ſumptui par eſſet, imperium affectabat: ut imperium acquirere poſſet, bello opus erat. — Poſt πολυτέλειαν ineptum comma iam alii ſuſtulerunt.

μηδὲ τούτῳ ἐμπαράσχητε. Sic recte *aoriſti* coniunctivus poſt particulam prohibitivam μὴ adhibetur. Ut ex multis exemplis non niſi unum afferam, Thucydidis locum 6, 87 extr. apponam. Ταύτην οὖν τὴν κοινὴν τῷ τε δεομένῳ καὶ ὑμῖν νῦν παροῦσαν ἀσφάλειαν μὴ ἀπώσησθε, ἀλλ' ἐξισώσαντες τοῖς ἄλλοις, μεθ' ἡμῶν τοῖς Συρακουσίοις, ἀντὶ τοῦ ἀεὶ φυλάσσεσθαι αὐτοὺς, καὶ ἀντεπιβουλεῦσαί ποτε, ἐκ τοῦ ὁμοίου μεταλάβετε. Contra ſoloeciſmus eſt, ubi eandem particulam ſequitur *praeſentis* coniunctivus, cuius temporis non niſi imperativus locum habet. Vid. ad 5, 103. Quare infra cap. 17. e ſeptem Mſſ. μὴ μεταγιγνώσκετε legendum eſt pro μὴ μεταγιγνώσκητε.

13. οὓς ἐγὼ ὁρῶν. Hunc ordinem verborum cum Benedicto e codd. reſtitui, pro vulgato οὓς ὁρῶν ἐγώ. Sed eſt etiamnum in loco, quod diſpliceat. Nam cum antea de Alcibiade ſolo dixiſſet Nicias, (ad eundem enim ſolum vel potiſſimum certe verba τοὺς τοιούτους c. 12. referenda erant), οὓς non habeat, quo referatur. Scripſerim igitur: οὓς δ' ἐγὼ ὁρῶ — φοβοῦμαι· καὶ τοῖς πρεσβυτέροις ἀντιπαρακελεύομαι, colo poſt φοβοῦμαι poſito.

εἴ τῳ τὶς παρακάθηται τῶνδε, int. Alcibiadis ſociorum. Quod autem dicit παρακάθηται, inde colligo, hanc eccleſiam in theatrum Bacchi convocatam fuiſſe; ibi enim in ſedilibus vel ſubſelliis ſedendi copia erat, quod neque in foro, neque ἐν Πνυκί videtur fieri potuiſſe. — Pro ἂν malim ἐάν. Vid. ad 4, 46.

δυςέρωτας εἶναι τῶν ἀπόντων, nimis et perdite amare ea, quae non ante oculos poſita, ſed longinqua et remota ſunt. — κατορθοῦνται, int. αὐτοί vel ἄνθρωποι.

πρὸς ὑμᾶς οὐ μεμπτοῖς. Haec verba iungo cum Stephano,

παρὰ γῆν ην τις πλέῃ, καὶ τῷ Σικελικῷ, διὰ πελάγους, τὰ αὑτῶν νεμομένους, καθ' αὑτοὺς καὶ ξυμφέρεσθαι· τοῖς δ' Ἐγεσταίοις ἰδίᾳ εἰπεῖν, ἐπειδὴ ἄνευ Ἀθηναίων καὶ ξυνῆψαν πρὸς Σελινουντίους τὸν πρῶτον πόλεμον, μετὰ σφῶν αὐτῶν καὶ καταλύεσθαι· καὶ τὸ λοιπὸν ξυμμάχους μὴ ποιεῖσθαι, ὥςπερ εἰώθαμεν, οἷς κακῶς μὲν πράξασιν ἀμυνοῦμεν, ὠφελείας δ' αὐτοὶ δεηθέντες, οὐ τευξόμεθα.

14. „Καὶ σὺ, ὦ Πρύτανι, ταῦτα (εἴπερ ἡγῇ σοὶ προςήκειν, κήδεσθαί τε τῆς πόλεως, καὶ βούλει γενέσθαι πολίτης ἀγαθὸς) ἐπιψήφιζε, καὶ γνώμας προτίθει αὖθις Ἀθηναίοις· νομίσας, εἰ ὀῤῥωδεῖς τὸ ἀναψηφίσαι, τὸ μὲν λύειν τοὺς νόμους μὴ μετὰ τοσῶνδ' ἂν μαρτύρων αἰτίαν σχεῖν, τῆς δὲ πόλεως βουλευσαμένης ἰατρὸς ἂν γενέσθαι· καὶ τὸ καλῶς ἄρξαι τοῦτ' εἶναι, ὃς ἂν τὴν πατρίδα ὠφελήσῃ ὡς πλεῖστα, ἢ ἑκὼν εἶναι μηδὲν βλάψῃ."

ideoque comma tollo poſt ὑμᾶς. Similiter in proximis verbis: τῷ τε Ἰονίῳ κόλπῳ παρὰ γῆν, ἣν τις πλέῃ, comma transpoſui poſt κόλπῳ, quia παρὰ γῆν opponitur ſequenti διὰ πελάγους, et cum verbis ἥν τις πλέῃ tam arcte cohaeret, ut etiam ad διὰ πελάγους repetenda ſint. Vidit etiam Bauerus, qui comma non transtulit, ſed delevit.

14. εἴπερ ἡγῇ. In cod. Gr. ſcriptum eſt ἡγεῖ, quam formam apud Thucydidem praeferam, ut ſtatim βούλει. Ceterum βούλει ita interiectum eſt, ut ſtructura particularum τέ — καί implicetur. Alia reformatae conſtructionis huius exempla vide ad 5, 28. — Πρύτανις, ἐπιστάτης ἐν τῷ δήμῳ.

ἐπιψήφιζε. Alibi ſemper ἐπιψηφίζειν ſimpliciter eſt populum ad ſuffragium ferendum vocare, ſententias rogare. Hic autem cum Schol. interpretantur: *denuo* in ſuffragium mittere; quod clarius addit Thucydides verbis: καὶ γνώμας προτίθει αὖθις Ἀθηναίοις, et paullo poſt ἀναψηφίσαι, quod per ſe ſignificat eorum, quae antea decreta erant, ſolutionem (λύειν τοὺς νόμους). Periculoſum igitur Epiſtatae videtur fuiſſe, populum iterum in ſuffragia mittere de re, de qua iam pſephiſma ſcriptum eſſet. Quamquam hoc cum populi voluntate et ſtudio factum eſſe videmus in decreto de Mitylenenſibus interficiendis 3, 36 ſeqq. Unde patet, ſtudio populi (μετὰ τοσῶνδε μαρτύρων) illum timorem ſublevari.

τῆς δὲ πόλεως βουλευσαμένης ἰατρὸς ἂν γενέσθαι. Vulgo ante βουλευσαμένης legitur κακῶς, quod vocabulum, utut ad ſententiam neceſſarium videatur, tamen ab omnibus Mſſ. praeter Gr. Cam. et unum ex Pariſſ. abeſt. Bene-

15. Ὁ μὲν Νικίας τοιαῦτα εἶπε. Τῶν δὲ Ἀθηναίων παριόντες οἱ μὲν πλεῖστοι στρατεύειν παρῄνουν, καὶ τὰ ἐψηφισμένα μὴ λύειν· οἱ δέ τινες καὶ ἀντέλεγον. Ἐνῆγε δὲ προθυμότατα τὴν στρατείαν Ἀλκιβιάδης ὁ Κλεινίου, βουλόμενος τῷ τε Νικίᾳ ἐναντιοῦσθαι, ὢν καὶ ἐς τὰ ἄλλα διάφορος τὰ πολιτικά, καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη, καὶ μάλιστα στρατηγῆσαί τε ἐπιθυμῶν, καὶ ἐλπίζων Σικελίαν τε δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι· καὶ τὰ ἴδια ἅμα, εὐτυχήσας, χρήμασί τε καὶ δόξῃ ὠφελήσειν. Ὢν γὰρ ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις μείζοσιν, ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν, ἐχρῆτο, ἔς τε τὰς ἱπποτροφίας καὶ τὰς ἄλλας δαπάνας· ὅπερ καὶ καθεῖλεν ὕστερον τὴν τῶν Ἀθηναίων πόλιν οὐχ ἥκιστα. Φοβηθέντες γὰρ αὐτοῦ οἱ πολλοὶ τὸ μέγεθος τῆς τε κατὰ τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν δίαιταν, καὶ τῆς διανοίας, ὧν, καθ' ἓν ἕκαστον, ἐν ὅτῳ γίγνοιτο, ἔπρασσεν,

15. Deinde plurimis quidem expeditionem ſuadentibus,

dictus ex Scholiis ortum cenſet; et ſane interpretamentum videtur eſſe, cum in margine cod. Ar. oppoſitum ſit. Recte indicat Benedictus, modeſtiae oratoris ad cives verba facientis vocabulum non eſſe accommodatum, et per ſe intelligi poſſe ex verbis λύειν τοὺς νόμους. Quare codicum auctoritati, cum nulla omittendi cauſa appareat, reſiſtere nolui et interpretamentum proſcripſi. — Ad γενέσθαι ſubiectum ex νομίσας ſubaudiendum eſt. — Mox ὃς ἂν poſt τοῦτ' εἶναι dictum eſt pro εἴ τις ἄν. Cf. 2, 44 init. τὸ δ' εὐτυχές, οἳ ἂν — λάχωσιν. Haec vera eſt ex tribus, quas Bauerus tentat, interpretandi loci rationibus. Infra c. 16. Καὶ οὐκ ἄχρηστος ἥδ' ἡ ἄνοια, ὃς ἂν — ὠφελῇ.

15. καὶ ἀντέλεγον, nempe τῷ προτέρῳ ψηφίσματι, vel τοῖς τὴν στρατείαν παραινοῦσι.

δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι. Bauerus errat, cum δι' αὐτοῦ explicat: διὰ τοῦ λαβεῖν Σικελίαν. Ita enim particula καί ante δι' αὐτοῦ transponenda eſſet. Δι' αὐτοῦ refer ad στρατηγῆσαι. — Ante εὐτυχήσας comma poſui. Ceterum h. l. particulae τέ — καί, et καί — καί ſatis artificioſe nexa ſunt. Primo enim τέ ante Νικίᾳ reſpondet καί ante μάλιστα; alteri autem τέ poſt στρατηγῆσαι, ſuccedit καί ante τὰ ἴδια. Verba καὶ ἐς τὰ ἄλλα, et καὶ ὅτι διαβόλως ἐμνήσθη, iungenda ſunt; denique καί ante ἐλπίζων ſimplex eſt copula, relata ad ἐπιθυμῶν. Reſtant particulae τέ — καί, bis praeterea poſitae h. l., ubi tamen nemo ambigat.

ὧν — ἔπρασσεν, refer ad omiſſum ἐκείνων, quod pendet a μέγεθος τῆς διανοίας, et eſt pro ἐν ἐκείνοις.

ὡς τυραννίδος ἐπιθυμοῦντι πολέμιοι καθέστασαν· καὶ δημοσίᾳ κράτιστα διαθέντα τὰ τοῦ πολέμου, ἰδίᾳ ἕκαστοι τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ἀχθεσθέντες, καὶ ἄλλοις ἐπιτρέψαντες, οὐ διὰ μακροῦ ἔσφηλαν τὴν πόλιν. Τότε δ' οὖν παρελθὼν, τοῖς Ἀθηναίοις παρῄνει τοιάδε.

16. „ΚΑΙ προσήκει μοι μᾶλλον ἑτέρων, ὦ Ἀθηναῖοι, ἄρχειν· (ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νικίας καθήψατο·) καὶ ἄξιος ἅμα νομίζω εἶναι. Ὧν γὰρ πέρι ἐπιβόητός εἰμι, τοῖς μὲν προγόνοις μου καὶ ἐμοὶ δόξαν φέρει ταῦτα, τῇ δὲ πατρίδι καὶ ὠφέλειαν. Οἱ γὰρ Ἕλληνες καὶ ὑπὲρ δύναμιν μείζω ἡμῶν τὴν πόλιν ἐνόμισαν, τῷ ἐμῷ διαπρεπεῖ τῆς Ὀλυμπίαζε θεωρίας, πρότερον ἐλπίζοντες, αὐτὴν καταπεπολεμῆσθαι· διότι ἅρματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδείς πω

nonnullis vero etiam disſuadentibus, Alcibiades, qui ex illa gloriam et opes tum patriae tum ſibi quaerebat, maxime inſtitit, 16 — 18. prae ceteris dignum ſe eſſe

δημοσίᾳ κράτιστα διαθέντα —. Lectio διαθέντα codicum teſtimoniis conſtat, etſi unus e Pariſſ. διαθέντι, alius in margine διαθέντος habeat. Frequentiſſimum eſt hoc genus anacoluthorum, ubi ſtructura ita mutatur, ut poſteriora verba prioribus ad ſententiam modo, non ad grammaticam rationem reſpondeant. Thucydides fortaſſe ab initio ſcribere volebat: Καὶ δημοσίᾳ κράτιστα διαθέντα τὰ τοῦ πολέμου, ὅμως ἐμίσουν (vel. μισοῦντες) διὰ τὰ ἰδίᾳ ἐπιτηδεύματα αὐτοῦ. Sed notionem τοῦ μισεῖν alio verbo expreſſit, ἀχθεσθέντες. Vid. ad 4. 36. 3, 34. Ἰδίᾳ iunge cum τοῖς ἐπιτηδεύμασιν. — καὶ ἄλλοις ἐπιτρέψαντες, int. τὰς ἀρχάς.

16. καὶ προσήκει μοι μᾶλλον ἑτέρων — καὶ ἄξιος ἅμα νομίζω εἶναι. Illud προσήκει ad *ius* et *dignitatem* pertinet, quod ſumptibus factis et legatione ad Peloponneſios bene de re publica meruerit; ἄξιος refer ad animi virtutes et facultatem ad rem bene gerendam. — ἐπιβόητος, ut ἐπιβοώμενος infra in fine cap. in malam partem accipiendum. Commode Bauerus comparat Terent. in Prologo Adelph.

Quod *maledictum* vehemens illi exiſtimant,
Eam ille *laudem* ſibi maximam putat.

πρότερον — καταπεπολεμῆσθαι. Parentheſeos notas, quibus haec verba vulgo includuntur, removi, propterea quod participium ἐλπίζοντες pendet ab οἱ Ἕλληνες, neque haec verba abſolute accipi poſſunt. Cf. ad 5, 72.

ἰδιώτης πρότερον, ἐνίκησα δὲ, καὶ δεύτερος καὶ τέταρτος ἐγενόμην, καὶ τἄλλα ἀξίως τῆς νίκης παρεσκευασάμην. Νόμῳ μὲν γὰρ τιμὴ τὰ τοιαῦτα· ἐκ δὲ τοῦ δρωμένου καὶ δύναμις ἅμα ὑπονοεῖται. Καὶ ὅσα αὖ ἐν τῇ πόλει χορηγίαις ἢ ἄλλῳ τῳ λαμπρύνομαι, τοῖς μὲν ἀστοῖς φθονεῖται φύσει, πρὸς δὲ τοὺς ξένους καὶ αὕτη ἰσχὺς φαίνεται. Καὶ οὐκ ἄχρηστος ἥδ' ἡ ἄνοια, ὃς ἂν τοῖς ἰδίοις τέλεσι μὴ ἑαυτὸν μόνον, ἀλλὰ καὶ τὴν πόλιν ὠφελῇ. Οὐδέ γε ἄδικον, ἐφ' ἑαυτῷ μέγα φρονοῦντα, μὴ ἴσον εἶναι· ἐπεὶ καὶ ὁ κακῶς πράσσων πρὸς οὐδένα τῆς ξυμφορᾶς ἰσομοιρεῖ. Ἀλλ', ὥσπερ δυστυχοῦντες οὐ προσαγορευόμεθα, ἐν τῷ ὁμοίῳ τὶς ἀνεχέσθω, καὶ ὑπὸ τῶν εὐπραγούντων ὑπερφρονούμενος· ἢ τὰ ἴσα νέμων, τὰ ὅμοια ἀνταξιούτω. Οἶδα δέ, τοὺς τοιούτους, καὶ ὅσοι ἔν τινος λαμπρότητι προέσχον, ἐν μὲν τῷ κατ' αὐτοὺς βίῳ λυπηροὺς ὄντας, τοῖς ὁμοίοις μὲν μάλιστα, ἔπειτα δέ, καὶ τοῖς ἄλλοις ξυνόντας, τῶν δὲ ἔπειτα ἀνθρώπων προσποίησίν τε ξυγγενείας τισὶ, καὶ μὴ οὖσαν, καταλιπόντας, καὶ, ἧς ἂν ὦσι πατρίδος, ταύτῃ αὔχησιν, ὡς οὐ περὶ ἀλλοτρίων, οὐδ' ἁμαρτόντων, ἀλλ' ὡς περὶ σφετέρων τε καὶ καλὰ πραξάντων. Ὧν ἐγὼ ὀρεγόμενος, καὶ διὰ ταῦτα τὰ ἴδια ἐπιβοώμε-

gloriatus, cui hoc imperium mandaretur, neque timen-

ἐνίκησα δὲ, καὶ — ἐγενόμην. Primam, fecundam et quartam palmam retulerat Alcibiades. — καὶ τἄλλα ἀξίως τῆς νίκης παρ. ad ea refero cum Duckero, quae victoriam confecuta funt. Scribit enim Athenaeus I, 3. Ὀλύμπια νικήσας — θύσας Ὀλυμπίῳ Διῒ τὴν πανήγυριν ἅπασαν εἱστίασε. — νόμῳ, more, τῷ νενομισμένῳ.

καὶ αὕτη ἰσχὺς φαίνεται. Ita pro αὐτὴ fcribendum effe, quivis videt. Adftipulantur codd. Reg. Aug. Gr.

ἥδ' ἡ ἄνοια, ὃς ἂν — ὠφελῇ. Vid. ad cap. 14 extr.

ὅσοι ἔν τινος λαμπρότητι, int. πράγματος. — προσποίησιν ξυγγενείας, quatenus pofteri honori fibi ducunt, clarorum virorum pronepotes vel certe cognatos effe, et faepe eorum propinquitatem fibi vindicant immerito (καὶ μὴ οὖσαν). — ἁμαρτόντων, opp. καλὰ πραξάντων.

ὧν ἐγὼ ὀρεγόμενος, nempe τοιοῦτος εἶναι, καὶ ἔν τινος λαμπρότητι προέχειν.

νος, τὰ δημόσια, σκοπεῖτε, εἴ του χεῖρον μεταχειρίζω. Πελοποννήσου γὰρ τὰ δυνατώτατα ξυστήσας ἄνευ μεγάλου ὑμῖν κινδύνου καὶ δαπάνης, Λακεδαιμονίους ἐς μίαν ἡμέραν κατέστησα ἐν Μαντινείᾳ περὶ τῶν ἁπάντων ἀγωνίσασθαι· ἐξ οὗ, καὶ περιγενόμενοι τῇ μάχῃ, οὐδέπω καὶ νῦν βεβαίως θαρσοῦσι.

17. „Καὶ ταῦτα ἡ ἐμὴ νεότης καὶ ἄνοια παρὰ φύσιν δοκοῦσα εἶναι, ἐς τὴν Πελοποννησίων δύναμιν λόγοις τε πρέπουσιν ὡμίλησε, καὶ ὀργῇ πίστιν παρασχομένη, ἔπεισε καὶ νῦν μὴ πεφοβῆσθαι αὐτήν. Ἀλλ', ἕως ἐγώ τε ἔτι ἀκμάζω μετ' αὐτῆς, καὶ ὁ Νικίας εὐτυχὴς δοκεῖ εἶναι, ἀποχρήσασθε τῇ ἑκατέρου ἡμῶν ὠφελείᾳ· καὶ τὸν ἐς τὴν Σικελίαν πλοῦν μὴ μεταγιγνώσκετε, ὡς ἐπὶ μεγάλην δύναμιν ἐσόμενον. Ὄχλοις τε γὰρ ξυμμί-

dam esse Siculorum nimis iactatam potentiam, docens, sed

ἐν Μαντινείᾳ. Vid. 5, 64 — 73.

17. Καὶ ταῦτα ἡ ἐμὴ νεότης ὡμίλησε. Non satis aptum est verbum ὡμίλησε, cum ad ταῦτα quoque pertineat. Bauerus interpretatur: ὁμιλήσασα ἔπραξε. Haud dubie Thucydidi, cum scriberet ταῦτα, aliud verbum obversabatur; quam causam inconcinnae constructionis et alibi saepe notavimus. Vid. ad c. 15 extr. — Verba παρὰ φύσιν δοκοῦσα εἶναι non ad νεότης quoque, sed ad ἄνοια tantum referenda sunt. φύσιν intelligo de Alcibiadis ingenio et animi dotibus, a quibus per se eximiis valde discrepabat eius amentia et temeritas. — In proximis: ἐς τὴν Πελοποννησίων δύναμιν — ὡμίλησε, de legatione sua ad Argivos et Mantinenses loquitur, quibus persuaserit, ne metuerent. Recte enim Benedictus αὐτήν ad δύναμιν Πελοποννησίων refert. Pendet enim ab ἔπεισε, et πεφοβῆσθαι non passivi, sed medii infinitivus est. Neque haec interpretatio, quae a vulgari, qua αὐτήν ad νεότης καὶ ἄνοια refertur, discedit, obstat, quo minus in sequentibus μετ' αὐτῆς de iuventute inconsiderata Alcibiadis accipiatur. — Denique verba καὶ ὀργῇ πίστιν παρασχομένη varie intelligi possunt. Nam sive de Alcibiade, sive de Peloponnesiis (Argivis, Mantinensibus cet.) accipiendum putaveris ὀργῇ, diversa oriatur sententia. Posterius mihi aptius videtur, etsi interpretes inde a Scholiasta omnes prius illud sequi video. Irritati quidem et incensi ira cummaxime erant Argivi, Mantinenses, Elei al., sed Alcibiadis demum adhortatione promissisque eorum animi adeo augebantur, ut non timerent Lacedaemoniorum copias, sed et tum bellum susciperent, et ne nunc quidem metuerent, quamvis apud Mantineam victi.

μὴ μεταγιγνώσκετε. Vulgo μὴ μεταγιγνώσκητε. Vid. ad cap. 12 extr.

κτοις πολυανδροῦσιν αἱ πόλεις, καὶ ῥᾳδίας ἔχουσι τῶν πολιτειῶν τὰς μεταβολὰς καὶ ἐπιδοχάς. Καὶ οὐδεὶς δι᾽ αὐτὸ ὡς περὶ οἰκείας πατρίδος, οὔτε τὰ περὶ τὸ σῶμα ὅπλοις ἐξήρτυται, οὔτε τὰ ἐν τῇ χώρᾳ νομίμοις κατασκευαῖς· ὅτι δὲ ἕκαστος ἢ ἐκ τοῦ λέγων πείθειν οἴεται, ἢ στασιάζων ἀπὸ τοῦ κοινοῦ λαβὼν, ἄλλην γῆν, μὴ κατορθώσας, οἰκήσειν, ταῦτα ἑτοιμάζεται. Καὶ οὐκ εἰκὸς, τὸν τοιοῦτον ὅμιλον οὔτε λόγου μιᾷ γνώμῃ ἀκροᾶσθαι, οὔτε ἐς τὰ ἔργα κοινῶς τρέπεσθαι· ταχὺ δ᾽ ἂν ὡς ἕκαστοι, εἴ τι καθ᾽ ἡδονὴν λέγοιτο, προσχωροῖεν· ἄλλως τε καὶ εἰ στασιάζουσιν, ὥσπερ πυνθα-

ad ipſorum Athenienſium ſecuritatem Syracuſanos debel-

τῶν πολιτειῶν — ἐπιδοχάς. Facile mutant rei publicae ſtatum, et civitatem cum peregrinis et exſulibus communicant. Exempla ipſe Thucydides affert ſupra capp. 4. 5. — *Νομίμοις* Schol. interpretatur *ἱκαναῖς*, quo ſenſu dicatur *ῥήτωρ νόμιμος*, *ἀθλητὴς νόμιμος* pro *ἱκανός*. Eadem vis eſt latino vacabulo *iuſtus.* Neque tamen h. l. prorſus neceſſarium eſt, a communi vocis ſignificatione diſcedere. — Verba *τὰ ἐν τῇ χώρᾳ* cum Stephano Duckerus nominativum eſſe vult, quod adverſatur huius periodi conformationi, qua ſubiectum eſt *οὐδείς*, praedicatum autem *ἐξήρτυται* duobus membris amplificatur, per particulas *οὔτε — οὔτε* diviſis. Neque ego quidem cauſam video, cur *τὰ ἐν τῇ χώρᾳ* minus commode cum *ἐξήρτυται* iungantur, quam *τὰ περὶ τὸ σῶμα*, aut quid obſtet ibi articulus *τά*. Praeter grammaticam neceſſitatem etiam illud non negligendum eſt, quod omnis loci concinnitas periret, ſi quis cum Stephano mutatam ſtructurae rationem iudicet.

ὅτι δὲ ἕκαστος — ταῦτα ἑτοιμάζεται. Vulgata lectio eſt: *ὅ, τι δὲ* — e qua nullum prorſus ſenſum extrico. Nam quoquo te vertas, difficultates ſuboriuntur. In Porti verſione, ut alia omittam, infinitivus *impetraturum* primae periodi particulae additur, cuius nullum in graeco textu veſtigium eſt. Deinde *λαβὼν οἰκήσειν* per duos *futuri* infinitivos redditum eſt: „*ex aerario rapturum et, (niſi rem feliciter geſſerit) ſe ſolum eſſe verſurum*", quod grammaticae legibus adverſatur. Bauerus ſic vertit: „Quibus dicendo vel per discordias ablatis, in aliam terram ſeſe abiturum, ſperet, ea nimirum comparat." Ibi autem brevitatis cauſa verba *μὴ κατορθώσας* non expreſſa ſunt, quae valent: *ſi res non ceſſerit ex voto.* Quid ergo non ceſſit? Nimirum ex aerario auferre pecuniam publicam. Ergo qui abſtulit, idem tamen non abſtulit. Quae abſurda ſunt. — Si vera eſt Scholiaſtae interpretatio, quae certe omni Alcibiadis argumentationi maxime eſt accommodata, etiam haec verba arguunt Siculorum animum, patriae amoris prorſus expertem. Nam modo dixerat orator, Siculos ſaepiſſi-

νόμεθα. Καὶ μὴν οὐδ' ὁπλῖται οὔτ' ἐκείνοις, ὅσοι περικομποῦνται, οὔτε οἱ ἄλλοι Ἕλληνες διεφάνησαν τοσοῦτοι ὄντες, ὅσους ἕκαστοι σφᾶς αὐτοὺς ἠρίθμουν· ἀλλὰ μέγιστον δὴ αὐτοὺς ἐψευσμένη ἡ Ἑλλὰς, μόλις ἐν τῷδε τῷ πολέμῳ ἱκανῶς ὡπλίσθη. Τά τε οὖν ἐκεῖ, ἐξ ὧν ἐγὼ ἀκοῇ αἰσθάνομαι, τοιαῦτα, καὶ ἔτι εὐπορώτερα ἔσται· (βαρβάρους [τε] γὰρ πολλοὺς ἕξομεν, οἵ, Συρακουσίων μίσει, ξυνεπιθήσονται αὐτοῖς·) καὶ τὰ ἐνθάδε οὐκ ἐπικωλύσει, ἢν ὑμεῖς ὀρθῶς βουλεύησθε.

landos et ſociis Siculis opem ferendam eſſe.

me civitatem mutare, ideoque in ſua quemque urbe quaſi peregrinum eſſe. Itaque fiebat, ut nemo magnopere publica curaret, atque, bello coorto, neque ipſe ſe, neque regionem ita, ut par eſſet, inſtrueret; ſed propter facilitatem, aliam ſedem adipiſcendi, ſi ob rem publicam aut dicendo aut turbando ſpoliatam eiectus fuerit, haec modo pararet, (nempe rapinas reipublicae vel dolo vel ſeditione). Hanc loci eſſe ſententiam, pro certo habeo; eidem verba ad amuſſim reſpondent, ſi virgulam illam, quae ὅ, τι ſeparat, tollas. Ordo verborum ita eſt inſtituendus: ὅτι ἕκαστος, ἀπὸ τοῦ κοινοῦ λαβὼν, ἢ ἐκ τοῦ λέγων πείθειν, ἢ στασιάζων, οἴεται, μὴ κατορθώσας, ἄλλην γῆν οἰκήσειν, ταῦτα ἑτοιμάζεται. Ad λαβών ſubaudiendum τί, et de conatu irrito accipiendum propter verba μὴ κατορθώσας. In illis autem: ἢ ἐκ τοῦ λέγων [πείθειν, et στασιάζων, quae modum τοῦ λαβεῖν indicant, variata eſt ſtructura, more Thucydidis. Si quem offendat locus, quem verbum οἴεται occupat, adeat nos ad 1, 12.

ὅσοι περικομποῦνται. Codd. Reg. Caſſ. Aug. Dan. Moſq. et tres Pariſſ. exhibent ὅσοι περ κομποῦνται, quod non displicebat Duckero, probatum etiam Benedicto. Equidem vulgatam retineo, et alteram lectionem e ſcriptura codicis unius negligentiore ortam puto. Nam περικομεῖν et analogiam ſequitur multorum verborum, ut περιβοᾶν, περιβόητος infra cap. 31 extr.; neque Thomae Magiſtri teſtimonium huic lectioni obſtat. Nam licet, cum dicit κομπαστικῶς λέγουσι, potius κομπεῖν, quam περικομπεῖν expreſſiſſe putandus ſit: tamen corrupto iam codice uti potuit. Quod autem περικομπεῖν non valde uſitatum eſſe dicit Duckerus, id magis etiam patrocinatur lectioni vulgatae.

ὅσους ἕκαστοι σφᾶς αὐτοὺς ἠρίθμουν. Unus Reg. habet ὅσους, ceteri omnes cum editis ὅσοι. Illud tamen unice verum. Saepe caſuum permutatio in codicibus reperitur, ubi aut nominativus pluribus accuſativis, aut accuſativus pluribus nominativis interiectus eſt. Cf. 5, 80. Οἱ δ' ὁρῶντες ὀλίγοι πρὸς πλείους ὄντες τοὺς ξυμφύλακας, ubi vulgo ὄντας.

τά τε οὖν ἐκεῖ — ὀρθῶς βουλεύησθε. Hunc locum,

Οἱ γὰρ πατέρες ἡμῶν, τοὺς αὐτοὺς τούτους, οὕςπερ νῦν φασὶ πολεμίους ὑπολιπόντας ἂν ἡμᾶς πλεῖν, καὶ προςέτι τὸν Μῆδον ἐχθρὸν ἔχοντες, τὴν ἀρχὴν ἐκτήσαντο, οὐκ ἄλλῳ τινὶ, ἢ τῇ περιουσίᾳ τοῦ ναυτικοῦ, ἰσχύοντες. Καὶ νῦν οὔτε ἀνέλπιστοί πω μᾶλλον Πελοποννήσιοι ἐς ἡμᾶς ἐγένοντο, εἴ τε καὶ πάνυ ἔῤῥωνται, τὸ μὲν ἐς τὴν γῆν ἡμῶν ἐςβάλλειν, κἂν μὴ ἐκπλεύσωμεν, ἱκανοί εἰσι, τῷ δὲ ναυτικῷ οὐκ ἂν δύναιντο βλάπτειν. ὑπόλοιπον γὰρ ἡμῖν ἐστιν ἀντίπαλον ναυτικόν.

18. „Ὥςτε τί ἂν λέγοντες εἰκὸς, ἢ αὐτοὶ ἀποκνοῖμεν, ἢ πρὸς τοὺς ἐκεῖ ξυμμάχους σκηπτόμενοι, μὴ

ut vulgo legitur, valde ſtructura laborare, neminem vidiſſe ſane mirum eſt. Nam ſive priori τέ ante οὖν reddas καί ante τὰ ἐνθάδε, reſtat alterum τέ poſt βαρβάρους, quod non habet quo referatur; ſive βαρβάρους τε — καὶ τὰ ἐνθάδε iungenda putaveris, eadem difficultas remanet in priore τέ. Licet pro eo coniicias legendum eſſe γέ, vel γοῦν, tamen minus apte iunguntur verba βαρβάρους τε γὰρ — καὶ τὰ ἐνθάδε. Itaque, cum aperte opponantur τὰ ἐκεῖ et τὰ ἐνθάδε, verba βαρβάρους — ξυνεπιθήσονται αὐτοῖς in parentheſi ponenda, τέ autem expungendum eſſe cenſeo, tamquam ex repetitione ortum. Saepe enim τέ inepte additum eſt in codicibus. Vid. ad 1, 133. — Verba, quae parentheſi circumſcripſimus, illuſtrant vim verbi εὐπορώτερα, pro quo codd. Gr. Moſq. male habent ἀπορώτερα, et quod Schol. ſatis commode explicant εὐκαταμαχητότερα. Subaudiendum enim eſt ἡμῖν. — Pro ἐνθάδε ſeptem codices, in quibus Cl. Gr., praebent ἐνθένδε, quod Benedictus defendit levibus vel nullis potius argumentis. De auxilio a Spartanis poſtea Syracuſanis lato nemo tunc temporis cogitare poterat; et in ſequentibus, ubi haec explicantur, neque mentio, neque ſignificatio ulla expeditionis illius, ſed de Atticae et conditione et defenſione ſermo eſt, ſive in Siciliam proficiſcantur, ſive domi remaneant.

εἴ τε καὶ πάνυ ἔῤῥωνται. Colon poſt ἔῤῥωνται iam alii mutarunt in comma; ſed, ut εἴ τε melius cum οὔτε iungatur non audiendi ſunt iidem, poſt ἐγένοντο plene interpungentes. Bredovius hunc locum recte intellexit. Senſus eſt: Atque nunc Peloponneſii et ſpei minus de nobis ſuperandis numquam habuerunt, et ſi vel maxime eorum animi augeantur, irruptionem quidem in terram noſtram facere valent, navibus autem nocere nobis non valeant.

18. σκηπτόμενοι, Schol. προφασιζόμενοι. Reſpicit illud Niciae argumentum, quod a ſociorum Siculorum ingenio et viribus deſumptum erat. Vid. ſupra cap. 12. Καὶ ταῦτα ὑπὲρ ἡμῶν δίκαιον ἐνθάδε εἶναι ἀναλοῦν, καὶ μὴ ὑπὲρ ἀνδρῶν φυγάδων τῶνδε, ἐπικουρίας δεομένων, οἷς τό τε ψεύσασθαι καλῶς χρήσιμον, καὶ

βοηθοῖμεν; οἷς χρεὼν, ἐπειδή γε καὶ ξυνωμόσαμεν, ἐπαμύνειν, καὶ μὴ ἀντιτιθέναι, ὅτι οὐδὲ ἐκεῖνοι ἡμῖν. Οὐ γὰρ, ἵνα δεῦρο ἀντιβοηθῶσι, προςεθέμεθα αὐτοὺς, ἀλλ', ἵνα, τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν λυπηροὶ ὄντες, δεῦρο κωλύωσιν αὐτοὺς ἐπιέναι. Τήν τε ἀρχὴν οὕτως ἐκτησάμεθα καὶ ἡμεῖς, καὶ ὅσοι δὴ ἄλλοι ἦρξαν, παραγιγνόμενοι προθύμως τοῖς ἀεὶ ἢ βαρβάροις ἢ Ἕλλησιν ἐπικαλουμένοις. Ἐπεὶ, εἴ γε ἡσυχάζοιεν πάντες, ἢ φιλοκρινοῖεν, οἷς χρεὼν βοηθεῖν, βραχύ ἄν τι προςκτώμενοι αὐτῇ, περὶ αὐτῆς ἂν ταύτης μᾶλλον κινδυνεύοιμεν. Τὸν γὰρ προύχοντα οὐ μόνον ἐπιόντα τὶς ἀμύνεται, ἀλλὰ καὶ, ὅπως μὴ ἔπεισι, προκαταλαμβάνει. Καὶ οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι, ἐς ὅσον βουλόμεθα ἄρχειν· ἀλλ' ἀνάγκη, ἐπειδήπερ ἐν τῷδε καθέσταμεν, τοῖς μὲν ἐπιβουλεύειν, τοὺς δὲ μὴ ἀνιέναι, διὰ τὸ, ἀρχθῆναι ἂν ὑφ' ἑτέρων, αὐτοῖς κίνδυνον εἶναι, εἰ μὴ αὐτοὶ ἄλλων ἄρχοιμεν. Καὶ οὐκ ἐκ τοῦ αὐτοῦ ἐπισκεπτέον ἡμῖν τοῖς ἄλλοις τὸ ἥσυχον, εἰ μὴ καὶ τὰ

τῷ τοῦ πέλας κινδύνῳ, αὐτοὺς λόγους μόνον παρασχομένους, ἢ κατορθώσαντας, χάριν μὴ ἀξίαν εἰδέναι, ἢ πταίσαντάς που, τοὺς φίλους ξυναπολέσθαι. Cf. cap. 13. extr. *Καὶ τὸ λοιπὸν ξυμμάχοις μὴ ποιεῖσθαι, ὥςπερ εἰώθαμεν, οἷς κακῶς μὲν πράξασιν ἀμυνοῦμεν, ὠφελείας δ' αὐτοὶ δεηθέντες, οὐ τευξόμεθα.* — *Αὐτοί*, i. e. argumentis ab ipſorum conditione petitis.

τὸν γὰρ προύχοντα — προκαταλαμβάνει. Τὸν προύχοντα recte ad Athenienſes refert Scholiaſta. Verba *μὴ ὅπως ἔπεισι* corrupte legi puto ordine mutato pro *ὅπως μὴ ἔπεισι.* Nam *ὅπως* cum futuro indicativi (cuius loco hic eſt *ἔπεισι*) iungitur; *μή* non item, quod ſciam. Praeterea etiam *ὅπως*, poſt *μή* poſitum, inutile et ſuperfluum eſſet. Etiam Scholiaſta legiſſe videtur *ὅπως μή*.

ἐπισκεπτέον ἡμῖν τοῖς ἄλλοις. Alii praeferunt *ὑμῖν*, propter ſequens *μεταλήψεσθε.* Sed in ceteris ubique prima perſona utebatur; neque illa cauſa idonea eſt ad lectionem mutandam, quia in omnibus Alcibiades cum Athenienſibus conſilia et fortunam communicat, praeterquam ſi inſtituta et mores velint mutare. — Mox *στορέσωμεν* ſane poëticum magis eſt, quam in proſa oratione uſitatum. Sed ſublimior eſt noſter Scriptor, et dignum eſt, quod h. l. adſcribatur, Scholiaſtae iudicium: *Τῶν παρὰ Θουκυδίδῃ τροπικῶν ὀνομάτων τὸ σκληρότατον τοῦτό ἐστιν· ἀλλὰ κατὰ Ἀλκιβιάδην φησίν.* — Pro *τέ* ante *στορέσωμεν* fortaſſe legendum *γέ*, quia *τέ* non habet, quo referatur. Saepiſſime has particulas in codicibus permutari, notum eſt. Vid. ad 4, 24. Niſi forte h. l. *τέ* pertinet ad ſe-

ἐπιτηδεύματα ἐς τὸ ὅμοιον μεταλήψεσθε. Λογισάμενοι οὖν, τάδε μᾶλλον αὐξήσειν, ἐπ᾽ ἐκεῖνα ἢν ἴωμεν, ποιώμεθα τὸν πλοῦν, ἵνα Πελοποννησίων τε στορέσωμεν τὸ φρόνημα, εἰ δόξομεν, ὑπεριδόντες τὴν ἐν τῷ παρόντι ἡσυχίαν, καὶ ἐπὶ Σικελίαν πλεῦσαι. Καὶ ἅμα ἢ τῆς Ἑλλάδος, τῶν ἐκεῖ προσγενομένων, πάσης τῷ εἰκότι ἄρξομεν, ἢ κακώσομέν γε Συρακουσίους· ἐν ᾧ καὶ αὐτοὶ καὶ οἱ ξύμμαχοι ὠφελησόμεθα. Τὸ δὲ ἀσφαλὲς, καὶ μένειν, ἤν τι προσχωρῇ, καὶ ἀπελθεῖν, αἱ νῆες παρέξουσιν. αὐτοκράτορες γὰρ ἐσόμεθα καὶ ξυμπάντων Σικελιωτῶν. Καὶ μὴ ὑμᾶς ἡ Νικίου τῶν λόγων ἀπραγμοσύνη καὶ διάστασις τοῖς νέοις ἐς τοὺς πρεσβυτέρους ἀποστρέψῃ· τῷ δὲ εἰωθότι κόσμῳ, ὥσπερ καὶ οἱ πατέρες ἡμῶν, ἅμα νέοι γεραιτέροις βουλεύοντες, ἐς τάδε ἦραν αὐτὰ, καὶ νῦν τῷ αὐτῷ τρόπῳ πειρᾶσθε προα-

quens *καὶ ἅμα*, ut, puncto ante haec verba in colon mutato, aut variata esse structura putetur, dum a coniunctivo ad indicativum futuri Scriptor abierit, aut deinceps scribatur *ἄρξωμεν ἢ κακώσωμεν*.

ὑπεριδόντες τὴν ἐν τῷ παρόντι ἡσυχίαν. Vulgo post *ὑπεριδόντες* leguntur verba *καὶ οὐκ ἀγαπήσαντες*, *neque contenti*, quae expunximus, Duckero et Benedicto praeeuntibus. Sunt enim manifestum interpretamentum verbi *ὑπεριδόντες*, et a plerisque omnibus Mss. absunt.

ἤν τι προσχωρῇ. Cod. Mosq. exhibet *προχωρῇ*, quod aptius possit videri quam vulgatum *προσχωρῇ*, nihilominus tamen glossam sapit. Nam *προσχωρεῖν* dicitur saepissime de iis, qui victori se subiiciunt; v. c. 4, 66 extr. *ῥᾶον δ᾽ ἤδη ἔμελλον προσχωρήσειν, τούτου γεγενημένου*.

αὐτοκράτορες γὰρ ἐσόμεθα καὶ ξυμπάντων Σικ. Valckenaerii coniectura: *αἱ νῆες παρέξουσι ναυτοκράτορες γ.* vel potius *ναυκράτορες* (cf. ad 5, 97.) difficultatem, quae est in genitivo *ξυμπάντων Σικελιωτῶν* non elevat, sed etiam auget. Praeterea lectio *αὐτοκράτορες* Scholiastae testimonio satis firmatur. Intelligo autem hanc vocem de Atheniensium facultate huc illuc pro arbitrio appellendi, et omnium Siculorum vim et defensionem eo deducere, unde, si premerentur, facilis ipsis per naves sit recessus. Hanc veram verborum sententiam esse, docet *γάρ*, quod praecedentium verborum explicationem indicat.

τῶν λογων ἀπραγμοσύνη καὶ διάστασις τοῖς νέοις ἐς τ. π. Abstracta pro concretis adhibuit: Oratio, quae quietem commendat et dissidium inter iuniores et seniores excitat. Dativum *τοῖς νέοις* pro genitivo *τῶν νέων*, qui propter alterum genitivum *τῶν λόγων* non poterat admitti, praesertim cum tertius *Νικίου* praecessisset, structurae ratio excusat.

γαγεῖν τὴν πόλιν. καὶ νομίσατε, νεότητα μὲν καὶ γῆρας ἄνευ ἀλλήλων μηδὲν δύνασθαι· ὁμοῦ δὲ, τό τε φαῦλον, καὶ τὸ μέσον, καὶ τὸ πάνυ ἀκριβὲς ἂν ξυγκραθὲν, μάλιστ᾽ ἂν ἰσχύειν· καὶ τὴν πόλιν, ἂν μὲν ἡσυχάζῃ, τρίψεσθαί τε αὐτὴν περὶ αὐτὴν, ὥςπερ καὶ ἄλλο τι, καὶ πάντων τὴν ἐπιστήμην ἐγγηράσεσθαι· ἀγωνιζομένην δὲ, ἀεὶ προςλήψεσθαί τε τὴν ἐμπειρίαν, καὶ τὸ ἀμύνεσθαι οὐ λόγῳ, ἀλλ᾽ ἔργῳ μᾶλλον, ξύνηθες ἕξειν. Παράπαν τε γιγνώσκω, πόλιν μὴ ἀπράγμονα τάχιστ᾽ ἂν μοι δοκεῖν ἀπραγμοσύνης μεταβολῇ διαφθαρῆναι· καὶ τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν, οἳ ἂν τοῖς παροῦσιν ἤθεσι καὶ νόμοις, ἢν καὶ χείρω ᾖ, ἥκιστα διαφόρως πολιτεύωσι."

19. Τοιαῦτα μὲν ὁ Ἀλκιβιάδης εἶπεν. Οἱ δ᾽ Ἀθηναῖοι, ἀκούσαντες ἐκείνου τε καὶ τῶν Ἐγεσταίων καὶ Λεοντίνων φυγάδων, οἳ, παρελθόντες, ἐδέοντό τε, καὶ, τῶν ὁρκίων ὑπομιμνήσκοντες, ἱκέτευον βοηθῆσαι σφίσι, πολλῷ μᾶλλον, ἢ πρότερον, ὥρμηντο στρατεύειν. Καὶ ὁ Νικίας, γνοὺς, ὅτι ἀπὸ μὲν τῶν αὐτῶν λόγων οὐκ ἂν ἔτι ἀποτρέψειε, παρασκευῆς δὲ πλήθει, εἰ πολλὴν ἐπιτάξειε, τάχ᾽ ἂν μεταστήσειεν αὐτοὺς, παρελθὼν αὐτοῖς αὖθις ἔλεγε τοιάδε.

19. Qua oratione et Segeſtanorum precibus cum Athe-

καὶ τὸ πάνυ ἀκριβὲς ἂν — ἂν ἰσχύειν. De ἄν bis poſito vid. ad cap. 11. — *Τὸ φαῦλον* ex mente Alcibiadis rectius retuleris ad ſenes, quam ad iuvenes. Timidi enim ſunt et ſuſpicioſi, ideoque lenti et ignavi. *Τὸ μέσον* deſignat virilem aetatem, et *τὸ πάνυ ἀκριβὲς* ad iuventuſem pertinet, quae ſtudii et induſtriae plena eſt.

ἂν μὲν ἡσυχάζῃ. In omnibus libris hic legitur ἄν, certe nulla varietas notatur. Alibi plerumque Thucydides particulis ἤν vel ἐάν ab initio membri utitur (cf. ad 4, 46. et Poppo Obſſ. critt. p. 159).

αὐτὴν περὶ αὐτήν. Ita codices pro *περὶ ἑαυτήν*. — *ἐγγηράσεσθαι*. Bauerus commode comparat Livianum 1, 22 init. *Seneſcere civitatem otio.* — Mox cum Kiſtemak. virgula interpunximus poſt *μᾶλλον*, ſublatis commatibus ante *οὐ* et poſt *ἔργῳ*, ut verba *οὐ λόγῳ — μᾶλλον* ad *ἀμύνεσθαι* potius, quam ad *ξύνηθες ἕξειν* referrentur.

19. **παρελθὼν αὐτοῖς αὖθις ἔλεγε τοιάδε.** Vulgo

20. „ΕΠΕΙΔΗ πάντως ὁρῶ ὑμᾶς, ὦ Ἀθηναῖοι, ὡρμημένους στρατεύειν, ξυνενέγκοι μὲν ταῦτα, ὡς βουλόμεθα· ἐπὶ δὲ τῷ παρόντι ἃ γιγνώσκω, σημανῶ. Ἐπὶ γὰρ πόλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν ἰέναι μεγάλας, καὶ οὔθ' ὑπηκόους ἀλλήλων, οὔτε δεομένας μεταβολῆς, ᾗ ἂν ἐκ βιαίου τὶς δουλείας ἄσμενος ἐς ῥᾴω μετάστασιν χωροίη· οὐδ' ἂν τὴν ἀρχὴν τὴν ἡμετέραν εἰκότως ἀντ' ἐλευθερίας προσδεξομένας· τό, τε πλῆθος, ὡς ἐν μιᾷ νήσῳ, πολλὰς τὰς Ἑλληνίδας. Πλὴν γὰρ Νάξου καὶ Κατάνης, ἃς ἐλπίζω ἡμῖν κατὰ τὸ Λεοντίνων ξυγγενὲς προσέσεσθαι, ἄλλαι εἰσὶν ἑπτὰ, καὶ παρεσκευασμέναι τοῖς πᾶσιν ὁμοιοτρόπως μάλιστα τῇ ἡμετέρᾳ δυνάμει, καὶ οὐχ ἥκιστα, ἐπὶ ἃς μᾶλλον πλέομεν, Σελινοῦς καὶ Συράκουσαι. Πολλοὶ μὲν γὰρ ὁπλῖται ἔνεισι, καὶ τοξόται, καὶ ἀκοντισταὶ, πολλαὶ δὲ τριήρεις, καὶ ὄχλος ὁ πληρώσων αὐτάς. Χρήματά τ' ἔχουσι, τὰ μὲν ἴδια, τὰ δὲ καὶ ἐν τοῖς ἱεροῖς ἐστι Σελινουντίοις· Συρακουσίοις δὲ καὶ ἀπὸ βαρβάρων τινῶν ἀπ' ἀρχῆς φέρεται. Ὧι δὲ μάλιστα ἡμῶν

nienſes maiore etiam pugnandi ardore impleri intellexiſſet Nicias, ſperans, fore, ut apparatus magnitudine verbis amplificanda ab incepto detinerentur, iterum verba fecit, 20 — 25. et opibus Syracuſiorum et Selinuntiorum per-

αὖθις, quod in quatuordecim codd., quibus accedit Vallae verſio, legitur, omiſſum eſt. In Cam. eſt αὖθις ſine αὐτοῖς. Sed tantae codicum auctoritati refragari non licet, et veriſimilius eſt, vocem αὖθις ob ſimilem ſonum excidiſſe, quam vel illam, vel αὐτοῖς interpretationis cauſa additum eſſe. Itaque recepimus cum Benedicto, non abnuente Duckero. Ne αὐτοῖς, quia ſic ab ἔλεγε, neu αὖθις, quia a παρελθὼν disiunctum videtur, obſtare huic emendationi exiſtimes. Nam infra cap. 72. etiam παρελθὼν αὐτοῖς iunguntur. Item cap. 35. Et cap. 32. comma ante αὐτοῖς tollendum eſt.

20. *ἄλλαι εἰσὶν ἑπτά.* Syracuſae, Selinus, Gela, Agrigentum, Meſſene, Himera, Camarina.

Συρακουσίοις δὲ καὶ ἀπὸ βαρβάρων τινῶν ἀπ' ἀρχῆς φέρεται. Ita plerique codices pro vulgato *ἀπαρχὴ εἰσφέρεται,* quod iam Duckero diſplicebat et propter vim verbi *εἰσφέρειν*, quod de civibus potius quam de ſociis tributa ſolventibus dicitur, et propter ipſum *ἀπαρχή*, *primitiae*, quibus hic lo-

προέχουσιν, ἵππους τε πολλοὺς κέκτηνται, καὶ σίτῳ οἰκείῳ καὶ οὐκ ἐπακτῷ χρῶνται.

21. „Πρὸς οὖν τοιαύτην δύναμιν, οὐ ναυτικῆς καὶ φαύλου στρατιᾶς μόνον δεῖ, ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν, εἴπερ βουλόμεθα ἄξιόν τι τῆς διανοίας δρᾶν, καὶ μὴ ὑπὸ ἱππέων πολλῶν εἴργεσθαι τῆς γῆς· ἄλλως τε καὶ εἰ ξυστῶσιν αἱ πόλεις φοβηθεῖσαι, καὶ μὴ ἀντιπαράσχωσιν ἡμῖν φίλοι τινὲς γενόμενοι ἄλλοι, ἢ Ἐγεσταῖοι, ᾧ ἀμυνούμεθα, ἱππικόν. Αἰσχρὸν δὲ, βιασθέντας ἀπελθεῖν, ἢ ὕστερον ἐπιμεταπέμπεσθαι, τὸ πρῶτον ἀσκέπτως βουλευσαμένους· αὐτόθεν δὲ παρασκευῇ ἀξιόχρεῳ ἐπιέναι, γνόντας, ὅτι πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν μέλλομεν πλεῖν, καὶ οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι καὶ [οὐκ] ἐν τοῖς τῇδε ὑπηκόοις ξύμμαχοι ἤλθετε ἐπί τινα, ὅθεν ῥᾴδιαι αἱ κομιδαὶ ἐκ

magnis demonſtratis, non exaequandum ſolum illis Athe-

cus non videbatur eſſe. In Caſſ. eſt ἀπαρχῇ, ſolemni errore, pro ἀπ' ἀρχῆς. *Marg.* habet ἀπ' ἀρχῆς εἰςφέρεται. Duo tantum Pariſſ. ἀπαρχὴ exhibent. Benedictus quoque cum Duckero facit, ſed verba ἀπ' ἀρχῆς explicat *ex imperio*, quae ratio mihi non probatur. Quid enim eſt: Syracuſiis a barbaris quibusdam ſolvitur pecunia (nam χρήματα ex ſuperioribus ad verbum φέρεται ſubaudiendum) ex imperio? Utrum ſimulac imperatur? At hoc non poſſunt ſignificare verba ἀπ' ἀρχῆς. An, quia ipſorum ditioni ſubiecti erant barbari? Moleſta vero ratio dicendi tantulo intervallo ἀπὸ βαρβάρων ἀπ' ἀρχῆς, ut potius alterum ad alterius interpretationem appoſitum ſuſpiceris, cum in promptu eſſet ponere δι' ἀρχήν. Equidem ἀπ' ἀρχῆς, praeeunte quodammodo Bauero, qui fluctuat, ut ſemper, intelligo *primitus*, inde a conditis Syracuſis, ut magnitudo opum per tantum temporis congeſtarum indicetur.

21. εἴπερ βουλόμεθα ἄξιόν τι τῆς διανοίας δρᾶν. Mſſ. plerique omnes omittunt τί, quos ſequitur Benedictus vel invitus. Vulgatum videtur tenendum, quia τί facile excidere potuit propter ſequentem voculam τῆς, quae eodem fere ſono pronunciabatur.

αἰσχρὸν δὲ — βουλευσαμένους. Haec verba Bauerus in parentheſi poſuit, falſa ductus ratione verborum αὐτόθεν δὲ παρασκευῇ ἀξιόχρεῳ ἐπιέναι referendorum ad ſuperiora illa: καὶ μὴ εἴργεσθαι, unde ea pendere vel accuſativus participii γνόντας vetet. Pendent enim haec verba ab αἰσχρόν, unde propter δὲ poſt αὐτόθεν contraria notio intelligenda, veluti χρεών, χρή, δεῖ, εἰκός.

καὶ [οὐκ] ἐν τοῖς τῇδε ὑπηκόοις ξύμμαχοι ἤλθε-

τῆς φιλίας, ὧν προςέδει, ἀλλ' ἐς ἀλλοτρίαν πᾶσαν ἀπαρτήσοντες, ἐξ ἧς μηνῶν οὐδὲ τεσσάρων τῶν χειμερινῶν ἄγγελον ῥᾴδιον ἐλθεῖν.

22. „Ὁπλίτας τε οὖν πολλούς μοι δοκεῖ χρῆναι ἡμᾶς ἄγειν, καὶ ἡμῶν αὐτῶν καὶ τῶν ξυμμάχων, τῶν τε ὑπηκόων, καὶ ἤν τινα ἐκ Πελοποννήσου δυνώμεθα ἢ πεῖσαι, ἢ μισθῷ προςαγαγέσθαι· καὶ τοξότας πολλοὺς καὶ σφενδονήτας, ὅπως πρὸς τὸ ἐκείνων ἱππικὸν ἀντέχωσι· ναυσί τε καὶ πολὺ περιεῖναι, ἵνα καὶ τὰ ἐπιτήδεια ῥᾷον ἐςκομιζώμεθα· τὸν δὲ καὶ αὐτόθεν σῖτον ἐν ὁλκάσι, πυροὺς καὶ πεφρυγμένας κριθὰς, ἄγειν, καὶ σιτοποιοὺς ἐκ τῶν μυλώνων πρὸς μέρος ἠναγκα-

nienſium exercitum, ſed etiam ampliorem rebusque neceſſa-

τε ἐπὶ τινα. Mendum huic loco ineſſe puto, quia membra non bene cohaerent. Niciae conſilium eſt, Athenienſes ab expeditione in Siciliam facienda ita deterrere, ut maximo apparatu et copiis opus eſſe demonſtret. Atque has copias repraeſentandas eſſe docet, tum propter Siciliae ab Attica longinquitatem, tum propter commeatus et frumenti parandi difficultatem, quae in Graecia (τῇδε) bellum pro ſociis quibusdam gerentibus nulla vel exigua fuerit. Nihil ad hanc demonſtrationem conferunt verba: καὶ οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι; ſi per ſe accipiantur, et nimis obſcura ſunt, cum neſcias quo referas illud ὅμοιον. Cf. Bauerus. Poſſis quidem ſubaudire τοῖς Σικελιώταις, ſed nihil in praecedentibus narratur, quo vinci Athenienſes a Siculis dicantur, ſi velint idoneam rei ſuscipiendae vim intendere. Deinde iam Duckerus monuit, praeterita ἤλθετε — προςέδει male congruere vulgatae lectioni. Haec omnia nobis naſcuntur ex parvulo vocabulo, quod a librariis aut imperitis aut oſcitantibus facile potuit repeti, cum paullo ante poſt idem vocabulum legeretur. Nimirum ſi expungas οὐκ, quod nos uncis incluſimus, optime omnia procedunt. Καὶ refertur ad ἐν τῷ ὁμοίῳ, ut ſupra cap. 11. Ἀνόητον δ', ἐπὶ τοιούτους ἰέναι, ὧν κρατήσας τε μὴ κατασχήσει τὶς, καὶ μὴ κατορθώσας, μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται. Rem conficit Scholiaſtae loci interpretatio, quae haec eſt: Οὐχ ὁμοίως ἐμέλλετε στρατεύεσθαι ἐπὶ Σικελίαν, ἥπερ ἐνταῦθα ὑπηκόοις συμμαχοῦντες στρατεύεσθε ἐπί τινας, οὐ πολὺ ἀπέχοντας, ὥστε ῥᾳδίαν εἶναι τὴν τῶν ἀναγκαίων παρακομιδὴν ἐκ τῆς οἰκείας γῆς. — Paullo poſt ἀπαρτήσαντες, (cuius loco e Codd. ſcripſimus ἀπαρτήσοντες, *in externam terram digreſſuri*, defendit Hermannus ad Viger. p. 774., huic aoriſto futuri exacti ſignificationem ineſſe monens. Idem ſupra στρατευσάμενοι, quod iidem, qui mox ἀπαρτήσοντες, praebent Reg. Gr. Caſſ. Aug., praefert.

22. καὶ σιτοποιοὺς — ἐμ-

σμένους ἐμμίσθους, ἵνα, ἤν που ὑπὸ ἀπλοίας ἀπολαμβανώμεθα, ἔχῃ ἡ στρατιὰ τὰ ἐπιτήδεια· πολλὴ γὰρ οὖσα, οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι· τά τε ἄλλα, ὅσον δυνατὸν, ἑτοιμάσασθαι, καὶ μὴ ἐπὶ ἑτέροις γίγνεσθαι· μάλιστα δὲ χρήματα αὐτόθεν ὡς πλεῖστα ἔχειν. Τὰ δὲ παρ' Ἐγεσταίων, ἃ λέγεται ἐκεῖ ἕτοιμα, νομίσατε καὶ λόγῳ ἂν μάλιστα ἕτοιμα εἶναι.

23. „Ἢν γὰρ αὐτοὶ ἔλθωμεν ἐνθένδε μὴ ἀντίπαλον μόνον παρασκευασάμενοι, πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν, τὸ ὁπλιτικὸν, ἀλλὰ καὶ ὑπερβάλλοντες τοῖς πᾶσι, μόλις οὕτως οἷοί τε ἐσόμεθα τῶν μὲν κρατεῖν, τὰ δὲ καὶ διασῶσαι. Πόλιν τε νομίσαι χρὴ ἐν ἀλλοφύλοις καὶ πολεμίοις οἰκιοῦντας ἰέναι, οὓς πρέπει

riis omnibus maxime inſtructum emittendum eſſe edocuit.

μισθους. Infra c. 44 init. eodem modo τοὺς σιτοποιούς. At 3, 78. γυναῖκες σιτοποιοί. Verba ἠναγκασμένους ἐμμίσθους abſurda videntur Bauero, quia nemo *mercede cogatur;* hanc enim volentes capere. Equidem hic nihil difficultatis video; quandoquidem non omnes oblata mercedis conditione libenter et ſponte uti, conſentaneum eſt. Hi igitur, ut numerus piſtorum tanto exercitui neceſſarius conficeretur, cogendi erant. Itaque πρὸς μέρος intelligo *partim, ex parte,* referens ad *piſtores coactos,* non ad militum et claſſiariorum numerum, quaſi eſſet „*pro numero ac multitudine hominum, qui navibus imponuntur;* quamquam haec Duckeri ratio etiam Bredovio probabatur. Meam interpretationem etiam locus verborum πρὸς μέρος ante ἠναγκασμένους commendat.

23. πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν, τὸ ὁπλιτικόν. Poſt αὐτῶν comma poſui, ut τὸ ὁπλιτικὸν pendeat a παρασκευασάμενοι, quod non vetat medium. Haec enim non raro vis eſt mediorum. Cf. c. 36 extr. τὸν πόλεμον καταλελυμένους. Diod. Sic. 13, 2. ἅπαντα τὰ ἐς τὴν στρατείαν παρεσκευάζοντο. Thuc. 6, 34 init. Θαρσοῦντες οὖν τά τε αὐτοῦ παρασκευαζώμεθα. Oppoſita ſunt ἀντίπαλον παρασκευάζεσθαι et ὑπερβάλλειν, τὸ ὁπλιτικόν et τὰ πάντα. Et ἀντίπαλον melius pro adiectivo quam pro adverbio ſumitur. Verba πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν reſtringunt Niciae poſtulationem, augent vero timorem, vel certe periculum eorum gravius deſignant, quibus numero quidem pares Siculis milites conſcribi poſſint, fortitudine non item.

τῶν μὲν κρατεῖν, i. e. Sicilia potiri. τὰ δὲ καὶ διασῶσαι, ad ipſam Atticam et Athenienſium imperium pertinet.

πόλιν τε νομίσαι χρὴ — οἰκιοῦντας ἰέναι. Vulgo οἰκειοῦντας, quod vertunt *ſibi vindicare.* Sed h. l. de colonia in terram hoſtilem deducen-

τῇ πρώτῃ ἡμέρᾳ, ᾗ ἂν κατάσχωσιν, εὐθὺς κρατεῖν τῆς γῆς· ἢ εἰδέναι, ὅτι, ἢν σφάλωνται, πάντα πολέμια ἕξουσιν. Ὅπερ ἐγὼ φοβούμενος, καὶ εἰδὼς, πολλὰ μὲν ἡμᾶς δέον εὖ βουλεύσασθαι, ἔτι δὲ πλείω εὐτυχῆσαι, (χαλεπὸν δὲ, ἀνθρώπους ὄντας,) ὅτι ἐλάχιστα τῇ τύχῃ παραδοὺς ἐμαυτὸν βούλομαι ἐκπλεῖν, παρασκευῇ δὲ ἀπὸ τῶν εἰκότων ἀσφαλὴς ἐκπλεῦσαι. Ταῦτα γὰρ τῇ τε ξυμπάσῃ πόλει βεβαιότατα ἡγοῦμαι, καὶ ἡμῖν τοῖς στρατευσομένοις σωτήρια. Εἰ δέ τῳ ἄλλως δοκεῖ, παρίημι αὐτῷ τὴν ἀρχήν.“

24. Ὁ μὲν Νικίας τοσαῦτα εἶπε, νομίζων, τοὺς Ἀθηναίους τῷ πλήθει τῶν πραγμάτων ἢ ἀποτρέψειν, ἤ, εἰ ἀναγκάζοιτο στρατεύεσθαι, μάλιστα οὕτως ἀσφαλῶς ἐκπλεῦσαι. Οἱ δὲ τὸ μὲν ἐπιθυμοῦν τοῦ πλοῦ οὐκ ἐξῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς, πολὺ δὲ μᾶλλον ὥρμηντο. Καὶ τοὐναντίον περιέστη αὐτῷ· εὖ τε γὰρ παραινέσαι ἔδοξε, καὶ ἀσφάλεια νῦν δὴ καὶ πολλὴ ἔσεσθαι. Καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι· τοῖς μὲν γὰρ πρεσβυτέροις, ὡς ἢ καταστρε-

24. Sed ne haec quidem oratio populi ardorem exſtinxit; et cum bene monuiſſe videretur, etiam magis de eventu

da ſermo eſt, quod ſignificat οἰκίζω, non οἰκειόω. Participia οἰκιοῦντας et οἰκειοῦντας ſaepe mutantur, ut 1, 100., ubi idem vitium Poppo iam ſuſtulerat. Neque hic deeſt codd. Ar. C. Aug. Vallae auctoritas.

εὖ βουλεύσασθαι. Codd. Reg. Caſſ. Aug. omittunt εὖ. Quod mirum ſane, praeſertim cum etiam ſupra cap. 14. κακῶς ante βουλευσαμένης, iubentibus codicibus, expungendum eſſet. Sed et alibi Thucydides dicit εὖ βουλεύεσθαι, v. c. 1, 71 extr. 4, 87 extr. cf. 6, 39. et h. l. defenditur etiam oppoſito verbo εὐτυχῆσαι. — Δέον poſt εἰδὼς eſt pro infinitivo δεῖν.

24. τοῖς μὲν γὰρ πρεσβυτέροις. Cum verbum non ſequatur, propter γάρ ex ſuperioribus repetendum eſt ἔρως ἐνέπεσε. — Mox σφαλεῖσαν pro σφαλῆναι pendet a verbo vel participio, quod ſubaudiendum eſt, v. c. δόξασιν. — Denique nominativus εὐέλπιδες ὄντες, cum dativus praeceſſerit, ex eo genere anacoluthorum eſt, quae frequentiſſime Thucydides admiſit, maxime in participiis. Vid. ad 3, 36. cf. Poppo Obſſ. critt. p. 234 ſqq. Pergit deinceps cum nominativis: ὁ δὲ πολὺς ὅμιλος καὶ στρατιώτης dicens; quae ad verba repetendum eſt: εὐέλπιδες ὄντες. — ὅθεν — ὑπάρξειν

γομένοις, ἐφ' ἃ ἔπλεον, ἢ οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν· τοῖς δ' ἐν τῇ ἡλικίᾳ, τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας, καὶ εὐέλπιδες ὄντες σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος, καὶ στρατιώτης, ἔν τε τῷ παρόντι ἀργύριον οἴσειν, καὶ προςκτήσασθαι δύναμιν, ὅθεν ἀΐδιον μισθοφορὰν ὑπάρξειν. ὥςτε, διὰ τὴν ἄγαν τῶν πλειόνων ἐπιθυμίαν, εἴ τῳ ἄρα καὶ μὴ ἤρεσκε, δεδιὼς, μὴ, ἀντιχειροτονῶν, κακόνους δόξειεν εἶναι τῇ πόλει, ἡσυχίαν ἦγε.

25. Καὶ τέλος παρελθών τις τῶν Ἀθηναίων καὶ παρακαλέσας τὸν Νικίαν, οὐκ ἔφη χρῆναι προφασίζεσθαι, οὐδὲ διαμέλλειν, ἀλλ' ἐναντίον ἁπάντων ἤδη λέγειν, ἥντινα αὐτῷ παρασκευὴν Ἀθηναῖοι ψηφίσονται. Ὁ δὲ, ἄκων μὲν, εἶπεν, ὅτι καὶ μετὰ τῶν ξυναρχόντων καθ' ἡσυχίαν μᾶλλον βουλεύσοιτο· ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ, τριήρεσι μὲν οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι· (αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι ὁπλιταγωγοὺς ὅσαι ἂν δοκῶσι, καὶ ἄλλας ἐκ τῶν ξυμμάχων μεταπεμπτέας εἶναι·) ὁπλίταις δὲ τοῖς ξύμπασιν Ἀθηναίων καὶ τῶν ξυμμάχων, πεντακιςχιλίων μὲν οὐκ

rei, quam certe periculo vacare opinabantur, bonas ſpes conceperunt. 25. Tandem a quodam compellatus Nicias, ut aperte enuntiaret, quantum exercitum educere vellet, rem ad deliberationem cum ceteris praetoribus distulit, illud unum in praeſentia declaravit, navibus longis centum ad minimum opus eſſe, militum gravis armaturae

vid. ad 2, 102. cf. etiam cap. 25. ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ, in oratione obliqua.

25. ἄκων μέν. Scholiaſtes: Περιττὸς ὁ μὲν σύνδεσμος. κεῖται δὲ ὁ μὲν ἀντὶ τοῦ δέ. Bauerus errat, hoc ſcholion ſi ad μέντοι pertinere putat. Μέν h. l. eſt noſtrum *freilich*; ſed μέντοι non ad illud μέν refertur, ſed ad futurum in βουλεύσοιτο, cui opponitur ἤδη. — Paullo ante pro ψηφίσωνται e praeſtantiſſimis libris Reg. Caſſ. Aug. Moſq., ita poſtulante linguae uſu, (cf. Krit. Beitrag z. fünften Buche d. Thucyd. p. 8 ſeq.) reſcripſi ψηφίσονται.

ὁπλίταις δὲ τοῖς ξύμπασιν. Redit ad priorem ſtructuram, verbis αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι — μεταπεμπτέας εἶναι interruptam. Quare haec verba parentheſeos ſignis circumſcribenda ſunt.

ἐλάσσοσιν, ἤν δέ τι δύνωνται, καὶ πλείοσι. Τὴν δὲ ἄλλην παρασκευὴν ὡς κατὰ λόγον, καὶ τοξοτῶν τῶν αὐτόθεν καὶ ἐκ Κρήτης, καὶ σφενδονητῶν, καὶ ἤν τι ἄλλο πρέπον δοκῇ εἶναι, ἑτοιμασάμενοι ἄξειν.

26. Ἀκούσαντες δ' οἱ Ἀθηναῖοι, ἐψηφίσαντο εὐθὺς, αὐτοκράτορας εἶναι καὶ περὶ στρατιᾶς πλήθους καὶ περὶ τοῦ παντὸς πλοῦ τοὺς στρατηγοὺς πράσσειν, ᾗ ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι Ἀθηναίοις. Καὶ μετὰ ταῦτα ἡ παρασκευὴ ἐγίγνετο· καὶ ἔς τε τοὺς ξυμμάχους ἔπεμπον, καὶ αὐτόθεν καταλόγους ἐποιοῦντο. Ἄρτι δ' ἀνειλήφει ἡ πόλις ἑαυτὴν ἀπὸ τῆς νόσου καὶ τοῦ ξυνεχοῦς πολέμου, ἔς τε ἡλικίας πλῆθος ἐπιγεγενημένης, καὶ ἐς χρημάτων ἄθροισιν, διὰ τὴν ἐκεχειρίαν· ὥστε ῥᾷον πάντα ἐπορίζετο. Καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν.

27. Ἐν δὲ τούτῳ, ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ Ἀθηναίων, (εἰσὶ δὲ, κατὰ τὸ ἐπιχώριον, [ἡ τετράγωνος ἐργασία,] πολλοὶ καὶ ἐν ἰδίοις προθύροις, καὶ ἐν ἱεροῖς) μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν

quinque millibus, vel pluribus etiam, ſi copia eſſet; praeterea ſagittariorum et funditorum catervis. 26. Continuo plebis ſcito praetoribus poteſtas datur de exercitus magnitudine et de tota expeditione libere conſtituendi, quicquid ipſis optimum videatur. 27. Dum illi in

τὴν δὲ ἄλλην παρασκευὴν — ἑτοιμασάμενοι ἄξειν. Pendet infinitivus ab εἶπεν; item participii nominativus ἑτοιμασάμενοι, quia Nicias tam de ſe, quam de ceteris claſſis ducibus loquitur. Itaque ante τὴν plene interpungendum.

26. αὐτοκράτορας εἶναι. Interpunctionem minimam, quae erat poſt εἶναι, ſuſtuli. — αὐτόθεν, ἐξ Ἀθηνῶν. —

27. ἡ τετράγωνος ἐργασία. Cui ulla eſt Thucydidis ingenii et dicendi rationis cognitio, ſtudio et uſu huius Scriptoris parta, haec verba ab eo ſcripta eſſe negabit, licet omnes codices ea tueantur. Tam enim moleſta ſunt, tamque inepte interiiciuntur, ut de origine eorum vix dubites. Nimirum ab enarratore profecta ſunt, qui primum in margine ea adſcribebat, unde poſtea in textum irrepſerunt. Etiam Bauerus et Bredovius, qui non unice a Mſſ. pendent, ſpuria verba putant, et maxime articulum ſuſpicionem movere monent.

ἐν ἰδίοις προθύροις. Ergo non in plateis, ſed in veſtibulis aedium et templorum. Ce-

τὰ πρόςωπα. Καὶ τοὺς δράσαντας ᾔδει οὐδείς· ἀλλὰ μεγάλοις μηνύτροις δημοσίᾳ οὗτοί τε ἐζητοῦντο, καὶ προςέτι ἐψηφίσαντο, καὶ εἴ τις ἄλλο τι οἶδεν ἀσέβημα γεγενημένον, μηνύειν ἀδεῶς τὸν βουλόμενον καὶ ἀστῶν καὶ ξένων καὶ δούλων. Καὶ τὸ πρᾶγμα μειζόνως ἐλάμβανον. τοῦ τε γὰρ ἔκπλου οἰωνὸς ἐδόκει εἶναι, καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων πραγμάτων καὶ δήμου καταλύσεως γεγενῆσθαι.

28. Μηνύεται οὖν ἀπὸ μετοίκων τέ τινων καὶ ἀκολούθων, περὶ μὲν τῶν Ἑρμῶν οὐδέν, ἄλλων δὲ ἀγαλμάτων περικοπαί τινες πρότερον ὑπὸ νεωτέρων μετὰ παιδιᾶς καὶ οἴνου γεγενημέναι, καὶ τὰ μυστήρια ἅμα ὡς ποιεῖται ἐν οἰκίαις ἐφ᾽ ὕβρει. Ὧν καὶ τὸν Ἀλκιβιάδην ἐπῃτιῶντο· καὶ αὐτὰ ὑπολαμβάνοντες οἱ μάλιστα τῷ Ἀλκιβιάδῃ ἀχθόμενοι, ἐμποδὼν ὄντι σφίσι, μὴ αὐτοῖς τοῦ δήμου βεβαίως προεστάναι, καὶ νομίσαντες, εἰ αὐτὸν ἐξελάσειαν, πρῶτοι ἂν εἶναι, ἐμεγάλυνον, καὶ ἐβόων, ὡς ἐπὶ δήμου καταλύσει τά τε μυστικὰ καὶ ἡ τῶν Ἑρμῶν περικοπὴ γένοιτο· καὶ οὐδὲν εἴη αὐτῶν, ὅ, τι οὐ μετ᾽ ἐκείνου ἐπράχθη· ἐπιλέγοντες

delectu habendo et nautico apparatu conficiendo adhuc occupati erant, Athenis una eademque nocte Mercurii ſimulacra lapidea vultu mutilantur. Quae res cum magnopere animos moveret, maximis praemiis propoſitis auctores illius facti aliorumque piaculorum inveſtigati ſunt. 28. Itaque de Mercurii quidem ſimulacris nihil defertur, ſed myſteriorum deluſorum inſimulatur Alcibiades, qui, cum eo nomine ab inimicis vehementer vexatus eſſet,

terum formam quadratam antiquitus ante Daedalum omnes ſtatuae habebant. Vid. quos Duck. laudat ad h. l.

καὶ προςέτι ἐψηφίσαντο, int. *Ἀθηναῖοι*, mutata ſtructura, ut ſaepe.

28. *καὶ τὰ μυστήρια ἅμα ὡς ποιεῖται*. Ita pro vulgato *ποιῆται* e codd. Reg. Caſſ. Aug. Moſq. Dan. legendum eſſe, iam Bauerus monuit. — *ἀκόλουθοι*, ſervi pedisſequi. Addit nonnulla, quae Thucydides non habet, Diodor. 13, 2.

ἐμποδὼν ὄντι σφίσι μὴ αὐτοῖς τοῦ δήμου —. Sic mutato verborum ordine pro *σφίσιν αὐτοῖς μὴ τοῦ δήμου* — codices plurimi iubent legi.

τεκμήρια τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα οὐ δημοτικὴν παρανομίαν.

29. Ὁ δ᾽ ἔν τε τῷ παρόντι πρὸς τὰ μηνύματα ἀπελογεῖτο, καὶ ἑτοῖμος ἦν, πρὶν ἐκπλεῖν, κρίνεσθαι, εἴ τι τούτων εἰργασμένος ἦν· (ἤδη γὰρ καὶ τὰ τῆς παρασκευῆς ἐπεπόριστο·) καὶ, εἰ μὲν τούτων τὶ εἴργαστο, δίκην δοῦναι· εἰ δ᾽ ἀπολυθείη, ἄρχειν. Καὶ ἐπεμαρτύρετο, μὴ ἀπόντος περὶ αὐτοῦ διαβολὰς ἀποδέχεσθαι, ἀλλ᾽ ἤδη ἀποκτείνειν, εἰ ἀδικεῖ· καὶ ὅτι σωφρονέστερον εἴη, μὴ μετὰ τοιαύτης αἰτίας, πρὶν διαγνῶσι, πέμπειν αὐτὸν ἐπὶ τοσούτῳ στρατεύματι. Οἱ δ᾽ ἐχθροὶ, δεδιότες, τό, τε στράτευμα μὴ εὔνουν ἔχῃ, ἢν ἤδη ἀγωνίζηται, ὅ, τε δῆμος μὴ μαλακίζηται, θεραπεύων, ὅτι δι᾽ ἐκεῖνον οἵ τ᾽ Ἀργεῖοι ξυνεστράτευον καὶ τῶν Μαντινέων τινὲς, ἀπέτρεπον καὶ ἀπέσπευδον, ἄλλους ῥήτορας ἐνιέντες, οἳ ἔλεγον, νῦν μὲν πλεῖν αὐτὸν, καὶ μὴ κατασχεῖν τὴν ἀναγωγὴν, ἐλθόντα δὲ, κρίνεσθαι ἐν ἡμέραις ῥηταῖς· βουλόμενοι ἐκ μείζονος διαβολῆς, ἣν ἔμελλον ῥᾷον αὐτοῦ ἀπόντος ποριεῖν, μετάπεμπτον κομισθέντα αὐτὸν ἀγωνίσασθαι. Καὶ ἔδοξε, πλεῖν τὸν Ἀλκιβιάδην.

30. Μετὰ δὲ ταῦτα, θέρους μεσοῦντος ἤδη, ἡ ἀναγωγὴ ἐγίγνετο ἐς τὴν Σικελίαν. Τῶν μὲν οὖν ξυμμάχων τοῖς πλείστοις, καὶ ταῖς σιταγωγοῖς ὁλκάσι, καὶ τοῖς πλοίοις, καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο, πρότερον εἴρητο ἐς Κέρκυραν ξυλλέγεσθαι, ὡς ἐκεῖθεν ἀθρόοις ἐπὶ ἄκραν Ἰαπυγίαν τὸν Ἰόνιον διαβαλοῦσιν. αὐτοὶ δ᾽ Ἀθηναῖοι, καὶ εἴ τινες τῶν ξυμμάχων παρῆ-

29. fruſtra a populo petiit, ut antequam proficiſceretur, de ea re quaeſtio inſtitueretur. 30. Praemiſſis ſociorum plurimis Corcyram, dicta die Athenienſes in Piraeeum deſcendunt, civibus et hoſpitibus quam plurimis

29. ἀπέσπευδον, contra nitebantur.

30. ἐπὶ ἄκραν Ἰαπυγίαν. Articulum τὴν ante ἄκραν codicum auctoritate expunximus. cf. Duck.

σαν, ἐς τὸν Πειραιᾶ καταβάντες ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ, ἐπλήρουν τὰς ναῦς, ὡς ἀναξόμενοι. Ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας, ὡς εἰπεῖν, ὁ ἐν τῇ πόλει, καὶ ἀστῶν καὶ ξένων· οἱ μὲν ἐπιχώριοι, τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες, οἱ μὲν, ἑταίρους, οἱ δὲ, ξυγγενεῖς, οἱ δὲ, υἱεῖς· καὶ μετ' ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν, τὰ μὲν ὡς κτήσοιντο, τοὺς δ' εἴ ποτε ὄψοιντο· ἐνθυμούμενοι, ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο.

31. Καὶ ἐν τῷ παρόντι καιρῷ, ὡς ἤδη ἔμελλον μετὰ κινδύνων ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄει τὰ δεινὰ, ἢ ὅτε ἐψηφίζοντο πλεῖν. ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ, διὰ τὸ πλῆθος ἑκάστων, ὧν ἑώρων, τῇ ὄψει ἀνεθάρσουν. Οἱ δὲ ξένοι καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἧκεν, ὡς ἐπὶ ἀξιόχρεων καὶ ἄπιστον διάνοιαν. Παρασκευὴ γὰρ αὕτη πρώτη ἐκπλεύσασα μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ, πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη τῶν ἐς ἐκεῖνον τὸν χρόνον ἐγένετο· ἀριθμῷ δὲ νεῶν καὶ ὁπλιτῶν, καὶ ἡ ἐς Ἐπίδαυρον μετὰ Περικλέους, καὶ ἡ αὐτὴ ἐς Ποτίδαιαν μετὰ Ἅγνωνος, οὐκ ἐλάσσων ἦν. Τετράκις γὰρ χίλιοι ὁπλῖται αὐτῶν Ἀθηναίων, καὶ τριακόσιοι ἱππεῖς, καὶ τριήρεις ἑκατὸν, καὶ

prosequentibus, 31. partim fiducia plenis, partim

ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ. Rectius Kiftem. haec verba iungit cum participio *καταβάντες*, quam cum *ἐπλήρουν*, quae vulgaris eſt diſtinctio. Itaque comma poſt *καταβάντες* migrare iuſſi poſt *ἕῳ*. — Paullo ante pro *εἴ τινες* duo Pariſſ. praebent *οἵ τινες*, e correctione.

οἱ μὲν ἐπιχώριοι. Huic *μὲν* reſpondet *δέ*, quod proximo capite legitur in verbis: *οἱ δὲ ξένοι καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἧκεν.* Similis locus eſt cap. 31 med. *τὸ μὲν ναυτικόν — τὸ δὲ πεζόν.*

31. *μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ.* Si vera eſt haec lectio *Ἑλληνικῇ*, accipiendum de exercitu mere Graeco, non barbaris mixto. Sed ſuſpicor legendum eſſe *Ἑλληνικῆς*, *unius Graecae civitatis opibus* inſtructa claſſis. De permutatione τοῦ ι ſubſcripti et ς finalis alibi ſaepe monuimus.

ἡ ἐς Ἐπίδαυρον. Vid. 2, 56. coll. cap. 58.

Λεσβίων καὶ Χίων πεντήκοντα, καὶ ξύμμαχοι ἔτι πολλοὶ, ξυνέπλευσαν. Ἀλλὰ ἐπί τε βραχεῖ πλῷ ὡρμήθησαν, καὶ παρασκευῇ φαύλῃ. Οὗτος δὲ ὁ στόλος, ὡς χρόνιός τε ἐσόμενος, καὶ κατ᾽ ἀμφότερα, οὗ ἂν δέῃ, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐξαρτυθείς· τὸ μὲν ναυτικὸν μεγάλαις δαπάναις τῶν τε τριηράρχων καὶ τῆς πόλεως ἐκπονηθὲν, τοῦ μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδόντος, καὶ ναῦς παρασχόντος κενὰς, ἑξήκοντα μὲν ταχείας, τεσσαράκοντα δὲ ὁπλιταγωγοὺς, καὶ ὑπηρεσίας ταύταις τὰς κρατίστας τῶν τριηράρχων, ἐπιφοράς τε, πρὸς τῷ ἐκ τοῦ δημοσίου μισθῷ, διδόντων τοῖς θρανίταις τῶν ναυτῶν καὶ ταῖς ὑπηρεσίαις, καὶ τἆλλα σημείοις καὶ κατασκευαῖς πολυτελέσι χρησαμέ-

moeſtitia, partim admiratione tantae expeditionis tamque

οὗτος δὲ ὁ στόλος —. Cum deinde ſequatur: *τὸ μὲν ναυτικὸν — ἐκπονηθὲν*, neque verbum finitum in tota periodo adſit, ad *οὗτος ὁ στόλος* referendum, inter anacolutha cenſendus eſſet hic locus, niſi ex praecedentibus repeti poſſet *ὡρμήθη*. Verbis *τὸ μὲν ναυτικόν* reſpondent in ſequentibus verba *τὸ δὲ πεζόν*. Cf. c. 30. Quare ante haec paullo minus plene interpunxi. Ad *τοῦ μὲν δημοσίου* refertur illud: *καὶ ὑπηρεσίας ταύταις τὰς κρατίστας τῶν τριηράρχων*. Vide dicta de hac conſtructione ad 4, 73. — *ὑπηρεσίαι*. Cf. 1, 143. Intelligendi remiges, quos certe tum temporis praebebant trierarchi, navibus vacuis, publice paratis, inſtruendis. Poſteris quidem temporibus vice verſa publice remiges et apparatus, a trierarchis autem naves oblatas eſſe vulgata hodie opinio eſt. Cf. Wolfii Prolegg. in Demoſthenis Leptin. p. C ſeqq. Sed antiquum morem non eſſe immutatum, nuper docuit Boekhius in libro de publica Athenienſium oeconomia.

πρὸς τῷ ἐκ τοῦ δημοσίου μισθῷ. Addidi articulum *τοῦ*, qui, licet in Mſſ. non reperiatur, tamen neceſſarius h. l. eſt. Ita paullo ſuperius legitur: *τοῦ μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδόντος*. Et infra hoc capite in verbis: *χωρὶς δ᾽, ἃ εἰκὸς ἦν, καὶ ἄνευ τοῦ ἐκ δημοσίου μισθοῦ* — e codd. Caſſ. Aug. reſtituendum eſt *ἐκ τοῦ δημοσίου*. Ibi enim codd. Cl. Reg. omittunt etiam praepoſitionem *ἐκ*, facili errore, cum oculi librariorum a primo *τοῦ* ad alterum ſtatim abirent. At ſi ibi articulo opus eſt, non minus neceſſe eſt, eum noſtro loco reponi. Et poterant ſane minora illa vocabula *πρὸς τῷ ἐκ τοῦ* librariis omittendi articuli anſam praebere. — *τοῖς θρανίταις*, vid. ad 4, 32. Scholiaſta: *Οἱ δὲ θρανῖται, μετὰ μακροτέρων κωπῶν ἐρέττοντες, πλείονα κόπον ἔχουσι τῶν ἄλλων.*

καὶ τἆλλα σημείοις. Haud dubie *παράσημα* et apluſtria intelligenda.

νων, καὶ ἐς τὰ μακρότατα προθυμηθέντος ἑνὸς ἑκάστου, ὅπως αὐτῷ τινι εὐπρεπείᾳ τε ἡ ναῦς μάλιστα προέξει, καὶ τῷ ταχυναυτεῖν· τὸ δὲ πεζὸν καταλόγοις τε χρηστοῖς ἐκκριθέν, καὶ ὅπλων καὶ τῶν περὶ τὸ σῶμα σκευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἁμιλληθέν. Ξυνέβη δέ, πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι, ᾧ τις ἕκαστος προςετάχθη, καὶ ἐς τοὺς ἄλλους Ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ ἐξουσίας, ἢ ἐπὶ πολεμίους παρασκευήν. Εἰ γάρ τις ἐλογίσατο τήν τε τῆς πόλεως ἀνάλωσιν δημοσίαν, καὶ τῶν στρατευομένων τὴν ἰδίαν, τῆς μὲν πόλεως, ὅσα τε ἤδη προςετετελέκει, καὶ ἃ ἔχοντας τοὺς στρατηγοὺς ἀπέστελλε· τῶν δὲ ἰδιωτῶν, ἅ, τε περὶ τὸ σῶμά τις καὶ τριήραρχος ἐς τὴν ναῦν ἀναλώκει, καὶ ὅσα ἔτι ἔμελλεν ἀναλώσειν· χωρὶς δ᾽, ἃ εἰκὸς ἦν, καὶ ἄνευ τοῦ ἐκ τοῦ δημοσίου μισθοῦ, πάντα τινὰ παρασκευάσασθαι ἐφόδιον, ὡς ἐπὶ χρόνιον στρατείαν· καὶ ὅσα ἐπὶ μεταβολῇ τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει· πολλὰ

magnifice inſtructae claſſis, quanta et qualis numquam

ἐς τὰ μακρότατα, Schol. ἐπὶ πλεῖστον, quod temporisne an loci ad longinquitatem referam, neſcio. Illud tamen et ſtructurae aptius videtur, quia haec verba per locum, quem occupant, potius cum προθυμηθέντος, quam cum ὅπως προέξει iungenda ſunt, et ſequenti μάλιστα, quod alioquin idem eſſet, quod ἐς τὰ μακρότατα.

καταλόγοις χρηστοῖς. Bredovius comparat noſtrum: *ein herrliches Verzeichniſs*. Ergo metonymice accipit, continens pro contento.

ᾧ τις ἕκαστος προςετάχθη. Male Portus: „ut inter ſe certarent de illa re, quae unicuique fuerat asſignata.“ Verba Thucydidis nihil aliud continent, niſi hoc: inter eos contentio erat, cum unusquisque cum eo, cui adiungeretur, prope quem conſtitueretur, armorum ſpecie certaret. — εἰκασθῆναι ſimpliciter intelligo νομισθῆναι.

προςετετελέκει. Recte Bauerus tuetur hanc lectionem contra Duckeri dubitationem. Is enim volebat προτελεῖν, quia προςτελεῖν eſſet: *praeter alia aliquid impendere*. Sed non ſemper haec vis ineſt praepoſitioni πρός, ut *additionem* quandam ſignificet. Προςτελεῖν ſimpliciter eſt *in aliquid impendere*. — Mox ἀναλώκει Attice pro ἀνηλώκει. Vid. 7, 48. Cf. Buttmann. Gr. Gr. p. 312.

ἐκ τοῦ δημοσίου. Vulgo ἐκ δημοσίου. Vid. ſuperius h. c.

ἂν τάλαντα εὑρέθη ἐκ τῆς πόλεως τὰ πάντα ἐξαγόμενα. Καὶ ὁ στόλος οὐχ ἧσσον τόλμης τε θάμβει καὶ ὄψεως λαμπρότητι περιβόητος ἐγένετο, ἢ στρατιᾶς, πρὸς οὓς ἐπῄεσαν, ὑπερβολῇ, καὶ ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκείας, καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων, πρὸς τὰ ὑπάρχοντα, ἐπεχειρήθη.

52. Ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν, καὶ ἐσέκειτο πάντα ἤδη, ὅσα ἔμελλον ἀνάξεσθαι, τῇ μὲν σάλπιγγι σιωπὴ ὑπεσημάνθη, εὐχὰς δὲ τὰς νομιζομένας πρὸ τῆς ἀναγωγῆς, οὐ κατὰ ναῦν ἑκάστην, ξύμπαντες δὲ ὑπὸ κήρυκος, ἐποιοῦντο, κρατῆράς τε κεράσαντες παρ᾽ ἅπαν τὸ στράτευμα, καὶ ἐκπώμασι χρυσοῖς τε καὶ ἀργυροῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες σπένδοντες. Ξυνεπεύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς γῆς, τῶν τε πολιτῶν, καὶ εἴ τις ἄλλος εὔνους παρῆν σφίσι. Παιωνίσαντες δέ, καὶ τελεώσαντες τὰς σπονδὰς, ἀνήγοντο, καί, ἐπὶ κέρως τὸ πρῶτον ἐκπλεύσαντες, ἅμιλλαν ἤδη

antea ab una civitate graeca profecta fuiſſet. 52. Navibus completis, votisque per libationem conceptis ab

ἢ στρατιᾶς, πρὸς οὓς ἐπῄεσαν, ὑπερβολῇ. Sive ἐκείνων ſubaudias ad στρατιᾶς, ſive οὓς ad hoc ipſum nomen, quia *collectivum* eſt, referas; ſenſus non poteſt eſſe, quem putat Bauerus: „*magnitudine* exercitus eorum, quos aggrederentur.“ Licet enim ſupra Nicias Siculorum copias maiores Athenienſibus eſſe defenderit, id quidem ad tempus dictum erat a Nicia, non a Thucydide, cuius mentem veriſſime expreſſit Scholiaſta his verbis: ἔκπληξιν παρασχὼν διὰ τὴν τόλμαν πλέον ἤπερ τῷ κατὰ πλῆθος ὑπερέχειν τῶν ἐναντίων.

πρὸς τὰ ὑπάρχοντα. Kiſtemakerus vertit: „et in maxima futurorum ſpe, ſi ſpectares copias et apparatus praeſentes;“ ex parte recte, (nam Bredovii interpretatio vera eſſet, ſi Thucydides ſcripſiſſet πρὸς τοῖς ὑπάρχουσι); ſed τὰ ὑπάρχοντα retulit ad copias et apparatum, cum rectius intelligas de omni Athenienſium imperio, i. e. de omnibus terris, inſulis, urbibus, quae ſub ditione Athenienſium tum temporis erant. Illud enim imperium hac expeditione valde auctum iri putabant, ita ut, quod acceſſurum videbatur, praeſentem ſtatum longe ſuperaret.

31. ὑπὸ κήρυκος, praecone verba praeeunte, vota ſolennia nuncupante. — παρ᾽ ἅπαν τὸ στράτευμα, διὰ παντὸς τοῦ στρατεύματος. De hoc ſacrificandi ante profectionem more vide, quos laudat Duckerus ad h. l.

καί, ἐπὶ κέρως τὸ πρῶτον —. Aptiſſime haec iunxeris

μέχρι Αἰγίνης ἐποιοῦντο. Καὶ οἱ μὲν, ἐς τὴν Κέρκυραν, ἔνθα περ καὶ τὸ ἄλλο στράτευμα τῶν ξυμμάχων ξυνελέγετο, ἠπείγοντο ἀφικέσθαι. — Ἐς δὲ τὰς Συρακούσας ἠγγέλλετο μὲν πολλαχόθεν τὰ περὶ τοῦ ἐπίπλου, οὐ μέντοι ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδέν· ἀλλὰ καὶ γενομένης ἐκκλησίας, ἐλέχθησαν τοιοίδε λόγοι ἀπό τε ἄλλων, τῶν μὲν, πιστευόντων τὰ περὶ τῆς στρατείας τῆς τῶν Ἀθηναίων, τῶν δὲ, τὰ ἐναντία λεγόντων· καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος παρελθὼν, αὐτοῖς, ὡς σαφῶς οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν, ἔλεγε καὶ παρῄνει τοιάδε.

33. „ἌΠΙΣΤΑ μὲν ἴσως, ὥςπερ καὶ ἄλλοι τινὲς, δόξω ὑμῖν περὶ τοῦ ἐπίπλου τῆς ἀληθείας λέγειν· καὶ γιγνώσκω, ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι ἢ λέγοντες, ἢ ἀπαγγέλλοντες, οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν εἶναι· ὅμως δὲ οὐ, καταφοβηθεὶς, ἐπισχήσω, κινδυνευούσης τῆς πόλεως· πείθων γε

universis classiariis, e portu solvebant, Corcyram properantes. — Interim Syracusanis de adventu classis Atheniensium rumores afferebantur, quibus alii fidem habebant, alii contradicebant. Hermocrates vero oratione 33 — 34. non solum credibilem et certam rem esse de-

cum praecedentibus. Quare punctum post ἀνήγοντο mutavi in comma; item post καὶ comma posui, ut iungatur καὶ ἐποιοῦντο. Male vulgo et sequentia distinguuntur. Nam ante verba καὶ οἱ μέν plene esse interpungendum, quivis videt; et a verbis: ἐς δὲ τὰς Συρακούσας ἠγγέλλετο — novi argumenti narrationem incipere, ideoque signo quodam ad eam rem indicandam opus esse, non minus manifestum est. Itaque lineolam induxi. Denique ante verba: ἀλλὰ καὶ γενομένης ἐκκλησίας minus plene interpungendum esse censui, ut ἀλλά praecedenti οὐ oppositum sit. Τοιοίδε λόγοι intelligo similes illorum, qui sequuntur, Hermocratis nempe et Athenagorae. Sensus igitur verborum ἀλλὰ καὶ γενομ. ἐκκλ. est: ne tum quidem, cum concio convocata esset de ista re, omnibus de veritate illius nuntii vel rumoris persuasum erat; sed alii rem credebant, e quorum numero erat Hermocrates; alii fidem ei negabant, e quibus Athenagoras erat.

παρελθὼν αὐτοῖς. Vid. ad cap. 19.

33. τὰ μὴ πιστὰ δοκοῦντα εἶναι, et propter Siciliae longinquitatem, et ob rei atrocitatem difficultatemque.

ὅμως δὲ οὐ, καταφοβη-

ἐμαυτὸν, σαφέστερόν τι ἑτέρου εἰδὼς, λέγειν. Ἀθηναῖοι γὰρ ἐφ᾽ ἡμᾶς (ὃ πάνυ θαυμάζετε,) πολλῇ στρατιᾷ ὅρμηνται καὶ ναυτικῇ καὶ πεζικῇ· πρόφασιν μὲν, Ἐγεσταίων ξυμμαχίᾳ, καὶ Λεοντίνων κατοικίσει, τὸ δὲ ἀληθὲς, Σικελίας ἐπιθυμίᾳ, μάλιστα δὲ τῆς ἡμετέρας πόλεως· ἡγούμενοι, εἰ ταύτην σχοῖεν, ῥᾳδίως καὶ τἄλλα ἕξειν. Ὡς οὖν ἐν τάχει παρεσομένων, ὁρᾶτε, ἀπὸ τῶν ὑπαρχόντων, ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτοὺς, καὶ μήτε, καταφρονήσαντες, ἄφρακτοι ληφθήσεσθε, μήτε, ἀπιστήσαντες, τοῦ ξύμπαντος ἀμελήσετε. Εἰ δέ τῳ καὶ πιστὰ, τὴν τόλμαν αὐτῶν καὶ δύναμιν μὴ ἐκπλαγῇ. Οὔτε γὰρ βλάπτειν ἡμᾶς πλείω οἷοί τε ἔσονται, ἢ πάσχειν· οὔθ᾽, ὅτι μεγάλῳ στόλῳ ἐπέρχονται, ἀνωφελεῖς· ἀλλὰ πρός τε τοὺς ἄλλους Σικελιώτας πολὺ ἄμεινον· (μᾶλλον γὰρ ἐθελήσουσιν, ἐκπλαγέντες, ἡμῖν ξυμμαχεῖν·) καὶ ἢν ἄρα ἢ κατεργασώμεθα αὐτοὺς, ἢ ἀπράκτους, ὧν ἐφίενται, ἀπώσωμεν, (οὐ γὰρ δὴ, μὴ τύχωσί γε, ὧν προσδέχονται, φοβοῦμαι,) κάλλιστον δὴ ἔργον ἡμῖν ξυμβήσεται, καὶ οὐκ ἀνέλπιστον ἔμοιγε. Ὀλίγοι γὰρ δὴ στόλοι μεγάλοι, ἢ Ἑλλήνων, ἢ βαρβά-

monſtravit, ſed etiam minime timendam, ſi quidem, na-

θεὶς, ἐπισχήσω. Participium καταφοβηθεὶς virgulis ſecrevi a ceteris, ut negatio οὐ ad verbum ἐπισχήσω referri poſſit. Simillimus eſt locus 5, 69. τὴν μὲν μὴ, πειρασαμένοις, ἀφαιρεθῆναι.— Mox πείθων ἐμαυτόν int. νομίζων, ut nominativus participii εἰδώς habeat, unde pendeat.

ξυμμαχίᾳ καὶ Λεοντ. κατοικίσει, i. e. διὰ ξυμμαχίαν καὶ κατοίκισιν. — Paullo ante pro ἐφ᾽ ἡμᾶς Benedictus e codd. malebat ſcribere ἐφ᾽ ὑμᾶς, propter ſequens θαυμάζετε. Sed hoc argumentum non valet, cum ſane ad omnes Syracuſanos Athenienſes accederent, ergo etiam ad Hermocratem; non autem omnes de ea re mirati dubitarent, certe non idem Hermocrates. Codicibus autem hoc in genere non multum tribuendum.

ἀπὸ τῶν ὑπαρχόντων, *pro copiis veſtris, pro facultate veſtra*, quam cap. ſeq. deſcribit. Ergo comma poſt ὑπαρχόντων tollendum ſit. Si cum Bauero intelligas: „conſilium *ex re* capite," poſt ὁρᾶτε nulla debet eſſe diſtinctio.

μᾶλλον γὰρ ἐθελήσουσιν — ξυμμαχεῖν. Haec verba parentheſeos ſignis circumſcripſi.

κάλλιστον δὴ ἔργον. Hanc lectionem, quam praebent codd.

ρων, πολὺ ἀπὸ τῆς ἑαυτῶν ἀπάραντες, κατώρθωσαν. Οὔτε γὰρ πλείους τῶν ἐνοικούντων καὶ ἀστυγειτόνων ἔρχονται· (πάντα γὰρ ὑπὸ δέους ξυνίσταται·) ἤν τε δι᾽ ἀπορίαν τῶν ἐπιτηδείων ἐν ἀλλοτρίᾳ γῇ σφαλῶσι, τοῖς ἐπιβουλευθεῖσιν ὄνομα, κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω πταίσωσιν, ὅμως καταλείπουσιν. Ὅπερ καὶ Ἀθηναῖοι αὐτοὶ οὗτοι, τοῦ Μήδου παρὰ λόγον πολλὰ σφαλέντος, ἐπὶ τῷ ὀνόματι, ὡς ἐπ᾽ Ἀθήνας ᾔει, ηὐξήθησαν· καὶ ἡμῖν, οὐκ ἀνέλπιστον, τὸ τοιοῦτον ξυμβῆναι.

34. „Θαρσοῦντες οὖν τά τε αὐτοῦ παρασκευαζώμεθα, καὶ, ἐς τοὺς Σικελοὺς πέμποντες, τοὺς μὲν μᾶλλον βεβαιωσώμεθα, τοῖς δὲ φιλίαν καὶ ξυμμαχίαν πειρώμεθα ποιεῖσθαι· ἔς τε τὴν ἄλλην Σικελίαν πέμπωμεν πρέσβεις, δηλοῦντες, ὡς κοινὸς ὁ κίνδυνος· καὶ ἐς τὴν Ἰταλίαν, ὅπως ἢ ξυμμαχίαν ποιώμεθα ἡμῖν,

vibus omnibus celeriter collectis, obviam ire Athenien-

Ar. C. Reg. Aug. Mosq. unus ex Pariss., cum Benedicto praetulimus vulgato ἔργων. Nam sic solet loqui ubique Thucydides; altera ratio ab eo aliena, si recte memini.

πάντα γὰρ ὑπὸ δέους ξυν. Vocem δή, quae vulgo legitur post πάντα γάρ, duodecim codd. auctoritate cum Benedicto eiecimus. Cum paullo ante bis legeretur γὰρ δή, etiam hic, ubi ea particula nihil opus est, a librariis adscripta videtur. — Ἀστυγείτονας malim de Siculis intelligere, quam de Carthaginiensibus et Italis. Hi enim, nisi precibus arcessiti, non in auxilium venerint.

ἐπὶ τῷ ὀνόματι. Praepositionem ἐπί, cum ab uno tantum codice Cam. absit, genuinam putamus, et uncos sustulimus. Ἐπὶ τῷ ὀνόματι est *propter istam famam, propterea quod ita praedicabatur.* — ὅπερ, *qua in re.* — In fine capitis pro τὸ τοιοῦτο Atticam formam recepimus τὸ τοιοῦτον, Benedictum secuti, praesertim cum praeter octo codd. etiam Thomas Mag. hunc locum ita legerit in βούλομαι.

34. ὅπως ἢ ξυμμαχίαν ποιώμεθα ἡμῖν. Vulgo ποιῶνται contra codices plerosque omnes. Benedictus tot codicibus obtemperandum esse ratus, ξυμμαχίαν dictum putat pro ξυμμάχους, ut πρεσβεία pro πρέσβεις dicitur. Quod etsi non vanum est argumentum (nam ita Thucydides vocabulo ξυμμαχία utitur 6, 73.) tamen ne eo quidem prorsus indigemus, cum vel *societatis faciendae vel conciliandae* notio huic loco sufficiat. — Ad δέχωνται subaudi Ἰταλιῶται, ex praecedente Ἰταλίαν.

ἢ μὴ δέχωνται Ἀθηναίους. Δοκεῖ δέ μοι καὶ ἐς Καρχηδόνα ἄμεινον εἶναι πέμψαι. Οὐ γὰρ ἀνέλπιστον αὐτοῖς, ἀλλ' ἀεὶ διὰ φόβου εἰσὶ, μή ποτε Ἀθηναῖοι αὐτοῖς ἐπὶ τὴν πόλιν ἔλθωσιν. ὥςτε τάχ' ἂν ἴσως, νομίσαντες, εἰ τάδε προήσονται, καὶ ἂν σφεῖς ἐν πόνῳ εἶναι, ἐθελήσειαν ἡμῖν ἤτοι κρύφα γε, ἢ φανερῶς, ἢ ἐξ ἑνός γέ του τρόπου, ἀμῦναι. Δυνατοὶ δέ εἰσι μάλιστα τῶν νῦν, βουληθέντες. Χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται, ὅθεν ὅ τε πόλεμος καὶ τἄλλα εὐπορεῖ. Πέμπωμεν δὲ καὶ ἐς τὴν Λακεδαίμονα, καὶ ἐς Κόρινθον, δεόμενοι δεῦρο κατὰ τάχος βοηθεῖν, καὶ τὸν ἐκεῖ πόλεμον κινεῖν. Ὃ δὲ μάλιστα ἐγώ τε νομίζω ἐπίκαιρον, ὑμεῖς τε, διὰ τὸ ξύνηθες ἥσυχον, ἥκιστ' ἂν ὀξέως πείθοισθε, ὅμως εἰρήσεται. Σικελιῶται γὰρ εἰ θέλοιμεν ξύμπαντες, εἰ δὲ μὴ, ὅτι πλεῖστοι μεθ' ἡμῶν, καθελκύσαντες ἅπαν τὸ ὑπάρχον ναυτικὸν μετὰ δυοῖν μηνοῖν τροφῆς, ἀπαντῆσαι Ἀθηναίοις ἐς Τάραντα καὶ ἄκραν Ἰαπυγίαν, καὶ δῆλον ποιῆσαι αὐτοῖς, ὅτι οὐ περὶ τῆς Σικελίας πρότερον ἔσται ὁ ἀγὼν, ἢ τοῦ ἐκείνους

ſibus usque Tarentum auderent. Ita enim fore, ut inopi-

ὅτι οὐ περὶ τῇ Σικελίᾳ πρότερον ἔσται ὁ ἀγών. Recte vidit Duckerus, non περὶ τῇ Σικελίᾳ, *circum Siciliam*, ſed *de Sicilia*, i. e. περὶ τῆς Σικελίας, huius loci ſententiam requirere, et fruſtra obnititur Bauerus. Quid enim magis ineptum, quam rem notiſſimam tot verbis explicare: „non prius circum Siciliam pugna erit, quam Athenienſes ſinum Ionium traiecerint." Contra exempla a Duckero allata (2, 42. 3, 53. 5, 9. 101. 6, 11) docent, Thucydidem ſaepiſſime iunxiſſe ἀγών ἐστι περί τινος. Suſpicamur igitur, ς finale a librariis mutatum eſſe in ι ſubſcriptum, de qua mutatione et alibi ſaepe monuimus (ut ad 5, 79.) et ſcribendum h. l. eſſe περί τῆς Σικελίας. Idem vitium paullo poſt hoc eodem capite deprehendiſſe nobis videmur in vocabulo ἀθροωτέρῳ, pro quo legendum eſt ἀθροωτέρως. Nam cum τῷ ταχυναυτοῦντι iungi nequit ἀθροωτέρῳ, quia illud eſt *per* vel *propter navium celeritatem*, non, ut Portus vertit, „cum ea *parte* claſſis, quae celeritate praeſtat," cui verſioni vel ipſum verbum ἀθροωτέρως adverſatur, et verba εἰ δ' αὖ, quae poſtulant de congregata claſſe cogitare, quia paullo ante de diſperſa ſermo erat. Τῷ ταχυναυτοῦντι accipe pro τῷ ταχυναυτεῖν, ut alibi ἐν τῷ μὴ μελετῶντι (1, 142) pro ἐν τῷ μὴ μελετᾷν. Ἀθροωτέρως ad προσβάλοιεν pertinet.

περαιωθῆναι τὸν Ἰόνιον· μάλιστ᾽ ἂν αὐτοὺς ἐκπλήξαιμεν, καὶ ἐς λογισμὸν καταστήσαιμεν, ὅτι ὁρμώμεθα μὲν ἐκ φιλίας χώρας φύλακες, (ὑποδέχεται γὰρ ἡμᾶς Τάρας,) τὸ δὲ πέλαγος αὐτοῖς πολὺ περαιοῦσθαι μετὰ πάσης τῆς παρασκευῆς, (χαλεπὸν δὲ, διὰ πλοῦ μῆκος, ἐν τάξει μεῖναι·) καὶ ἡμῖν ἂν εὐεπίθετος εἴη, βραδεῖά τε καὶ κατ᾽ ὀλίγον προσπίπτουσα. Εἰ δ᾽ αὖ τῷ ταχυναυτοῦντι ἀθροωτέρως, κουφίσαντες, προσβάλοιεν, εἰ μὲν κώπαις χρήσαιντο, ἐπιθοίμεθ᾽ ἂν κεκμηκόσιν· εἰ δὲ μὴ δοκοίη, ἔστι καὶ ὑποχωρῆσαι ἡμῖν ἐς Τάραντα. Οἱ δὲ, μετ᾽ ὀλίγων ἐφοδίων, ὡς ἐπὶ ναυμαχίᾳ, περαιωθέντες, ἀποροῖεν ἂν κατὰ χωρία ἔρημα, καὶ ἢ, μένοντες, πολιορκοῖντο ἂν, ἢ, πειρώμενοι παραπλεῖν, τήν τε ἄλλην παρασκευὴν ἀπολείποιεν ἂν, καὶ τὰ τῶν πόλεων οὐκ ἂν βέβαια ἔχοντες, εἰ ὑποδέξοιντο, ἀθυμοῖεν. Ὥστε ἔγωγε τούτῳ τῷ λογισμῷ ἡγοῦμαι, ἀποκλειομένους αὐτοὺς οὐδ᾽ ἂν ἀπᾶραι ἀπὸ Κερκύρας, ἀλλ᾽ ἢ, διαβουλευσαμένους, καὶ κατασκοπαῖς χρωμέ-

natos ac difperfos invaderent, certe defeffos; ipfis autem

τὸν Ἰόνιον, fubaudi κόλπον.

χαλεπὸν δὲ — μεῖναι. Propter fequentia verba εὐεπίθετος et βραδεῖα — προσπίπτουσα, quae ad τῆς παρασκευῆς pertinent, hoc membrum parentheseos fignis feclufi. — Mox adfentior Bauero et Bredovio, pro κατὰ λόγον fcribendum effe κατ᾽ ὀλίγον. Optime Duckerus κατ᾽ ὀλίγον illuftrat locis 4, 10. 5, 9., vulgatam tamen defendi et fic fere explicari poffe putat: „ratio et natura rei fert, ut lente naviget, et late diffundatur, nec conferta progredi poffit magna claffis.“ Hoc tamen durum eft propter βραδεῖα, quo vocabulo altera fententiae pars diferte enuntiatur, cui non refpondet obfcura nimis dictio κατὰ λόγον, quae non minus lentam quam difperfam navigationem innuit. Defideratur vox, quae refpondeat τῷ βραδεῖα. Eam etiam habet Schol., qui fcribit: βραδέως τε πλέουσα διὰ τὸν ἐν τῷ πελάγει κάματον, καὶ οὐκ ἀθρόα. In margine cod. Cl. legitur: κατ᾽ ὀλίγον.

εἰ δὲ μὴ δοκοίη, int. ἐπιθέσθαι.

εἰ ὑποδέξοιντο, an forte fint recepturae. — τούτῳ τῷ λογισμῷ, ex hac ratiocinatione. Nec vero cum ἀποκλειομένους haec verba iungenda funt cum Porto, fed cum ἡγοῦμαι. Non cogitatione, fed reapfe interclufi erant Athenienfes, fi Siculi Tarenti confediffent.

νους, ὁπόσοι τε ἐσμὲν, καὶ ἐν ᾧ χωρίῳ, ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς χειμῶνα, ἢ, καταπλαγέντας τῷ ἀδοκήτῳ, καταλῦσαι ἂν τὸν πλοῦν· ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν (ὡς ἐγὼ ἀκούω) ἄκοντος ἡγουμένου, καὶ ἀσμένου ἂν πρόφασιν λαβόντος, εἴ τι ἀξιόχρεων ἀφ᾽ ἡμῶν ὀφθείη. Ἀγγελοίμεθα δ᾽ ἂν, εὖ οἶδ᾽ ὅτι ἐπὶ τὸ πλεῖον. Τῶν δ᾽ ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμαι ἵστανται, καὶ τοὺς προεπιχειροῦντας, ἢ τοῖς γε ἐπιχειροῦσι προδηλοῦντας, ὅτι ἀμυνοῦνται, μᾶλλον πεφόβηνται, ἰσοκινδύνους ἡγούμενοι. Ὅπερ ἂν νῦν Ἀθηναῖοι πάθοιεν. Ἐπέρχονται γὰρ ἡμῖν ὡς οὐκ ἀμυνουμένοις, δικαίως κατεγνωκότες, ὅτι αὐτοὺς οὐ μετὰ Λακεδαιμονίων ἐφθείρομεν· εἰ δ᾽ ἴδοιεν παρὰ γνώμην τολμήσαντας, τῷ ἀδοκήτῳ μᾶλλον ἂν καταπλαγεῖεν, ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει. Πείθεσθε οὖν, μάλιστα μὲν, ταῦτα τολμήσαντες· εἰ δὲ μὴ, ὅτι τάχιστα τἄλλα ἐς τὸν πόλεμον ἑτοιμάζειν, καὶ παραστῆναι παντὶ, τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας, ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι, τὸ δ᾽ ἤδη, τὰς μετὰ φόβου παρασκευὰς ἀσφαλεστάτας νομίσαντας, ὡς ἐπικινδύνους πράσσειν, χρησιμώτατον ἂν ξυμβῆναι. Οἱ δὲ ἄνδρες καὶ ἐπέρχονται, καὶ ἐν πλῷ εὖ οἶδ᾽ ὅτι ἤδη εἰσὶ, καὶ ὅσον οὔπω πάρεισι."

55. Καὶ ὁ μὲν Ἑρμοκράτης τοσαῦτα εἶπε. Τῶν δὲ Συρακουσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι

Tarentum ſe recipere licere. 55. Huic orationi pauci

ἐξωσθῆναι ἂν — ἐς χειμῶνα. Latini ſimiliter dicunt: coniici in aliquod tempus. — ἄκοντος ἡγουμένου, vid. ſupra cap. 8.

ἢ τοῖς γε ἐπιχειροῦσι προδηλ. Bredovius cum Abreſchio ἤ intelligit *quam*. Sed ego Bauerum ſequor, qui firmis ſane argumentis demonſtrat ἤ γε eſſe *aut ſaltem*, quod etiam ſenſus huius loci patitur, immo poſcit. — ἰσοκινδύνους, i. e. ἰσοπαλεῖς, ἐν ὁμοίῳ κινδύνῳ καταστήσοντας αὐτούς.

ἑτοιμάζειν, καὶ παραστῆναι, int. ὥστε; pendent enim hi infinitivi a πείθεσθε. — παραστῆναι παντί, Schol. δόξαν εἶναι παντὶ ἀνθρώπῳ. Eodem ſenſu legitur hoc verbum infra cap. 68. 78. et alibi. — Pro

ῆσαν, οἱ μὲν, ὡς οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι, οὐδ᾽ ἀληθῆ ἐστιν, ἃ λέγει· τοῖς δὲ, εἰ καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς, ὅ, τι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν; ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες, ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα. ὀλίγον δ᾽ ἦν τὸ πιστεῦον τῷ Ἑρμοκράτει, καὶ φοβούμενον τὸ μέλλον. Παρελθὼν δ᾽ αὐτοῖς Ἀθηναγόρας, ὃς δήμου τε προστάτης ἦν, καὶ ἐν τῷ παρόντι πιθανώτατος τοῖς πολλοῖς, ἔλεγε τοιάδε.

36. „*ΤΟΥΣ μὲν Ἀθηναίους, ὅστις μὴ βούλεται, οὕτω κακῶς φρονῆσαι, καὶ ὑποχειρίους ἡμῖν γενέσθαι ἐνθάδε ἐλθόντας, ἢ δειλός ἐστιν, ἢ τῇ πόλει οὐκ εὔνους· τοὺς δ᾽ ἀγγέλλοντας τὰ τοιαῦτα, καὶ περιφόβους ὑμᾶς ποιοῦντας, τῆς μὲν τόλμης οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας, εἰ μὴ οἴονται ἔνδηλοι εἶναι. Οἱ γὰρ δεδιότες ἰδίᾳ τὶ, βούλονται τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι, ὅπως τῷ κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγά-*

fidem habebant, aliis rem fictam, aliis, etiam ſi vera eſſet, non periculoſam ſibi exiſtimantibus. Et prodiit vir ſummae apud populum auctoritatis, Athenagoras, qui
36 — 40. turbulenta oratione ſuſpicionem mōvebat in

χρησιμώτατα e codd. et Schol. reſcripſimus *χρησιμώτατον*, de Thucydidis more. Praeiverat iam Benedictus. — *ὡς ἐπικινδύνους, ὡς φοβουμένους κίνδυνον.* Schol. Hac vocabuli *ἐπικίνδυνος* ſignificatione carent Lexica. Sed Thucydides inſolentiora amat, et ſingularia. Cf. Ducker. ad cap. 34. Ita paullo ante *ἰσοκίνδυνος* eodem modo active intelligendum erat.

35. *τοῖς δὲ, εἰ καὶ ἔλθοιεν.* Sanam puto totius loci lectionem, et Duckeri iudicio ſubſcribo. „Eſt, inquit, plane durum, nominativis *οἱ μέν* et *ἄλλοι δέ* interponi dativum *τοῖς δέ*. Sed quia primo nominativo *οἱ μέν* non apponitur verbum, ſed ſupplendum relinquitur, hic quoque orationem potius apto aliquo ad ſententiam verbo explendam, quam ſcripturam receptam mutandam, arbitror.“ Verba hic ſupplenda ſunt *ἔλεγον, ἐδόκει.* Ea in deliberatione et contentione deſcribenda a Thucydide ſaepius omitti, tralatitium eſt. Vid. exempla bene multa 8, 48 med. 50 extr.

36. *τὸ σφέτερον ἐπηλυγάζωνται.* Verbum *ἐπηλυγάζεσθαι*, quod *ἐπικρύπτεσθαι, ἀποκρύπτεσθαι* Scholia exponunt, veteres Grammatici ducunt a *λύγη. Λύγην* enim Atticis fuiſſe *τὴν σκιὰν ἢ τὴν σκοτίαν*, et, asſumpto *η*, dictum eſſe *ἠλύγην*. Vid. Duck. ad h. l. — *Τὸ σφέτερον* Mſſ. omnes ſine varietate. Ergo ex *φόβῳ* ſubaudi ſynonymum verbum *δέος.* Cf. ad 2, 3.

ζωνται. Καὶ νῦν αὗται αἱ ἀγγελίαι τοῦτο δύνανται οὐκ ἀπὸ ταὐτομάτου, ἐκ δὲ ἀνδρῶν, οἵπερ ἀεὶ τάδε κινοῦσι, ξύγκεινται. Ὑμεῖς δὲ, ἢν εὖ βουλεύησθε, οὐκ, ἐξ ὧν οὗτοι ἀγγέλλουσι, σκοποῦντες, λογιεῖσθε τὰ εἰκότα, ἀλλ' ἐξ ὧν ἂν ἄνθρωποι δεινοὶ καὶ πολλῶν ἔμπειροι (ὥσπερ ἐγὼ Ἀθηναίους ἀξιῶ) δράσειαν. Οὐ γὰρ αὐτοὺς εἰκὸς, Πελοποννησίους τε ὑπολιπόντας, καὶ τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως καταλελυμένους, ἐπ' ἄλλον πόλεμον οὐκ ἐλάσσω ἑκόντας ἐλθεῖν. Ἐπεὶ ἔγωγε ἀγαπᾷν οἴομαι αὐτοὺς, ὅτι οὐχ ἡμεῖς ἐπ' ἐκείνους ἐρχόμεθα, πόλεις τοσαῦται καὶ οὕτω μεγάλαι.

37. „Εἰ δὲ δὴ, ὥσπερ λέγονται, ἔλθοιεν, ἱκανωτέραν ἡγοῦμαι Σικελίαν Πελοποννήσου διαπολεμῆσαι, ὅσῳ κατὰ πάντα ἄμεινον ἐξήρτυται· τὴν δὲ ἡμετέραν πόλιν αὐτὴν, τῆς νῦν στρατιᾶς, ὥς φασιν, ἐπιούσης, καὶ εἰ δὶς τοσαύτη ἔλθοι, πολὺ κρείσσω εἶναι· οἷς γ' ἐπίσταμαι οὔθ' ἵππους ἀκολουθήσοντας, οὐδ' αὐτόθεν ποριθησομένους, εἰ μὴ ὀλίγους τινὰς παρ' Ἐγεσταίων, οὔθ' ὁπλίτας ἰσοπληθεῖς τοῖς ἡμετέροις, ἐπὶ νεῶν γε ἐλθόντας. Μέγα γὰρ τὸ καὶ αὐταῖς ταῖς ναυσὶ κούφαις τοσοῦτον πλοῦν δεῦρο κομισθῆναι, τήν τε ἄλ-

nuntii iſtius auctores, quos, ſuis rebus metuentes, populo

τοῦτο δύνανται οὐκ ἀπὸ ταὐτομάτου. Vulgo poſt δύνανται colo interpungitur, quod propter verba οὐκ ἀπὸ ταὐτομ., quae ita et ἀσυνδέτως ponantur, et minus commode cum ſequentibus iungantur, delevi. Exſpectes enim, ſcribi: οὐ γὰρ ἀπὸ ταὐτομ., vel αἳ οὐκ ἀπὸ ταὐτομ., quod Bauero placebat, cum αἳ facile excidere potuerit propter ultimam in δύνανται. Sed correctione nihil opus eſt, modo recte interpungatur. Τοῦτο δύνανται non eſt, quod vult Bauerus: *hoc ſpectant, ſibi volunt;* ſed *hoc valent*, nempe τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι. Et verbum ξύγκεινται non utrique membro commune, ſed ad poſterius ſolum pertinet. Itaque, etiamſi velis virgula interpungere poſt δύνανται, tamen hoc verbum ad οὐκ ἀπὸ ταὐτομ. repetendum fuerit.

37. **τὴν δὲ ἡμετέραν πόλιν αὐτήν**, noſtram urbem *ſolam, per ſe.*

οὔθ' ὁπλίτας ἰσοπληθεῖς. Ita ſcripſi pro vulgato οὐδ' ὁπλίτας, quod non reſpondebat praecedenti οὔθ' ἵππους. Lapſus librariorum proclivis, cum praeceſſerit οὐδ' αὐτόθεν.

λην παρασκευὴν, ὅσην δεῖ ἐπὶ πόλιν τοσήνδε πορισθῆναι, οὐκ ὀλίγην οὖσαν. Ὥς τε παρὰ τοσοῦτον γιγνώσκω, μόλις ἄν μοι δοκοῦσιν, εἰ, πόλιν ἑτέραν τοσαύτην, ὅσαι Συρακοῦσαί εἰσιν, ἔλθοιεν ἔχοντες, καὶ ὅμορον οἰκήσαντες, τὸν πόλεμον ποιοῖντο, οὐκ ἂν παντάπασι διαφθαρῆναι· ἤπου γε δὴ ἐν πάσῃ πολεμίᾳ Σικελίᾳ, (ξυστήσεται γὰρ) στρατοπέδῳ τε ἐκ νεῶν ἱδρυθέντι, καὶ ἐκ σκηνιδίων καὶ ἀναγκαίας παρασκευῆς οὐκ ἐπὶ πολὺ ὑπὸ τῶν ἡμετέρων ἱππέων ἐξιόντες. Τὸ δὲ ξύμπαν, οὐδ' ἂν κρατῆσαι αὐτοὺς τῆς γῆς ἡγοῦμαι· τοσούτῳ τὴν ἡμετέραν παρασκευὴν κρείσσω νομίζω.

38. „Ἀλλὰ ταῦτα, ὥσπερ ἐγὼ λέγω, οἵ τε Ἀθηναῖοι γιγνώσκοντες, τὰ σφέτερα αὐτῶν εὖ οἶδ' ὅτι σώζουσι, καὶ ἐνθένδε ἄνδρες, οὔτε ὄντα, οὔτε ἂν γενό-

terrorem iniicere, cum nihil timendum eſſet, et princi-

ὥς τε παρὰ τοσοῦτον γιγνώσκω, — ἐξιόντες. Hunc locum, prava diſtinctione laborantem, reſtituiſſe mihi videor in genuinum habitum et formam. Vulgo legitur: *ὥστε, παρὰ τοσοῦτον γιγνώσκω, μόλις ἄν μοι δοκοῦσιν* —, quae verba per transpoſitionem ſic ordinat Scholiaſta: *παρὰ τοσοῦτον γιγνώσκω, ὥστε μόγις ἄν μοι δοκοῦσιν οὐκ ἂν παντάπασι διαφθαρῆναι οἱ Ἀθηναῖοι.* Et prima verba ſic exponit: *τοσοῦτον διαφέρομαι τοῖς τὰ ἕτερα διαγγέλλουσι.* Hanc Scholiaſtae interpretationem ſecuti ſunt omnes interpretes. Mihi vero dura et impedita videtur eſſe, et commate poſt *ὥστε* ſublato, atque hac ipſa particula in duas voculas reſoluta, ſcribo: *ὥς τε παρὰ τοσοῦτον γιγνώσκω, μόλις ἄν μοι δοκοῦσιν* — i. e. Atque *ut hactenus* (ſi haec tantum conſidero) *intelligo*, vix mihi videntur perniciem effugere poſſe. Ita cap. 18. *παράπαν τε γιγνώσκω.* Cap. 36. *ὥσπερ ἐγὼ Ἀθηναίους ἀξιῶ.* — De particula *ἂν* bis poſita vid. ad 1, 36. — Verba *ξυστήσεται γάρ*, praeeunte Bauero, parentheſeos circumſcripſi ſignis. In reliquis autem abeo ab eodem viro docto, qui dativum *στρατοπέδῳ* ad *διαφθαρῆναι* refert, hoc ſenſu: *peribunt cum tota claſſe!* Dirempta haec ſunt verbis *ἤπου γε δή*, et *στρατοπέδῳ* iungendum eſt cum participio *ἐξιόντες.* Verto: „Iam illa conſideranti non videntur non perire; multo magis (nedum) in Sicilia, quae tota infeſta eſt (coniunget enim ſe), et cum exercitu, qui e navibus ſtatim inſtructus eſt, et e parvis tentoriis cum maxime neceſſario apparatu non longe per equites noſtros prodeuntes, (procedentes).“ Neque adverſor, ſi quis verba *καὶ ἐκ σκηνιδίων καὶ ἀναγκαίας παρασκευῆς* iungere malit cum *ἱδρυθέντι*, ut ſit: cum exercitu, navibus relictis, ſtatim compoſito, et e tentoriis neceſſarioque apparatu inſtructo — procedentes.

μενα, λογοποιοῦσιν. Οὓς ἐγὼ οὐ νῦν πρῶτον, ἀλλ' ἀεὶ, ἐπίσταμαι, ἤτοι λόγοις γε τοιοῖςδε, καὶ ἔτι τούτων κακουργοτέροις, ἢ ἔργοις, βουλομένους καταπλήξαντας τὸ ὑμέτερον πλῆθος, αὐτοὺς τῆς πόλεως ἄρχειν. Καὶ δέδοικα μέντοι, μήποτε, πολλὰ πειρῶντες, καὶ κατορθώσωσιν, ἡμεῖς δὲ κακοὶ, πρὶν ἐν τῷ παθεῖν, ὦμεν προφυλάξασθαί τε, καὶ αἰσθόμενοι ἐπεξελθεῖν. Τοιγάρτοι δι' αὐτὰ ἡ πόλις ἡμῶν ὀλιγάκις μὲν ἡσυχάζει, στάσεις δὲ πολλὰς καὶ ἀγῶνας οὐ πρὸς τοὺς πολεμίους πλείονας, ἢ πρὸς αὑτὴν, ἀναιρεῖται, τυραννίδας δὲ ἔστιν ὅτε, καὶ δυναστείας ἀδίκους. Ὧν ἐγὼ πειράσομαι, ἤν γε ὑμεῖς ἐθέλητε ἕπεσθαι, μήποτε ἐφ' ἡμῶν τὶ περιϊδεῖν γενέσθαι· ὑμᾶς μὲν τοὺς πολλοὺς πείθων, τοὺς δὲ τὰ τοιαῦτα μηχανωμένους κολάζων, μὴ μόνον αὐτοφώρους, (χαλεπὸν γὰρ ἐπιτυγχάνειν,) ἀλλὰ καὶ, ὧν βούλονται μὲν, δύνανται δ' οὔ· (τὸν γὰρ ἐχθρὸν, οὐχ ὧν δρᾷ μόνον, ἀλλὰ καὶ τῆς διανοίας προαμύνεσθαι χρὴ, εἴπερ καὶ μὴ προφυλαξάμενός τις προπείσεται·) τοὺς δ' αὖ ὀλίγους, τὰ μὲν ἐλέγχων, τὰ δὲ φυλάσσων, τὰ δὲ καὶ διδάσκων. μάλιστα γὰρ δοκῶ ἄν μοι οὕτως ἀποτρέπειν τῆς κακουργίας. Καὶ δῆτα (ὃ πολλάκις ἐσκεψάμην,) τί καὶ βούλεσθε, ὦ νεώτεροι; πότερον ἄρχειν ἤδη; ἀλλ' οὐκ ἔννομον. ὁ δὲ νόμος ἐκ τοῦ μὴ δύνασθαι ὑμᾶς μᾶλλον, ἢ, δυναμένους, ἐτέθη,

patum in republica affectare, dicebat: Quibus, ne demo-

38. *ἤτοι λόγοις γε — ἢ ἔργοις.* Haec verba iunge cum participio *καταπλήξαντας.* Cf. cap. 36. *Βούλονται τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι.* Paullo ante *λογοποιοῦσι* est *fingunt, ψευδέσι λόγοις συντιθέασι.* Schol.

κολάζων, μὴ μόνον αὐτοφώρους — ἀλλὰ καὶ ὧν βούλονται. Genitivus *ὧν* pendet a *κολάζων*, etsi plenius posſis dicere *κολάζειν περί* (vel *ἕνεκά*) *τινος.* Similiter mox dicit *προαμύνεσθαι τῆς διανοίας.* — *Αὐτοφώρους*, Schol. *ἐπ' αὐτοφώρῳ λαμβάνων*, quod ſane uſitatius eſt. — *Τοὺς τὰ τοιαῦτα μηχανωμένους*, intelligit *νεωτέρους*, quos poſtea compellat directa oratione.

ἤ, δυναμένους — ἀτιμάζειν. Lex iuvenes a magiſtratibus arcebat propter aetatem: non in contumeliam eorum perlata erat,

ἀτιμάζειν. Ἀλλὰ δὴ μὴ μετὰ πολλῶν ἰσονομεῖσθαι; καὶ πῶς δίκαιον, τοὺς αὐτοὺς μὴ τῶν αὐτῶν ἀξιοῦσθαι;

39. „Φήσει τις, δημοκρατίαν οὔτε ξυνετὸν, οὔτ' ἴσον εἶναι, τοὺς δ' ἔχοντας τὰ χρήματα καὶ ἄρχειν ἄριστα βελτίστους. Ἐγὼ δέ φημι, πρῶτα μὲν, δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν δὲ, μέρος· ἔπειτα, φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους, βουλεῦσαι δ' ἂν βέλτιστα τοὺς ξυνετοὺς, κρῖναι δ' ἂν ἀκούσαντας ἄριστα τοὺς πολλούς· καὶ ταῦτα ὁμοίως καὶ κατὰ τὰ μέρη καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖν. Ὀλιγαρχία δὲ τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δ' ὠφελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ ξύμπαν ἀφελομένη ἔχει. Ἃ ὑμῶν οἵ τε δυνάμενοι καὶ οἱ νέοι προθυμοῦνται, ἀδύνατα ἐν μεγάλῃ πόλει, κατασχεῖν. Ἀλλ' ἔτι καὶ νῦν, ὦ πάντων ἀξυνετώτατοι, εἰ μὴ μανθάνετε κακὰ σπεύδοντες, ἢ ἀμαθέστατοι ἐστὲ, ὧν ἐγὼ οἶδα, Ἑλλήνων, ἢ ἀδικώτατοι, εἰ εἰδότες τολμᾶτε.

40. „Ἀλλ' ἤτοι μαθόντες γε, ἢ μεταγνόντες, τὸ τῆς πόλεως ξύμπασι κοινὸν αὔξετε, ἡγησάμενοι, τοῦτο μὲν ἂν καὶ ἴσον καὶ πλέον οἱ ἀγαθοὶ ὑμῶν, ἤπερ τὸ τῆς πόλεως πλῆθος, μετασχεῖν· εἰ δ' ἄλλα βουλήσεσθε, καὶ τοῦ παντὸς κινδυνεῦσαι στερηθῆναι· καὶ τῶν τοιῶνδε ἀγγελιῶν, ὡς πρὸς αἰσθανομένους, καὶ μὴ ἐπι-

cratia, bonum omnibus ſalutare, everteretur, reſiſtendum

cum poſſent per aetatem et animi conſtantiam regere civitatem, ſed quia non poſſent.

τοὺς αὐτοὺς μὴ τῶν αὐτῶν ἀξιοῦσθαι. Pronomen *τοὺς αὐτοὺς* ad cognatam notionem a propria h. l. deflexum puto. Valet enim *τοὺς ἴσους καὶ ὁμοίους, τοὺς ἐν ἴσῳ ὄντας.*

39. *καὶ κατὰ μέρη καὶ ξύμπαντα.* In codd. optimis Reg. Caſſ. Aug. legitur *κατὰ τὰ μέρη,* quod non ſpreverim, quia de certis et tribus partibus diſtincte locutus fuerat Scriptor, de locupletibus, de prudentibus, de multitudine imperitiore.

40. *τοῦτο μὲν ἂν καὶ ἴσον.* Ante *ἴσον* codd. plurimi *καὶ* habent, quod recepi cum Waſſio et Benedicto. — Verbum *μετασχεῖν* h. l. accuſativo iungitur, quod notandum. — *τοῦτο μέν,* i. e *τὸ τῆς πόλεως ξύμπασι κοινὸν αὔξειν.*

ὡς προαισθανομένους —

τρέψοντας, ἀπαλλαγῆτε. Ἡ γὰρ πόλις ἥδε, καὶ εἰ ἔρχονται Ἀθηναῖοι, ἀμυνεῖται αὐτοὺς ἀξίως αὐτῆς· καὶ στρατηγοί εἰσιν ἡμῖν, οἳ σκέψονται αὐτά· καὶ, εἰ μή τι αὐτῶν ἀληθές ἐστιν, (ὥςπερ οὐκ οἴομαι,) οὐ, πρὸς τὰς ὑμετέρας ἀγγελίας καταπλαγεῖσα, καὶ ἑλομένη ὑμᾶς ἄρχοντας, αὐθαίρετον δουλείαν ἐπιβαλεῖται· αὐτὴ δ' ἐφ' ἑαυτῆς σκοποῦσα, τούς τε λόγους ἀφ' ὑμῶν ὡς ἔργα δυναμένους κρινεῖ, καὶ τὴν ὑπάρχουσαν ἐλευθερίαν οὐχὶ ἐκ τοῦ ἀκούειν ἀφαιρεθήσεται, ἐκ δὲ τοῦ ἔργῳ φυλασσομένη μὴ ἐπιτρέπειν πειράσεται σώζειν."

41. Τοιαῦτα μὲν Ἀθηναγόρας εἶπε. Τῶν δὲ στρατηγῶν εἷς, ἀναστὰς, ἄλλον μὲν οὐδένα ἔτι εἴασε παρελθεῖν, αὐτὸς δὲ πρὸς τὰ παρόντα ἔλεξε τοιάδε. „Διαβολὰς μὲν, οὐ σῶφρον, οὔτε λέγειν τινὰς ἐς ἀλλήλους, οὔτε τοὺς ἀκούοντας ἀποδέχεσθαι· πρὸς δὲ τὰ

esse docebat. 41. Hanc sententiarum contentionem tandem unus e praetoribus diremit, in Hermocratis ra-

Scholiasta: ἀντὶ τοῦ, προαισθησομένων καὶ μὴ ἐπιτρεψόντων ἡμῶν (sic enim scribendum pro ὑμῶν.) Sed ita illa verba intelligere non sinunt linguae leges. Codices Gr. Reg. Aug. et ex emendatione Cass. exhibent ὡς πρὸς αἰσθανομένους. Ita si legisset Scholiasta, recte haberet eius interpretatio. Sed legisse videtur προ αισθανομένους. Fortasse igitur aliquis scribendum putet ὡς ἐς προαισθανομ., (quod ἐς saepissime post ὡς excidit;) unde lectio codd. πρὸς αἰσθανομένους correctione orta esse possit. (Sed potius legendum ὡς πρὸς αἰσθ., quemadmodum infra cap. 86. ἀναισθήτους dicit.

καὶ, εἰ μή τι αὐτῶν ἀληθές ἐστιν. Hoc respondet praecedenti καὶ εἰ ἔρχονται Ἀθηναῖοι, estque pro καὶ εἰ μὴ ἔρχονται Ἀθ. Quare ante καὶ εἰ μὴ minus plene distinguendum est. Monui propter Baueri infelicissimam correctionem εἰ μέν τι αὐτῶν —. Ad ὥςπερ οὐκ οἴομαι subaudi αὐτὰ ἀληθῆ ὄντα.

αὐτὴ δ' ἐφ' ἑαυτῆς. Non audio Duckerum ἀφ' ἑαυτῆς e deterioribus libris commendantem. Aliud est ἀφ' ἑαυτῆς, *ultro, non alterius iussu*, (cf. 4, 68. 5, 60) aliud ἐφ' ἑαυτῆς, *non alio ad consilium adhibito, per se*. Cf. Abresch. et Wolf. ad Demosth. Lept. p. 319. — Paullo post ὡς iungo cum participio δυναμένους, unde pendeat accusativus ἔργα. Ἔργα δύνανται οἱ λόγοι, rebus aequalia aestimantur.

41. τοιαῦτα μὲν Ἀθηναγόρας. Codices bene multi addunt μέν, quod vulgo abest, contra Thucydidis morem. Quare restitui.

ἐσαγγελλόμενα μᾶλλον ὁρᾶν, ὅπως εἷς τε ἕκαστος καὶ ἡ ξύμπασα πόλις καλῶς τοὺς ἐπιόντας παρασκευασώμεθα ἀμύνεσθαι. Καὶ, ἢν ἄρα μηδὲν δεήσῃ, οὐδεμία βλάβη τοῦ τε τὸ κοινὸν κοσμηθῆναι καὶ ἵπποις καὶ ὅπλοις, καὶ τοῖς ἄλλοις, οἷς ὁ πόλεμος ἀγάλλεται. Τὴν δ' ἐπιμέλειαν καὶ ἐξέτασιν αὐτῶν ἡμεῖς ἕξομεν, καὶ τῶν πρὸς τὰς πόλεις διαπομπῶν ἅμα, ἔς τε κατασκοπὴν, καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον. τὰ δὲ καὶ ἐπιμεμελήμεθα ἤδη, καὶ, ὅ, τι ἂν αἰσθώμεθα, ἐς ὑμᾶς οἴσομεν." Καὶ οἱ μὲν Συρακούσιοι, τοσαῦτα εἰπόντος τοῦ στρατηγοῦ, διελύθησαν ἐκ τοῦ ξυλλόγου.

42. Οἱ δ' Ἀθηναῖοι ἤδη ἐν τῇ Κερκύρᾳ, αὐτοί τε καὶ οἱ ξύμμαχοι ἅπαντες, ἦσαν· καὶ πρῶτον μὲν ἐπεξέτασιν τοῦ στρατεύματος, καὶ ξύνταξιν, ὥςπερ ἔμελλον ὁρμιεῖσθαί τε καὶ στρατοπεδεύεσθαι, οἱ στρατηγοὶ ἐποιήσαντο· καὶ τρία μέρη νείμαντες, ἓν ἑκάστῳ ἐκλήρωσαν, ἵνα μήτε, ἀναπλέοντες, ἀπορῶσιν ὕδατος, καὶ λιμένων, καὶ τῶν ἐπιτηδείων ἐν ταῖς καταγωγαῖς, πρός τε τἄλλα εὐκοσμότεροι καὶ ῥᾴους ἄρχειν ὦσι, κατὰ τέλη στρατηγῷ προςτεταγμένοι· ἔπειτα δὲ προὔπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν τρεῖς

tionem propenſior; et profeſſus rerum neceſſariarum procurationem, utpote minime civitati noxiam, etiamſi non utilem, concionem dimiſit. 42. Interim Athenienſes, claſſe Corcyrae recenſita et trifariam diviſa, navibusque

παρασκευασώμεθα ἀμύνεσθαι. Ita e codicibus repoſui cum Benedicto. Vulgo παρασκευαζώμεθα.

οὐδεμία βλάβη τοῦ τε τὸ κοινὸν κοσμηθῆναι. Abundat τέ, nec eſt quo referatur. Fortaſſe ex γέ ortum, et hoc reponendum eſt. Idem videbatur Abreſchio.

42. ἐν ἑκάστῳ ἐκλήρωσαν. Gottleberus, una cum Reiskio et Corayo, recte legere volebat: ἓν ἑκάστῳ. Nam vulgata lectio dura et inepta eſt, ſive τὰ ἐπιτήδεια ad ἐκλήρωσαν ſubaudias, ſeu verba ἐν ἑκάστῳ accipias pro περὶ ἑκάστου. Non enim de qualibet ſingula parte ſortitio fiebat, ſed de omnibus una.

ἀναπλέοντες. Quod Valla legiſſe videtur, ἅμα πλέοντες, vulgato praeferendum eſt, quia rationem reddit, cur aqua, portus, neceſſaria deficere poſſint exercitum. Reponerem, ſi vel unus codex addiceret. — καταγωγαί ſunt navium ſubvectiones in portum.

ναῦς, εἰσομένας, αἵτινες σφᾶς τῶν πόλεων δέξονται. καὶ εἴρητο αὐταῖς προαπαντᾶν, ὅπως ἐπιστάμενοι καταπλέωσι.

43. *Μετὰ δὲ ταῦτα, τοσῇδε ἤδη τῇ παρασκευῇ Ἀθηναῖοι ἄραντες ἐκ τῆς Κερκύρας, ἐς τὴν Σικελίαν ἐπεραιοῦντο· τριήρεσι μὲν ταῖς πάσαις, τέσσαρσι καὶ τριάκοντα καὶ ἑκατὸν, καὶ δυοῖν Ῥοδίοιν πεντηκοντόροιν· (τούτων Ἀττικαὶ μὲν ἦσαν ἑκατὸν, ὧν αἱ μὲν ἑξήκοντα, ταχεῖαι, αἱ δ' ἄλλαι, στρατιώτιδες· τὸ δὲ ἄλλο ναυτικὸν, Χίων, καὶ τῶν ἄλλων ξυμμάχων·) ὁπλίταις δὲ τοῖς ξύμπασιν, ἑκατὸν καὶ πεντακισχιλίοις· (καὶ τούτων, Ἀθηναίων μὲν αὐτῶν ἦσαν πεντακόσιοι μὲν καὶ χίλιοι ἐκ καταλόγου, ἑπτακόσιοι δὲ θῆτες, ἐπιβάται τῶν νεῶν· ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνεστράτευον, οἱ μὲν τῶν ὑπηκόων, οἱ δ' Ἀργείων πεντακόσιοι, καὶ Μαντινέων καὶ μισθοφόρων πεντήκοντα καὶ διακόσιοι·) τοξόταις δὲ τοῖς πᾶσιν, ὀγδοήκοντα καὶ τετρακοσίοις· (καὶ τούτων Κρῆτες οἱ ὀγδοήκοντα ἦσαν·) καὶ σφενδονήταις Ῥοδίων ἑπτακοσίοις, καὶ Μεγαρεῦσι ψιλοῖς, φυγάσιν, εἴκοσι καὶ ἑκατόν· καὶ ἱππαγωγῷ μιᾷ, τριάκοντα ἀγούσῃ ἱππέας.*

tribus ad explorationem praemiſſis, 43. in Siciliam traiiciunt cum triremibus centum et triginta, quarum centum Atticae, reliquae ſociorum; cum quinque millibus et centum gravis armaturae; quadringentis octoginta ſagittariis, ſeptingentis funditoribus, et triginta equitibus.

43. *τέσσαρσι καὶ τριάκ. καὶ ἑκατόν.* Diodor. Sic. 13, 2. triremes armatas 140, milites 7000 fuiſſe tradit.

στρατιώτιδες, eaedem ſunt, quae ſupra cap. 31. dicebantur *ὁπλιταγωγοί*. Nam habebant *ἐπιβάτας*, i. e. *μαχητάς*, ad pugnam terreſtrem inſtructos milites. Cf. Duck. ad h. l. Schol. ad 1, 116. *στρατιώτιδες] στρατιώτας ἄγουσαι τοὺς μέλλοντας πεζομαχεῖν.* Eiusmodi Scholion etiam noſtro loco exſtat, ubi perperam verbis: *ὁπλίταις δὲ τοῖς ξύμπασι*, ſubmiſſum eſt, cum ad aliud caput, nempe *στρατιώτιδες* referendum ſit. — *ταχεῖαι, πρὸς ναυμαχίαν ἐπιτήδειοι.* In fine capitis etiam una *ἱππαγωγός* navis (plurali *τῶν ἱππαγωγῶν* utitur Diodor. 13, 2.) memoratur, quae praeter equos nihil niſi equites vehebat. Vid. 2, 56. 4,

44. Τοσαύτη ἡ πρώτη παρασκευὴ πρὸς τὸν πόλεμον διέπλει. Τούτοις δὲ τὰ ἐπιτήδεια ἄγουσαι ὁλκάδες μὲν τριάκοντα σιταγωγοὶ, καὶ τοὺς σιτοποιοὺς ἔχουσαι, καὶ λιθολόγους, καὶ τέκτονας, καὶ ὅσα ἐς τειχισμὸν ἐργαλεῖα, πλοῖα δὲ ἑκατὸν, ἃ ἐξ ἀνάγκης μετὰ τῶν ὁλκάδων ξυνέπλει, πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἑκούσιοι ξυνηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα· ἃ τότε πάντα ἐκ τῆς Κερκύρας ξυνδιέβαλε τὸν Ἰόνιον κόλπον. Καὶ προσβαλοῦσα ἡ πᾶσα παρασκευὴ πρός τε ἄκραν Ἰαπυγίαν, καὶ πρὸς Τάραντα, καὶ ὡς ἕκαστοι εὐπόρησαν, παρεκομίζοντο τὴν Ἰταλίαν, τῶν μὲν πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ

44. Praeterea commeatum praebebant triginta naves onerariae; et centum alia navigia neceſſario aderant onerariis, praeter multa illa, quae ultro claſſem comitabantur negotiandi cauſa. — A nulla Italiae urbe recepti, praeter-

42., ubi diſerte diſtinguuntur a ceteris navibus, quae ὁπλίτας vehebant, et erant ὁπλιταγωγοί.

44. τούτοις δὲ τὰ ἐπιτήδεια — ἕνεκα. In τούτοις nihil eſt difficultatis, ſi ex uſitatiſſima Thucydidi ratione loquendi e παρασκευῇ nautas cogites. Ne dativus quidem impedimento eſſe poſſet, ſive ad ἄγουσαι, ſive ad ξυνηκολούθουν relatus, ſeu potius ad utrumque, niſi ſequeretur alius dativus τῇ στρατιᾷ, qui verbum ξυνηκολούθουν ſibi vindicat. Cum igitur non adſit aliud verbum finitum praeter ξυνέπλει, quod ab ἃ pendet, ſtructura impedita eſt, quia potior periodi pars caret verbo. Cod. Cl. omittit ἅ, quod probabat Duckerus. Mihi non veriſimile eſt, pronomen in omnibus praeter unum codicibus eſſe adiectum. Thucydidem potius verba τῇ στρατιᾷ addidiſſe puto praeter neceſſitatem, cum verborum a periodi initio poſitorum minus clare meminiſſet. Nam verba τῇ στρατιᾷ nihil amplius quam τούτοις in mentem revocant. — ἐξ ἀνάγκης, privatorum enim erant. Simile eſt Latinorum *comprehendere naves*, et recentiorum *Matroſen preſſen.*

τῶν μὲν πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ —. Diodor. 13, 3. Ὑπὸ μὲν οὖν Ταραντίνων οὐ προσεδέχθησαν, Μεταποντίνους δὲ καὶ Ἡρακλειώτας παρέπλευσαν· εἰς δὲ Θουρίους κατενεχθέντες, πάντων ἔτυχον τῶν φιλανθρώπων. Ἐκεῖθεν δὲ καταπλεύσαντες εἰς Κρότωνα, καὶ λαβόντες ἀγορὰν παρὰ τῶν Κροτωνιατῶν, τῆς τε Λακινίας Ἥρας τὸ ἱερὸν παρέπλευσαν, καὶ τὴν Διοσκουριάδα καλουμένην ἄκραν ὑπερέθεντο. Μετὰ δὲ ταῦτα τό καλούμενόν τε Σκυλλήτιον καὶ Λοκροὺς παρήλλαξαν· καὶ τοῦ Ῥηγίου καθορμισθέντες ἐγγὺς, ἔπεισαν τοὺς Ῥηγίνους συμμαχεῖν· οἱ δὲ ἀπεκρίναντο βουλεύσεσθαι μετὰ τῶν ἄλλων Ἰταλιωτῶν.

οὐδὲ ἄστει, ὕδατι δὲ καὶ ὅρμῳ, Τάραντος δὲ καὶ Λοκρῶν οὐδὲ τούτοις· ἕως ἀφίκοντο ἐς Ῥήγιον, τῆς Ἰταλίας ἀκρωτήριον, καὶ ἐνταῦθά ἤδη ἠθροίζοντο. Καὶ ἔξω τῆς πόλεως, ὡς αὐτοὺς εἴσω οὐκ ἐδέχοντο, στρατόπεδόν τε κατεσκευάσαντο ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ, οὗ αὐτοῖς καὶ ἀγορὰν παρεῖχον· καὶ τὰς ναῦς ἀνελκύσαντες ἡσύχασαν· καὶ πρός τε τοὺς Ῥηγίνους λόγους ἐποιήσαντο, ἀξιοῦντες, Χαλκιδέας ὄντας, Χαλκιδεῦσιν οὖσι Λεοντίνοις βοηθεῖν. Οἱ δὲ οὐδὲ μεθ' ἑτέρων ἔφασαν ἔσεσθαι, ἀλλ', ὅ, τι ἂν καὶ τοῖς ἄλλοις Ἰταλιώταις ξυνδοκῇ, τοῦτο ποιήσειν. Οἱ δέ, πρὸς τὰ ἐν τῇ Σικελίᾳ πράγματα, ἐσκόπουν, ὅτῳ τρόπῳ ἄριστα προσοίσονται· καὶ τὰς πρόπλους ναῦς ἐκ τῆς Ἐγέστης ἅμα προσέμενον, βουλόμενοι εἰδέναι περὶ τῶν χρημάτων, εἴ ἐστιν, ἃ ἔλεγον ἐν ταῖς Ἀθήναις οἱ ἄγγελοι.

45. Τοῖς δὲ Συρακουσίοις ἐν τούτῳ πολλαχόθεν τε ἤδη καὶ ἀπὸ τῶν κατασκόπων σαφῆ ἠγγέλλετο, ὅτι ἐν Ῥηγίῳ αἱ νῆες εἰσί. Καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ γνώμῃ, καὶ οὐκέτι ἠπίστουν· καὶ ἔς τε τοὺς Σικελοὺς περιέπεμπον, ἔνθα μέν, φύλακας, πρὸς δὲ τούς, πρέσβεις· καὶ ἐς τὰ περιπόλια τὰ ἐν τῇ

quam quod nonnullae ad littus appellere non vetarent, ad Rhegium caſtra poſuerunt, reditum navium praemiſſarum exſpectantes. 45. Interim Syracuſani, de adventu Athenienſium non amplius dubitantes, quocumque poſſunt

45. *καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο.* Miſere ſe torquent Abreſchius et Bauerus, ille *ἐξῆν*, hic *εἰκὸς* poſt *ὡς* ſubaudiens, quod utrumque et unde petant, et quomodo concoquere potuerint, neſcias. In errorem eos induxit Scholion: *ἐπὶ τούτοις] μετὰ ταῦτα*, quae h. l. prorſus aliena eſt interpretatio. *Ὡς* neque eſt *quum*, neque *ut*, ſed cum *ἐπὶ τούτοις* iungendum, quod e Duckeri brevi annotatione diſcere potuiſſent viri doctiſſimi, qui recte comparat *παρασκευάζεσθαι ὡς ἐπὶ μάχῃ, ναυμαχίᾳ.* Ita hoc ipſo capite *ὡς ἐπὶ ταχεῖ πολέμῳ καὶ ὅσον οὐ παρόντι τἄλλα καθίσταντο.*

καὶ ἐς τὰ περίπλοια. Haec eſt codicum plurimorum ſcriptura; nonnulli (Marg. C. Gr. unus Pariſ.) et edd. vett. praebent *περιπόλια*, quod pro varia lectione affert Schol., Duckero recte probatum et plerisque recentioribus Criticis. *Περιπόλια,* i. e.

χώρᾳ φρουρὰς ἐςεκόμιζον· τά τε ἐν τῇ πόλει, ὅπλων ἐξετάσει καὶ ἵππων, ἐσκόπουν, εἰ ἐντελῆ ἐστι· καὶ τἄλλα, ὡς ἐπὶ ταχεῖ πολέμῳ καὶ ὅσον οὐ παρόντι, καθίσταντο.

46. Αἱ δ' ἐκ τῆς Ἐγέστης τρεῖς νῆες αἱ πρόπλοι παραγίγνονται τοῖς Ἀθηναίοις ἐς τὸ Ῥήγιον, ἀγγέλλουσαι, ὅτι τἄλλα μὲν οὐκ ἔστι χρήματα, ἃ ὑπέσχοντο, τριάκοντα δὲ τάλαντα μόνα φαίνεται. Καὶ οἱ στρατηγοὶ εὐθὺς ἐν ἀθυμίᾳ ἦσαν, ὅτι αὐτοῖς τοῦτό τε πρῶτον ἀντεκεκρούκει, καὶ οἱ Ῥηγῖνοι, οὐκ ἐθελήσαντες ξυστρατεύειν, οὓς πρῶτον ἤρξαντο πείθειν, καὶ εἰκὸς ἦν μάλιστα, Λεοντίνων τε ξυγγενεῖς ὄντας, καὶ σφίσιν ἀεὶ ἐπιτηδείους. Καὶ τῷ μὲν Νικίᾳ προςδεχομένῳ ἦν τὰ παρὰ τῶν Ἐγεσταίων, τοῖν δὲ ἑτέροιν καὶ ἀλογώτερα. Οἱ δὲ Ἐγεσταῖοι τοιόνδε τι ἐξετεχνήσαντο τότε, ὅτε οἱ πρῶτοι πρέσβεις τῶν Ἀθηναίων ἦλθον αὐτοῖς ἐς τὴν κατασκοπὴν τῶν χρημάτων· ἔς τε τὸ ἐν Ἔρυκι ἱερὸν τῆς Ἀφροδίτης ἀγαγόντες αὐτοὺς, ἐπέδειξαν τὰ

modo ad defenſionem ſe parant. 46. Reverſis autem navibus exploratoriis, cum neque Segeſtae eam eſſe pecuniam, quae iactabatur, comperiſſent, nec Rhegini ad ſocietatem adduci potuiſſent; deliberatio fit ducum. Athe-

caſtella, munimenta, φρούρια τῶν περιπόλων, quae rurſus habes 7, 48. cf. 3, 99., multo aptius videtur vocabulum, quam περίπλοια, quod alibi non legitur, ac, ſi ſanum ſit, ſignificet non *navigia littus* cuſtodiae cauſa *circumeuntia*, ſed *loca, quae circumiri navibus poſſint*, per quae transitus navibus pateat ad urbem. Similis litterarum permutatio eſt 5, 115. χρήσιμα, ubi vulgo olim χρήμασι.

46. καὶ οἱ Ῥηγῖνοι, ſubaudi vel repete ἀντεκεκρούκεισαν.

καὶ εἰκὸς ἦν μάλιστα, int. ξυστρατεύειν, qui infinitivus etiam ad πείθειν ſubaudiendus.

τὰ παρὰ τῶν Ἐγεσταίων. Vulgo περί, contra codices, quod non neglectum a Benedicto.

ἐξετεχνήσαντο τότε, ὅτε οἱ πρῶτοι πρέσβεις. Vid. ſupra cap. 6 coll. c. 8. Duckero ſuſpectum videbatur τότε, tamquam factum e praecedente το et ſequente ὅτε. Sed vana eſt haec ſuſpicio, cum praeſtantiſſimi codices vocem τότε tueantur, deteriores autem duo, qui habent ἐξετεχνήσαντό τε ὅτε, facilius alterum το omittere potuerint, quam omnes reliqui appingere τότε.

ἀναθήματα, φιάλας τε, καὶ οἰνοχόας, καὶ θυμιατήρια, καὶ ἄλλην κατασκευὴν οὐκ ὀλίγην· ἅ, ὄντα ἀργυρᾶ, πολλῷ πλείω τὴν ὄψιν ἀφ᾽ ὀλίγης δυνάμεως χρημάτων παρείχετο· καὶ ἰδίᾳ ξενίσεις ποιούμενοι τῶν τριηριτῶν, τά τε ἐξ αὐτῆς Ἐγέστης ἐκπώματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ ξυλλέξαντες, καὶ τὰ ἐκ τῶν ἐγγὺς πόλεων καὶ Φοινικικῶν καὶ Ἑλληνίδων αἰτησάμενοι, ἐσέφερον ἐς τὰς ἑστιάσεις, ὡς οἰκεῖα ἕκαστοι· καὶ πάντων ὡς ἐπὶ τὸ πολὺ τοῖς αὐτοῖς χρωμένων, καὶ πανταχοῦ πολλῶν φαινομένων, μεγάλην τὴν ἔκπληξιν τοῖς ἐκ τῶν τριηρῶν Ἀθηναίοις παρεῖχε. Καὶ ἀφικόμενοι ἐς τὰς Ἀθήνας, διεθρόησαν, ὡς χρήματα πολλὰ ἴδοιεν. Καὶ οἱ μὲν, αὐτοί τε ἀπατηθέντες, καὶ τοὺς ἄλλους τότε πείσαντες, ἐπειδὴ διῆλθεν ὁ λόγος, ὅτι οὐκ εἴη ἐν τῇ Ἐγέστῃ τὰ χρήματα, πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν. Οἱ δὲ στρατηγοὶ πρὸς τὰ παρόντα ἐβουλεύοντο.

47. Καὶ Νικίου μὲν ἦν γνώμη, πλεῖν ἐπὶ Σελινοῦντα πάσῃ τῇ στρατιᾷ, ἐφ᾽ ὅπερ μάλιστα ἐπέμφθησαν· καὶ, ἢν μὲν παρέχωσι χρήματα παντὶ τῷ στρατεύματι Ἐγεσταῖοι, πρὸς ταῦτα βουλεύεσθαι· εἰ δὲ μὴ, ταῖς ἑξήκοντα ναυσὶν, ὅσασπερ ᾐτήσαντο, ἀξιοῦν, διδόναι αὐτοὺς τροφήν· καὶ παραμείναντας, Σελινουντίους ἢ βίᾳ, ἢ ξυμβάσει, διαλλάξαι αὐτοῖς, καὶ οὕτω παραπλεύσαντας τὰς ἄλλας πόλεις, καὶ ἐπιδείξαντας μὲν τὴν δύναμιν τῆς Ἀθηναίων πόλεως, δηλώσαντας

nienſium. 47. Et Niciae quidem videbatur, cum omnibus copiis adverſus Selinuntem proficiſci, aut, ſi omni exercitui alendo impares eſſent Segeſtani, cum ſexaginta triremibus, quas ipſi poſtulaſſent; conciliata autem illa urbe aut vi, aut compoſitione, Segeſtanis, domum abire, niſi quid commodi Leontinis afferre, aliosve

ἀφ᾽ ὀλίγης δυνάμεως. Schol. ὀλίγα τῇ δυνάμει ὄντα, μεγάλην φαντασίαν παρεῖχε.

πολλὴν τὴν αἰτίαν. Benedictus coniicit πολλήν τινα αἰτ. Sed vide ad 1, 71.

47. διαλλάξαι αὐτοῖς, nempe *Segeſtanis*.

δὲ τὴν ἐς τοὺς φίλους καὶ ξυμμάχους προθυμίαν, ἀποπλεῖν οἴκαδε, ἢν μή τι δι' ὀλίγου καὶ ἀπὸ τοῦ ἀδοκήτου ἢ Λεοντίνους οἷοί τε ὦσιν ὠφελῆσαι, ἢ τῶν ἄλλων τινὰ πόλεων προσαγαγέσθαι, καὶ τῇ πόλει, δαπανῶντας τὰ οἰκεῖα, μὴ κινδυνεύειν.

48. Ἀλκιβιάδης δὲ οὐκ ἔφη χρῆναι, τοσαύτῃ δυνάμει ἐκπλεύσαντας, αἰσχρῶς καὶ ἀπράκτως ἀπελθεῖν, ἀλλ' ἔς τε τὰς πόλεις ἐπικηρυκεύεσθαι, πλὴν Σελινοῦντος καὶ Συρακουσῶν, τὰς ἄλλας, καὶ πειρᾶσθαι καὶ τοὺς Σικελοὺς, τοὺς μὲν ἀφιστάναι ἀπὸ τῶν Συρακουσίων, τοὺς δὲ φίλους ποιεῖσθαι, ἵνα σῖτον καὶ στρατιὰν ἔχωσι· πρῶτον δὲ πείθειν Μεσσηνίους (ἐν πόρῳ γὰρ μάλιστα καὶ προςβολῇ εἶναι αὐτοὺς τῆς Σικελίας, καὶ λιμένα καὶ ἐφόρμησιν τῇ στρατιᾷ ἱκανωτάτην ἔσεσθαι·) προσαγαγομένους δὲ τὰς πόλεις, εἰδότας, μεθ' ὧν τις πολεμήσει, οὕτως ἤδη Συρακούσαις καὶ Σελινοῦντι ἐπιχειρεῖν, ἢν μὴ οἱ μὲν Ἐγεσταίοις ξυμβαίνωσιν, οἱ δὲ Λεοντίνους ἐῶσι κατοικίζειν.

49. Λάμαχος δὲ ἄντικρυς ἔφη χρῆναι πλεῖν ἐπὶ Συρακούσας, καὶ πρὸς τῇ πόλει ὡς τάχιστα τὴν μάχην

ad ſocietatem in tranſitu poſſent adigere. 48. Contra Alcibiades non decere dicebat, cum tanto exercitu infecta re abscedere; ſed urbes Siciliae omnes, praeter Selinuntem et Syracuſas per legationes Athenienſibus conciliare iubebat, initio facto a Meſſeniis; et tum demum aggredi Syracuſas et Selinuntem, niſi poſtulatis obtemperarent. 49. Lamachi denique ſententia utrique contraria erat. Suadebat enim, ut confeſtim impetum face-

καὶ τῇ πόλει — κινδυνεύειν. Virgulas poſui poſt πόλει et οἰκεῖα, ne ambigua et incerta ſit ſententia, quam ita reddit Kiſtemak.: „rempublicam in periculum adducere, domeſtica (i. e. reipubl. bona) conſumentes." Alii aliter.

48. καὶ λιμένα καὶ ἐφόρμησιν — ἔσεσθαι. Etiam haec verba ad parentheſin pertinent, vulgo poſt nomen Σικελίας clauſam. — ἐφόρμησις eſt ἔφορμος, locus ad appellendas naves aptus.

Λεοντίνους ἐῶσι κατοικίζειν. Hoc quo pertineat, lege 5, 4.

49. ἄντικρυς ἔφη χρῆναι πλεῖν. Ἄντικρυς, quod valet h. l. *ſtatim, e veſtigio*, iungendum eſt cum πλεῖν.

ποιεῖσθαι, ἕως ἔτι ἀπαράσκευοί τε εἰσὶ, καὶ μάλιστα ἐκπεπληγμένοι. Τὸ γὰρ πρῶτον πᾶν στράτευμα δεινότατον εἶναι· ἢν δὲ χρονίσῃ, πρὶν ἐς ὄψιν ἐλθεῖν, τῇ γνώμῃ ἀναθαρσοῦντας ἀνθρώπους, καὶ τῇ ὄψει καταφρονεῖν μᾶλλον. Αἰφνίδιοι δὲ ἢν προςπέσωσιν, ἕως ἔτι περιδεεῖς προσδέχονται, μάλιστ' ἂν σφᾶς περιγενέσθαι, καὶ κατὰ πάντα ἂν αὐτοὺς ἐκφοβῆσαι, τῇ τε ὄψει (πλεῖστοι γὰρ ἂν νῦν φανῆναι,) καὶ τῇ προςδοκίᾳ, ὧν πείσονται, μάλιστα δ' ἂν τῷ αὐτίκα κινδύνῳ τῆς μάχης. Εἰκὸς δὲ εἶναι, καὶ ἐν τοῖς ἀγροῖς πολλοὺς ἀποληφθῆναι ἔξω, διὰ τὸ ἀπιστεῖν, σφᾶς μὴ ἥξειν· καὶ ἐςκομιζομένων αὐτῶν, τὴν στρατιὰν οὐκ ἀπορήσειν χρημάτων, ἢν πρὸς τῇ πόλει κρατοῦσα καθέζηται. Τούς τε ἄλλους Σικελιώτας οὕτως ἤδη μᾶλλον καὶ ἐκείνοις οὐ ξυμμαχήσειν, καὶ σφίσι προςιέναι, καὶ οὐ διαμελλήσειν περισκοποῦντας, ὁπότεροι κρατήσουσι. Ναύσταθμον δὲ, ἐπαναχωρήσαντας, καὶ ἐφορμηθέντας, Μέγαρα, ἔφη, χρῆναι ποιεῖσθαι, ἃ ἦν ἔρημα, ἀπέχοντα Συρακουσῶν οὔτε πλοῦν πολὺν, οὔτε ὁδόν.

50. *Λάμαχος μὲν, ταῦτα εἰπὼν, ὅμως προςέθετο καὶ αὐτὸς τῇ Ἀλκιβιάδου γνώμῃ. Μετὰ δὲ τοῦτο*

rent in Syracufas, priusquam fatis parati effent. Ita enim bellum profligari poffe docebat, cum omnes Siculi victori effent conceffuri. 50. Sed poftea Lamachus in Alci-

πλεῖστοι γὰρ ἂν νῦν φανῆναι. Debebat effe *πλείστους*, monente Bauero. Lamachus enim loquitur, non Athenienfes, quos tamen hic tamquam dicentes in mente habuiffe videtur Thucydides.

καὶ ἐςκομιζομένων αὐτῶν, int. *τῶν ἐν τοῖς ἀγροῖς Συρακουσίων τὰ ἑαυτῶν ἐς τὴν πόλιν ἐςκομιζομένων*, i. e. *μεταφερόντων*.

Μέγαρα. Haec funt Megara illa Hyblaea, quae Gelo, Syracufarum tyrannus, incolis exuit. Vid. 6, 4. — Verba: *ἐπαναχωρήσαντας, καὶ ἐφορμηθέντας* ad naves folas refero, quae, poftquam ad littus Syrafiorum milites advexiffent, caftris pofitis et munitis, certe maximam partem Megara, tamquam locum maxime opportunum navium ftationi, fe reciperent. *καὶ* explicationi infervit; nam *ἐφορμηθέντας* ex hac interpretatione iam intelligendum fuerit in *ἐπαναχωρήσαντας*.

50. *ὅμως προςέθετο καὶ αὐτός.* Tredecim codices omit-

Ἀλκιβιάδης, τῇ αὑτοῦ νηῒ διαπλεύσας ἐς Μεσσήνην, καὶ λόγους ποιησάμενος περὶ ξυμμαχίας πρὸς αὐτοὺς, ὡς οὐκ ἔπειθεν, ἀλλ' ἀπεκρίναντο, πόλει μὲν ἂν οὐ δέξασθαι, ἀγορὰν δ' ἔξω παρέξειν, ἀπέπλει ἐς τὸ Ῥήγιον. Καὶ εὐθὺς ξυμπληρώσαντες ἑξήκοντα ναῦς ἐκ πασῶν οἱ στρατηγοὶ, καὶ τὰ ἐπιτήδεια λαβόντες, παρέπλεον ἐς Νάξον, τὴν ἄλλην στρατιὰν ἐν Ῥηγίῳ καταλιπόντες καὶ ἕνα σφῶν αὐτῶν. Ναξίων δὲ δεξαμένων τῇ πόλει, παρέπλεον ἐς Κατάνην. Καὶ ὡς αὐτοὺς οἱ Καταναῖοι οὐκ ἐδέχοντο, (ἐνῆσαν γὰρ αὐτόθι ἄνδρες τὰ Συρακουσίων βουλόμενοι) ἐκομίσθησαν ἐπὶ τὸν Τηρίαν ποταμὸν, καὶ αὐλισάμενοι, τῇ ὑστεραίᾳ ἐπὶ Συρακούσας ἔπλεον ἐπὶ κέρως, ἔχοντες τὰς ἄλλας ναῦς·

biadis ſententiam conceſſit. Et cum Meſſenii negarent ſocietatem, cum ſexaginta navibus Rhegio profecti duces, Naxum, ubi recepti ſunt, inde Catanam, acceſſerunt. Quam urbem, ab initio abnuentem Athenienſium ſocieta-

tunt particulam καί, quae ex Thucydidis more abeſſe vix poteſt, niſi ſimul αὐτός deleatur. Mira ſunt, quae h. l. disputat Benedictus, nec digna quae refutentur. Quamquam omiſſio particulae in tot codicibus ex iis eſt vitiis, quorum cauſam parum perſpicio.

πόλει μὲν ἂν οὐ δέξασθαι. Vulgo δέξεσθαι legitur, quod propter ſequens παρέξειν ex emendatione factum videtur. Nam rarior apud Thucydidem eſt ea ſtructura, qua ἄν cum futuro iungitur; pleruinque aoriſto utitur cum ἄν coniuncto, pro futuro ſimpliciter poſito. Vid. ad 5, 15. coll. 1, 96., ubi exempla aoriſti etiam ſine ἄν congeſta reperies. Ut hoc loco a vulgata ſcriptura abiremus, effecit codicum Reg. Caſſ. Aug. Gr. auctoritas.

ἐπὶ κέρως, ἔχοντες τὰς ἄλλας ναῦς. Praeſtantiſſimi codices Cam. Reg. Caſſ. Aug. Pariſſ. tres exhibent ἐπικαίρως, quibus accedit unius Pariſ. ſcriptura depravata ἐπιχαιρος, Schol. et Valla, qui vertit: *claſſe opportune digeſta.* Eadem lectio in omnibus vett. edd. reperitur. Tamen vulgata videtur retinenda, modo ἐπὶ κέρως ad ἔπλεον referatur, non ad ἔχοντες τὰς ἄλλας ναῦς, quae verba ſequentibus δέκα δέ — oppoſita ſunt. Comma igitur demum poſt κέρως, et ante δέκα colon ponendum eſt. Ita cap. 52. habes ἐπὶ κέρως ἐκπλεύσαντες. Sed cur ἐπὶ κέρως? Nimirum ut citius et meliore ordine ſuis, quos praemiſerant, opitulari, hoſtibus appropinquare poſſent. Atque hoc voluit Scholiaſtes, explicans: συντόμως, τεταγμένως, quod rectius ad ἐπὶ κέρως retuleris, quam ad ἐπικαίρως. — Mox οἱ ante Ἀθηναῖοι codices expungi iubent.

δέκα δὲ τῶν νεῶν προὔπεμψαν ἐς τὸν μέγαν λιμένα πλεῦσαί τε, καὶ κατασκέψασθαι, εἴ τι ναυτικόν ἐστι καθειλκυσμένον, καὶ κηρύξαι ἀπὸ τῶν νεῶν, προσπλεύσαντας, ὅτι Ἀθηναῖοι ἥκουσι, Λεοντίνους ἐς τὴν ἑαυτῶν κατοικιοῦντες, κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν· τοὺς οὖν ὄντας ἐν Συρακούσαις Λεοντίνων, ὡς παρὰ φίλους καὶ εὐεργέτας Ἀθηναίους ἀδεῶς ἀπιέναι. Ἐπεὶ δ' ἐκηρύχθη, καὶ κατεσκέψαντο τήν τε πόλιν καὶ τοὺς λιμένας καὶ τὰ περὶ τὴν χώραν, ἐξ ἧς αὐτοῖς ὁρμωμένοις πολεμητέα ἦν, ἀπέπλευσαν πάλιν ἐς Κατάνην.

51. Καὶ ἐκκλησίας γενομένης, τὴν μὲν στρατιὰν οὐκ ἐδέχοντο οἱ Καταναῖοι, τοὺς δὲ στρατηγοὺς, ἐσελθόντας, ἐκέλευον, εἴ τι βούλονται, εἰπεῖν. Καὶ, λέγοντος τοῦ Ἀλκιβιάδου, καὶ τῶν ἐν τῇ πόλει πρὸς τὴν ἐκκλησίαν τετραμμένων, οἱ στρατιῶται πυλίδα τινὰ ἐνῳκοδομημένην κακῶς ἔλαθον διελόντες· καὶ ἐσελθόντες, ἠγόραζον ἐς τὴν πόλιν. Τῶν δὲ Καταναίων, οἱ μὲν τὰ τῶν Συρακουσίων φρονοῦντες, ὡς εἶδον τὸ στράτευμα ἔνδον, εὐθὺς περιδεεῖς γενόμενοι, ὑπεξῆλθον, οὐ πολλοί τινές· οἱ δὲ ἄλλοι ἐψηφίσαντό τε ξυμμαχίαν τοῖς Ἀθηναίοις, καὶ τὸ ἄλλο στράτευμα ἐκέλευον ἐκ Ῥηγίου κομίζειν. Μετὰ δὲ τοῦτο πλεύσαντες οἱ Ἀθηναῖοι ἐς τὸ Ῥήγιον, πάσῃ ἤδη τῇ στρατιᾷ ἄραντες ἐς τὴν Κατάνην, ἐπειδὴ ἀφίκοντο, κατεσκευάζοντο τὸ στρατόπεδον.

tem, postea 51. clandestino impetu in suas partes traxerunt, eoque omnes copias, Rhegio abductas, trans-

ὡς παρὰ φίλους καὶ εὐεργέτας. Ἀθηναίους. Nihil moratus codicis Dan. lectionem Ἀθηναίους pro vulgato Ἀθηναίων, quod nemo explicaverit, suadentibus Duckero, Bauero et Benedicto, recepi. Bredovius quidem Ἀθηναίων interpretamentum esse suspicatur; sed non indicat, cuius verbi. Rectius Bauerus vulgatum ortum putat, quod genitivus fere sequi soleat vocabulum εὐεργέτης.

51. εἴ τι βούλονται. Ita pro ὅ, τι βουλ., codicibus iubentibus, reposui, ut sensus sit: *dicendi copiam* fecerunt; non *quidlibet loquendi facultatem* concesserunt.

ἠγόραζον ἐς τὴν πόλ. Schol. ἐν ἀγορᾷ διέτριβον.

52. Ἐσηγγέλλετο δὲ αὐτοῖς ἔκ τε Καμαρίνης, ὡς, εἰ ἔλθοιεν, προςχωροῖεν ἂν, καὶ ὅτι Συρακούσιοι πληροῦσι ναυτικόν. Ἁπάσῃ οὖν τῇ στρατιᾷ παρέπλευσαν, πρῶτον μὲν ἐπὶ Συρακούσας· καὶ, ὡς οὐδὲν εὗρον ναυτικὸν πληρούμενον, παρεκομίζοντο αὖθις ἐπὶ Καμαρίνης, καὶ σχόντες ἐς τὸν αἰγιαλὸν, ἐπεκηρυκεύοντο. Οἱ δ' οὐκ ἐδέχοντο, λέγοντες, σφίσι τὰ ὅρκια εἶναι, μιᾷ νηῒ καταπλεόντων Ἀθηναίων δέχεσθαι, ἢν μὴ αὐτοὶ πλείους μεταπέμπωσιν. Ἄπρακτοι δὲ γενόμενοι, ἀπέπλεον· καὶ ἀποβάντες κατά τι τῆς Συρακουσίας, καὶ ἁρπαγὴν ποιησάμενοι, καὶ τῶν Συρακουσίων ἱππέων βοηθησάντων, καὶ τῶν ψιλῶν τινὰς ἐσκεδασμένους διαφθειράντων, ἀπεκομίσθησαν ἐς Κατάνην.

53. Καὶ καταλαμβάνουσι τὴν Σαλαμινίαν ναῦν, ἐκ τῶν Ἀθηνῶν ἥκουσαν ἐπί τε Ἀλκιβιάδην, ὡς κελεύσοντας ἀποπλεῖν ἐς ἀπολογίαν, ὧν ἡ πόλις ἐνεκάλει, καὶ ἐπ' ἄλλους τινὰς τῶν στρατιωτῶν τῶν μετ' αὐτοῦ, μεμηνυμένων περὶ τῶν μυστηρίων ὡς ἀσεβούντων, τῶν δὲ καὶ περὶ τῶν Ἑρμῶν. Οἱ γὰρ Ἀθηναῖοι, ἐπειδὴ ἡ στρατιὰ ἀπέπλευσεν, οὐδὲν ἧσσον ζήτησιν ἐποιοῦντο τῶν περὶ τὰ μυστήρια καὶ τῶν περὶ τοὺς Ἑρμᾶς δρασθέντων· καὶ οὐ δοκιμάζοντες τοὺς μηνυτὰς, ἀλλὰ πάντα ὑπόπτως ἀποδεχόμενοι, διὰ πο-

vexerunt. 52. Inde et Syracuſas et Camarinam vecti, fruſtra tentarunt hanc caduceatoribus, illas vi illata. 53. Interim navis Salaminia ad Alcibiadem Athenas arceſſendum advenerat. Acriter enim quaerentibus Athenienſibus tum de myſteriis pollutis, tum de violatis Mer-

52. *σφίσι τὰ ὅρκια εἶναι.* Vid. ad cap. 6. de verbis *τὴν γενομένην ἐπὶ Λάχητος — ξυμμαχίαν* notata.

53. *τὴν Σαλαμινίαν ναῦν.* Vid. ad 3, 33. — *ὡς κελεύσοντας*, nota ſyneſis. Intelligendi *ἄνδρες ἐν τῇ νηῒ πλέοντες.* Cf. ad 1, 2. extr.

ἀλλὰ πάντα ὑπόπτως ἀποδεχόμενοι. Ita cum duodecim codicibus etiam Valla legit. Vulgatum *πάντας* vel ipſa vis verborum *ὑπόπτως ἀποδέχεσθαι* reſpuit, quae h. l. ad rem delatam, non ad hominem vera falſa nunciantem, pertinet, ſenſu poſtulante. Similiter in

νηρῶν ἀνθρώπων πίστιν, πάνυ χρηστοὺς τῶν πολιτῶν ξυλλαμβάνοντες κατέδουν· χρησιμώτερον ἡγούμενοι εἶναι, βασανίσαι τὸ πρᾶγμα καὶ εὑρεῖν, ἢ, διὰ μηνυτοῦ πονηρίαν, τινὰ καὶ χρηστὸν δοκοῦντα εἶναι, αἰτιαθέντα, ἀνέλεγκτον διαφυγεῖν. Ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισιστράτου καὶ τῶν παίδων τυραννίδα χαλεπὴν τελευτῶσαν γενομένην, καὶ προςέτι οὐδ' ὑφ' ἑαυτῶν καὶ Ἁρμοδίου καταλυθεῖσαν, ἀλλ' ὑπὸ τῶν Λακεδαιμονίων, ἐφοβεῖτο ἀεὶ, καὶ πάντα ὑπόπτως ἐλάμβανε.

54. Τὸ γὰρ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα δι' ἐρωτικὴν ξυντυχίαν ἐπεχειρήθη· ἣν ἐγὼ ἐπὶ πλέον διηγησάμενος, ἀποφανῶ, οὔτε τοὺς ἄλλους, οὔτε αὐτοὺς Ἀθηναίους περὶ τῶν σφετέρων τυράννων, οὐδὲ περὶ τοῦ γενομένου, ἀκριβὲς οὐδὲν λέγοντας. Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι, οὐχ Ἵππαρχος, ὥςπερ οἱ πολλοὶ οἴονται, ἀλλ' Ἱππίας,

curii simulacris, omnia suspecta videbantur. Quare sontes insontes in vincula coniecerunt, in memoriam revocantes Pisistratidarum dominationem, Lacedaemoniorum demum auxilio sublatam; cuius rei veriorem, quam quae vulgo tum ferebatur, rationem. 54 — 59. exponit.

fine capitis legitur: πάντα ὑπόπτως ἐλάμβανε. Si quis πάντας praeferat, ei ὑπόπτως absolute accipiendum fuerit, pro δι' ὑποψίαν, „propter suspicionem omnes delatores admittebant, audiebant." Atque ita Scholiastam aliquis accepisse existimet, qui haec verba exponit: ὁμοίως πᾶσι πιστεύοντες. Quamquam haec etiam nostrae lectionis interpretatio esse possit paullo laxior et minus constricta. Quare codicum plurimorum fidem non potuimus reiicere, praesertim cum Scholiastae explicatio mutandae lectioni ansam praebere potuerit.

ἀλλ' ὑπὸ τῶν Λακεδαιμ. Articulum τῶν omittunt Reg. Gr. Caff. Aug., fortassis recte.

54. περὶ τῶν σφετέρων τυράννων. Comma ante περὶ sustuli, tamquam inutile, cum σφετέρων indicet, haec verba ad Athenienses solos pertinere. Ceterum quod addit οὐδὲ περὶ τοῦ γενομένου, refer ad Pisistratidarum eiectionem et coniurationem Harmodii et Aristogitonis; verba autem περὶ τῶν σφετ. τυρ. intellige de falsa Atheniensium opinione, Hipparchum, quem illi tyrannicidae oppresserunt, et natu maximum, et Atheniensium post patris excessum tyrannum fuisse; quod pluribus argumentis hic redarguit Auctor.

οὐχ Ἵππαρχος. Thucydidi alii scriptores, veluti Plato in Hipparcho, et ex eo pendens

πρεσβύτατος ὢν, ἔσχε τὴν ἀρχήν. Γενομένου δὲ Ἁρμοδίου ὥρᾳ ἡλικίας λαμπροῦ, Ἀριστογείτων, ἀνὴρ τῶν ἀστῶν, μέσος πολίτης, ἐραστὴς ὢν, εἶχεν αὐτόν. Πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου, καὶ οὐ πεισθεὶς, καταγορεύει τῷ Ἀριστογείτονι. Ὁ δὲ, ἐρωτικῶς περιαλγήσας, καὶ φοβηθεὶς τὴν Ἱππάρχου δύναμιν, μὴ βίᾳ προσαγάγηται αὐτὸν, ἐπιβουλεύει εὐθὺς, ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως, κατάλυσιν τῇ τυραννίδι. Καὶ ἐν τούτῳ ὁ Ἵππαρχος, ὡς, αὖθις πειράσας, οὐδὲν μᾶλλον ἔπειθε τὸν Ἁρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾷν, ἐν τόπῳ δέ τινι ἀφανεῖ, ὡς οὐ διὰ τοῦτο δὴ, παρεσκευάζετο προπηλακιῶν αὐτόν. Οὐδὲ γὰρ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλοὺς, ἀλλ' ἀνεπιφθόνως κατεστήσατο· καὶ ἐπετήδευσαν ἐπὶ πλεῖστον δὴ τύραννοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν, καὶ Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τῶν γιγνομένων, τήν τε πόλιν αὐτῶν καλῶς διεκόσμησαν, καὶ τοὺς πολέμους διέφερον, καὶ ἐς τὰ ἱερὰ

Aelianus Var. Hift. 8, 2., contradicunt; qua de controverfia Hudfoni et Duckeri annotationes legendae funt. Ceterum quid talium fcriptorum teftimonium valet contra graviffimi Hiftorici fidem et auctoritatem, nil absque iudicio et fedula quaeftione pofteritati prodentis, nec umquam in vagis rumoribus acquiefcentis?

μέσος πολίτης, neque nimis dives, neque pauper. Cf. Duck.

ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως. Schol. ὡς κατὰ τὴν ὑπάρχουσαν αὐτῷ δύναμιν. ἦν γὰρ μέσος πολίτης. Vereor, ut haec interpretatio vera fit, quae non fatis congruit notioni vocis μέσος. Neque Bredovio affentior vertenti: „wobei er ausging von der dafeienden Würdigung, Schätzung, *von der herrfchenden Meinung*, dafs eine folche That angemeffen fei." Mihi ἀξίωσις ipfius Ariftogitonis iudicium de tyrannis iure occidendis, tum propter metum e veftigio conceptum, denotare videtur.

καὶ τοὺς πολέμους διέφερον. Duckerus explicat: *excellebant, praeftabant bello*. Vulgo exponunt cum Schol. Caff. διήνυον, tolerabant, perferebant; ut 1, 11. ξυνεχῶς τὸν πόλεμον διέφερον. Neque haec fententia h. l. inepta. Nam fi fortiter perfeverabant in debellando, donec ad felicem exitum bellum perducerent, principum haec non mediocris laus fuerit. Duckeri rationem probarem, fi legeretur τὰ πολεμικά. — Paullo ante εἰκοστὴν μόνον πρασσ. cum nimirum Pififtratus *decimam* inftituiffet.

καὶ ἐς τὰ ἱερὰ ἔθυον. Bauerus hoc effe vult pro ἐν τοῖς ἱεροῖς. Cum haec prae-

ἔθυον. Τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖς πρὶν κειμένοις νόμοις ἐχρῆτο, πλὴν καθ' ὅσον ἀεὶ τινὰ ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶναι. Καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαύσιον Ἀθηναίοις ἀρχὴν, καὶ Πεισίστρατος, ὁ Ἱππίου τοῦ τυραννεύσαντος υἱὸς, τοῦ πάππου ἔχων τοὔνομα, ὃς τῶν δώδεκα θεῶν βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων ἀνέθηκε, καὶ τὸν τοῦ Ἀπόλλωνος ἐν Πυθίου. Καὶ τῷ μὲν ἐν τῇ ἀγορᾷ προσοικοδομήσας ὕστερον ὁ δῆμος Ἀθηναίων μεῖζον μῆκος, τοῦ βωμοῦ ἠφάνισε τοὐπίγραμμα· τοῦ δ' ἐν Πυθίου ἔτι καὶ νῦν δῆλόν ἐστιν, ἀμυδροῖς γράμμασι λέγον τάδε·

> Μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
> Θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

55. Ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μὲν καὶ ἀκοῇ ἀκριβέστερον ἄλλων, ἰσχυρίζομαι, γνοίη δ' ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φαίνονται τῶν γνησίων ἀδελφῶν γενόμενοι· ὡς ὅ, τε βωμὸς σημαίνει, καὶ ἡ στήλη περὶ τῆς τῶν τυράννων ἀδικίας, ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα· ἐν ᾗ Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται,

positionum ἐς et ἐν permutatio a Thucydide aliena mihi videatur, quippe cuius exemplum invenio nullum; malim ἔθυον absolute accipere, et verba ἐς τὰ ἱερά intelligere: *quod ad sacrificia sive religiones pertinet.* Ita laudi vertatur Pisistratidis, quod, religionum ratione habita, non abierint a populi ritu et consuetudine, sed in epulis sacris propalam celebrandis civiliter se contulerint in coetus civium.

τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις. Reg. Cass. Aug. habent αὐτή, quod primo quidem adspectu arridet; verum tamen non est. Αὐτή enim est *sola, per se*, nihil a tyrannis impedimenti experta.

ἐν Πυθίου, subaudi ἱερῷ vel τεμένει. — Paullo post in verbis: μεῖζον μῆκος τοῦ βωμοῦ ἠφάνισε τοὐπίγραμμα vulgo male interpungitur post βωμοῦ. Nam quid est: τῷ βωμῷ προσοικοδομεῖν μεῖζον μῆκος τοῦ βωμοῦ? Pone comma post μῆκος, et verba τοῦ βωμοῦ iunge cum τοὐπίγραμμα, ut sit repetitio nominis pro αὐτοῦ. — ἀμυδροῖς, ἀμαυροῖς, evanidis.

55. τῶν γνησίων ἀδελφῶν. Hi erant, quos mox ipse nominat, Thessalus et Hipparchus. Praeter eos Hegesistratus Pisistrati filius nothus erat. Vid. Meursius in Pisistrato Cap. X.

Ἱππίου δὲ πέντε, οἵ αὐτῷ ἐκ Μυῤῥίνης τῆς Καλλίου τοῦ Ὑπεροχίδου θυγατρὸς ἐγένοντο· εἰκὸς γὰρ ἦν, τὸν πρεσβύτατον πρῶτον γῆμαι. Καὶ ἐν τῇ πρώτῃ στήλῃ πρῶτος γέγραπται μετὰ τὸν πατέρα· οὐδὲ τοῦτο ἀπεοικότως, διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. Οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτε Ἱππίας τὸ παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος μὲν ἐν τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν καθίστατο. Ἀλλὰ καὶ, διὰ τὸ πρότερον ξύνηθες, τοῖς μὲν πολίταις φοβερὸν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβὲς, πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησε, καὶ οὐχ, ὡς ἀδελφὸς νεώτερος ὢν, ἠπόρησεν, ἐν ᾧ οὐ πρότερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ. Ἱππάρχῳ δὲ ξυνέβη, τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα, καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προςλαβεῖν.

56. *Τὸν δ' οὖν Ἁρμόδιον, ἀπαρνηθέντα τὴν πείρασιν, ὥςπερ διενοεῖτο, προὐπηλάκισεν. Ἀδελφὴν γὰρ αὐτοῦ, κόρην, ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινὶ, ἀπήλασαν, λέγοντες, οὐδὲ*

διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ, propterea quod natu maximus *poſt illum* eſſet, omnium nempe Piſiſtratidarum, et Piſiſtratum patrem tyrannide exciperet.

αὐτὸς δὲ αὐθημερὸν καθίστατο, int. *ἄρχων*, *τύραννος*, ex *ἀρχῇ* praecedente.

ἀλλὰ καὶ διὰ τὸ πρ. ξ. — τῇ ἀρχῇ. Primum comma poſt *καί*, a Bauero inductum, tamquam non inutile retinui; deinde poſt *κατεκράτησε* punctum mutavi in comma, ut *καί — καί* ſibi invicem reſpondeant, „tum retinuit imperium, tum non haeſitavit." Verba: *ἐς τοὺς ἐπικούρους ἀκριβὲς* intelligo cum Bauero de cura circa ſtipatores et diligente et liberali, qua effecerat Hippias, ut et fortes, et fidos ſibique unice addictos haberet. — *πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς*, i. e. nullo prorſus cum periculo, maxima in ſecuritate. — Denique *ἐν ᾧ* per *attractionem* quam vocant, dictum eſt pro *οὐκ ἠπόρησεν ἐν ἐκείνῳ, ᾧ οὐ πρότ. ξ. ὡμιλήκει*. Cum autem per ſe pateat, nihil aliud hoc eſſe quam *τὴν ἀρχήν* vel *τυραννίδα*, ſpuria videri poſſint verba in fine periodi adiecta: *τῇ ἀρχῇ*. Scholiaſta exponens: *διὰ τὸ μὴ πρότερον ἄρχειν μεμελετηκέναι*, ſententiam expreſſit, verborum ſtructuram non curans.

56. *ἀπήλασαν*, Hipparchus et frater eius Hippias intelligendi. Transit enim a ſingulari ad pluralem.

ἐπαγγεῖλαι τὴν ἀρχὴν, διὰ τὸ μὴ ἀξίαν εἶναι. Χαλεπῶς δὲ ἐνεγκόντος τοῦ Ἁρμοδίου, πολλῷ δὴ μᾶλλον δι᾽ ἐκεῖνον καὶ ὁ Ἀριστογείτων παρωξύνετο· καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς τοὺς ξυνεπιθησομένους τῷ ἔργῳ ἐπέπρακτο, περιέμενον δὲ Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο, ἐν ὅπλοις τῶν πολιτῶν τοὺς τὴν πομπὴν πέμψαντας ἀθρόους γενέσθαι· καὶ ἔδει ἄρξαι μὲν αὐτοὺς, ξυνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς τοὺς δορυφόρους ἐκείνους. [5] Ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκότες, ἀσφαλείας ἕνεκα. ἤλπιζον γὰρ, καὶ τοὺς μὴ προειδότας, εἰ καὶ ὁπόσοι οὖν τολμήσειαν, ἐκ τοῦ παραχρῆμα, ἔχοντάς γε ὅπλα, ἐθελήσειν σφᾶς αὐτοὺς ξυνελευθεροῦν.

57. Καὶ ὡς ἐπῆλθεν ἡ ἑορτὴ, Ἱππίας μὲν ἔξω ἐν τῷ Κεραμεικῷ καλουμένῳ μετὰ τῶν δορυφόρων διεκόσμει, ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι· ὁ δὲ

καὶ ὁ Ἀριστογείτων. Articulum ὁ, codicibus undecim iubentibus, adieci cum Bened.

ἐν ᾗ μόνον ἡμέρᾳ. Panathenaea magna per plures dies postea celebrabantur; tum temporis, ut ex hoc quoque loco colligere licet, uno absolvebantur. — τὴν πομπὴν πέμπειν est πομπεύειν, pompam ducere, et πέμπειν proprium hac in re vocabulum. Vid. Duck. Aoristum participii πέμψαντας, quem cum Bauero Benedictus e codd. Ar. C. Aug. Mosq. in futurum πέμψοντας mutare conatur, servo eodem iure, quo mox legitur γενέσθαι.

ἐκείνους, i. e. τοὺς τὴν πομπὴν πέμψαντας. — Δορυφόρους int. τοὺς ἐπικούρους cap. 55.

ἀσφαλείας οὕνεκα. Ita hic libri omnes praeter Gr. Caff., cum alibi semper ἕνεκα scribat Thucydides, etiam Thoma Mag. testante. Poëtarum Atticorum iste usus vocis οὕνεκα proprius, quorum loca nonnulla attulit Wassius, qui tamen etiam e Lysia laudat verba: τῆς ἀδελφῆς οὕνεκα. Cum dictiones et formae poëticae non prorsus alienae sint a Scriptore nostro, (cf. 6, 18) in tanto codicum consensu manum diu retinebam; quamquam invitus. Nunc correxi, quod non memini hanc formam me legere praeter hunc locum. Cf. supra ad cap. 2 extr.

εἰ καὶ ὁπόσοι οὖν τολμήσειαν. Veteres editiones habent ὁπωσιοῦν, unde vulgo videtur factum esse ὁπωστιοῦν, At codd. Reg. Gr. Caff. Aug. C. et quodammodo etiam Ar. Dan., quorum alia ex parte corrupta lectio est, exhibent ὁπόσοι οὖν, quod bene convenire praecedenti ἦσαν οὐ πολλοὶ οἱ ξυνομ., recte monuit Benedictus.

57. ἔξω ἐν τῷ Κεραμεικῷ. Erat enim et alter Ceramicus in urbe.

Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων, ἔχοντες ἤδη τὰ ἐγχειρίδια, ἐς τὸ ἔργον προῄεσαν. Καὶ ὡς εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ, (ἦν δὲ πᾶσιν εὐπρόσοδος ὁ Ἱππίας,) ἔδεισαν, καὶ ἐνόμισαν μεμηνῦσθαί τε, καὶ ὅσον οὐκ ἤδη ξυλληφθήσεσθαι. Τὸν λυπήσαντα οὖν σφᾶς, καὶ δι' ὅνπερ πάντα ἐκινδύνευον, ἐβούλοντο πρότερον, εἰ δύναιντο, προτιμωρήσασθαι· καὶ, ὥσπερ εἶχον, ὥρμησαν εἴσω τῶν πυλῶν. Καὶ περιέτυχον τῷ Ἱππάρχῳ παρὰ τὸ Λεωκόριον καλούμενον, εὐθὺς ἀπερισκέπτως προσπεσόντες· καὶ ὡς ἂν μάλιστα δι' ὀργῆς, ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμένος, ἔτυπτον, καὶ ἀποκτείνουσιν αὐτόν. Καὶ ὁ μὲν τοὺς δορυφόρους τὸ αὐτίκα διαφεύγει ὁ Ἀριστογείτων,

τῶν ξυνωμοτῶν σφίσι, pro τῶν ξυνομωμοκότων σφίσι. Sed Thucydides ſaepe ſubſtantiva verbalia eisdem, quibus verba, caſibus iungit.

καὶ δι' ὅνπερ. Vulgo δι' οἵπερ, contra meliores libros, et refragante ſententia.

πρότερον — προτιμωρήσασθαι. De hoc pleonaſmo vid. ad 1, 23. Ceterum codices plurimi cum vett. edd. praebent futurum προτιμωρήσεσθαι, quod non negligendum cenſet Benedictus, more ſuo. Vellem etiam exemplis docuiſſet, futuri infinitivum iungi cum verbo βούλομαι. Etiam cap. 61. boni libri διαχρήσεσθαι exhibent pro διαχρήσασθαι, quod tamen verum eſt.

παρὰ τὸ Λεωκόριον. Vid. Aelian. V. H. 12, 28. Leos pater filias ſuas, Praxitheam, Theopam, Eubulam, ſolutis publicae cauſa, quum, aliter non poſſe urbem ſervari, oraculum Delphicum monuiſſet, Minervae occidendas tradidiſſe fertur. Earum templum Leocorium. Cf. Schol. ad 1, 20. qui illud in annonae caritate factum eſſe narrat.

καὶ ὡς ἂν μάλιστα δι' ὀργῆς — ὑβρισμένος Variavit ſingula membra. Ad ὡς ἂν δι' ὀργῆς ſubaudi ὄντες.

καὶ ὁ μὲν — διαφεύγει ὁ Ἀριστογείτων. Nomen ὁ Ἀριστογείτων ita adhaeret orationi, ut infra 7, 57. Κυθήριοι, ubi tamen inverſo nominum ordine loquitur. Cf. ad 5, 65. Hoc loco etiam minus opus erat, hoc nomen addere, cum non ſolum eodem ordine, quo paullo ante, de tyrannicidis loqueretur, ſed etiam deinde Harmodium diſerte nominaret. Et alibi certe alterum ſubiectum voculis μέν, δέ ſignificat tantum, alterum orationi inſerit. Ita 6, 72. Ἐπιδώσειν γὰρ ἀμφότερα αὐτὰ, τὴν μὲν, (εὐταξίαν) μετὰ κινδύνων μελετωμένην, τὴν δ' εὐψυχίαν αὐτὴν ἑαυτῆς, μετὰ τοῦ πιστοῦ τῆς ἐπιστήμης, θαρσαλεωτέραν ἔσεσθαι. Nihil tamen hic ſine codicum ope tentandum propter exempla, quae attuli ad 5, 65.

ξυνδραμόντος τοῦ ὄχλου, καὶ ὕστερον ληφθεὶς, οὐ ῥαδίως διετέθη· Ἁρμόδιος δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται.

58. Ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς τὸν Κεραμεικὸν, οὐκ ἐπὶ τὸ γενόμενον, ἀλλ' ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτας, πρότερον, ἢ αἰσθέσθαι αὐτοὺς, ἄπωθεν ὄντας, εὐθὺς ἐχώρησε, καὶ ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς τὴν ξυμφορὰν, ἐκέλευσεν αὐτοὺς, δείξας τὶ χωρίον, ἀπελθεῖν ἐς αὐτὸ ἄνευ τῶν ὅπλων. Καὶ οἱ μὲν ἀνεχώρησαν, οἰόμενοί τι ἐρεῖν αὐτόν· ὁ δὲ, τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν, ἐξελέγετο εὐθὺς, οὓς ἐπῃτιᾶτο, καὶ εἴ τις εὑρέθη ἐγχειρίδιον ἔχων. Μετὰ γὰρ ἀσπίδος καὶ δόρατος εἰώθεσαν τὰς προπομπὰς ποιεῖν.

59. Τοιούτῳ μὲν τρόπῳ δι' ἐρωτικὴν λύπην ἥ τε ἀρχὴ τῆς ἐπιβουλῆς, καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ παραχρῆμα περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένετο. τοῖς δ' Ἀθηναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραννὶς κατέστη. Καὶ ὁ Ἱππίας, διὰ φόβου ἤδη μᾶλλον ὢν, τῶν τε πολιτῶν πολλοὺς ἔκτεινε, καὶ πρὸς τὰ ἔξω ἅμα διεσκοπεῖτο, εἴ ποθεν ἀσφάλειάν τινα ὁρῴη, μεταβολῆς γενομένης, ὑπάρχουσάν οἱ. Ἱππόκλου γοῦν τοῦ Λαμψακηνοῦ τυράννου Αἰαντίδῃ τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην, Ἀθηναῖος ὢν Λαμψακηνῷ, ἔδωκεν, αἰσθανόμενος, αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. Καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν, ἐπίγραμμα ἔχον τόδε·

οὐ ῥαδίως διετέθη. Portus vertit: „haud leniter tractatus fuit.“ Sed verba Thucydidis ſic volunt intelligi: non facile nec ſine negotio tractatus eſt, quippe furibundus. Ita alter Schol. recte: χαλεπῶς διετέθη· ἤ, οὐ ῥαδίως οὐδὲ εὐκόλως ἀνῃρέθη.

58. τοὺς πομπέας. Vid. ad cap. 56 de verbo πέμπειν dicta. — Καὶ ἀδήλως τῇ ὄψει πλασ. Schol. ὑποκρινάμενος φαιδρὸς εἶναι τῷ προσώπῳ. Bauerus ἀδήλως bene explicat ὥστε ἄδηλος εἶναι, ut 1, 21. ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα.

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ,
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
Ἣ πατρός τε καὶ ἀνδρὸς, ἀδελφῶν τ' οὖσα τυράννων,
Παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

Τυραννεύσας δὲ ἔτη τρία Ἱππίας ἔτι Ἀθηναίων, καὶ παυσθεὶς ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ Ἀλκμαιωνιδῶν τῶν φευγόντων, ἐχώρει ὑπόσπονδος ἔς τε Σίγειον, καὶ παρ' Αἰαντίδην ἐς Λάμψακον· ἐκεῖθεν δὲ ὡς βασιλέα Δαρεῖον. ὅθεν καὶ ὁρμώμενος ἐς Μαραθῶνα ὕστερον ἔτει εἰκοστῷ, ἤδη γέρων ὢν, μετὰ Μήδων ἐστράτευσεν.

60. Ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν Ἀθηναίων, καὶ μιμνησκόμενος, ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο, χαλεπὸς ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας· καὶ πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπρᾶχθαι. Καὶ ὡς, αὐτῶν διὰ τὸ τοιοῦτον ὀργιζομένων, πολλοί τε καὶ ἀξιόλογοι ἄνθρωποι ἤδη ἐν τῷ δεσμωτηρίῳ ἦσαν, καὶ οὐκ ἐν παύλῃ ἐφαίνετο, ἀλλὰ καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερόν τε, καὶ πλείους ἔτι ξυλλαμβάνειν· ἐνταῦθα ἀναπείθεται εἷς τῶν δεδεμένων, ὅσπερ ἐδόκει αἰτιώτατος εἶναι, ὑπὸ τῶν ξυνδεσμωτῶν

60. Tandem unus ex iis, qui in vinculis erant, ut populum ſuſpicione liberaret, et contra ſe, et contra alios (vere an non, incertum) indicium de Mercurii ſimulacris fecit, et cum iis ex compreheuſis, quos non accuſaverat, abſolutus eſt; quorum autem nomina detulerat, eos omnes

59. *Ἄνδρος ἀριστεύσαντος* —. Hoc epigramma Simonidi tribuit Ariſtoteles Rhet. 1, 9. ubi tertium verſum affert. — *ἀδελφῶν τυράννων*, Hegeſiſtratus quidem, Hippiae filius, Sigei tyrannus fuit; ſed etiam genuini fratres (vid. ad cap. 55 init.) eum tyranni Athenarum fuiſſent, quidni potius de his accipiendum fuerit.

60. *καὶ ὡς, αὐτῶν διὰ τὸ τοιοῦτον*, —. Interpunctionem correxi eo modo, quem iam a Bauero commendatum eſſe, poſtea reperi. Vulgo comma eſt ante *ὡς*, et poſt *ἦσαν* et *ξυλλαμβάνειν* plene interpungitur. Ita *ἐνταῦθα* ſine copula ab initio periodi eſſet, quod praeter morem Thucydidis. — *ἐν παύλῃ ἐφαίνετο*, int. *τὸ πρᾶγμα*, *τὸ ἔργον*.

τινὸς, εἴτε ἄρα καὶ τὰ ὄντα μηνῦσαι, εἴτε καὶ οὐ· (ἐπ' ἀμφότερα γὰρ εἰκάζεται· τὸ δὲ σαφὲς οὐθεὶς οὔτε τότε, οὔτε ὕστερον, ἔχει εἰπεῖν περὶ τῶν δρασάντων τὸ ἔργον·) λέγων δὲ ἔπεισεν αὐτὸν, ὡς χρὴ, εἰ μὴ καὶ δέδρακεν, αὐτόν τε ἄδειαν ποιησάμενον σῶσαι, καὶ τὴν πόλιν τῆς παρούσης ὑποψίας παῦσαι· βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι ὁμολογήσαντι μετ' ἀδείας, ἢ ἀρνηθέντι διὰ δίκης ἐλθεῖν. Καὶ ὁ μὲν, αὐτός τε καθ' ἑαυτοῦ καὶ κατ' ἄλλων μηνύει τὸ τῶν Ἑρμῶν. Ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων, ἄσμενος λαβὼν, ὡς ᾤετο, τὸ σαφὲς, καὶ δεινὸν ποιούμενοι πρότερον, εἰ τοὺς ἐπιβουλεύοντας σφῶν τῷ πλήθει μὴ εἴσονται, τὸν μὲν μηνυτὴν εὐθὺς καὶ τοὺς ἄλλους μετ' αὐτοῦ, ὅσων μὴ κατηγορήκει, ἔλυσαν· τοὺς δὲ καταιτιαθέντας, κρίσεις ποιήσαντες, τοὺς μὲν ἀπέκτειναν, ὅσοι ξυνελήφθησαν, τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες, ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι. Κἀν τούτῳ, οἱ μὲν παθόντες, ἄδηλον ἦν, εἰ ἀδίκως ἐτετιμώρηντο· ἡ μέντοι ἄλλη πόλις ἐν τῷ παρόντι περιφανῶς ὠφέλητο.

populus Athenienſis, iudiciis conſtitutis, aut captos interfecit, aut abſentes morte damnavit; iure an iniuria, non

οὐθεὶς οὔτε τότε. Rarius apud Thucydidem reperi formam οὐθεὶς pro οὐδεὶς, quod h. l. ſoli Ar. C. et cap. 66. iidem cum Dan. habent, licet aptius videatur. Cf. Buttmann. Gr. Gr. p. 121.

λέγων δὲ ἔπεισεν αὐτόν. Poſt parentheſin mutatur ſtructura. Cum enim ſupra dixiſſet: εἷς τῶν δεδεμένων ἀναπείθεται ὑπὸ τῶν ξυνδεσμώτων τινός: pergit λέγων δὲ ἔπεισεν αὐτόν, pro λέγοντος αὐτῷ, quaſi ſupra fuiſſet: ἕνα τῶν δεδεμένων ἀνέπεισέ τις τῶν ξυνδεσμώτων. Ceterum Plutarchus in Alcib. tradit, auctorem conſilii fuiſſe Timaeum quendam, ſingularis calliditatis et audaciae hominem; Andocidem autem oratorem ab eo impulſum; porro ſcribit, publico decreto iis, qui ſe ipſi indicaſſent, impunitatem promiſſam. Eo refer verba, quae ſtatim ſequuntur: ἄδειαν ποιησάμενον, et ὁμολογήσαντι μετ' ἀδείας.

καὶ κατ' ἄλλων. Etiam patrem ſuum incuſaſſe, ſed rurſus liberaſſe fertur. — ποιούμενοι, transitus ad pluralem. Cf. cap. 56. ἀπήλασαν. cap. 61. πρὸς Βοιωτούς τι πράσσοντες.

τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες. Intellige δίκῃ ἐρήμῃ θάνατον αὐτῶν κατέγνωσαν. cf. cap. 61 extr.

61. *Περὶ δὲ τοῦ Ἀλκιβιάδου, ἐναγόντων τῶν ἐχθρῶν, οἵπερ καὶ, πρὶν ἐκπλεῖν αὐτὸν, ἐπέθεντο, χαλεπῶς οἱ Ἀθηναῖοι ἐλάμβανον· καὶ ἐπειδὴ τὸ τῶν Ἑρμῶν ᾤοντο σαφὲς ἔχειν, πολὺ δὴ μᾶλλον καὶ τὰ μυστικὰ, ὧν ἐπαίτιος ἦν, μετὰ τοῦ αὐτοῦ λόγου καὶ τῆς ξυνωμοσίας ἐπὶ τῷ δήμῳ ἀπ' ἐκείνου ἐδόκει πραχθῆναι. Καὶ γάρ τις καὶ στρατιὰ Λακεδαιμονίων οὐ πολλὴ ἔτυχε κατὰ τὸν καιρὸν τοῦτον, ἐν ᾧ περὶ ταῦτα ἐθορυβοῦντο, μέχρι ἰσθμοῦ παρελθοῦσα, πρὸς Βοιωτούς τι πράσσοντες. Ἐδόκει οὖν, ἐκείνου πράξαντος, καὶ οὐ Βοιωτῶν ἕνεκα, ἀπὸ ξυνθήματος ἥκειν, καὶ, εἰ μὴ ἔφθασαν δὴ αὐτοὶ κατὰ τὸ μήνυμα ξυλλαβόντες τοὺς ἄνδρας, προδοθῆναι ἂν ἡ πόλις. Καί τινα μίαν νύκτα καὶ κατέδαρθον ἐν Θησείῳ τῷ ἐν πόλει ἐν ὅπλοις. Οἵ τε ξένοι τοῦ Ἀλκιβιάδου οἱ ἐν Ἄργει κατὰ τὸν αὐτὸν χρόνον ὑπωπτεύθησαν τῷ δήμῳ ἐπιτίθεσθαι· καὶ τοὺς ὁμήρους τῶν Ἀργείων τοὺς ἐν ταῖς νήσοις κειμένους οἱ Ἀθηναῖοι τότε παρέδοσαν τῷ Ἀργείων*

liquet. 61. Et ad Alcibiadem aliosque nonnullos, quorum delata erant nomina, arceſſendos navis Salaminia in

61. *καὶ τῆς ξυνωμοσίας ἐπὶ τ. δ.* Repete *μετά.* Ita et *καί* bene habet, quod, ſi ad *τοῦ αὐτοῦ* cum Bredovio referendum eſſet, ſcribendum eſſet *ἡ ξυνωμοσία;* et articulus *τῆς* pertinet ad verba cap. 60. *Καὶ πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπρᾶχθαι.*

πρὸς Βοιωτούς τι πράσσοντες, nempe *cum* Boeotis ſociis *adverſus* Athenienſes, utrorumque et Lacedaemoniorum et Boeotorum inimicos. Ita 3, 28. *Οἱ δὲ πράξαντες πρὸς τοὺς Λακεδαιμονίους μάλιστα τῶν Μιτυληναίων* — (nempe contra Athenienſes) et ſic alibi ſaepe. Cf. Duck.

ἐν Θησείῳ τῷ ἐν πόλει. Plura Athenis et in urbe, et extra urbem, Theſei templa fuiſſe, docet Potter. Arch. I. 73. Hoc erat inſigne illud media in urbe, prope gymnaſium Ptolemaeum, ſitum.

οἱ ἐν Ἄργει. Cum praeter edd. Ald. Baſ., quae *οἱ* omittunt, nulla e codd. varietas notetur, uncis exui articulum *οἱ*, etiam per ſe huic loco maxime accommodatum. Ceterum rem clarius narrat Diodorus 13, 5. *Συνελάβετο δ' αὐτῶν (τῶν Ἀλκιβιάδου ἐχθρῶν) ταῖς διαβολαῖς τὸ πραχθὲν παρὰ τοῖς Ἀργείοις· οἱ γὰρ ἰδιόξενοι συνθέμενοι καταλῦσαι τὴν ἐν Ἄργει δημοκρατίαν, πάντες ὑπὸ τῶν πολιτῶν ἀνῃρέθησαν.*

τοὺς ἐν ταῖς νήσοις κειμένους. Vid. ſupra 5, 84 init. —

δήμῳ διὰ ταῦτα διαχρήσασθαι. Πανταχόθεν τε περιεστήκει ὑποψία ἐς τὸν Ἀλκιβιάδην· ὥστε, βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγαγόντες ἀποκτεῖναι, πέμπουσιν οὕτω τὴν Σαλαμινίαν ναῦν ἐς τὴν Σικελίαν, ἐπί τε ἐκεῖνον, καὶ ὧν πέρι ἄλλων ἐμεμήνυτο. Εἴρητο δὲ, προειπεῖν αὐτῷ ἀπολογησομένῳ ἀκολουθεῖν, ξυλλαμβάνειν δὲ μή· θεραπεύοντες τό, τε πρὸς τοὺς ἐν τῇ Σικελίᾳ στρατιώτας τε σφετέρους καὶ πολεμίους μὴ θορυβεῖν, καὶ οὐχ ἥκιστα τοὺς Μαντινέας καὶ Ἀργείους βουλόμενοι παραμεῖναι, δι᾽ ἐκείνου νομίζοντες πεισθῆναι σφᾶς ξυστρατεύειν. Καὶ ὁ μὲν, ἔχων τὴν ἑαυτοῦ ναῦν, καὶ οἱ ξυνδιαβεβλημένοι ἀπέπλεον μετὰ τῆς Σαλαμινίας ἐκ τῆς Σικελίας ὡς ἐς τὰς Ἀθήνας· καὶ, ἐπειδὴ ἐγένοντο ἐν Θουρίοις, οὐκέτι ξυνείποντο, ἀλλ᾽, ἀπελθόντες ἀπὸ τῆς νεὼς, οὐ φανεροὶ ἦσαν, δείσαντες τὸ ἐπὶ διαβολῇ ἐς δίκην καταπλεῦσαι. Οἱ δ᾽ ἐκ τῆς Σαλαμινίας, τέως μὲν ἐζήτουν τὸν Ἀλκιβιάδην καὶ τοὺς μετ᾽ αὐτοῦ· ὡς δ᾽ οὐδαμοῦ φανεροὶ ἦσαν, ᾤχοντο ἀποπλέοντες. Ὁ δὲ Ἀλκιβιάδης, ἤδη φυγὰς ὢν, οὐ πολὺ ὕστερον ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόννησον ἐκ τῆς Θουρίας. Οἱ δ᾽ Ἀθηναῖοι ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν αὐτοῦ τε καὶ τῶν μετ᾽ ἐκείνου.

Siciliam mittitur. Qui quidem imperio obſecuti cum Salaminia proficiſcuntur, Thuriis vero clam effugiunt in

Pro *διαχρήσασθαι* Reg. Gr. Caſſ. Aug. habent futurum *διαχρήσεσθαι*. Sed vulgatum verum eſt. Vid. ad cap. 57.

θεραπεύοντες. Nominativus h. l. ita eſt ſubiectus, ac ſi antea pro *εἴρητο* fuiſſet *εἰρήκεσαν*. Exempla ſimilia vid. ad 5, 36.

νομίζοντες πεισθῆναι σφᾶς ξυστρατεύειν. Pronomen *σφᾶς* ad Mantinenſes, Argivos et ipſos Athenienſes ſpectat, et cum infinitivo *ξυστρατεύειν* horum populorum ſocietatem deſignat.

οὐ πολὺ ὕστερον. Ita iubentibus codicibus edidi pro *οὐ πολλῷ ὕστερον*. Utroque modo loquitur ſaepiſſime Thucydides. Vid. ad 2, 45. — *ἐπεραιώθη ἐς Πελοπόννησον*. Infra cap. 88. *Ἀλκιβιάδης μετὰ τῶν ξυμφυγάδων περαιωθεὶς τότ᾽ εὐθὺς ἐπὶ πλοίου φορτηγικοῦ ἐκ τῆς Θουρίας ἐς Κυλλήνην τῆς Ἠλείας πρῶτον, ἔπειτα ὕστερον ἐς τὴν Λακεδαίμονα — ὑπόσπονδος ἐλθών*.

ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν. Hoc de iis, qui,

62. Μετὰ δὲ ταῦτα οἱ λοιποὶ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τῇ Σικελίᾳ, δύο μέρη ποιήσαντες τοῦ στρατεύματος, καὶ λαχὼν ἑκάτερος, ἔπλεον ξὺν παντὶ ἐπὶ Σελινοῦντος καὶ Ἐγέστης· βουλόμενοι μὲν εἰδέναι, τὰ χρήματα εἰ δώσουσιν οἱ Ἐγεσταῖοι, κατασκέψασθαι δὲ καὶ τῶν Σελινουντίων τὰ πράγματα, καὶ τὰ διάφορα μαθεῖν τὰ πρὸς Ἐγεσταίους. Παραπλέοντές δ' ἐν ἀριστερᾷ τὴν Σικελίαν, τὸ μέρος τὸ πρὸς τὸν Τυρσηνικὸν κόλπον, ἔσχον ἐς Ἱμέραν, ἥπερ μόνη ἐν τούτῳ τῷ μέρει τῆς Σικελίας Ἑλλὰς πόλις ἐστί. Καί, ὡς οὐκ ἐδέχοντο αὐτοὺς, παρεκομίζοντο· καὶ ἐν τῷ παράπλῳ αἱροῦσιν Ὕκκαρα, πόλισμα Σικανικὸν μὲν, Ἐγεσταίοις δὲ πολέμιον· ἦν δὲ παραθαλασσίδιον. Καὶ ἀνδραποδίσαντες τὴν πόλιν παρέδοσαν Ἐγεσταίοις· (παρεγένοντο γὰρ αὐτῶν ἱππεῖς·) αὐτοὶ δὲ πάλιν τῷ μὲν πεζῷ ἐχώρουν διὰ τῶν Σικελῶν, ἕως ἀφίκοντο ἐς Κατάνην· αἱ δὲ νῆες περιέπλευσαν, τὰ ἀνδράποδα ἄγουσαι. Νικίας δέ, εὐθὺς ἐξ Ὑκκάρων ἐπὶ Ἐγέστης παραπλεύσας, καὶ τἄλλα χρηματίσας, καὶ λαβὼν τάλαντα τριάκοντα, παρῆν ἐς τὸ στράτευμα. Καὶ τἀνδράποδα ἀπέδοσαν, καὶ ἐγένοντο ἐξ αὐτῶν εἴκοσι καὶ ἑκατὸν τάλαντα. Καὶ ἐς τοὺς τῶν Σικελῶν ξυμμάχους περιέπλευσαν, στρατιὰν κελεύοντες πέμπειν· τῇ τε ἡμισείᾳ τῆς ἑαυτῶν ἦλθον ἐπὶ Ὕβλαν τὴν Γελεᾶτιν, πολεμίαν οὖσαν, καὶ οὐχ εἷλον. Καὶ τὸ θέρος ἐτελεύτα.

Peloponnefum. 62. Exercitu bifariam divifo, duces Athenienfium a feptemtrione Siciliam circumnavigant, Hyccara urbem capiunt et Segeftanis tradunt. Nicias, triginta talentis Segeftae acceptis, fequitur exercitum per Siciliam Catanam revertentem. Hybla Geleatis fruftra

vocati in ius, in iudicio non aderant, fieri folebat, ut caufa exciderent et damnarentur, (καταδικάζεσθαι ἐξ ἐρήμης). Vid. cap. 60. Noftri iureconfulti cum Romanis dicunt *in contumaciam damnare aliquem.*

62. Ὕβλαν τὴν Γελεᾶτιν. Tres erant Hyblae in Sicilia. Quarum una Megara dicebatur a Megarenfibus, qui ibi confederant. Prope Syracufas fita erat. Eiusdem et fupra cap. 4. mentionem iniecit; item cap.

63. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς τὴν ἔφοδον οἱ Ἀθηναῖοι ἐπὶ Συρακούσας παρεσκευάζοντο· οἱ δὲ Συρακούσιοι καὶ αὐτοί, ὡς ἐπ' ἐκείνους ἰόντες. Ἐπειδὴ γὰρ αὐτοῖς, πρὸς τὸν πρῶτον φόβον καὶ τὴν προσδοκίαν, οἱ Ἀθηναῖοι οὐκ εὐθὺς ἐπέκειντο, κατά τε τὴν ἡμέραν ἑκάστην προϊοῦσαν ἀνεθάρσουν μᾶλλον· καί, ἐπειδὴ πλέοντες τά τε ἐπέκεινα τῆς Σικελίας πολὺ ἀπὸ σφῶν ἐφαίνοντο, καὶ πρὸς τὴν Ὕβλαν ἐλθόντες καὶ πειράσαντες, οὐχ εἷλον βίᾳ, ἔτι πλέον κατεφρόνησαν· καὶ ἠξίουν τοὺς στρατηγούς, (οἷον δὴ ὄχλος φιλεῖ θαρσήσας ποιεῖν,) ἄγειν σφᾶς ἐπὶ Κατάνην, ἐπειδή [γε] οὐκ ἐκεῖνοι ἐφ' ἑαυτοὺς ἔρχονται. Ἱππεῖς τε προσελαύνοντες ἀεὶ κατάσκοποι τῶν Συρακουσίων πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων, ἐφύβριζον ἄλλα τε, καί, εἰ ξυνοικήσαντες σφίσιν αὐτοῖς μᾶλλον ἥκοιεν ἐν τῇ ἀλλοτρίᾳ, ἢ Λεοντίνους ἐς τὴν οἰκείαν κατοικιοῦντες.

64. Ἃ γιγνώσκοντες οἱ στρατηγοὶ τῶν Ἀθηναίων, καὶ βουλόμενοι αὐτοὺς ἄγειν πανδημεὶ ἐκ τῆς πόλεως ὅτι πλεῖστον, αὐτοὶ δὲ ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα παραπλεύσαντες στρατόπεδον καταλαβεῖν ἐν

tentata. 63. Hieme ineunte utrimque et ab Atheniensibus et a Syracusanis ad pugnam paratur, vel instigantibus Syracusanis et iam ad pugnam provocantibus. 64. Atheniensium strategema.

49 et 94. Altera Hybla, *Maior* cognomine, prope Catanam sita erat. Tertia, *Heraea* et *Parva* dicta, non procul a Gela aberat, quae hic Geleatis.

63. πολὺ ἀπὸ σφῶν ἐφαίνοντο. Vulgatum ἐφαίνετο et per se ineptum est hoc loco (ortum fortasse ab aliquo, qui ad τὰ ἐπέκεινα referret, cum ad πλέοντες pertineat, et a novem codicibus Cl. Gr. Caff. Aug. Mosq. Reg. et aliis tribus Pariss. damnatur, qui habent ἐφαίνοντο.

ἐπειδή [γε] οὐκ ἐκεῖνοι. Particulam γέ tredecim codices ignorant; quare uncis usus sum.— Paullo post ἱππεῖς τε retineo, etsi plures codices τέ omittunt, deteriores vero Ar. C. Mosq. καὶ ἱππεῖς προσελ.' exhibent. Videtur τέ in codicibus nonnullis omissum, deinde a correctoribus aut καί, aut δέ, ut in Caff., vario modo additum. Certe codd. praestantissimi Cl. Reg. Cam. vulgatum videntur tenere.

64. στρατόπεδον καταλαβεῖν. Ita e plerisque Mss. edidi

ἐπιτηδείῳ καθ' ἡσυχίαν, (εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες, καὶ εἰ ἐκ τῶν νεῶν πρὸς παρεσκευασμένους ἐκβιβάζοιεν, ἢ κατὰ γῆν ἰόντες γνωσθείησαν· τοὺς γὰρ ἂν ψιλοὺς τοὺς σφῶν, καὶ τὸν ὄχλον, τῶν Συρακουσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων, βλάπτειν ἂν μεγάλα· οὕτω δέ, λήψεσθαι χωρίον, ὅθεν ὑπὸ τῶν ἱππέων οὐ βλάψονται ἄξια λόγου· ἐδίδασκον δ' αὐτοὺς περὶ τοῦ πρὸς τῷ Ὀλυμπιείῳ χωρίου, ὅπερ καὶ κατέλαβον, Συρακουσίων φυγάδες, οἳ ξυνείποντο·) τοιόνδε τι οὖν, πρὸς ἃ ἐβούλοντο, οἱ στρατηγοὶ μηχανῶνται. Πέμπουσιν ἄνδρα σφίσι μὲν πιστὸν, τοῖς δὲ τῶν Συρακουσίων στρατηγοῖς τῇ δοκήσει οὐχ ἧσσον ἐπιτήδειον· ἦν δὲ Καταναῖος ὁ ἀνήρ· καὶ ἀπ' ἀνδρῶν ἐκ τῆς Κατάνης ἥκειν ἔφησεν, ὧν ἐκεῖνοι τὰ ὀνόματα ἐγίγνωσκον, καὶ ἠπίσταντο, ἐν τῇ πόλει ἔτι ὑπολοίπους ὄντας τῶν σφίσιν εὔνων. Ἔλεγε

cum Benedicto, pro καταλαμβάνειν. Sequentia verba: εἰδότες οὐκ ἂν ὁμοίως — οἳ ξυνείποντο Bauerus parentheſeos ſignis ſeclufit. Quam rationem non ſpreverim, cum participium εἰδότες h. l. ſit pro ᾔδεσαν γάρ.

ἐκβιβάζοιεν. Octo codices legunt ἐκβιάζοιεν. Sed cum verbi ἐκβιάζειν activum non ſit in uſu, cuius loco medio ἐκβιάζεσθαι utuntur et alii ſcriptores, et ipſe Thucydides; cum porro ad ἐκβιβάζοιεν intelligendum ſit τὴν στρατιάν, quod non animadvertentibus librariis anſam ſcripturae mutandae praebere potuit (ſaepius autem haec verba inter ſe permutantur, ut 5, 98); denique cum Scholiaſtes vulgatum in ſuo exemplo legiſſe videatur, quod colligo ex verbis ſcholii: χαλεπὴν γὰρ ἔσεσθαι τὴν ἀπόβασιν, ἀντιταχθησομένων τῶν ἐναντίων, καὶ οὐκ ἀπαρασκεύων ὄντων: vulgatam lectionem genuinam puto.

πρὸς τῷ Ὀλυμπιείῳ. Non ſolum templum Iovis fuiſſe, ſed etiam oppidulum iuxta ſitum e Thucydidis 7, 37 colligit Hudſonus. Sed ibi nihil invenio, quod eius firmet ſententiam. Munimentum potius fuiſſe exiſtimes, vel caſtellum, e cap. 70 extr., ubi praeſidium eo miſiſſe narrantur Syracuſani. Sed cap. 71. ſtatim ipſe Thucydides ἱερόν appellat, et cap. 75. φρούριον; denique 7, 4. (non c. 37) legitur: ἐπὶ τῇ ἐν τῷ Ὀλυμπιείῳ πολίχνῃ — Mox pro ἥκειν ἔφησεν quindecim codices habent ἥκειν ἔφη, quorum auctoritati ſane concedendum eſſe videatur, licet cauſam, cur a conſueta magis lectione diſceſſerint alii librarii, parum intelligam. Ceterum aoriſtus, ſi vel pauci probati libri addicant, praeferendus fuerit, partim quia exquiſitior eſt, et, pluribus imperfectis interiectus, mutari facile potuerit, partim ob *ſimulandi* notionem, quam ei propriam eſſe vult Buttmannus Gr. Gr. p. 277.

δὲ, τοὺς Ἀθηναίους αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει· καὶ, εἰ βούλονται ἐκεῖνοι πανδημεὶ ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπὶ τὸ στράτευμα ἐλθεῖν, αὐτοὶ μὲν ἀποκλήσειν τοὺς παρὰ σφίσι, καὶ τὰς ναῦς ἐμπρήσειν, ἐκείνους δὲ ῥᾳδίως τὸ στράτευμα, προσβαλόντας τῷ σταυρώματι, αἱρήσειν. Εἶναι δὲ ταῦτα τοὺς ξυνδράσοντας πολλοὺς Καταναίων, καὶ ἡτοιμάσθαι ἤδη, ἀφ' ὧν αὐτὸς ἥκειν.

65. Οἱ δὲ στρατηγοὶ τῶν Συρακουσίων, μετὰ τοῦ καὶ ἐς τὰ ἄλλα θαρσεῖν, καὶ εἶναι ἐν διανοίᾳ καὶ ἄνευ τούτων ἰέναι παρεσκευάσθαι ἐπὶ Κατάνην, ἐπίστευσάν τε τῷ ἀνθρώπῳ πολλῷ ἀπερισκεπτότερον, καὶ εὐθὺς ἡμέραν ξυνθέμενοι, ᾗ παρέσονται, ἀπέστειλαν αὐτόν. Καὶ αὐτοὶ (ἤδη γὰρ καὶ τῶν ξυμμάχων Σελινούντιοι καὶ ἄλλοι τινὲς παρῆσαν,) προεῖπον πανδημεὶ πᾶσιν ἐξιέναι Συρακουσίοις. Ἐπεὶ δὲ ἕτοιμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν, καὶ αἱ ἡμέραι, ἐν αἷς ξυνέθεντο

65. Decipi ſe patiuntur Syracuſani duces, et verſus Catanam totum exercitum promovent. Interim Athenienſes

ἀπὸ τῶν ὅπλων, i. e. procul a caſtris et praeſidio, ergo ſine armis.

αὐτοὶ μὲν ἀποκλήσειν τοὺς παρὰ σφίσι. Recte ad praecedens *ἔλεγε* refertur *αὐτοί*, i. e. *αὐτός τε καὶ οἱ Καταναῖοι οἱ ξὺν αὐτῷ*. Pro *τοὺς παρὰ σφίσι* multi codices exhibent *αὐτοὺς π. σφ.* Cum vero credibile ſit, neque *omnes* Athenienſes caſtra et ſtationem deſeruiſſe, neque, ſi hoc feciſſent, Catanaeos proditores toti Athenienſium exercitui retinendo pares exiſtimari; vulgatum adhuc praefero, praeſertim cum ita verba ſequentia: *ἐκείνους δὲ ῥᾳδίως τὸ στράτευμα, προσβαλόντας τῷ σταυρώματι, αἱρήσειν* magis quadrare videantur. Ceterum *ἀποκλῄσειν*, praeſtantiſſimis Mſſ. iubentibus, dedi hic et alibi. Vid. ad 4, 8.

ἀφ' ὧν αὐτὸς ἥκειν. Vid. ad 2, 102.

65. *καὶ εἶναι ἐν διανοίᾳ. — Κατάνην*. Locus ſanus etiam mihi videtur, ſed aliter, quam factum vidi, interpretandus. Nam *εἶναι ἐν διανοίᾳ* h. l. non poteſt eſſe „in mente agitare, conſilium capere" ſed ſimpliciter *exiſtimare, apud animum cogitare, in animum inducere.* Ita infinitivus perfecti *παρεσκευάσθαι* bene pendet ab *εἶναι ἐν διανοίᾳ*, et ab illo rurſus *ἰέναι ἐπὶ Κατάνην*. Verte igitur: „Duces vero Syracuſanorum, propterea quod et ad cetera iam eſſent confidentiores, et animo reputarent, etiam ſine his ſe ſa-

ἥξειν, ἐγγὺς ἦσαν, πορευόμενοι ἐπὶ Κατάνης, ηὐλίσαντο ἐπὶ τῷ Συμαίθῳ ποταμῷ, ἐν τῇ Λεοντίνῃ. Οἱ δ' Ἀθηναῖοι, ὡς ᾔσθοντο αὐτοὺς προσιόντας, ἀναλαβόντες τό τε στράτευμα ἅπαν τὸ ἑαυτῶν, καὶ ὅσοι Σικελῶν αὐτοῖς, ἤ ἄλλος τις, προςεληλύθει, καὶ ἐπιβιβάσαντες ἐπὶ τὰς ναῦς καὶ τὰ πλοῖα, ὑπὸ νύκτα ἔπλεον ἐπὶ τὰς Συρακούσας. Καὶ οἵ τε Ἀθηναῖοι ἅμα ἕῳ ἐξέβαινον ἐς τὸν κατὰ τὸ Ὀλυμπίειον, ὡς τὸ στρατόπεδον καταληψόμενοι, καὶ οἱ ἱππεῖς οἱ Συρακουσίων, πρῶτοι προςελάσαντες ἐς τὴν Κατάνην, καὶ αἰσθόμενοι, ὅτι τὸ στράτευμα ἅπαν ἀνῆκται, ἀποστρέψαντες ἀγγέλλουσι τοῖς πεζοῖς· καὶ ξύμπαντες ἤδη ἀποτρεπόμενοι, ἐβοήθουν ἐπὶ τὴν πόλιν.

66. Ἐν τούτῳ δ' οἱ Ἀθηναῖοι, μακρᾶς οὔσης τῆς ὁδοῦ αὐτοῖς, καθ' ἡσυχίαν ἐκάθισαν τὸ στράτευμα ἐς χωρίον ἐπιτήδειον, καὶ ἐν ᾧ μάχης τε ἄρξειν ἔμελλον, ὁπότε βούλοιντο, καὶ οἱ ἱππεῖς τῶν Συρακουσίων ἥκιστ' ἂν αὐτοὺς καὶ ἐν τῷ ἔργῳ καὶ πρὸ αὐτοῦ λυπήσειν.

Syracuſas tendunt, 66. et idoneo loco caſtra et

tis paratos eſſe, adverſus Catanam progredi, fidem homini habebant inconſideratius. "

ἐς τὸν κατὰ τὸ Ὀλυμπίειον. Ad hunc locum legatur Duckeri annotatio, qui pro *τόν* coniicit legendum eſſe *τό*. Hoc etiam mihi verum aliquando videbatur. Vulgatum ex Scholio ortum eſſe putabam. Nam verba *ἐς τὸ κατὰ τὸ Ὀλ.* cum Scholiaſtes explicaſſet: *τόπον ἐπιτήδειον ἐνστρατοπεδεύσασθαι*, putabam librarios, *τόπον* ſubaudiendum eſſe ratos, feciſſe *τόν*. Ceterum vulgatam ut defendam, facit mira Diodori hac in re verborum ſimilitas, qui 13, 6. haec habet: *Βουλόμενοι δὲ τὸν πρὸς τῷ μεγάλῳ λιμένι τόπον Συρακουσίων ἀκινδύνως καταλαβέσθαι* —. Ubi *τόπον* interpretamentum eſſe ſuſpiceris ex verborum ordine, qui eo valde interruptus eſt. Ut ut hoc eſt, certe *τόν* apud Thucydidem retinendum erit. — Mox poſt *ὡς* articulus *τό* excidit, quem cum Benedicto ex undecim Mſſ. reſtituimus. Nam haec verba reſpiciunt ad cap. 64., ubi de ea re ducum conſilium exponebatur: *αὐτοὶ δὲ ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα παραπλεύσαντες στρατόπεδον καταλαβεῖν ἐν ἐπιτηδείῳ καθ' ἡσυχίαν.*

66. *ἐκάθισαν τὸ στράτευμα.* Mendoſe codices plurimi legunt *καθίσαν τὸ στράτευμα*, cum periodus ita verbo finito careat. — *αὐτοῖς*, Syracuſanis.

N 2

Τῇ μὲν γὰρ τειχία τε καὶ οἰκίαι εἶργον καὶ δένδρα καὶ λίμνη· παρὰ δὲ τὸ, κρημνοί. καὶ τὰ ἐγγὺς δένδρα κόψαντες, καὶ κατενεγκόντες ἐπὶ τὴν θάλασσαν, παρά τε τὰς ναῦς σταύρωμα ἔπηξαν, καὶ ἐπὶ τῷ Δάσκωνι ἔρυμά τε, ᾗ ἐφοδώτατον ἦν τοῖς πολεμίοις, λίθοις λογάδην καὶ ξύλοις διὰ ταχέων ὤρθωσαν, καὶ τὴν τοῦ Ἀνάπου γέφυραν ἔλυσαν. Παρασκευαζομένων δὲ, ἐκ μὲν τῆς πόλεως οὐδεὶς ἐξιὼν ἐκώλυε· πρῶτοι δὲ οἱ ἱππεῖς τῶν Συρακουσίων προσεβοήθησαν· ἔπειτα δὲ ὕστερον καὶ τὸ πεζὸν ἅπαν ξυνελέγη. Καὶ προσῆλθον μὲν ἐγγὺς τοῦ στρατεύματος τῶν Ἀθηναίων τὸ πρῶτον, ἔπειτα δὲ, ὡς οὐκ ἀντιπροσῄεσαν αὐτοῖς, ἀναχωρήσαντες, καὶ διαβάντες τὴν Ἑλωρίνην ὁδὸν, ηὐλίσαντο.

67. Τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι παρεσκευάζοντο ὡς ἐς μάχην, καὶ ξυνετάξαντο ὧδε· δεξιὸν μὲν κέρας Ἀργεῖοι εἶχον καὶ Μαντινεῖς, Ἀθηναῖοι δὲ τὸ μέσον, τὸ δὲ ἄλλο οἱ ξύμμαχοι οἱ ἄλλοι. Καὶ τὸ μὲν ἥμισυ αὐτοῖς τοῦ στρατεύματος ἐν τῷ πρόσθεν ἦν τεταγμένον ἐπὶ ὀκτὼ, τὸ δὲ ἥμισυ ἐπὶ ταῖς εὐναῖς ἐν πλαισίῳ, ἐπὶ ὀκτὼ καὶ τοῦτο τεταγμένον· οἷς εἴρητο, ᾗ ἂν τοῦ στρατεύματός τι πονῇ, μάλιστα ἐφορῶντας παραγίγνεσθαι. καὶ τοὺς σκευοφόρους ἐντὸς τούτων τῶν ἐπιτακτῶν ἐποιήσαντο. Οἱ δὲ Συρακούσιοι ἔταξαν τοὺς μὲν ὁπλίτας ἐφ' ἑκκαίδεκα, ὄντας πανδημεὶ Συρακουσίους, καὶ ὅσοι ξύμμαχοι παρῆσαν· (ἐβοήθησαν

ponunt, et muniunt, ſero redeuntibus Syracuſanis.
67. Utriusque exercitus acies quomodo fuerit conſtituta.

ἐπὶ τῷ Δάσκωνι ἔρυμά τε. Colon poſt Δάσκωνι delevi. Daſcon erat ſinus et caſtellum in Sicilia. Vid. Cluver. Sicil. Ant. p. 180. Cf. ad c. 97. Mox ἐφοδώτατον ſcripſimus e codd. plurimis pro εὐεφοδώτατον, quod correctorem ſapit. — λογάδην, cf. ad 4, 4.

τὴν Ἑλωρίνην ὁδόν, quae Helorum ducebat, quod oppidum verſus meridiem ſpectabat.

67. ἐν τῷ πρόσθεν, in der Fronte, i. e. acies ita erat inſtructa, ut phalanx, quae hoſtem ſpectaret, octonos milites in altitudinem haberet. Alterum di-

δὲ αὐτοῖς Σελινούντιοι μὲν μάλιστα, ἔπειτα δὲ καὶ Γελώων ἱππεῖς, τὸ ξύμπαν ἐς διακοσίους, καὶ Καμαριναίων ἱππεῖς ὅσον εἴκοσι, καὶ τοξόται ὡς πεντήκοντα·) τοὺς δὲ ἱππέας ἐπετάξαντο ἐπὶ τῷ δεξιῷ, οὐκ ἔλασσον ὄντας, ἢ διακοσίους καὶ χιλίους· παρὰ δ' αὐτοὺς καὶ τοὺς ἀκοντιστάς. Μέλλουσι δὲ τοῖς Ἀθηναίοις προτέροις ἐπιχειρήσειν, ὁ Νικίας, κατά τε ἔθνη ἐπιπαριὼν ἕκαστα, καὶ ξύμπασι, τοιάδε παρεκελεύετο.

68. „ΠΟΛΛΗι μὲν παραινέσει, ὦ ἄνδρες, τί δεῖ χρῆσθαι, οἳ πάρεσμεν ἐπὶ τὸν αὐτὸν ἀγῶνα; Αὐτὴ γὰρ ἡ παρασκευὴ ἱκανωτέρα μοι δοκεῖ εἶναι θάρσος παρασχεῖν, ἢ καλῶς λεχθέντες λόγοι μετὰ ἀσθενοῦς στρατοπέδου. Ὅπου γὰρ Ἀργεῖοι, καὶ Μαντινεῖς, καὶ Ἀθηναῖοι, καὶ νησιωτῶν οἱ πρῶτοι ἐσμέν, πῶς οὐ χρὴ μετὰ τοιῶνδε καὶ τοσῶνδε ξυμμάχων πάντα τινὰ μεγάλην τὴν ἐλπίδα τῆς νίκης ἔχειν; ἄλλως τε καὶ πρὸς ἄνδρας πανδημεί τε ἀμυνομένους, καὶ οὐκ ἀπολέκτους, ὥσπερ καὶ ἡμᾶς, καὶ προσέτι Σικελιώτας, οἳ ὑπερφρονοῦσι μὲν ἡμᾶς, ὑπομενοῦσι δὲ οὔ, διὰ τὸ τὴν ἐπιστήμην τῆς τόλμης ἥσσω ἔχειν. Παραστήτω δέ τινι καὶ τόδε, πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν εἶναι, καὶ πρὸς

68. Niciae ad ſuos milites oratio ante proelium initum.

midium totius exercitus ad tentoria tamquam in praeſidio verſabatur, agmine quadrato ſ. oblongo (in Carré) conſtitutum.

οὐκ ἔλασσον ὄντας. Vid. ad 6, 1.

68. *αὐτὴ γὰρ ἡ παρασκευή.* Rectius cum codicibus bene multis videtur legi *αὐτή*, quam *αὕτη*, quod in vulgatis eſt libris. „Hic apparatus enim *per ſe* (etiam oratione nulla adhibita) plus valere mihi videtur ad confidentiam vobis praebendam, quam pulchra oratio cum exercitu infirmo." — Paullo ante verba *ἐπὶ τὸν αὐτὸν ἀγῶνα* refer ad *varios* populos, quibus unum et commune cum ſit diſcrimen, una eademque cohortatio ſufficiat. Cf. c. 67 extr.

ὥσπερ καὶ ἡμᾶς. Poterat etiam *ἡμεῖς* ſcribere, ut Hom. Od. 17, 417. *τῷ σε χρὴ δόμεναι καὶ λώϊον, ἠέ περ ἄλλοι.* Sed illud amant utriusque linguae ſcriptores. Plutarch. Apophth. Lac. 874. B. *ὡς χαλεπωτέρων ἐσομένων Λακεδαιμονίων ἢ Μακεδόνων.* Et ſaepiſſime Cicero Lig. 1. „ſe in ea parte fuiſſe, qua *te*, Tubero. cf. Planc. 12. Fin. 2, 3. 4, 28. Nat. deor. 1. 30. Divin. 2, 17. Leg. 2, 11.

γῇ οὐδεμιᾷ φιλίᾳ, ἥντινα μὴ αὐτοὶ μαχόμενοι κτήσεσθε. Καὶ τοὐναντίον ὑπομιμνήσκω ὑμᾶς, ἢ οἱ πολέμιοι σφίσιν αὐτοῖς εὖ οἶδ' ὅτι παρακελεύονται. Οἱ μὲν γὰρ, ὅτι περὶ πατρίδος ἔσται ὁ ἀγών· ἐγὼ δὲ, ὅτι οὐκ ἐν πατρίδι, ἐξ ἧς, κρατεῖν δεῖ, ἢ μὴ ῥᾳδίως ἀποχωρεῖν· οἱ γὰρ ἱππεῖς πολλοὶ ἐπικείσονται. Τῆς τε οὖν ὑμετέρας αὐτῶν ἀξίας μνησθέντες, ἐπέλθετε τοῖς ἐναντίοις προθύμως, καὶ τὴν παροῦσαν ἀνάγκην καὶ ἀπορίαν φοβερωτέραν ἡγησάμενοι τῶν πολεμίων."

69. Ὁ μὲν Νικίας, τοιαῦτα παρακελευσάμενος, ἐπῆγε τὸ στρατόπεδον εὐθύς. Οἱ δὲ Συρακούσιοι ἀπροσδόκητοι μὲν ἐν τῷ καιρῷ τούτῳ ἦσαν ὡς ἤδη μαχούμενοι· καί τινες αὐτοῖς, ἐγγὺς τῆς πόλεως οὔσης, καὶ ἐπεληλύθεσαν· οἱ δὲ καὶ διὰ σπουδῆς προσβοηθοῦντες δρόμῳ, ὑστέριζον μὲν, ὡς δὲ ἕκαστός πῃ τοῖς πλείοσι προσμίξειε, καθίσταντο· (οὐ γὰρ δὴ προθυμίᾳ ἐλλιπεῖς ἦσαν, οὐδὲ τόλμῃ, οὔτ' ἐν ταύτῃ τῇ μάχῃ, οὔτ' ἐν ταῖς ἄλλαις· ἀλλὰ τῇ μὲν ἀνδρείᾳ οὐχ ἥσσους, ἐς ὅσον ἡ

69. Interim Syracuſani proelii initium nondum adeſſe

οἱ μὲν γάρ, repete παρακελεύονται.

ὅτι οὐκ ἐν πατρίδι, ἐξ ἧς, κρατεῖν δεῖ, ἢ — ἀποχωρεῖν. Verba οὐκ ἐν πατρίδι ſic accipe, ac ſi ſit ἐν οὐ πατρίδι, cuius generis transpoſitiones Thucydidi familiares ſunt. Vid. Poppo Obſſ. critt. p. 61. — Ἐξ ἧς non niſi ad ἀποχωρεῖν videtur quadrare. Atque ita Thucydides haud dubie ab initio voluerat, ſed brevitatis ſtudio et ſimul concinnitatis abreptus inſeruit κρατεῖν, quod requirebat ἐν ᾗ. Simillimus eſt locus 2, 40 Ὃ τοῖς ἄλλοις, ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. Cf. ad 3, 12. Poſſis vel comma, vel lineolam poſt ἐξ ἧς ponere.

69. οὐ γὰρ δὴ — προὔδιδοσαν. Haec verba parentheſeos ſignis incluſimus, quia ſequens ὅμως δέ manifeſtum eſt ad praecedens ἀπροσδόκητοι μέν pertinere. Vidit etiam Kiſtemakerus, ſed is parentheſin paullo ampliorem efficere voluit, ut a verbis καί τινες αὐτοῖς inciperet. Sed illa verba non interrumpunt orationem, neque omnino parentheſi opus eſſet, niſi ea adiecta fuiſſent, quae nos parentheſi circumſcripſimus. Propter eadem etiam repetita eſt in ſequentibus (οὐκ ἂν οἰόμενοι — ἀμύνασθαι) ſententia, quae iam inerant verbis ἀπροσδόκητοι μὲν — μαχούμενοι, quam ſententiam, ob longiorem parentheſin lectori fortaſſe elapſam, in memoriam ei revocat.

ἐπιστήμῃ ἀντέχοι· τῷ δὲ ἐλλείποντι αὐτῆς καὶ τὴν βούλησιν ἄκοντες προὐδίδοσαν·) ὅμως δέ, οὐκ ἂν οἰόμενοι σφίσι τοὺς Ἀθηναίους προτέρους ἐπελθεῖν, καὶ διὰ τάχους ἀναγκαζόμενοι ἀμύνασθαι, ἀναλαβόντες τὰ ὅπλα, εὐθὺς ἀντεπῄεσαν. Καὶ πρῶτον μὲν αὐτῶν ἑκατέρων οἵ τε λιθοβόλοι καὶ σφενδονῆται καὶ τοξόται προὐμάχοντο· καὶ τροπὰς, οἵας εἰκὸς ψιλοὺς, ἀλλήλων ἐποίουν. Ἔπειτα δὲ μάντεις τε σφάγια προὔφερον τὰ νομιζόμενα, καὶ σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον τοῖς ὁπλίταις. Οἱ δ' ἐχώρουν, Συρακούσιοι μὲν, περί τε πατρίδος μαχούμενοι, καὶ τῆς ἰδίας [ὡς] ἕκαστος, τὸ μὲν αὐτίκα, σωτηρίας, τὸ δὲ μέλλον, ἐλευθερίας· τῶν δὲ ἐναντίων, Ἀθηναῖοι μὲν, περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν, καὶ τὴν οἰκείαν μὴ βλάψαι ἡσσώμενοι· Ἀργεῖοι δέ, καὶ τῶν ξυμμάχων οἱ αὐτόνομοι, ξυγκτή-

opinati, et perturbati quodammodo Athenienſium pro-

ſ τὴν βούλησιν ἄκοντες προὐδίδοσαν. Inviti voluntatem prodebant, i. e. quia rei bellicae ſcientia carebant, cogebantur *nolle*, quod tamen cuperent, vel alacritatem abiicere, quamvis reniterentur. Schol. τῇ προθυμίᾳ ἄκοντες ἡττῶντο.

λιθοβόλοι καὶ σφενδονῆται. Diverſi igitur erant λιθοβόλοι, *lapidatores*, a funditoribus. Vid. Waſſe ad h. l. Gravioribus illi lapidibus utebantur. Hom. Od. κ. 121.

καὶ τῆς ἰδίας [ὡς] ἕκαστος. Vulgo legitur ὡς ἕκαστος, quam particulam ὡς tredecim codices proſcribunt, atque ideo Benedictus eiiciendam cenſet. Sed errat vir doctus, ὡς ad μαχούμενοι referens. Iungendum eſt cum ἕκαστος; (cf. 1, 15. κατ' ἀλλήλους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέμουν. 1, 67. ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι, ubi vid. Duck.) et fortaſſe in codicibus ideo excidit, quod ad ſententiam nihil conferret, et poſt vocabuli ἰδίας finalem ſyllabam facile negligeretur. Itaque uncis uſi ſumus, ut aliis amplius inquirendum relinqueremus. — Paullo ante poſt περί τε excidiſſe nobis videtur articulus τῆς, qui vix poteſt abeſſe, praeſertim cum una omnium patria cogitanda ſit, et mox ſequatur τῆς ἰδίας — σωτηρίας.

περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν, ſubaudi ad οἰκείαν σχεῖν, ὥστε ἑαυτήν. An forte legendum περί τε τὴν ἀλλοτρίαν οἰκείαν σχεῖν? Nam genitivus h. l. inſolens eſt, ſed propter περί facile a correctore vel etiam a negligentiore librario potuit fieri; praeſertim cum paullo ante praecedant genitivi cum περί. Genitivi vicem ita habuerit infinitivus σχεῖν, et ſequens βλάψαι. Sed codicum lectio, quamvis durior, tamen vera videtur.

σασθαί τε ἐκείνοις, ἐφ᾽ ἃ ἦλθον, καὶ τὴν ὑπάρχουσαν σφίσι πατρίδα, νικήσαντες, πάλιν ἐπιδεῖν· τὸ δ᾽ ὑπήκοον τῶν ξυμμάχων, μέγιστον μὲν περὶ τῆς αὐτίκα ἀνελπίστου σωτηρίας, ἢν μὴ κρατῶσι, τὸ πρόθυμον εἶχον· ἔπειτα δὲ, ἐν παρέργῳ, καὶ εἴ τι ἄλλο ξυγκαταστρεψαμένοις ῥᾷον αὐτοῖς ὑπακούσεται.

70. Γενομένης δ᾽ ἐν χερσὶ τῆς μάχης, ἐπὶ πολὺ ἀντεῖχον ἀλλήλοις· καὶ ξυνέβη βροντάς τε ἅμα τινὰς γενέσθαι καὶ ἀστραπὰς, καὶ ὕδωρ πολύ· ὥστε τοῖς μὲν

greſſu, tamen contra eunt. Res primum inter velites geſta,
70. cum ad manus veniſſet, premuntur et funduntur

καὶ εἴ τι ἄλλο — ὑπακούσεται. Hunc locum ex difficilioribus eſſe, et variae interpretum explicandi rationes demonſtrant, et Bredovius confitetur. Quam autem hic interpretationem proponit, ea, vereor, ut intelligentibus lectoribus probetur. Vertit enim: „ob den Athenern etwas anderes, wenn ſie es gemeinſchaftlich mit ihnen unterjocht hätten, leichter gehorchen werde.“ Cui interpretandi rationi obſtat primum, quod αὐτοῖς non facile ad Athenienſes referri poteſt, quod nomen nimis remotum eſt; deinde ξυγκαταστρεψαμένοις, cum ad ſocios pertineret, neceſſario item ad Athenienſes referendum eſſet, ſi quidem αὐτοῖς ad eosdem retuleris. Denique Thucydides verbo ὑπακούειν genitivum ſolet iungere, (vid. 2, 62. 6, 71) E verbis ſcholii ad h. l. extremis: τοῦτο γάρ ἐστι τὸ, ῥᾳδίως ὑπακούσονται colligas, Scholiaſtam in ſuo codice reperiſſe ὑπακούσονται, et inde coniecturae locus fuerit, antiquitus ſcriptum fuiſſe: καὶ εἴ τι ἄλλο ξυγκαταστρεψάμενοι ῥᾷον αὐτοὶ ὑπακούσονται, quod ad ſenſum certe aptiſſimum eſt. Sed Scholiaſtae auctoritas non poteſt tantundem valere, quantum codices omnes. Pronior igitur ſum ad vulgatam ſcripturam tuendam, quae eundem ſenſum fundit, modo ὑπακούσεται pro paſſivo ὑπακουσθήσεται accipiatur. Notum enim eſt, medii futurum apud Atticos saepiſſime pro paſſivo adhiberi. Vid. ad 2, 87. cf. Duck. ad l. l. et ad 7, 25. Ita fuerit αὐτοῖς ὑπακούσεται, pro αὐτοὶ ὑπακούσονται, quod Scholiaſtae magis *interpretationi*, ut videtur, quam lectioni, egregie convenit. „Tum, praeter hoc, etiam (alacritatem augebat) cogitatio, an forte, ſi alium populum una ſubegiſſent, facilius ipſi obedirent, (aequiore conditione uterentur).“ Ita etiam alia difficultas tollitur, quae eſt in ſingulari verbi ὑπακούσεται, cum iam praeceſſerit pluralis τὸ πρόθυμον εἶχον. Utitur quidem futuro medii Thucydides alibi, ut 1, 143. 6, 71., ſed etiam activo ſaepiſſime, e. c. 1, 140. ὑπακούσοντες. 2, 62. ὑπακούσασι.

70. γενομένης δ᾽ ἐν χερσὶ τῆς μάχης. Schol. recte: μετὰ τὸ παύσασθαι τοὺς λιθοβόλους καὶ τοὺς σφενδονήτας. Idem ξυνεπιλαβέσθαι, αἴτιον φόβον γενέσθαι exponit.

πρῶτον μαχομένοις, καὶ ἐλάχιστα πολέμῳ ὡμιληκόσι, καὶ τοῦτο ξυνεπιλαβέσθαι τοῦ φόβου· τοῖς δ᾽ ἐμπειροτέροις τὰ μὲν γιγνόμενα καὶ ὥρᾳ ἔτους περαίνεσθαι δοκεῖν, τοὺς δὲ ἀνθεστῶτας πολὺ μείζω ἔκπληξιν μὴ νικωμένους παρέχειν. Ὠσαμένων δὲ πρῶτον τῶν Ἀργείων τὸ εὐώνυμον κέρας τῶν Συρακουσίων, καὶ μετ᾽ αὐτοὺς τῶν Ἀθηναίων τὸ κατὰ σφᾶς αὐτοὺς, παρεῤῥήγνυτο ἤδη καὶ τὸ ἄλλο στράτευμα τῶν Συρακουσίων, καὶ ἐς φυγὴν κατέστη. Καὶ ἐπὶ πολὺ μὲν οὐκ ἐδίωξαν οἱ Ἀθηναῖοι· (οἱ γὰρ ἱππεῖς τῶν Συρακουσίων, πολλοὶ ὄντες καὶ ἀήσσητοι, εἶργον· καὶ ἐσβαλόντες ἐς τοὺς ὁπλίτας αὐτῶν, εἴ τινας προςδιώκοντας ἴδοιεν, ἀνέστελλον·) ἐπακολουθήσαντες δὲ ἀθρόοι, ὅσον ἀσφαλῶς εἶχε, πάλιν ἐπανεχώρουν, καὶ τροπαῖον ἵστασαν. Οἱ δὲ Συρακούσιοι, ἀθροισθέντες ἐς τὴν Ἑλωρινὴν ὁδὸν, καὶ ὡς ἐκ τῶν παρόντων ξυνταξάμενοι, ἔς τε τὸ Ὀλυμπίειον ὅμως σφῶν αὐτῶν παρέπεμψαν φυλακὴν, δείσαντες, μὴ οἱ Ἀθηναῖοι τῶν χρημάτων, ἃ ἦν αὐτόθι, κινήσωσι· καὶ οἱ λοιποὶ ἐπανεχώρησαν ἐς τὴν πόλιν.

Syracuſani, non longe tamen inſequentibus Athenienſibus.

ὠσαμένων δὲ πρῶτον τῶν Ἀργείων. Nonnulli codices Ar. C. Reg. Caſſ. Aug. alio ordine legunt ὠσαμένων δὲ τῶν Ἀργείων πρῶτον. A Moſq. abeſt πρῶτον.

εἴ τινας προδιώκοντας ἴδοιεν. Praeſtantiſſimi codices Cl. Reg. Caſſ. Gr. Aug. et ex Pariſſ. duo exhibent προδιώκοντες pro vulgato προςδιώκοντες. Illud valet: *ulterius progredientes hoſtem perſequendo*, quod cum huic loco, maxime propter verba ſequentia ἐπακολουθήσαντες δὲ ἀθρόοι, aptiſſimum ſit, recepi cum Benedicto, quem vide. Saepe codices πρός et πρό commutant, e. c. infra cap. 75 extr. Ceterum verba οἱ γὰρ ἱππεῖς — ἀνέστελλον parentheſi circumſcripſi, quia ἐπακολουθήσαντες δέ ad Athenienſes pertinet.

ὅμως σφῶν αὐτῶν παρ: φυλ. int. *licet* aegre ſe recepiſſent, et tum quoque aegre dimitterent partem copiarum, cum hoſtes perſequerentur.

μὴ οἱ Ἀθηναῖοι τῶν χρημάτων — κινήσωσι. Vocabulum κινεῖν etiam alibi Thucydidem uſurpare de pecuniis ſacris ad alios uſus convertendis, docet Duckerus. Vid. 1, 143. 2, 24. Genitivum τῶν χρημάτων pendere puta ab omiſſo pronomine τὶ, ſive τὶ μέρος. — Quod Diodorus Sic. 13, 6. ſcribit, Athenienſes ſtatim, poſtquam magnum

71. Οἱ δὲ Ἀθηναῖοι πρὸς μὲν τὸ ἱερὸν οὐκ ἦλθον, ξυγκομίσαντες δὲ τοὺς ἑαυτῶν νεκροὺς, καὶ ἐπὶ πυρὰν ἐπιθέντες, ηὐλίσαντο αὐτοῦ. Τῇ δ' ὑστεραίᾳ τοῖς μὲν Συρακουσίοις ἀπέδοσαν ὑποσπόνδους τοὺς νεκρούς· (ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων περὶ ἑξήκοντα καὶ διακοσίους·) τῶν δὲ σφετέρων τὰ ὀστᾶ ξυνέλεξαν, (ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων ὡς πεντήκοντα·) καὶ τὰ τῶν πολεμίων σκῦλα ἔχοντες, ἀπέπλευσαν ἐς Κατάνην. Χειμών τε γὰρ ἦν, καὶ, τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι, οὔπω ἐδόκει δυνατὸν εἶναι, πρὶν ἂν ἱππέας τε μεταπέμψωσιν ἐκ τῶν Ἀθηνῶν, καὶ ἐκ τῶν αὐτόθεν ξυμμάχων ἀγείρωσιν, ὅπως μὴ παντάπασιν ἱπποκρατῶνται, καὶ χρήματα δὲ ἅμα αὐτόθεν τε ξυλλέξωνται, καὶ παρ' Ἀθηναίων ἔλθῃ, τῶν τε πόλεων τινὰς προσαγάγωνται, ἃς ἤλπιζον μετὰ τὴν μάχην μᾶλλον σφῶν ὑπακούσεσθαι, τά τε ἄλλα καὶ σῖτον, καὶ ὅσων δέοι, παρασκευάσωνται, ὡς ἐς τὸ ἔαρ ἐπιχειρήσοντες ταῖς Συρακούσαις.

71. Numerus caeſorum. Athenienſes Athenis equites et portum ingreſſi eſſent, Olympio potitos eſſe (κύριοι κατέστησαν): Duckero adſentior, qui Thucydidi potius credendum eſſe arbitratur. Idem Diodorus l. l. in numeris proferendis valde a Thucydide discrepat; ſiquidem quadringentos Syracuſanorum caeſos narrat, cum Thucydides cap. 71. ducentos tantum et ſexaginta ſcripſerit. Et cum, Thucydide auctore, Athenienſes e captivis centum et viginti talenta confecerint (v. cap. 62.), Diodorus tantum centum eos confeciſſe tradit.

71. τῶν δὲ σφετέρων τὰ ὀστᾶ ξυνέλεξαν. Quae deinde domum mitterentur, et publico funere elata ſepelirentur. Vid. 2, 34.

τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι, i. e. ἐκ τοῦ κατὰ τὸ Ὀλυμπίειον, ſive ex magno portu.

καὶ χρήματα δὲ ἅμα. Haec rurſus pendent a πρὶν ἄν, non ab ὅπως, ſicut etiam ſequentia. Ideo videtur δέ additum, licet praecedente καί, quod alias quoque ſolet. cf. ad 8, 67 extr. Ἔλθῃ parum concinne interiectum eſt, quia nominativum deſiderat τὰ χρήματα eſſe, quod antea fuerat accuſativus.

ὡς ἐς τὸ ἔαρ ἐπιχειρήσοντες. Nonnullorum codicum ſcripturam ὥστε τὸ ἔαρ, unde Benedictus efficit ἐς γε τὸ ἔαρ, corruptam puto. Non ſolum ἐς poſt ὡς facile excidere ſolet, ut hic in Cl., ſed etiam ὡς ἐς facile in ὥς τε corrumpi poteſt.

72. Καὶ οἱ μὲν ταύτῃ τῇ γνώμῃ ἀπέπλευσαν ἐς τὴν Νάξον καὶ Κατάνην διαχειμάσοντες. Συρακούσιοι δὲ, τοὺς σφετέρους αὐτῶν νεκροὺς θάψαντες, ἐκκλησίαν ἐποίουν. Καὶ παρελθὼν αὐτοῖς Ἑρμοκράτης ὁ Ἕρμωνος, ἀνὴρ καὶ ἐς τὰ ἄλλα ξύνεσιν οὐδενὸς λειπόμενος, καὶ κατὰ τὸν πόλεμον ἐμπειρίᾳ τε ἱκανὸς γενόμενος, καὶ ἀνδρείᾳ ἐπιφανὴς, ἐθάρσυνέ τε, καὶ οὐκ εἴα τῷ γεγενημένῳ ἐνδιδόναι· τὴν μὲν γὰρ γνώμην αὐτῶν οὐχ ἡσσῆσθαι, τὴν δὲ ἀταξίαν βλάψαι· οὐ μέντοι τοσοῦτόν γε λειφθῆναι, ὅσον εἰκὸς εἶναι, ἄλλως τε τοῖς πρώτοις τῶν Ἑλλήνων ἐμπειρίᾳ ἰδιώτας, ὡς εἰπεῖν, χειροτέχνας ἀνταγωνισαμένους. Μέγα δὲ βλάψαι καὶ τὸ πλῆθος τῶν στρατηγῶν, καὶ τὴν πολυαρχίαν, (ἦσαν γὰρ πεντεκαίδεκα οἱ στρατηγοὶ αὐτοῖς,) τῶν τε πολλῶν τὴν ἀξύντακτον ἀναρχίαν. Ἢν δὲ ὀλίγοι τε στρατηγοὶ γένωνται ἔμπειροι, καὶ ἐν τῷ χειμῶνι τούτῳ παρασκευάσωσι τὸ ὁπλιτικὸν, οἷς τε ὅπλα μή ἐστιν,

pecuniam petunt. 72. Quae Hermocrates Syracuſanis

72. *θάψαντες*, an h. l. ſit compoſitos rogis cremarunt, quaeras licet. Sed ſane *θάπτειν* ita uſurpatur, imprimis addito *πυρί*.

τὴν δὲ ἀταξίαν βλάψαι, int. *αὐτούς*.

ὅσον εἰκὸς εἶναι. Infinitivus pro optativo *εἴη* in oratione obliqua. Exempla vide ad 2, 102.

ἄλλως τε τοῖς πρώτοις. Bredovius, allatis aliorum ſcriptorum locis, defendit, recte dici *ἄλλως τε*, omiſſo *καί*. Sed apud Thucydidem ſemper, quantum memini, plene *ἄλλως τε καί* legitur, et *καί* facile h. l. excidere potuit, quemadmodum ſaepe alibi omiſſum eſt, v. c. 4, 5. 8. 6, 77. Nec vero abutaris licet loco 8, 38. *Δελφίνιον ἐτείχιζον, χωρίον ἄλλως τε ἐκ γῆς καρτερὸν, καὶ λιμένας ἔχον*, ubi *τέ* pertinet ad ſequens *καί* et *ἄλλως* ſignificat *alioqui*, *praeterea*. — In ſequentibus *ἐμπειρίᾳ* iunge cum praecedentibus, *ἰδιώτας* autem cum *χειροτέχνας*, i. e. homines rei militaris rudes, propе dixerim (verbo) operarios. Ut autem dicam, quod ſentio, vox *ἰδιώτας* ſine copula non facile poteſt iungi cum *χειροτέχνας*. Itaque quod, probante Duckero, Stephanus monuit, *καί* ante *ὡς εἰπεῖν* addendum eſſe, id verum praeceptum eſſe arbitror, ſi vulgata diſtinctio retineatur. Equidem comma poſui poſt *εἰπεῖν*, ſuſtuli poſt *χειροτέχνας*.

οἷς τε ὅπλα μή ἐστι. Non enim ex publico arma militibus praebebantur, ſed ſibi quisque comparabat, exceptis tenuioribus illis, quibus hic ad exercitum augendum publice donandi arma auctor eſt Hermocrates.

ἐκποϱίζοντες, ὅπως ὡς πλεῖστοι ἔσονται, καὶ τῇ ἄλλῃ μελέτῃ πϱοσαναγκάζοντες, ἔφη, κατὰ τὸ εἰκὸς κϱατήσειν σφᾶς τῶν ἐναντίων, ἀνδϱείας μὲν σφίσιν ὑπαϱχούσης, εὐταξίας δὲ ἐς τὰ ἔϱγα πϱοσγενομένης. Ἐπιδώσειν γὰϱ ἀμφότεϱα αὐτὰ, τὴν μὲν, μετὰ κινδύνων μελετωμένην, τὴν δ' εὐψυχίαν, αὐτὴν ἑαυτῆς, μετὰ τοῦ πιστοῦ τῆς ἐπιστήμης, θαϱσαλεωτέϱαν ἔσεσθαι. Τούς τε στϱατηγοὺς, καὶ ὀλίγους καὶ αὐτοκϱάτοϱας χϱῆναι ἑλέσθαι, καὶ ὀμόσαι αὐτοῖς τὸ ὅϱκιόν, ἦ μὴν ἐάσειν ἄϱχειν, ὅπῃ ἂν ἐπίστωνται. Οὕτω γὰϱ, ἅ, τε κϱύπτεσθαι δεῖ, μᾶλλον ἂν στέγεσθαι, καὶ τἄλλα κατὰ κόσμον καὶ ἀπϱοφασίστως παϱασκευασθῆναι.

73. Καὶ οἱ Συϱακούσιοι, αὐτοῦ ἀκούσαντες, ἐψηφίσαντό τε πάντα, ὡς ἐκέλευε, καὶ στϱατηγὸν αὐτόν τε εἵλοντο τὸν Ἑϱμοκϱάτην, καὶ Ἡϱακλείδην τὸν Λυσιμάχου, καὶ Σικανὸν τὸν Ἐξηκέστου, τούτους τϱεῖς. Καὶ ἐς τὴν Κόϱινθον καὶ ἐς τὴν Λακεδαίμονα πϱέσβεις ἀπέστειλαν, ὅπως ξυμμαχία τε αὐτοῖς παϱαγένηται, καὶ τὸν πϱὸς Ἀθηναίους πόλεμον βεβαιότεϱον πείθωσιν ἐκ τοῦ πϱοφανοῦς ὑπὲϱ σφῶν τοὺς Λακεδαιμονίους, ἵνα ἢ ἀπὸ τῆς Σικελίας ἀπαγάγωσιν αὐτοὺς, ἢ πϱὸς τὸ ἐν Σικελίᾳ στϱάτευμα ἧσσον ὠφέλειαν ἄλλην ἐπιπέμπωσι.

74. Τὸ δ' ἐν τῇ Κατάνῃ στϱάτευμα τῶν Ἀθηναίων ἔπλευσεν εὐθὺς ἐπὶ Μεσσήνην, ὡς πϱοδοθησο-

poſt Athenienſium abitum ſuadebat, 73. illi alacriter comprobant, et Hermocratem ipſum cum Heraclida et Sicano duces eligunt. Etiam Corinthum et Lacedaemonem legatos mittunt, auxilii petendi cauſa. 74. A Meſ-

ὅπως ὡς πλεῖστοι ἔσονται. Ita 3, 4. ὅπως τις βοήθεια ἥξει. Infra cap. 73 extr. ὅπως μηδὲν ἐνδώσομεν. Cap. 88. ὅπως αὐτοῖς ὡς πλεῖστοι πϱοσχωϱήσονται. Cf. 7, 52. ubi item, libris iubentibus, pro aoriſtis coniunctivi, infinitivi futura reponenda, διαφήσουσι et κωλύσουσι. Et alibi ſaepe.

ἐπιδώσειν γὰϱ ἀμφότεϱα αὐτά. „Per ſe enim utramque progreſſus eſſe facturam."

73. τούτους τϱεῖς. Hoc addit, ut innuat minorem multo

μένην. Καὶ, ἃ μὲν ἐπράσσετο, οὐκ ἐγένετο. Ἀλκιβιάδης γὰρ, ὅτε ἀπῄει ἐκ τῆς ἀρχῆς ἤδη μετάπεμπτος, ἐπιστάμενος, ὅτι φεύξοιτο, μηνύει τοῖς τῶν Συρακουσίων φίλοις τοῖς ἐν τῇ Μεσσήνῃ, ξυνειδὼς, τὸ μέλλον. Οἱ δὲ τούς τε ἄνδρας διέφθειραν πρότερον, καὶ τότε στασιάζοντες καὶ ἐν ὅπλοις ὄντες, ἐπεκράτουν μὴ δέχεσθαι τοὺς Ἀθηναίους οἱ ταῦτα βουλόμενοι. Ἡμέρας δὲ μείναντες περὶ τρισκαίδεκα οἱ Ἀθηναῖοι, ὡς ἐχειμάζοντο, καὶ τὰ ἐπιτήδεια οὐκ εἶχον, καὶ προὐχώρει οὐδὲν, ἀπελθόντες ἐς Νάξον καὶ Θρᾷκας, σταυρώματα περὶ τὸ στρατόπεδον ποιησάμενοι, αὐτοῦ διεχείμαζον· καὶ τριήρη ἀπέστειλαν ἐς τὰς Ἀθήνας ἐπί τε χρήματα καὶ ἱππέας, ὅπως ἅμα τῷ ἦρι παραγένωνται.

75. Ἐτείχιζον δὲ καὶ οἱ Συρακούσιοι ἐν τῷ χειμῶνι πρός τε τῇ πόλει, τὸν Τεμενίτην ἐντὸς ποιησά-

ſana Athenienſes, proditione per Alcibiadem detecta, revertuntur infecta re, et apud Naxum hiberna communiunt. 75. Syracuſani item et urbem et caſtella quaedam muris,

fuiſſe duum numerum ex Hermocratis ſententia delectorum, quam antea. cf. cap. 72., ubi quindecim in pugna proxima fuiſſe Thucydides narrat. Poſt τρεῖς plene interpunxi.

74. τοῖς ἐν τῇ Μεσσήνῃ, ξυνειδὼς, τὸ μέλλον. Nomen Μεσσήνη duplici σ ſcribendum curavi, quemadmodum plerique Thucydidis codices, et vero etiam lapides exhibent. Dein articulum τῇ ante Μεσσήνῃ, libris iubentibus, repoſui, praeeunte Benedicto. Poſt ξυνειδὼς denique comma poſui, quia τὸ μέλλον aptius refertur ad μηνύει.

ἐς Νάξον καὶ Θρᾷκας. Haec corrupta eſſe, nemo non videt. Sed quid loco Θρᾷκας reponendum ſit, valde dubium eſt. Donec melius quid inveniatur, Heilmanni coniecturam probo, latere nomen oppidi nobis ignoti, et cum Bredovio Θράκας (ā Θράκαι) ſcribendum eſſe cenſeam. Cui coniecturae fruſtra opponit Benedictus, quod infra cap. 75. legatur tantum ἐν τῇ Νάξῳ χειμάζοντες, omiſſo hoc altero nomine. Eodem modo etiam c. 88., cum cap. 67 legeretur, Camarinenſes equites viginti *et ſagittarios quinquaginta* Syracuſanis miſiſſe, tantummodo equites memorantur his verbis: τὸ, τε πρῶτον αὐτοῖς τοὺς ὀλίγους ἱππέας ἔπεμψαν. — Ceterum σταυρώματα pro σταύρωμα cum codicibus legendum eſt, quae lectio munitionibus duorum locorum non male convenit.

75. τὸν Τεμενίτην, partem eam Syracuſarum, quam poſteriores dixere Neapolin, olim ab Apollinis Temenitae fano ita nominatam. De *Epipolis* vide cap. 96.

μενοι, τεῖχος παρὰ πᾶν τὸ πρὸς τὰς Ἐπιπολὰς ὁρῶν, ὅπως μὴ δι' ἐλάσσονος εὐαποτείχιστοι ὦσιν, ἢν ἄρα σφάλωνται· καὶ τὰ Μέγαρα φρούριον, καὶ ἐν τῷ Ὀλυμπιείῳ ἄλλο. καὶ τὴν θάλασσαν προεσταύρωσαν πανταχῇ, ᾗ ἀποβάσεις ἦσαν. Καὶ τοὺς Ἀθηναίους εἰδότες ἐν τῇ Νάξῳ χειμάζοντας, ἐστράτευσαν πανδημεὶ ἐπὶ τὴν Κατάνην· καὶ τῆς τε γῆς αὐτῶν ἔτεμον, καὶ τὰς τῶν Ἀθηναίων σκηνὰς καὶ τὸ στρατόπεδον ἐμπρήσαντες, ἀνεχώρησαν ἐπ' οἴκου. Καὶ πυνθανόμενοι, τοὺς Ἀθηναίους ἐς τὴν Καμαρίναν, κατὰ τὴν ἐπὶ Λάχητος γενομένην ξυμμαχίαν, πρεσβεύεσθαι, εἴ πως προσαγάγοιντο αὐτοὺς, ἀντεπρεσβεύοντο καὶ αὐτοί. Ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ Καμαριναῖοι, μὴ προθύμως σφίσι μήτ' ἐπὶ τὴν πρώτην μάχην πέμψαι, ἃ ἔπεμψαν· ἔς τε τὸ λοιπὸν μὴ οὐκέτι βούλωνται ἀμύνειν, ὁρῶντες τοὺς Ἀθηναίους ἐν τῇ μάχῃ εὖ πράξαντας, προσχωρῶσι δ' αὐτοῖς, κατὰ τὴν προτέραν φιλίαν πεισθέντες. Ἀφικομένων οὖν, ἐκ μὲν Συρακουσῶν Ἑρμοκράτους καὶ ἄλλων ἐς τὴν Καμαρίναν, ἀπὸ δὲ τῶν Ἀθηναίων Εὐφήμου μεθ' ἑτέρων, ὁ Ἑρμοκράτης, ξυλλόγου γενομένου τῶν Καμαριναίων, βουλόμενος προςδιαβάλλειν τοὺς Ἀθηναίους, ἔλεγε τοιάδε.

quin etiam mare, quacumque exſcendi poterat, vallo muniunt, Catanaeorum agrum devaſtant, et Camarinam legatos mittunt, ut Athenienſium conſilia occuparent. Itaque Hermocrates apud Camarinenſium concionem, praeſentibus Athenienſium legatis, prior verba fecit,

καὶ τὰ Μέγαρα φρούριον, int. *ἐτείχιζον*, e ſuperioribus, quo pertinent haec. Male Portus intelligit: *καὶ φρούριον* (ſcil. *φρουρὰν* vel *φυλακὴν*) *ἐς τὰ Μέγαρα ἔπεμψαν*. Primum enim haec vis non eſt vocabulo *φρούριον* (v. ad 5, 80), deinde ad Olympium iam antea praeſidium miſſum erat, ut patet ex cap. 70.

τὴν ἐπὶ Λάχητος γεν. ξυμ. Vid. notata ad cap. 6.

προδιαβάλλειν. Vulgo *προςδιαβαλεῖν*, quod eſſet *inſuper criminari*. Illud multo aptius eſt Hermocratis conſilio, initio cap. 76. propoſito, et multorum codd. auctoritate firmatur. Quare cum Duckero et Benedicto recepi.

76. „ΟΥ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων, ὦ Καμαριναῖοι, μὴ αὐτὴν καταπλαγῆτε, δείσαντες, ἐπρεσβευσάμεθα· ἀλλὰ μᾶλλον τοὺς μέλλοντας ἀπ᾽ αὐτῶν λόγους, πρίν τι καὶ ἡμῶν ἀκοῦσαι, μὴ ὑμᾶς πείσωσιν. Ἥκουσι γὰρ ἐς τὴν Σικελίαν, προφάσει μὲν, ᾗ πυνθάνεσθε, διανοίᾳ δὲ, ἣν πάντες ὑπονοοῦμεν. Καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι κατοικίσαι, ἀλλ᾽ ἡμᾶς μᾶλλον ἐξοικίσαι. Οὐ γὰρ δὴ εὔλογον, τὰς μὲν ἐκεῖ πόλεις ἀναστάτους ποιεῖν, τὰς δὲ ἐνθάδε κατοικίζειν· καὶ Λεοντίνων μὲν, Χαλκιδέων ὄντων, κατὰ τὸ ξυγγενὲς κήδεσθαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ, ὧν οἵδε ἄποικοί εἰσι, δουλωσαμένους ἔχειν· τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον, καὶ τὰ ἐνθάδε νῦν πειρῶνται. Ἡγεμόνες γὰρ γενόμενοι ἑκόντων, τῶν τε Ἰώνων, καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν ξύμμαχοι, ὡς ἐπὶ τοῦ Μήδου τιμωρίᾳ, τοὺς μὲν, λειποστρατίαν, τοὺς δὲ, ἐπ᾽ ἀλλήλους στρατεύειν, τοῖς δ᾽, ὡς ἑκάστοις τινὰ εἶχον αἰτίαν εὐπρεπῆ, ἐπενεγκόντες, κατεστρέψαντο. Καὶ οὐ περὶ

76 — 80. horum conſilia Siciliae totius ſubigendae

76. οὐ τὴν παροῦσαν δύναμιν. Male Bauerus comma poſuit poſt οὐ. Negatio enim manifeſto ad participium δείσαντες pertinet, quo cauſa mittendae legationis continetur. Omnino enim legati miſſi erant, ſed non ideo, quod metuerent Syracuſani, ne copiarum hoſtilium multitudo Camarinenſibus imponeret, ſed metuentes, ne oratio Athenienſium perſuaderet.

τὰς μὲν ἐκεῖ πόλεις. Intellige urbes ſociorum et ipſorum adeo Athenienſium.

καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν ξύμμαχοι. Ἀπὸ σφῶν utrum ſit ἀφ᾽ ἑαυτῶν, ſponte, ultro, an *ab ipſis* (Athenienſibus) *oriundi*, dubitari poſſit. Hoc tamen cum Bredovio praefero propter verba cap. 82. Οὐδὲ ἀδίκως καταστρεψάμενοι τούς τε Ἴωνας καὶ νησιώτας, οὓς ξυγγενεῖς φασιν ὄντας ἡμᾶς Συρακούσιοι δεδουλῶσθαι. Ita Scholiaſta quoque cepit, exponens: καὶ ὅσοι ἄποικοι ἦσαν αὐτῶν. Cf. c. 77. ἀπ᾽ αὐτονόμου τῆς Πελοποννήσου.

τοὺς μὲν, λειποστρατίαν — κατεστρέψαντο. Alter accuſativus τοὺς μὲν, et poſtea τοὺς δὲ, pendet a verbo finito κατεστρέψαντο; alter λειποστρατίαν (ſupra 1, 99. λειποστράτιον legitur) a participio ἐπενεγκόντες, et ſubaudiendus dativus αὐτοῖς. Mox ad dativum tranſit τοῖς δὲ, qui regatur ab ἐπενεγκόντες, et ſubaudiendum reliquit accuſativum αὐτοὺς, mutata ſtructura. ita

τῆς ἐλευθερίας ἄρα οὔτε οὗτοι τῶν Ἑλλήνων, οὔθ᾽ οἱ Ἕλληνες τῆς ἑαυτῶν, τῷ Μήδῳ ἀντέστησαν, περὶ δὲ, οἱ μὲν σφίσιν, ἀλλὰ μὴ ἐκείνῳ, καταδουλώσεως, οἱ δ᾽, ἐπὶ δεσπότου μεταβολῇ, οὐκ ἀξυνετωτέρου, κακοξυνετωτέρου δέ.

77. „Ἀλλ᾽ οὐ γὰρ δὴ τὴν τῶν Ἀθηναίων, εὐκατηγόρητον οὖσαν, πόλιν νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν, ὅσα ἀδικεῖ· πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι, ὅτι, ἔχοντες παραδείγματα τῶν τε ἐκεῖ Ἑλλήνων, ὡς ἐδουλώθησαν, οὐκ ἀμύνοντες σφίσιν αὐτοῖς, καὶ νῦν ἐφ᾽ ἡμᾶς ταῦτα παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν κατοικίσεις, καὶ Ἐγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ ξυστραφέντες βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς, ὅτι οὐκ Ἴωνες τάδε εἰσὶν, οὐδ᾽ Ἑλλησπόντιοι, καὶ νησιῶται, οἵ, δεσπότην ἢ Μῆδον, ἢ ἕνα γέ τινα ἀεὶ μεταβάλλοντες, δουλοῦνται, ἀλλὰ Δωριεῖς, ἐλεύθεροι ἀπ᾽ αὐτονόμου τῆς Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες. Ἢ μένομεν, ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν, εἰδότες, ὅτι ταύτῃ

arguens, et ad ſocietatem cum Syracuſanis faciendam

omnia plana. Similis locus exſtat cap. 77. ὥστε τοὺς μὲν λόγοις ἡμῶν διϊστάναι — κακουργεῖν, quem vide.

οὔτε οὗτοι τῶν Ἑλλήνων. Comma, quod vulgo eſt ante οὔτε, delevi, quia τῶν Ἑλλήνων ita facilius referri poteſt ad περὶ τῆς ἐλευθερίας, quo pertinet.

77. τῶν τε ἐκεῖσ᾽ Ἑλλήνων. Particulam τέ, a codicibus nonnullis omiſſam, ſervo, quia apte reſpondet ſequentibus καὶ νῦν ἐφ᾽ ἡμᾶς. Pro ἐκεῖσε, quod e codd. Caſſ. Aug. Moſq. ſolis notatur, malim cum aliis Mſſ. legere ἐκεῖ.

Λεοντίνων — κατοικίσεις. Pluralis genera et modos τῶν σοφισμάτων indicat, recte monente Bauero. Nam proprie una modo Leontinorum κατοίκισις, ſicut una Segeſtanorum ἐπικουρία.

ὅτι οὐκ Ἴωνες τάδε εἰσίν. Pro τάδε Benedictus ſcribendum eſſe ἐνθάδε coniicit. Sed vulgatam etiam tuetur locus Ariſtidis, ταῦτα legentis, quem laudat Duckerus ad h. l.

ἢ μένομεν — κακουργεῖν. Iam alii viderunt, interrogandi ſignum poſt κακουργεῖν ponendum eſſe. Sed idem argumentum valeat neceſſe eſt in ſequentibus, ubi ſi καὶ οἰόμεθα ſine interrogatione acceperis, valde ieiuna oriatur ſententia. Itaque utroque loco fixi ſignum interrogandi.

μόνον ἁλωτοί ἐσμεν, καὶ ὁρῶντες αὐτοὺς ἐπὶ τοῦτο τὸ εἶδος τρεπομένους, ὥστε τοὺς μὲν λόγοις ἡμῶν διϊστάναι, τοὺς δὲ ξυμμάχων ἐλπίδι ἐκπολεμοῦν πρὸς ἀλλήλους, τοῖς δὲ, ὡς ἑκάστοις τὶ προσηνὲς, λέγοντες, δύνανται κακουργεῖν; καὶ οἰόμεθα, τοῦ ἄπωθεν ξυνοίκου προαπολλυμένου, οὐ καὶ ἐς αὐτόν τινα ἥξειν τὸ δεινὸν, πρὸ δὲ αὐτοῦ μᾶλλον τὸν πάσχοντα καθ' αὑτὸν δυστυχεῖν;

78. „Καὶ εἴ τῳ ἄρα παρέστηκε, τὸν μὲν Συρακούσιον, ἑαυτὸν δ' οὐ, πολέμιον εἶναι τῷ Ἀθηναίῳ, καὶ δεινὸν ἡγεῖται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθήτω οὐ περὶ τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα ἐν τῇ ἐμῇ, μαχούμενος· τοσούτῳ δὲ καὶ ἀσφαλέστερον, ὅσῳ, οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ, καὶ οὐκ ἔρημον, ἀγωνιεῖται· τόν τε

Camarinenſes compellans.

τοῖς δὲ, ὡς ἑκάστοις τι προσηνὲς, λέγοντες, δύνανται, κακουργεῖν. Ita hunc locum diſtinguendum putavi, cum vulgo non niſi poſt λέγοντες comma fixum ſit. Si δύνανται, quod Bauero interpretamentum verbis ὡς ἑκάστοις adſcriptum videtur eſſe, plane abfuerit, etiam facilius loci ratio conſtet. Sed et ſic conſtat. Nam dativus τοῖς δὲ pertinet ad λέγοντες, et ad δύνανται ſubaudiendum eſt λέγειν, ſicut ad infinitivum κακουργεῖν, αὐτούς. Conferatur ſimillimus locus cap. praecedentis. Saepe verba apud noſtrum Scriptorem inter ſe disiecta ſunt, maxime in orationibus. Ita paullo ante λόγοις verbis τοὺς μὲν — ἡμῶν interiectum eſt, quae tamen iungenda. C. 80. ἐκδιδάσκειν μὲν οὐδὲν ἔργον εἶναι σαφῶς. C. 100. Οἱ δὲ Ἀθηναῖοι τούς τε ὀχετοὺς αὐτῶν, οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν, ποτοῦ ὕδατος, ἠγμένοι ἦσαν, διέφθειραν.

οὐ καὶ ἐς αὐτόν τινα. Cum Benedicto ſic e decem codd. repoſui pro οὐκ ἐς αὐτ., omiſſo καὶ, quod cum Καε ſonaret, ante ἐς facile ita abſorberi potuit. cf. ad cap. 72. — In fine capitis probati libri proferunt ſcripturam καθ' αὐτόν, pro καθ' ἑαυτόν, quam ſecutus ſum, licet in talibus non ubique, quid verum ſit, e libris cognoſci queat.

78. ἐνθυμηθήτω. In ed. Lipſ. mendoſe ἐκθυμηθείτω legitur. Mox pro μαχούμενος codd. Cl. Reg. Aug. Caſſ. habent μαχόμενος. Sed vulgatum praeſtat et per ſe, et quia ſequitur ἀγωνιεῖται.

καὶ οὐκ ἔρημον. Ita plerique codices pro ἔρημος; et conſpirat cod. Dionyſii Hal. Ridicule ſane pugnat Bauerus contra codicum lectionem, quam bene defendit et exponit Benedictus. Nam ſocii, aliorum ſocietate firmi, magis expetendi ſunt, ſi optio detur, quam qui ſunt omni ope ſociorum deſtituti.

Ἀθηναῖον μὴ τὴν τοῦ Συρακουσίου ἔχθραν κολάσασθαι, τῇ δ' ἐμῇ προφάσει τὴν ἐκείνου φιλίαν οὐχ ἧσσον βεβαιώσασθαι βούλεσθαι. Εἴ τέ τις φθονεῖ μέν, ἢ καὶ φοβεῖται, (ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω,) διὰ δὲ αὐτὰ τὰς Συρακούσας κακωθῆναι μέν, ἵνα σωφρονισθῶμεν, βούλεται, περιγενέσθαι δέ, ἕνεκα τῆς αὑτοῦ ἀσφαλείας, οὐκ ἀνθρωπείας δυνάμεως βούλησιν ἐλπίζει. Οὐ γὰρ οἷόν τε, ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως ταμίαν γενέσθαι. Καί, εἰ γνώμης ἁμάρτοι, τοῖς αὑτοῦ κακοῖς ὀλοφυρθείς, τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτὲ βουληθείη αὖθις φθονῆσαι. Ἀδύνατον δὲ προεμένῳ, καὶ μὴ τοὺς αὐτοὺς κινδύνους, οὐ περὶ τῶν ὀνομάτων, ἀλλὰ περὶ τῶν ἔργων, ἐθελήσαντι προσλαβεῖν. λόγῳ μὲν γὰρ τὴν ἡμετέραν δύναμιν σώζοι ἄν τις, ἔργῳ δὲ τὴν αὑτοῦ σωτηρίαν. Καὶ μάλιστα εἰκὸς ἦν, ὑμᾶς, ὦ Καμαριναῖοι, ὁμόρους ὄντας, καὶ τὰ δεύτερα κινδυνεύσοντας, προορᾶσθαι αὐτά, καὶ μὴ μαλακῶς, ὥσπερ νῦν, ξυμμαχεῖν, αὐτοὺς δέ, πρὸς ἡμᾶς μᾶλλον ἰόντας, ἅπερ [ἂν], εἰ ἐς τὴν Καμαριναίαν

τὴν ἐκείνου φιλίαν. Pronomen ἐκείνου non ad Athenienſes, ſed ad eos Siculos ſpectat, qui periculum non ſibi, ſed Syracuſanis ſolis impendere opinantur.

φθονεῖ μέν, int. τοῖς Συρακουσίοις. οὐκ ἀνθρωπείας δυνάμεως βούλησιν ἐλπίζει. Pro ἀνθρωπείας codices plerique hic videntur legere ἀνθρωπίνης, permutatione ſatis frequente. cf. 3, 40. Formam, quae hic in textu eſt, cum Atticiſtis defendit Poppo Obſſ. critt. p. 144. — οὐκ ἀνθ. δ. βούλησιν ἐλπίζει breviter ſimul et ſpem et voluntatem, humanis viribus non conſentaneam ſ. non aequam, ſignificat: „ſperat ſe compotem fieri eius, quod humanas vires exſuperat.“

ἅμα τῆς τε ἐπιθυμίας — ταμίαν γεν. *ſimul et cupiditati et eventui ſ. fortunae moderari*, quod fieret, ſi, quod quis concupiſſet, idem ipſe ita perficere poſſet, ut caſus arceret omnes, vel ipſi fortunae imperaret.

εἰ γνώμῃ ἁμάρτοι. Non male Bauerus γνώμης legendum cenſet, ut 1, 33 legitur. cf. ad 5, 79. — βουληθείη, *malit.*

ἅπερ [ἂν], εἰ ἐς τὴν Καμ. Particulam ἂν plurimi codices reiiciunt. Cum tamen etiam alibi Thucydides bis ponat hanc particulam, quae eorundem codicum auctoritate 2, 41. recipienda ſit, non auſus ſum eam expungere, uncis tamen incluſi. — Paullo poſt pro ἀφίκοντο optimi libri praebent ἀφίκοιντο, quod tamen linguae leges reſpuunt.

πρῶτον ἀφίκοντο οἱ Ἀθηναῖοι, δεόμενοι ἂν ἐπεκαλεῖσθε, ταῦτα ἐκ τοῦ ὁμοίου καὶ νῦν παρακελευομένους, ὅπως μηδὲν ἐνδώσομεν, φαίνεσθαι. Ἀλλ' οὔθ' ὑμεῖς νῦν γέ πω, οὔθ' οἱ ἄλλοι, ἐπὶ ταῦτα ὥρμησθε.

79. „Δειλίᾳ δὲ ἴσως τὸ δίκαιον πρός τε ἡμᾶς καὶ πρὸς τοὺς ἐπιόντας θεραπεύσετε, λέγοντες, ξυμμαχίαν εἶναι ὑμῖν πρὸς Ἀθηναίους· ἥν γε οὐκ ἐπὶ τοῖς φίλοις ἐποιήσασθε, τῶν δὲ ἐχθρῶν ἤν τις ἐφ' ὑμᾶς ἴῃ· καὶ τοῖς γε Ἀθηναίοις βοηθεῖν. ὅταν ὑπ' ἄλλων, καὶ μὴ αὐτοὶ, ὥςπερ νῦν, τοὺς πέλας ἀδικῶσιν. Ἐπεὶ οὐδ' οἱ Ῥηγῖνοι, ὄντες Χαλκιδεῖς, Χαλκιδέας ὄντας Λεοντίνους ἐθέλουσι ξυγκατοικίζειν. Καὶ δεινὸν, εἰ ἐκεῖνοι μὲν, τὸ ἔργον τοῦ καλοῦ δικαιώματος ὑποπτεύοντες, ἀλόγως σωφρονοῦσιν, ὑμεῖς δ' εὐλόγῳ προφάσει, τοὺς μὲν φύσει πολεμίους βούλεσθε ὠφελεῖν, τοὺς δὲ ἔτι μᾶλλον φύσει ξυγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖραι. Ἀλλ' οὐ

ὅπως μηδὲν ἐνδώσομεν. Alii ἐνδώσωμεν. Vid. ad 6, 72.

79. Ἀθηναίοις βοηθεῖν. Pendet infinitivus a verbis ἣν (ξυμμαχίαν) ἐποιήσασθε. — ὅταν ὑπ' ἄλλων, subaudi ex sequenti ἀδικῶσι, ἀδικῶνται.

τὸ ἔργον τοῦ καλοῦ δικαιώματος, i. e. veram vim speciosae illius postulationis. Ita Latini quoque *rem* opponunt *verbis*, veritatem fucatae orationi, verum consilium causae praetextae.

ἀλόγως σωφρονοῦσιν. Verba ἀλόγως et εὐλόγῳ προφάσει ita hic sunt opposita, ut alterum alterius notione satis explorata illustrari possit. Cum igitur ἀλόγως nihil aliud esse possit, quam παρὰ λόγον, (Schol. παρὰ τὸ φαινόμενον εὔλογον), oxymoron est in verbis ἀλόγως σωφρονοῦσιν „praeter rationem sapiunt", i. e. sapiunt sane, ita tamen, ut consilii sui rationem non possint aut sibi aut aliis probare, quia cognatis non opitulaturi sua ipsi commoda produnt. Ergo certe Camarinensibus non licet, εὐλόγῳ προφάσει et suos cognatos deserere, et hostibus auxilium ferre. Quare ἀλόγως germanice vertam: nicht nach Gründen, εὐλόγῳ προφάσει, mit scheinbaren Gründen. Recte enim Scholiastes ita accepit, explicans: διὰ πρόφασιν πιθανήν. Et hoc modo optime haec ad arguendam δειλίαν, de qua toto hoc capite agit, referri possunt. Idem probant verba sequentia: ἀλλ' οὐ δίκαιον. Necesse enim est, ut praecesserit aliquid minus laudabile. Ergo vulgo male vertunt: „vos vero, qui occasionem rationi *consentaneam* habetis." — Ceterum praepositionem ἐν ante εὐλόγῳ, cum a plerisque libris absit, non diutius in textu retinendam esse censui.

δίκαιον· ἀμύνειν δὲ, καὶ μὴ φοβεῖσθαι τὴν παρασκευὴν αὐτῶν· οὐ γὰρ, ἢν ἡμεῖς ξυστῶμεν πάντες, δεινή ἐστιν, ἀλλ' ἢν (ὅπερ οὗτοι σπεύδουσι,) τἀναντία διαστῶμεν. Ἐπεὶ οὐδὲ, πρὸς ἡμᾶς μόνους ἐλθόντες, καὶ μάχῃ περιγενόμενοι, ἔπραξαν, ἃ ἠβούλοντο, ἀπῆλθον δὲ διὰ τάχους.

80. „Ὥςτε οὐκ, ἀθρόους γε ὄντας, εἰκὸς ἀθυμεῖν, ἰέναι δὲ ἐς τὴν ξυμμαχίαν προθυμότερον· ἄλλως τε καὶ ἀπὸ Πελοποννήσου παρεσομένης ὠφελείας, οἳ τῶνδε κρείσσους εἰσὶ τὸ παρὰ πᾶν τὰ πολέμια· καὶ μὴ ἐκείνην τὴν προμηθείαν δοκεῖν τῳ ἡμῖν μὲν ἴσην εἶναι, ὑμῖν δὲ ἀσφαλῆ, τὸ μηδετέροις δὴ, ὡς καὶ ἀμφοτέρων ὄντας ξυμμάχους, βοηθεῖν. Οὐ γὰρ ἔργῳ ἴσον, ὥςπερ τῷ δικαιώματι, ἐστίν. Εἰ γὰρ δι' ὑμᾶς μὴ ξυμμαχήσαντας ὅ τε παθὼν σφαλήσεται, καὶ ὁ κρατῶν περιέσται, τί ἄλλο, ἢ τῇ αὐτῇ ἀπουσίᾳ τοῖς μὲν οὐκ ἠμύνατε σωθῆναι, τοὺς δὲ οὐκ ἐκωλύσατε κακοὺς γενέσθαι; Καίτοι κάλλιον, τοῖς ἀδικουμένοις καὶ ἅμα ξυγγενέσι προςθεμένους, τήν τε κοινὴν ὠφέλειαν τῇ Σικελίᾳ φυλάξαι, καὶ τοὺς Ἀθηναίους, φίλους δὴ ὄντας, μὴ ἐᾶσαι ἁμαρτεῖν. Ξυνελόντες τε λέγομεν οἱ Συρακούσιοι, ἐκδιδάσκειν μὲν οὐδὲν ἔργον εἶναι σαφῶς, οὔτε ὑμᾶς, οὔτε τοὺς ἄλλους, περὶ ὧν αὐτοὶ οὐδὲν χεῖρον γιγνώσκετε· δεόμεθα δὲ, καὶ μαρτυρόμεθα ἅμα, εἰ μὴ πείσομεν,

80. *καὶ μὴ ἐκείνην τὴν προμηθείαν δοκεῖν τῳ ἡμῖν μέν*—. Recepimus *προμηθείαν* pro vulgato *προθυμίαν*, Schol. et praeſtantioribus libris praeeuntibus, et probante Duckero. Benedictus quidem *προμηθίαν* praefert, quae lectio eſt codd. Caſſ. Aug. Gr. et trium Pariſſ. Sed Caſſ. Aug. et Gr. etiam paullo antea pro certa lectione *ὠφελείας* exhibent *ὠφελίας*, et in ipſo vocabulo *προμηθεία*, quod 4, 62. legitur, *προμηθία*. Itaque eorum teſtimonium receptae a nobis lectioni nihil obſtare putamus. Pro *τῷ* cum Duckero ſcripſimus *τῳ*, ſine accentu, et comma poſt *δοκεῖν* delevimus. Non enim hic ullus articulo locus.

μηδετέροις δή. Ironiam hic ineſſe *τῷ δή*, interpretes monuerunt, ſicut infra in verbis: *φίλους δὴ ὄντας*.

δεόμεθα δὲ, καὶ μαρτυρόμεθα ἅμα. Transit ex obliqua ad rectam. Nam *ἐκδιδάσκειν μέν* praeceſſerat. Ad *δεό-*

ὅτι ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων, ἀεὶ πολεμίων, προδιδόμεθα δὲ ὑπὸ ὑμῶν, Δωριεῖς Δωριέων· καὶ, εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ὑμετέραις γνώμαις κρατήσουσι, τῷ δ' αὐτῶν ὀνόματι τιμηθήσονται, καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον, ἢ τὸν τὴν νίκην παρασχόντα, λήψονται· καὶ, εἰ αὖ ἡμεῖς περιεσόμεθα, τῆς αἰτίας τῶν κινδύνων οἱ αὐτοὶ τὴν τιμωρίαν ὑφέξετε. Σκοπεῖτε οὖν, καὶ αἱρεῖσθε ἤδη ἢ τὴν αὐτίκα ἀκινδύνως δουλείαν, ἢ κἂν, περιγενόμενοι μεθ' ἡμῶν, τούςδε τε μὴ αἰσχρῶς δεσπότας λαβεῖν, καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν, μὴ ἂν βραχεῖαν γενομένην, διαφυγεῖν."

81. Τοιαῦτα μὲν ὁ Ἑρμοκράτης εἶπεν. Ὁ δ' Εὔφημος, ὁ τῶν Ἀθηναίων πρεσβευτὴς, μετ' αὐτὸν τοιάδε.

82. „ΑΦΙΚΟΜΕΘΑ μὲν ἐπὶ τῆς πρότερον οὔσης ξυμμαχίας ἀνανεώσει· τοῦ δὲ Συρακουσίου καθαψαμένου, ἀνάγκη καὶ περὶ τῆς ἀρχῆς εἰπεῖν, ὡς εἰκότως ἔχομεν. Τὸ μὲν οὖν μέγιστον μαρτύριον αὐτὸς εἶπεν,

81. Eum excipit Athenienſis legatus, Euphemus,
82 — 87. non tam redarguens illius criminationes, quam

μεθα ſubaudiendum *ἀπὸ κοινοῦ* vel ex ſequentibus, *μὴ προδίδοσθαι*.

καὶ, εἰ καταστρέψονται ἡμᾶς. Rurſus ad rectam orationem progreditur, cum haec quodammodo pendeant a verbis *μαρτυρόμεθα ἅμα*, ideoque repetendum fuerit *ὅτι* ante *κρατήσουσι*. Niſi forte ante *καὶ εἰ καταστρέψονται* plene interpungere malis. — Paullo poſt *ἆθλον* neutrum eſt, *victoriae praemium*.

82. *τὸ μὲν οὖν μέγιστον μαρτύριον*. Scholiaſta legit *μαρτυρίας*, poſt *μέγιστον* interpungendum cenſens, et *μαρτύριον* affert pro varia lectione. In cod. Aug. pro *μαρτυρίας* legitur *μαρτυρίαν*. Inde ſuſpicio mihi, *μαρτύριον*, veram lectionem, primum in *μαρτυρίαν* depravatam eſſe, deinde hoc in *μαρτυρίας*, ſolenni errore. Nam ad 1, 33., ubi legitur *μετ' ἀειμνήστου μαρτυρίου*, Scholiaſtes notat, neutrum *τὸ μαρτύριον* a ſolo Thucydide uſurpari. Quod etſi verum non eſt, ut ibi Gottleberus docuit, tamen contra codicum omnium auctoritatem hic nihil poteſt valere Scholiaſtae lectio. Neque tamen prorſus vana videtur eius diſtinctio, etſi malim poſt *μαρτύριον* comma figere. Ita enim ſaepiſſime Noſter. 1, 8. *μαρτύριον δέ; Δῆλον γάρ* — 1, 11. *δῆλον δέ· τὸ γὰρ ἔρυμα* —. Sed vulgatae interpunctioni favet locus 1, 73. *τεκμήριον δὲ μέγιστον αὐτὸς ἐποίησε. νικηθεὶς γὰρ* —.

ὅτι οἱ Ἴωνες ἀεί ποτε πολέμιοι τοῖς Δωριεῦσιν εἰσίν. Ἔχει δὲ καὶ οὕτως. Ἡμεῖς γὰρ, Ἴωνες ὄντες, Πελοποννησίοις, Δωριεῦσι, καὶ πλείοσιν οὖσι, καὶ παροικοῦσιν, ἐσκεψάμεθα, ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα. Καὶ μετὰ τὰ Μηδικὰ ναῦς κτησάμενοι, τῆς μὲν Λακεδαιμονίων ἀρχῆς καὶ ἡγεμονίας ἀπηλλάγημεν, οὐδὲν προσῆκον, μᾶλλόν τι ἐκείνους ἡμῖν, ἢ καὶ ἡμᾶς ἐκείνοις, ἐπιτάσσειν, πλὴν καθ' ὅσον ἐν τῷ παρόντι μεῖζον ἴσχυον· αὐτοὶ δὲ τῶν ὑπὸ βασιλεῖ πρότερον ὄντων ἡγεμόνες καταστάντες, οἰκοῦμεν, νομίσαντες, ἥκιστ' ἂν ὑπὸ Πελοποννησίοις οὕτως εἶναι, δύναμιν ἔχοντες, ᾗ ἀμυνούμεθα, καὶ, ἐς τὸ ἀκριβὲς εἰπεῖν, οὐδὲ ἀδίκως καταστρεψάμενοι τούς τε Ἴωνας καὶ νησιώτας, οὓς ξυγγενεῖς φασὶν ὄντας ἡμᾶς Συρακούσιοι δεδουλῶσθαι. Ἦλθον γὰρ ἐπὶ τὴν μητρόπολιν, ἐφ' ἡμᾶς, μετὰ τοῦ Μήδου, καὶ οὐκ ἐτόλμησαν ἀποστάντες τὰ οἰκεῖα φθεῖραι, ὥσπερ ἡμεῖς, ἐκλιπόντες τὴν πόλιν· δουλείαν δὲ αὐτοί τε ἐβούλοντο καὶ ἡμῖν τὸ αὐτὸ ἐπενεγκεῖν.

Athenienſium imperium defendens, et demonſtrans, ne-

ἔχει δὲ καὶ οὕτως. Haec verba non tam ea, quae antecefferunt, vera eſſe denotant, quam ad ſequentem potius demonſtrationem tranſitum praeparant, et eam quaſi indicunt.

Πελοποννησίοις. Quo hunc dativum referam, non habeo. Primum enim ſequitur *αὐτῶν*, deinde non ſolet Thucydides dativo iungere verbum *ὑπακούειν*. Vide ad cap. 69. Itaque crediderim, Thucydidem ab initio aliud verbum, quod dativum poſceret, veluti *ἐνδώσομεν*, in mente habuiſſe, deinde ad *ὑπακούειν* deflexiſſe ſtructuram.

οὐδὲν προσῆκον, μᾶλλόν τι. Sic interpunxi, ut *μᾶλλόν τι* cum infinitivo *ἐπιτάσσειν* iungi queat, qui aliter obiecto caret. Vulgo poſt *τι* interpungitur. — *ἐν τῷ παρόντι, ἐν τῷ τότε δηλονότι* Schol. recte.

αὐτοὶ δὲ — ᾗ ἀμυνούμεθα. Diſtinctio vulgata valde hic laborat. Punctum ante *αὐτοί* et poſt *ἀμυνούμεθα* tollendum, et utrobique minus plene interpungendum eſt. Priore enim loco id poſtulant particulae *μὲν — δέ*; altero participium *καταστρεψάμενοι*, quod, cum verbo finito careat ſequens illud membrum, pertinet ad *οἰκοῦμεν*, quod h. l. videtur eſſe *διοικοῦμεν*. Vid. 2, 37. — Articulum *τῷ* ante *βασιλεῖ* plurimi libri ignorant, et alibi quoque abeſt ante *βασιλεύς*. Cf. 1, 128. 129. Quare cum Waſſio, probante Benedicto, eum delevi.

ἡμῖν τὸ αὐτὸ ἐπενεγκεῖν.

83. „Ἀνθ' ὧν ἄξιοί τε ὄντες ἅμα, ἄρχομεν, ὅτι τε ναυτικὸν πλεῖστόν τε καὶ προθυμίαν ἀπροφάσιστον παρεσχόμεθα ἐς τοὺς Ἕλληνας, καὶ διότι καὶ τῷ Μήδῳ ἑτοίμως τοῦτο δρῶντες οὗτοι ἡμᾶς ἔβλαπτον· ἅμα δὲ, τῆς πρὸς Πελοποννησίους ἰσχύος ὀρεγόμενοι. Καὶ οὐ καλλιεπούμεθα, ὡς, ἢ τὸν βάρβαρον μόνοι καθελόντες, εἰκότως ἄρχομεν, ἢ ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε μᾶλλον, ἢ τῶν ξυμπάντων τε καὶ τῇ ἡμετέρᾳ αὐτῶν, κινδυνεύσαντες. Πᾶσι δὲ ἀνεπίφθονον, τὴν προσήκουσαν σωτηρίαν ἐκπορίζεσθαι. Καὶ νῦν, τῆς ἡμετέρας ἀσφαλείας ἕνεκα καὶ ἐνθάδε παρόντες, ὁρῶμεν καὶ ὑμῖν

ceſſitate ad bellum cum Syracuſanis cogi ſe, ut ſecuri et

Contra pleroſque codices vulgo inepte ὑμῖν legitur.

83. ἄξιοί τε ἅμα ὄντες, ἄρχομεν. Correxi interpunctionem, comma, quod vulgo ante ἅμα eſt, poſt idem vocabulum transponendo. Ita enim poſtulat ſequens ἅμα δέ, quod item participio κινδυνεύσαντες iunctum eſt, cum ἄρχομεν ſit unum et commune totius periodi verbum finitum, de more Thucydidis priori membro adiectum et alteri praemiſſum.

τῷ Μήδῳ ἑτοίμως τοῦτο δρῶντες, nempe ναυτικόν τε καὶ προθυμίαν αὐτῷ παρασχόντες.

καὶ οὐ καλλιεπούμεθα, ὡς, ἢ τὸν βάρβ. Vulgatam lectionem οὐκ ἄλλῳ ἑπόμεθα maxime premunt ſequentia: ὡς — εἰκότως ἄρχομεν, quae inde neque pendere per linguae leges poſſunt, neque cum iis iuncta ullum ſenſum efficiunt, huic loco aptum. Itaque cum Valckenaerii correctio οὐ καλλιεπούμεθα non ſit mera coniectura, ſed codd. Gr. et Baſ., quibus nunc etiam Par. F. accedit, confirmetur, cumque haec lectio non ſolum ad ſenſum aptiſſima, ſed etiam tam inſolens ſit, ut et Noſtro digna, et corruptioni maxime obnoxia videatur; pro certiſſima eam in textum recepi. — Mox comma poſt ὡς poſui, poſt ἢ utrumque expunxi, poſcente ſententia et ſtructurae ratione, ut voculae ἢ — ἢ non ad verbum finitum, quod unum tantum hic eſt, ſed ad participia referantur, quae cauſas continent iuſti et legitimi Athenienſium imperii. — ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε, i. e. Ἰώνων. Eorum cauſa ſane ſoli Athenienſes, praeter Eretrienſes, naves viginti in Aſiam miſerant Ariſtagorae (Herodot. 5, 99) quare Darius iis iraſcebatur. Herodot. l. c. cap. 105.

καὶ ὑμῖν ταὐτὰ ξυμφέροντα. Vulgatum ταῦτα ſic correximus cum Bredovio, licet etiam ſcholia illud exhibeant, quorum tamen interpretatio fluctuat. Nam etiamſi ταῦτα retinueris, nihil aliud ſignificare poterit, quam τὴν ἡμετέραν ἀσφάλειαν. Saepiſſime ταὐτὰ in ταῦτα mutatum eſt. Vid. 5, 36.

ταὐτὰ ξυμφέροντα. Ἀποφαίνομεν δὲ, ἐξ ὧν οἵδε τε διαβάλλουσι, καὶ ὑμεῖς μάλιστα ἐπὶ τὸ φοβερώτερον ὑπονοεῖτε· εἰδότες τοὺς περιδεῶς ὑποπτεύοντάς τι, λόγου μὲν ἡδονῇ τὸ παραυτίκα τερπομένους, τῇ δ' ἐγχειρήσει ὕστερον τὰ ξυμφέροντα πράσσοντας. Τήν τε γὰρ ἐκεῖ ἀρχὴν εἰρήκαμεν, διὰ δέος ἔχειν, καὶ τὰ ἐνθάδε, διὰ τὸ αὐτὸ, ἥκειν μετὰ τῶν φίλων ἀσφαλῶς καταστησόμενοι, καὶ οὐ δουλωσόμενοι, μὴ παθεῖν δὲ μᾶλλον τοῦτο κωλύσοντες.

84. „Ὑπολάβῃ δὲ μηδεὶς, ὡς οὐδὲν προσῆκον ὑμῶν κηδόμεθα, γνοὺς, ὅτι, σωζομένων ὑμῶν, καὶ διὰ τὸ μὴ ἀσθενεῖς ὑμᾶς ὄντας ἀντέχειν Συρακουσίοις, ἧσσον ἂν, τούτων πεμψάντων τινὰ δύναμιν Πελοποννησίοις, ἡμεῖς βλαπτοίμεθα. Καὶ ἐν τούτῳ προσήκετε ἡμῖν τὰ μέγιστα· διόπερ καὶ τοὺς Λεοντίνους εὔλογον κατοικίζειν, μὴ ὑπηκόους, ὥσπερ τοὺς ξυγγενεῖς αὐτῶν τοὺς ἐν Εὐβοίᾳ, ἀλλ' ὡς δυνατωτάτους· ἵνα ἐκ τῆς σφετέρας, ὅμοροι ὄντες, τοῖσδε ὑπὲρ ἡμῶν λυπηροὶ ὦσι. Τὰ μὲν γὰρ ἐκεῖ, καὶ αὐτοὶ ἀρκοῦμεν πρὸς τοὺς πολεμίους, καὶ ὁ Χαλκιδεὺς, ὃν ἀλόγως ἡμᾶς φησὶ δουλωσαμένους, τοὺς ἐνθάδε ἐλευθεροῦν, ξύμφορος ἡμῖν, ἀπαράσκευος ὢν, καὶ χρήματα μόνον φέρων· τὰ δὲ

ipſi vivant, et ſocii ſimul cognatique, in Sicilia habi-

ἐξ ὧν οἵδε τε διαβάλλουσι, i. e. ἐξ ἐκείνων, ἃ οἵδε διαβ. — „Id ipſum, quod illi criminantur, vobisque ſuſpectum eſt, (nempe ad totam Siciliam ſubigendam nos adveniſſe, odio Dorienſium adductos) argumentum nobis eſto, vera eſſe ea, quae de communi utilitate noſtra veſtraque modo diximus.“ Nam in ſequentibus demonſtrat Euphemus, ſuae ſecuritatis cauſa, ut liberos et potentes in Sicilia ſocios haberent, Athenienſes veniſſe, cum ſemper a Peloponneſiis et Dorienſibus ſibi timendum ſit, ne et ipſos aggrediantur, et Siculos eos, qui ipſorum ſint amici, odii in Athenienſes explendi cauſa, opprimant.

μὴ παθεῖν δέ. Cum δὲ μᾶλλον pertineat ad praecedens οὐ, ad Siculos, non ad Athenienſes, referenda ſunt verba παθεῖν τοῦτο.

84. οὐδὲν προσῆκον. Schol. οὐδεμιᾶς συγγενείας οὔσης. Fortaſſis latius accipiendum: cum nulla nobis neceſſitudo intercedat.

ἀπαράσκευος ὢν, καὶ χρ.

ἐνθάδε, καὶ Λεοντῖνοι καὶ οἱ ἄλλοι φίλοι, ὅτι μάλιστα αὐτονομούμενοι.

85. „Ἀνδρὶ δὲ τυράννῳ, ἢ πόλει ἀρχὴν ἐχούσῃ, οὐδὲν ἄλογον, ὅ, τι ξυμφέρον, οὐδ᾽ οἰκεῖον, ὅ, τι μὴ πιστόν· πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. Καὶ ἡμᾶς τοῦτο ὠφελεῖ ἐνθάδε, οὐκ, ἢν τοὺς φίλους κακώσωμεν, ἀλλ᾽, ἢν οἱ ἐχθροὶ διὰ τὴν τῶν φίλων ῥώμην ἀδύνατοι ὦσιν. Ἀπιστεῖν δὲ οὐ χρή. Καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους, ὡς ἕκαστοι χρήσιμοι, ἐξηγούμεθα, Χίους μὲν καὶ Μηθυμναίους, νεῶν παροχῇ αὐτονόμους, τοὺς δὲ πολλοὺς, χρημάτων βιαιότερον φορᾷ· ἄλλους δὲ καὶ πάνυ ἐλευθέρως ξυμμαχοῦντας, καίπερ νησιώτας ὄντας καὶ εὐλήπτους, διότι ἐν χωρίοις ἐπικαίροις εἰσὶ περὶ τὴν Πελοπόννησον. Ὥςτε καὶ τἀνθάδε εἰκὸς πρὸς τὸ λυσιτελοῦν, καὶ, ὃ λέγομεν, ἐς Συρακουσίους δέος, καθίστασθαι. Ἀρχῆς γὰρ ἐφίενται ὑμῶν, καὶ βούλονται, ἐπὶ τῷ ἡμετέρῳ

tantes; quibus praeter Athenienſes auxilium nullum ſit

μ. φέρ. Praeter Chios, Rhodios et paucos alios ex inſulanis (cf. cap. 43. coll. c. 85.), omnes illo tempore Athenienſium ſocii horum rempublicam non navibus et armis, ſed pecunia vel tributis tantum iuvabant. Hoc iam inde a Perſicis bellis inſtitutum erat, partim ſociis militiam moleſte ferentibus, partim Athenienſibus ipſis ita volentibus, ut imperium in ſocios, et navibus et uſu belli carentes, tutius exercerent.

85. καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους. Verbum ἐξηγεῖσθαι, ſi valet *regere*, *gubernare*, et dativo iungit Thucydides (5, 55), et accuſativo (1, 71. cf. 1, 76.). Hoc loco multi libri dativum τοῖς ξυμμάχοις praebent, Benedicto probatum, qui dativum commodi vocat, et ad cap. 77. provocat, ubi tamen quid ſimile ſit, non video. Accuſativum hoc loco poſcunt, monente Duckero, ſequentia Χίους μὲν καὶ Μεθυμναίους, et videtur bonorum codicum auctoritate niti, velut Cl. Gr. Baſ., e quibus nulla varietas enotatur. Etiam Scholiaſta vulgatam tenet, et exponit τῶν ἐκεῖ συμμάχων.

πάνυ ἐλευθέρως ξυμμαχοῦντας. Intelligit Zacynthios et Cephallenios. Vid. 7, 57.

καθίστασθαι. Hoc loco in codicibus aliquid turbatum videtur eſſe. Nam alii καθίσταται, alii καθίστανται, alii vulgatum praebent. Hos ſequor propter εἰκός, quod non ſolet abſolute ponere Thucydides.

καὶ βούλονται. Particulam μέν, quae vulgo legitur poſt βούλονται, tredecim codicum auctoritate eieci. Et paullo poſt καί ante κατ᾽ ἐρημίαν cum Be-

ξυστήσαντες ὑμᾶς ὑπόπτῳ, βίᾳ, ἢ καὶ κατ' ἐρημίαν, ἀπράκτων ἡμῶν ἀπελθόντων, αὐτοὶ ἄρξαι τῆς Σικελίας. Ἀνάγκη δὲ, ἢν ξυστῆτε πρὸς αὐτούς. Οὔτε γὰρ ἡμῖν ἔτι ἔσται ἰσχὺς τοσαύτη, ἐς ἓν ξυστᾶσα, εὐμεταχείριστος, οὔθ' οἵδ' ἀσθενεῖς ἂν, ἡμῶν μὴ παρόντων, πρὸς ὑμᾶς εἶεν.

86. „Καὶ, ὅτῳ ταῦτα μὴ δοκεῖ, αὐτὸ τὸ ἔργον ἐλέγχει. Τὸ γὰρ πρότερον ἡμᾶς ἐπηγάγεσθε. οὐκ ἄλλον τινὰ προσείοντες φόβον, ἢ, εἰ περιοψόμεθα, ὑμᾶς ὑπὸ Συρακουσίοις γενέσθαι, ὅτι καὶ αὐτοὶ κινδυνεύσομεν. Καὶ νῦν οὐ δίκαιον, ᾧπερ καὶ ἡμᾶς ἠξιοῦτε λόγῳ πείθειν, τῷ αὐτῷ ἀπιστεῖν· οὐδ', ὅτι δυνάμει μείζονι πρὸς τὴν τῶνδε ἰσχὺν πάρεσμεν, ὑποπτεύεσθαι,

contra imminentem Syracusiorum dominationem.

nedicto e codd. Reg. Caſſ. Aug. Dan. et duobus Pariſſ. recepi. cf. ad cap. 77. — ἐπὶ τῷ ἡμετέρῳ ὑπόπτῳ, i. e. ἐπὶ προφάσει, ἡμᾶς εἶναι ὑπόπτους. — Verba βίᾳ, ἢ καὶ κατ' ἐρημίαν quo referas, dubites, utrum ad ἄρξαι, an ad ἀπελθόντων. Scholiaſta, quem interpretes ſequuntur, ad infinitivum retulit. Sed haud ſcio an altera ratio probabilior ſit, ut effectus τοῦ ξυστήσαντες his verbis demonſtretur.

ἀνάγκη δέ, int. ἄρξαι αὐτοὺς τῆς Σικελίας.

86. αὐτὸ τὸ ἔργον ἐλέγχει, ſubaudi τοῦτον.

ᾧπερ καὶ ἡμᾶς — πείθειν. Lectio ᾧπερ, quae eſt in codd. Caſſ. Reg. Aug. vulgato ὅπερ etiam ideo praeferenda eſt, quia Thucydides vocabulo λόγος, ubi orationis vel vim vel fraudem indicat, ubique ἔργον ſolet opponere. Cf. c. 88. init. ubi λόγῳ ἀποκρίνασθαι oppoſitum habet ὑπουργεῖν ἔργῳ. Quod etiam hic neceſſarium eſſe exiſtimes, ut adeo ſequi debeat: τῷ αὐτῷ, ἔργῳ, ἀπιστεῖν, *eandem rem nobis verbis perſuadere, ipſos re vera non credere.* Multo aptius igitur ὅπερ in ᾧπερ mutaveris.

πρὸς τὴν τῶνδε ἰσχύν. Πρός h. l. non eſſe *adverſus*, ſed *ad, ratione*, comparativus μείζονι docet, qui, licet verba πρὸς — ἰσχὺν ad πάρεσμεν referas, ſenſum tamen eundem fundit. Paradoxa autem plura hic Athenienſis, in quo Atticorum vanitatem levitatemque artificioſe expreſſit Scriptor, profert, veluti cap. 83. Ἀποφαίνομεν δὲ, ἐξ ὧν οἵδε τε διαβάλλουσι —, ubi audacius, quam verius rem exponit. Neque minus nunc mirabiliter disputat, quod Athenienſes maiore, quam pro Syracuſarum viribus opus fuerit, exercitu venerint, non aequum eſſe, eos ideo ſuſpectos haberi, ſed aequum potius, multo magis Camarinenſes Syracuſanis diffidere. Haec deinceps probabiliter quodammodo differit, nec tamen ad eam obiectionem ſa-

πολὺ δὲ μᾶλλον τοῖςδε ἀπιστεῖν. Ἡμεῖς μέν γε οὔτε ἐμμεῖναι δυνατοὶ μὴ μεθ᾽ ὑμῶν· εἴ τε καὶ, γενόμενοι κακοὶ, κατεργασαίμεθα, ἀδύνατοι κατασχεῖν, διὰ μῆκός τε πλοῦ, καὶ ἀπορίᾳ φυλακῆς πόλεων μεγάλων καὶ τῇ παρασκευῇ ἠπειρωτίδων· οἵδε δὲ, οὐ στρατοπέδῳ, πόλει δὲ μείζονι τῆς ἡμετέρας παρουσίας, ἐποικοῦντες ὑμῖν, ἀεί τε ἐπιβουλεύουσι, καὶ, ὅταν καιρὸν λάβωσι ἑκάστου, οὐκ ἀνιᾶσιν. Ἔδειξαν δὲ καὶ ἄλλα ἤδη, καὶ τὰ ἐς Λεοντίνους· καὶ νῦν τολμῶσιν ἐπὶ τοὺς ταῦτα κωλύοντας, καὶ ἀνέχοντας τὴν Σικελίαν μέχρι τοῦδε μὴ ὑπ᾽ αὐτοὺς εἶναι, παρακαλεῖν ὑμᾶς ὡς ἀναισθήτους. Πολὺ δὲ ἐπὶ ἀληθεστέραν γε σωτηρίαν ἡμεῖς ἀντιπαρακαλοῦμεν, δεόμενοι τὴν ὑπάρχουσαν ἀπ᾽ ἀλλήλων ἀμφοτέροις μὴ προδιδόναι· νομίσαι τε, τοῖςδε μὲν, καὶ ἄνευ ξυμμάχων, ἀεὶ ἐφ᾽ ὑμᾶς ἑτοίμην, διὰ τὸ πλῆθος, εἶναι ὁδὸν, ὑμῖν δ᾽ οὐ πολλάκις παρασχήσειν, μετὰ τοσῆςδε ἐπικουρίας ἀμύνασθαι. ἣν εἰ τῷ ὑπόπτῳ ἢ ἄπρακτον ἐάσετε ἀπελθεῖν, ἢ καὶ σφαλεῖσαν, ἔτι βουλήσεσθε καὶ πολλοστημόριον αὐτῆς ἰδεῖν, ὅτε οὐδὲν ἔτι περανεῖ παραγενόμενον ὑμῖν.

87. „Ἀλλὰ μήτε ὑμεῖς, ὦ Καμαριναῖοι, ταῖς τῶνδε διαβολαῖς ἀναπείθεσθε, μήτε οἱ ἄλλοι· εἰρήκαμεν δ᾽ ὑμῖν πᾶσαν τὴν ἀλήθειαν περὶ ὧν ὑποπτευόμεθα, καὶ ἔτι ἐν κεφαλαίοις ὑπομνήσαντες, ἀξιώσομεν πείθειν. Φαμὲν γὰρ ἄρχειν μὲν τῶν ἐκεῖ, ἵνα μὴ

tis respondet, quae hic valet maxime, nempe maioribus cum copiis Athenienses advenisse; sed eam praeterit silentio, et omnino desultorie agit.

παρουσίας, abstractum pro concreto accipi posset, nisi *παρουσίαν* pro *περιουσίᾳ*, *οὐσίᾳ*, veteres dixisse constaret. Vid. Duck.

ὡς ἀναισθήτους, tamquam stupidos et tardos, qui nihil intelligant. Ita supra cap. 40. *ὡς προαισθανομένους*, ubi legendum esse *ὡς πρὸς αἰσθανομένους*, monuimus.

πολλοστημόριον. Tredecim codices habent *πολλοστὸν μόριον*, quod praetulit Benedictus, qui codices numerat semper. Multo cautius Duckerus versatur in lectionibus codicum diiudicandis. Scholiasta in expositione quidem utitur vocabulo *πολλοστημόριον*, si quid inde colligere licet.

ὑπακούωμεν ἄλλου, ἐλευθεροῦν δὲ τὰ ἐνθάδε, ὅπως μὴ ὑπ᾽ αὐτῶν βλαπτώμεθα· πολλὰ δ᾽ ἀναγκάζεσθαι πράσσειν, διότι καὶ πολλὰ φυλασσόμεθα· ξύμμαχοι δὲ καὶ νῦν καὶ πρότερον τοῖς ἐνθάδε ὑμῶν ἀδικουμένοις οὐκ ἄκλητοι, παρακληθέντες δὲ, ἥκειν. Καὶ ὑμεῖς μήθ᾽ ὡς δικασταὶ γενόμενοι τῶν ἡμῖν ποιουμένων, μήθ᾽ ὡς σωφρονισταὶ (ὃ χαλεπὸν ἤδη,) ἀποτρέπειν πειρᾶσθε· καθ᾽ ὅσον δέ τι ὑμῖν τῆς ἡμετέρας πολυπραγμοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει, τούτῳ ἀπολαβόντες χρήσασθε· καὶ νομίσατε, μὴ πάντας ἐν ἴσῳ βλάπτειν αὐτὰ, πολὺ δὲ πλείους τῶν Ἑλλήνων καὶ ὠφελεῖν. Ἐν παντὶ γὰρ πᾶς χωρίῳ. καὶ ᾧ μὴ ὑπάρχομεν, ὅ, τε οἰόμενος ἀδικήσεσθαι, καὶ ὁ ἐπιβουλεύων, διὰ τὸ ἑτοίμην ὑπεῖναι ἐλπίδα, τῷ μὲν, ἀντιτυχεῖν ἐπικουρίας ἀφ᾽ ἡμῶν, τῷ δὲ, εἰ ἥξομεν, μὴ ἀδεεῖς εἶναι κινδυνεύειν, ἀμφότεροι ἀναγκάζονται, ὁ μὲν, ἄκων σωφρονεῖν, ὁ δ᾽, ἀπραγμόνως σώζεσθαι. Ταύτην οὖν τὴν κοινὴν τῷ τε δεομένῳ καὶ ὑμῖν νῦν παροῦσαν ἀσφάλειαν μὴ ἀπώσησθε, ἀλλ᾽, ἐξισώσαντες τοῖς ἄλλοις, μεθ᾽ ἡμῶν τοῖς Συρακουσίοις, ἀντὶ τοῦ ἀεὶ φυλάσσε-

87. ὃ χαλεπὸν ἤδη. Schol. Hyperbaton esse putat, et subaudit ἀποτρέπειν.

βλάπτειν αὐτά, int. τὴν πολυπραγμοσύνην καὶ τὸν τρόπον ἡμῶν.

ἀδικήσεσθαι, medii futurum pro passivo ἀδικηθήσεσθαι. — ᾧ μὴ ὑπάρχομεν male vertunt: „in qua non imperamus," cum sit potius, *cui non praesto sumus propter amicitiam*, quae notio verbi ὑπάρχειν apud Atticos hodie nota est ex Lexicis.

ἀντιτυχεῖν ἐπικουρίας. Praepositionem ἀντί in verbo ἀντιτυχεῖν spectare puto ad insidias vel iniuriam adversarii, quas compensatum iri sperat is, qui iniuria afficitur, Atheniensium parato semper auxilio.

μὴ ἀδεεῖς εἶναι κινδυνεύειν. Μὴ ἀδεής est *metuendus*, non contemnendus, et vocabulum ἐλπίς media et hic significatione usurpatur, ut sit *exspectatio, opinio*. Ad μὴ ἀδεεῖς subaudi αὐτῷ ἡμᾶς, et ad infinitivum κινδυνεύειν int. αὐτόν, ubi vulgus ὥστε.

ὁ μὲν, ἄκων — σώζεσθαι. Ordinem invertit. Nam ἄκων σωφρονεῖν pertinet ad τὸν ἐπιβουλεύοντα, ἀπραγμόνως σώζεσθαι autem ad τὸν οἰόμενον ἀδικήσεσθαι.

ἐξισώσαντες τοῖς ἄλλοις. Schol. ἀλλ᾽ ἐξισωθέντες καὶ ὁμοιωθέντες τοῖς ἄλλοις ἀνθρώποις. Recte; nam neutraliter hic accipiendum est verbum ἐξισόω.

σθαι αὐτοὺς, καὶ ἀντεπιβουλεῦσαί ποτε ἐκ τοῦ ὁμοίου μεταλάβετε."

88. Τοιαῦτα δὲ ὁ Εὔφημος εἶπεν. Οἱ δὲ Καμαριναῖοι ἐπεπόνθεσαν τοιόνδε· τοῖς μὲν Ἀθηναίοις εὖνοι ἦσαν, πλὴν καθ' ὅσον [εἰ] τὴν Σικελίαν ᾤοντο αὐτοὺς δουλώσεσθαι, τοῖς δὲ Συρακουσίοις ἀεὶ, κατὰ τὸ ὅμορον, διάφοροι. Δεδιότες δ' οὐχ ἧσσον τοὺς Συρακουσίους, ἐγγὺς ὄντας, μὴ καὶ ἄνευ σφῶν περιγένωνται, τό τε πρῶτον αὐτοῖς τοὺς ὀλίγους ἱππέας ἔπεμψαν· καὶ τὸ λοιπὸν ἐδόκει αὐτοῖς, ὑπουργεῖν μὲν τοῖς Συρακουσίοις μᾶλλον ἔργῳ, ὡς ἂν δύνωνται μετριώτατα· ἐν δὲ τῷ παροντι, ἵνα μηδὲ τοῖς Ἀθηναίοις ἔλασσον δοκῶσι νεῖμαι, ἐπειδὴ καὶ ἐπικρατέστεροι τῇ μάχῃ ἐγένοντο, λόγῳ ἀποκρίνασθαι ἴσα ἀμφοτέροις. Καὶ οὕτω, βουλευσάμενοι, ἀπεκρίναντο· ἐπειδὴ τυγχάνει ἀμφοτέροις οὖσι ξυμμάχοις σφῶν πρὸς ἀλλήλους πόλεμος ὢν, εὔορκον δοκεῖν εἶναι σφίσιν, ἐν τῷ παρόντι μηδετέροις ἀμύνειν. Καὶ οἱ πρέσβεις ἑκατέρων ἀπῆλθον. Καὶ οἱ μὲν Συρακούσιοι τὰ καθ' ἑαυτοὺς ἐξηρτύοντο ἐς τὸν

88. Camarinenſes, re deliberata, reſpondent, religionem videri ſibi, cum utrisque ſocii ſint, alteri opitulari; itaque plane bello abſtinere velle. — Deinde utrique ad

88. τοιαῦτα δὲ ὁ Εὐφ. εἶπεν. Ita praeſtantiſſimi libri et hic pro vulgato τοιαῦτα μέν. Pertinet δέ ad verba capitis 81., licet ibi ſequatur ὁ δ' Εὔφημος. Vid. 1, 43 extr. coll. 1, 36. Alia exempla vide ad 1, 87.

πλὴν καθ' ὅσον [εἰ] τὴν Σικελίαν ᾤοντο αὐτ. δ. Cap. 82. πλὴν καθ' ὅσον ἐν τῷ παρόντι μᾶλλον ἴσχυον. C. 87. Καθ' ὅσον δέ τι ὑμῖν τῆς ἡμετέρας πολυπραγμοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει. Ita etiam hic εἰ poſt καθ' ὅσον expungendum eſſe cenſeo, et uncis incluſi. Natum enim ex interpretatione videtur, ut docet hoc Scholion: πλὴν, καθόσον] πλὴν, εἰ καταδουλοῖντο οἱ Ἀθηναῖοι τὴν Σικελίαν.

τοὺς ὀλίγους ἱππέας ἔπεμψαν. Vid. cap. 67. Paullo ante pro τότε πρῶτον cum Porto ſcribendum τό, τε πρῶτον, quia haec reſpondent ſequentibus καὶ τὸ λοιπόν. Cf. ad 5, 43.

μηδὲ τοῖς Ἀθηναίοις ἔλασσον δοκῶσιν εἶναι. Egregie placet facillima emendatio δοκῶσι νεῖμαι, in quam non ſolum Valckenaerius, ſed etiam Duckerus inciderat. Nam εὖνοι, quod vulgo repetunt ad εἶναι, nimis remotum eſt.

πόλεμον· οἱ δ' Ἀθηναῖοι, ἐν τῇ Νάξῳ ἐστρατοπεδευμένοι, τὰ πρὸς τοὺς Σικελοὺς ἔπρασσον, ὅπως αὐτοῖς ὡς πλεῖστοι προσχωρήσονται. Καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον τῶν Σικελῶν, ὑπήκοοι ὄντες τῶν Συρακουσίων, οἱ πολλοὶ ἀφειστήκεσαν· τῶν δὲ τὴν μεσόγαιαν ἐχόντων αὐτόνομοι οὖσαι καὶ πρότερον ἀεὶ οἰκήσεις, εὐθὺς, πλὴν ὀλίγοι, μετὰ τῶν Ἀθηναίων ἦσαν· καὶ σῖτόν τε κατεκόμιζον τῷ στρατεύματι, καὶ εἰσὶν οἳ καὶ χρήματα. Ἐπὶ δὲ τοὺς μὴ προσχωροῦντας οἱ Ἀθηναῖοι στρατεύοντες, τοὺς μὲν προσηνάγκαζον, τοὺς δὲ καὶ ὑπὸ τῶν Συρακουσίων, φρουρούς τε πεμπόντων καὶ βοηθούντων, ἀπεκώλυον· τόν τε χειμῶνα μεθορ-

bellum neceſſaria parant, et ſocios ſibi conciliare ſtudent, Athenienſes Siculòs, Carthaginienſes, Etruſcos; Syracu-

καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον — οἱ πολλοὶ ἀφειστήκεσαν. Scholiaſta ἀφειστήκεσαν interpretatur: οὐ προσεχώρουν τοῖς Ἀθηναίοις. Quam interpretationem ſequentia quidem probare videntur, niſi cum Duckero malis legere οὐ πολλοὶ pro οἱ πολλοί. Sed cum hic ſermo ſit de iis, qui Syracuſanis ſubiecti erant, verbum ἀφεστάναι non poteſt ſignificare *abhorrere, alienum eſſe*, quam ei vindicat Duckerus, et aliorum ſcriptorum locis allatis, et vero Thucydidis 4, 119, οὐδενὸς ἀποστήσονται, ὅσα ἂν δίκαια λέγητε. Ibi enim cum genitivo hoc verbum iungitur. Quid ergo? Sententia huius loci videtur eſſe, et eorum Siculorum, qui Syracuſanis ſubiecti erant, *plerique* (non omnes tamen) ad Athenienſes defecerunt; et eorum, qui libertate fruebantur *tantum non omnes* (πλὴν ὀλίγοι) ad Athenienſes ſe contulerunt. Itaque particulae μὲν — δὲ h. l. nihil aliud quam conditionem Siculorum et numerum eorum, qui ad Athenienſes conceſſerunt, pro diverſa illa conditione paullo diverſum, diſtinguunt. Μᾶλλον indicare mihi videtur, et alios praeter illos campeſtria colentes Syracuſanis paruiſſe, veluti mari propiores. Quare poſt Σικελῶν virgula interpunxi, quod opus non eſſet, ſi quis μᾶλλον ad ὑπήκοοι referre vellet, ordine verborum obſtante. Paullo poſt etiam poſt οἰκήσεις comma pono, ut εὐθὺς cum ſequenti verbo ἦσαν iungendum eſſe appareat. — Pro τὴν μεσόγαιαν videndum, an forte ſcribendum ſit τὴν μεσόγειαν, ut legitur 1, 100. 120. 2, 102. 3, 95. Cf. Poppo Obſſ. critt. p. 77. — Οἰκήσεις vocat, quas πόλεις vocare non poterat, ut 1, 6. διὰ τὰς ἀφάκτους οἰκήσεις, quas capite 5. πόλεις ἀτειχίστους, καὶ κατὰ κώμας οἰκουμένας dicit. Ἀεὶ non ad οἰκήσεις, quo retuliſſe videtur Duckerus, haec perobſcura eſſe cenſens, ſed ad αὐτόνομοι οὖσαι pertinet. Neque ego praeterea hic quicquam video obſcuri.

τοὺς δὲ καὶ ὑπὸ τῶν Συρ. — ἀπεκώλυον. Etiam mihi, primum haec legenti, emendan-

μισάμενοι ἐκ τῆς Νάξου ἐς τὴν Κατάνην, καὶ τὸ στρατόπεδον, ὃ κατεκαύθη ὑπὸ τῶν Συρακουσίων, αὖθις ἀνορθώσαντες, διεχείμαζον. Καὶ ἔπεμψαν μὲν ἐς Καρχηδόνα τριήρη περὶ φιλίας, εἰ δύναιντό τι ὠφελεῖσθαι· ἔπεμψαν δὲ καὶ ἐς Τυρσηνίαν, ἔστιν ὧν πόλεων ἐπαγγελλομένων καὶ αὐτῶν ξυμπολεμεῖν. Περιήγγελον δὲ καὶ τοῖς Σικελοῖς, καὶ, ἐς τὴν Ἔγεσταν πέμψαντες, ἐκέλευον, ἵππους σφίσιν ὡς πλείστους πέμπειν, καὶ τἄλλα ἐς τὸν περιτειχισμὸν, πλινθία καὶ σίδηρον, ἡτοίμαζον, καὶ ὅσα ἔδει, ὡς ἅμα τῷ ἦρι ἑξόμενοι τοῦ πολέμου. — Οἱ δ' ἐς τὴν Κόρινθον καὶ Λακεδαίμονα τῶν Συρακουσίων ἀποσταλέντες πρέσβεις τούς τε Ἰταλιώτας ἅμα παραπλέοντες ἐπειρῶντο πείθειν, μὴ περιορᾶν τὰ γιγνόμενα ὑπὸ τῶν Ἀθηναίων, ὡς καὶ ἐκείνοις ὁμοίως ἐπιβουλευόμενα· καὶ, ἐπειδὴ ἐν τῇ Κορίνθῳ ἐγένοντο, λόγους ἐποιοῦντο, ἀξιοῦντες σφίσι κατὰ τὸ ξυγγενὲς βοηθεῖν. Καὶ οἱ Κορίνθιοι, εὐθὺς ψηφισάμενοι αὐτοὶ πρῶτοι, ὥστε πάσῃ προθυμίᾳ ἀμύνειν, καὶ ἐς τὴν Λακεδαίμονα ξυναπέστελλον αὐτοῖς πρέσβεις, ὅπως καὶ ἐκείνους ξυναναπείθοιεν τόν τε αὐτοῦ πόλεμον σαφέστερον ποιεῖσθαι πρὸς τοὺς Ἀθηναίους, καὶ

sani Italiae urbes, Peloponnesios et maxime Lacedaemonios. Quos cum ad auxilium in Siciliam mittendum

dum videbatur *ἀπὸ τῶν Συρ.*, quam Porti coniecturam etiam Duckerus probabilem censet. Bredovii ratio, vertentis *durch die Syracuser*, admodum friget, et praepositioni *ὑπό* vim facit, ut sit pro *διά*. Etiam Scholiastes ita cepit, ut *ἀπό* legisse videretur.

ἐς Τυρσηνίαν, i. e. Italiam mediam; nam inferior illa tantum Graecis *Ἰταλία* dicebatur. Cf. c. 103.

καὶ Λακεδαίμονα. Articulum *τήν* ante *Λακεδαίμονα*, codicum plurimorum auctoritate, omisi. Vid. ad 1, 71.

καὶ ἐς τὴν Λακεδαίμονα. Aut *καί* h. l. est *etiam*, aut praecedens participium *ψηφισάμενοι* pro verbo finito positum est. Prius placet magis; etsi sequitur iterum *καὶ ἐκείνους*, (i. e. *Λακεδαιμονίους*), neque dicatur, quo praeterea miserint. *Καί* autem referri potest ad *αὐτοὶ πρῶτοι*. cf. c. 91. *οἵ τινες, αὐτερέται κομισθέντες, καὶ ὁπλιτεύουσιν εὐθύς.*

τόν τε αὐτοῦ πόλεμον, nempe in Atticam incursionem facientes.

ἐς τὴν Σικελίαν ὠφέλειάν τιν πέμπειν. Καὶ οἵ τε ἐκ τῆς Κορίνθου πρέσβεις παρῆσαν ἐς τὴν Λακεδαίμονα, καὶ Ἀλκιβιάδης, μετὰ τῶν ξυμφυγάδων περαιωθεὶς τότ' εὐθὺς ἐπὶ πλοίου φορτηγικοῦ ἐκ τῆς Θουρίας ἐς Κυλλήνην τῆς Ἠλείας πρῶτον, ἔπειτα ὕστερον ἐς τὴν Λακεδαίμονα, αὐτῶν τῶν Λακεδαιμονίων μεταπεμψάντων, ὑπόσπονδος ἐλθών. ἐφοβεῖτο γὰρ αὐτοὺς διὰ τὴν περὶ τῶν Μαντινικῶν πρᾶξιν. Καὶ ξυνέβη, ἐν τῇ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων τούς τε Κορινθίους καὶ τοὺς Συρακουσίους τὰ αὐτὰ καὶ τὸν Ἀλκιβιάδην δεομένους πείθειν τοὺς Λακεδαιμονίους. Καὶ διανοουμένων τῶν τε Ἐφόρων καὶ τῶν ἐν τέλει ὄντων πρέσβεις πέμπειν ἐς Συρακούσας, κωλύσοντας μὴ ξυμβαίνειν Ἀθηναίοις, βοηθεῖν δὲ οὐ προθύμων ὄντων, παρελθὼν ὁ Ἀλκιβιάδης παρώξυνέ τε τοὺς Λακεδαιμονίους καὶ ἐξώρμησε, λέγων τοιάδε.

89. „ΑΝΑΓΚΑΙΟΝ, περὶ τῆς ἐμῆς διαβολῆς πρῶτον ἐς ὑμᾶς εἰπεῖν, ἵνα μὴ χεῖρον τὰ κοινὰ τῷ ὑπόπτῳ μου ἀκροάσησθε. Τῶν δ' ἡμῶν προγόνων τὴν προξενίαν ὑμῶν κατά τι ἔγκλημα ἀπειπόντων, αὐτὸς ἐγὼ πάλιν ἀναλαμβάνων, ἐθεράπευον ὑμᾶς, ἄλλα τε, καὶ περὶ τὴν ἐκ Πύλου ξυμφοράν. Καὶ, διατελοῦντός

non commoviſſent, procedit Alcibiades, tum Lacedaemone commoratus, et 89 — 92 ad opem ferendam eos

τότε εὐθύς, nempe eo tempore, cum ab exercitu domum revocatus eſſet, et Thuriis elapſus. Vid. cap. 61. — *περὶ τῶν Μαντινικῶν*, quae narrat 5, 46 ſeqq.

κωλύσοντας μὴ ξυμβαίνειν Ἀθ. Plerique codices *κωλύοντας*, quod pro futuro eſſe poſſe contendit Benedictus, exemplis non allatis. Certe ſupra cap. 83 extr. legitur ſine varietate: *τοῦτο κωλύσοντες*. Item cap. 100.

89. *τὰ κοινά*, quae ſpectant ad communem et publicam ſalutem.

τῶν δ' ἡμῶν προγόνων — ἀπειπόντων. Licet infra hoc capite nonnunquam de ſe ſolo plurali utatur Alcibiades, tamen h. l. *ἡμετέρων* potius de more dixerit Thucydides; et haud dubie pluralis *ἡμῶν* corruptus eſt, reſtituendumque *ἐμῶν*, ſicut paullo ante *περὶ τῆς ἐμῆς διαβολῆς*, et mox *τοῖς ἐμοῖς ἐχθροῖς*. De re vid. 5, 43.

μου προθύμου, ὑμεῖς, πρὸς Ἀθηναίους καταλλασσόμενοι, τοῖς μὲν ἐμοῖς ἐχθροῖς δύναμιν, δι᾽ ἐκείνων πράξαντες, ἐμοὶ δὲ ἀτιμίαν περιέθετε. Καὶ διὰ ταῦτα δικαίως ὑπ᾽ ἐμοῦ, πρός τε τὰ Μαντινέων καὶ Ἀργείων τραπομένου, καὶ ὅσα ἄλλα ἠναντιούμην ὑμῖν, ἐβλάπτεσθε. Καὶ νῦν, εἴ τις καὶ τότε ἐν τῷ πάσχειν οὐκ εἰκότως ὠργίζετό μοι, μετὰ τοῦ ἀληθοῦς σκοπῶν ἀναπειθέσθω· ἢ, εἴ τις, διότι καὶ τῷ δήμῳ προσεκείμην μᾶλλον, χείρω με ἐνόμιζε, μηδ᾽ οὕτως ἡγήσηται ὀρθῶς ἄχθεσθαι. Τοῖς γὰρ τυράννοις ἀεί ποτε διάφοροί ἐσμεν· πᾶν δὲ τὸ ἐναντιούμενον τῷ δυναστεύοντι δῆμος ὠνόμασται· καὶ ἀπ᾽ ἐκείνου ξυμπαρέμεινεν ἡ προστασία ἡμῖν τοῦ πλήθους. ἅμα δὲ καὶ, τῆς πόλεως δημοκρατουμένης, τὰ πολλὰ ἀνάγκη ἦν τοῖς παροῦσιν ἕπεσθαι. Τῆς δὲ ὑπαρχούσης ἀκολασίας ἐπειρώμεθα μετριώτεροι ἐς τὰ πολιτικὰ εἶναι· ἄλλοι δ᾽ ἦσαν, καὶ ἐπὶ τῶν πάλαι, καὶ νῦν, οἳ ἐπὶ τὰ πονηρότερα ἐξῆγον τὸν ὄχλον· οἵπερ καὶ ἐμὲ ἐξήλασαν. Ἡμεῖς δὲ τοῦ ξύμπαντος προέστημεν, δικαιοῦντες, ἐν ᾧ σχήματι μεγίστη ἡ πόλις ἐτύγχανε καὶ ἐλευθερωτάτη οὖσα, καὶ ὅπερ ἐδέξατό τις, τοῦτο ξυνδιασώζειν. Ἐπεὶ δημοκρατίαν γε καὶ ἐγιγνώσκομεν οἱ φρονοῦντές τι, καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον, ὅσῳ καὶ λοιδορήσαιμι. Ἀλλὰ περὶ ὁμολογουμένης ἀνοίας

ſtimulat commovetque.

τοῖς μὲν ἐμοῖς ἐχθροῖς, Niciam et Lachetem intelligit. Cf. 5, 43.

χείρω με ἐνόμιζε. Sic codd. praeſtantiores pro ἐνόμισε, quod minus convenit praecedenti ὠργίζετο. — τῷ δήμῳ προσεκείμην, τὰ τοῦ δήμου ἐφρόνουν.

καὶ ἀπ᾽ ἐκείνου, i. e. διὰ τὸ διαφόρους εἶναι ἡμᾶς τοῖς τυράννοις. — τοῖς παροῦσι, rebus praeſentibus.

ὅσῳ καὶ λοιδορήσαιμι. Ὅσῳ pro ὅσον plurimi codices et linguae uſus reponi iubent. Ex Scholiaſtae verbis: καὶ αὐτὸς ἂν ἐγὼ οὐδενὸς ἧττον λοιδορήσαιμι αὐτὴν, ὅσῳ καὶ μέγιστα ὑπ᾽ αὐτῆς ἠδίκημαι, colligat quispiam, aliquid hic intercidiſſe. Sed multa exempla, a Duckero allata (5, 45. 5, 90. 108. 6, 11. 92.) illam ſuſpicionem dirimunt, et μᾶλλον ex praecedenti comparativo cogitatione repetendum eſſe docent. Cf. Her-

οὐδὲν ἂν καινὸν λέγοιτο· καὶ τὸ μεθιστάναι αὐτὴν οὐκ ἐδόκει ἡμῖν ἀσφαλὲς εἶναι, ὑμῶν πολεμίων προσκαθημένων.

90. „Καὶ τὰ μὲν ἐς τὰς ἐμὰς διαβολὰς τοιαῦτα ξυνέβη. Περὶ δὲ ὧν ὑμῖν τε βουλευτέον, καὶ ἐμοί, εἴ τι πλέον οἶδα, ἐσηγητέον, μάθετε ἤδη. Ἐπλεύσαμεν ἐς Σικελίαν, πρῶτον μέν, εἰ δυναίμεθα, Σικελιώτας καταστρεψόμενοι, μετὰ δ' ἐκείνους αὖθις καὶ Ἰταλιώτας· ἔπειτα καὶ τῆς Καρχηδονίων ἀρχῆς καὶ αὐτῶν ἀποπειράσοντες. Εἰ δὲ προχωρήσειε ταῦτα, ἢ πάντα, ἢ καὶ τὰ πλείω, ἤδη τῇ Πελοποννήσῳ ἐμέλλομεν ἐπιχειρήσειν, κομίσαντες ξύμπασαν μὲν τὴν ἐκεῖθεν προσγενομένην δύναμιν τῶν Ἑλλήνων, πολλοὺς δὲ βαρβάρους μισθωσάμενοι, καὶ Ἴβηρας, καὶ ἄλλους τῶν ἐκεῖ ὁμολογουμένως νῦν βαρβάρων μαχιμωτάτους· τριήρεις τε πρὸς ταῖς ἡμετέραις πολλὰς ναυπηγησάμενοι, ἐχούσης τῆς Ἰταλίας ξύλα ἄφθονα. Οἷς τὴν Πελοπόννησον πέριξ πολιορκοῦντες, καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἐφορμαῖς, τῶν πόλεων τὰς μὲν βίᾳ λαβόντες, τὰς δ' ἐντειχισάμενοι,

mann. ad Viger. p. 885. „Nam democratia cuiusmodi effet, cum omnes qui aliquid fapimus, tum ego non minus, quam ullus alius, intelligebam, quanto magis eam vel obiurgarim."

περὶ ὁμολογουμένης ἀνοίας. Vulgatum *ἀγνοίας* h. l. alienum eft, cum non de ignorantia Alcibiadis, quippe qui democratiae mala fe noffe affirmaverat, fed de vulgi amentia, quae opponitur *τοῖς φρονοῦσί τι*, fermo fit. Quare Scholiaftes recte *τὴν ὁμολογουμένην ἀγνοίαν* (*ἀνοίαν* habet Schol. Caff.) interpretatur *τὴν δημοκρατίαν*. Codices plurimi cum edd. exhibent *ἀνοίας*. Cf. Duck.

90. *τῆς Καρχηδονίων ἀρχῆς καὶ αὐτῶν.* Schol. *τούς τε ὑπηκόους τῶν Καρχηδονίων, καὶ αὐτούς, εἰ δυναίμεθα, καταστρεψόμενοι.*

τὴν ἐκεῖθεν προσγενομένην δυν. τ. Ἑλλ. Int. Graecorum in Sicilia et Italia habitantium.

ἐχούσης τῆς Ἰταλ. ξ. ἀφθ. Haec vulgo parenthefi includuntur, fine idonea caufa. Nam poft *ἄφθονα* plene interpungendum eft, ficut ego feci, quia *οἷς* ad *τριήρεας* folas non poteft pertinere, multo minus ad *ξύλα*. Quare etiam Duckerus hic offendebat. Ceterum Lucaniae fylvae etiam poftea Romanis utiles ob lignorum fimul et ferarum copiam.

ἐκ γῆς ἐφορμαῖς. Hanc octo codicum lectionem cum Duckero et Benedicto praetu

ῥᾳδίως ἠλπίζομεν καταπολεμήσειν, καὶ μετὰ ταῦτα καὶ τοῦ ξύμπαντος Ἑλληνικοῦ ἄρξειν. Χρήματα δὲ καὶ σῖτον, ὥςτε εὐπορώτερον γίγνεσθαί τι αὐτῶν, αὐτὰ τὰ προςγενόμενα ἐκεῖθεν χωρία ἔμελλε διαρκῆ ἄνευ τῆς ἐνθένδε προςόδου παρέξειν.

91. „*Τοιαῦτα μὲν περὶ τοῦ νῦν οἰχομένου στόλου παρὰ τοῦ τὰ ἀκριβέστατα εἰδότος, ὡς διενοήθημεν, ἀκηκόατε· καὶ, ὅσοι ὑπόλοιποι στρατηγοὶ, ἢν δύνωνται, ὁμοίως αὐτὰ πράξουσιν. Ὡς δὲ, εἰ μὴ βοηθήσετε, οὐ περιέσται τἀκεῖ, μάθετε ἤδη. Σικελιῶται γὰρ ἀπειρότεροι μέν εἰσιν, ὅμως δ' ἂν, ξυστραφέντες ἀθρόοι, καὶ νῦν ἔτι περιγένοιντο· Συρακούσιοι δὲ μόνοι, μάχῃ τε ἤδη πανδημεὶ ἡσσημένοι, καὶ ναυσὶν ἅμα κατειργόμενοι, ἀδύνατοι ἔσονται τῇ νῦν Ἀθηναίων ἐκεῖ παρασκευῇ ἀντισχεῖν. Καὶ, εἰ αὕτη ἡ πόλις ληφθήσεται, ἔχεται καὶ ἡ πᾶσα Σικελία, καὶ εὐθὺς καὶ Ἰταλία. καὶ, ὃν ἄρτι κίνδυνον ἐκεῖθεν προεῖπον, οὐκ ἂν διὰ μακροῦ ὑμῖν ἐπιπέσοι. Ὥςτε μὴ περὶ τῆς Σικελίας τὶς οἰέσθω μόνον βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς Πελοποννήσου, εἰ μὴ ποιήσετε τάδε ἐν τάχει, στρατιάν τε ἐπὶ νεῶν πέμψετε τοιαύτην ἐκεῖσε, οἵτινες, αὐτερέται κομισθέντες, καὶ ὁπλιτεύσουσιν εὐθύς· καὶ (ὃ τῆς στρατιᾶς ἔτι χρησιμώτερον εἶναι νομίζω,) ἄνδρα Σπαρτιάτην ἄρχοντα, ὡς ἂν τούς τε παρόντας ξυντάξῃ, καὶ τοὺς μὴ ἐθέλοντας προςαναγκάσῃ. Οὕτω γὰρ οἵ τε ὑπάρχοντες ὑμῖν φίλοι θαρσήσουσι μᾶλλον, καὶ οἱ ἐνδοιάζοντες ἀδεέστερον προςίασι. Καὶ τὰ ἐνθάδε χρὴ*

vulgatae *ἀφορμαῖς*, „invafionibus vel incurfionibus fimul a terra (per Ifthmum fcilicet) pedeftribus copiis.“

γίγνεσθαί τι αὐτῶν. Praeplacet haec feptem Mff. lectio *γίγνεσθαί τι* pro vulgato *γίγνεσθαι τινά*, cum Thucydides faepius fingulari, quam plurali, numero pronomen *τὶς* adhibeat. — *ἐκεῖθεν χωρία* iterum Siciliae et Italiae oppida. Cf. fupra et rurfus c. 91. *ἐνθένδε*, Atticam intellige.

91. *ἔχεται καὶ ἡ πᾶσα Σικ.* Bauerus *ἔχεσθαι* h. l. non pro paffivo accipit, fed medium praefert, ut fit *cohaeret*, *continens* eft.

ἅμα φανερώτερον ἐκπολεμεῖν, ἵνα Συρακούσιοί τε, νομίζοντες, ὑμᾶς ἐπιμελεῖσθαι, μᾶλλον ἀντέχωσι, καὶ Ἀθηναῖοι τοῖς ἑαυτῶν ἧσσον ἄλλην ἐπικουρίαν πέμπωσι. Τειχίζειν δὲ χρὴ Δεκέλειαν τῆς Ἀττικῆς, ὅπερ Ἀθηναῖοι μάλιστα ἀεὶ φοβοῦνται, καὶ μόνου αὐτοῦ νομίζουσι τῶν ἐν τῷ πολέμῳ οὐ διαπεπειρᾶσθαι. Βεβαιότατα δ' ἄν τις οὕτω τοὺς πολεμίους βλάπτοι, εἰ, ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα, σαφῶς πυνθανόμενος, ἐπιφέροι. Εἰκὸς γὰρ, αὐτοὺς ἀκριβέστατα ἑκάστους τὰ σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φοβεῖσθαι. Ἃ δ' ἐν τῇ ἐπιτειχίσει αὐτοὶ ὠφελούμενοι τοὺς ἐναντίους κωλύσετε, πολλὰ παρεὶς, τὰ μέγιστα κεφαλαιώσω. Οἷς τε γὰρ ἡ χώρα κατεσκεύασται, τὰ πολλὰ πρὸς ὑμᾶς, τὰ μὲν ληφθέντα, τὰ δ' αὐτόματα, ἥξει· καὶ τὰς τοῦ Λαυρίου τῶν ἀργυρείων μετάλλων προσόδους, καὶ ὅσα ἀπὸ γῆς καὶ δικαστηρίων νῦν ὠφελοῦνται, εὐθὺς ἀποστερήσονται· μάλιστα δὲ, τῆς ἀπὸ τῶν ξυμμάχων προσόδου ἧσσον διαφορουμένης, οἱ τὰ παρ' ὑμῶν νομίσαντες ἤδη κατὰ κράτος πολεμεῖσθαι, ὀλιγωρήσουσι.

92. „Γίγνεσθαι δέ τι αὐτῶν καὶ ἐν τάχει, καὶ προθυμότερον, ἐν ὑμῖν ἐστιν, ὦ Λακεδαιμόνιοι. Ἐπεὶ, ὥς γε δυνατὰ, (καὶ οὐχ ἁμαρτήσεσθαι οἶμαι γνώμης,) πάνυ θαρσῶ· καὶ χείρων οὐδενὶ ἀξιῶ δοκεῖν ὑμῶν εἶναι, εἰ τῇ ἐμαυτοῦ μετὰ τῶν πολεμιωτάτων, φιλόπολις ποτὲ δοκῶν εἶναι, νῦν ἐγκρατῶς ἐπέρχομαι· οὐδὲ ὑποπτεύεσθαί μου, ἐς τὴν φυγαδικὴν προθυμίαν, τὸν λόγον.

ἐν τῇ ἐπιτειχίσει. Ἐπιτείχισιν hic vocat, quod antea ſimpliciter τειχίζειν Δεκέλειαν, quatenus ἐπ' Ἀθήναις haec communitio (τείχισις) fiebat. Cf. c. 93. — Mox ad *τὰ πολλά* ſubaudi τούτων. — Et *Λαυρίου* pro Λαυρείου e multis libris ſcripſi, ſicut ſupra 2, 55. conſtanter libri omnes habent. Cf. Duck.

καὶ δικαστηρίων. Multis (ζημίαις) puniebantur plurima crimina apud Athenienſes. Hoſtibus imminentibus, *iuſtitium* eſſe futurum, innuit Alcibiades, ex Schol. quidem interpretatione. — *διαφορουμένης,* Schol. recte διηνεκῶς φερομένης.

92. *ἐς τὴν φυγαδικὴν προθυμίαν,* i. e. cupide me agere

Φυγάς τε γάρ εἰμι τῆς τῶν ἐξελασάντων πονηρίας, καὶ οὐ τῆς ὑμετέρας, ἢν πείθησθέ μοι, ὠφελείας· καὶ πολεμιώτεροι οὐχ, οἵ τοὺς πολεμίους που βλάψαντες, ὑμεῖς, ἢ οἵ τοὺς φίλους ἀναγκάσαντες πολεμίους γενέσθαι. Τό, τε φιλόπολι οὐκ, ἐν ᾧ ἀδικοῦμαι, ἔχω, ἀλλ' ἐν ᾧ ἀσφαλῶς ἐπολιτεύθην· οὐδ', ἐπὶ πατρίδα οὖσαν ἔτι ἡγοῦμαι νῦν ἰέναι, πολὺ δὲ μᾶλλον τὴν οὐκ οὖσαν ἀνακτᾶσθαι. Καὶ φιλόπολις οὗτος ὀρθῶς, οὐχ, ὃς ἂν τὴν ἑαυτοῦ ἀδίκως ἀπολέσας μὴ ἐπίῃ, ἀλλ', ὃς ἂν ἐκ παντὸς τρόπου, διὰ τὸ ἐπιθυμεῖν, πειραθῇ αὐτὴν ἀναλαβεῖν. Οὕτως ἔμοιγε ἀξιῶ ὑμᾶς καὶ ἐς κίνδυνον καὶ ἐς ταλαιπωρίαν πᾶσαν ἀδεῶς χρῆσθαι, ὦ Λακεδαιμόνιοι, γνόντας τοῦτον δὴ τὸν ὑφ' ἁπάντων προβαλλόμενον λόγον, ὡς, εἰ, πολέμιός γε ὤν, σφόδρα ἔβλαπτον, καὶ ἄν, φίλος ὤν, ἱκανῶς ὠφελοίην, ὅσῳ τὰ μὲν Ἀθηναίων οἶδα, τὰ δ' ὑμέτερα ᾔκαζον· καὶ αὐτοὺς νῦν, νομίσαντας περὶ μεγίστων δὴ τῶν διαφερόντων βουλεύεσθαι, μὴ ἀποκνεῖν τὴν ἐς τὴν Σικελίαν τε καὶ ἐς τὴν Ἀττικὴν στρατείαν· ἵνα τά τε ἐκεῖ, βραχεῖ μορίῳ ξυμπαραγενόμενοι, μεγάλα, σώσητε, καὶ Ἀθηναίων τήν τε οὖσαν καὶ τὴν μέλλουσαν δύναμιν καθέλητε, καὶ μετὰ ταῦτα αὐτοί τε ἀσφαλῶς οἰκῆτε, καὶ τῆς ἁπάσης Ἑλλάδος, ἑκούσης, καὶ οὐ βίᾳ, κατ' εὔνοιαν δέ, ἡγήσησθε."

93. Ὁ μὲν Ἀλκιβιάδης τοσαῦτα εἶπεν. Οἱ δὲ

93. Lacedaemonii Gylippum Syracufanis ducem confti-

opinantes, tamquam exfulem. — ἐγκρατῶς, h. l. ἰσχυρῶς, σφοδρῶς.

οὐ τῆς ὑμετέρας — ὠφελείας. Recte Schol. οὐ φεύγω τὸ ὠφελεῖν ὑμᾶς. „Exful fum ratione habita improborum illorum, qui me expulerunt, non veftrae utilitatis, fi mihi obtemperabitis."

ἡγοῦμαι νῦν ἰέναι. E plurimis codd. recepi νῦν. Paullo ante ad ἐν ᾧ, int. χρόνῳ. — διὰ τὸ ἐπιθυμεῖν, propter defiderium.

ὅσῳ τὰ μὲν —. Cf. ad cap. 89. — ᾔκαζον pro εἴκαζον repofui cum Duck. e codd. Reg. Caff. Aug. et uno Parif. Poft ᾔκαζον minus plene interpunxi, ut melius ad αὐτοὺς repeti poffet ex praecedentibus ἀξιῶ.

βραχεῖ μορίῳ, non magna

Λακεδαιμόνιοι, διανοούμενοι μὲν καὶ αὐτοὶ πρότερον στρατεύειν ἐπὶ τὰς Ἀθήνας, μέλλοντες δὲ ἔτι καὶ περιορώμενοι, πολλῷ μᾶλλον ἐπεῤῥώσθησαν, διδάξαντος ταῦτα ἕκαστα αὐτοῦ, καὶ νομίσαντες, παρὰ τοῦ σαφέστατα εἰδότος ἀκηκοέναι. Ὥςτε τῇ ἐπιτειχίσει τῆς Δεκελείας προςεῖχον ἤδη τὸν νοῦν, καὶ τὸ παραυτίκα καὶ τοῖς ἐν τῇ Σικελίᾳ πέμπειν τινὰ τιμωρίαν. Καὶ Γύλιππον τὸν Κλεανδρίδου προςτάξαντες ἄρχοντα τοῖς Συρακουσίοις, ἐκέλευον, μετ᾽ ἐκείνων καὶ τῶν Κορινθίων βουλευόμενον. ποιεῖν, ὅπῃ ἐκ τῶν παρόντων μάλιστα καὶ τάχιστα τὶς ὠφέλεια ἥξει τοῖς ἐκεῖ. Ὁ δὲ δύο μὲν ναῦς τοὺς Κορινθίους ἤδη ἐκέλευέν οἱ πέμπειν ἐς Ἀσίνην, τὰς δὲ λοιπὰς παρασκευάζεσθαι, ὅσας διανοοῦνται πέμπειν, καὶ, ὅταν καιρὸς ᾖ, ἑτοίμας εἶναι πλεῖν. Ταῦτα δὲ ξυνθέμενοι, ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος. Ἀφίκετο δὲ καὶ ἡ ἐκ τῆς Σικελίας τριήρης τῶν Ἀθηναίων, ἣν ἀπέστειλαν οἱ στρατηγοὶ ἐπί τε χρήματα καὶ ἱππέας. Καὶ οἱ Ἀθηναῖοι, ἀκούσαντες, ἐψηφίσαντο τήν τε τροφὴν πέμπειν τῇ στρατιᾷ καὶ τοὺς ἱππέας. Καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ἕβδομον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

94. *Ἅμα δὲ τῷ ἦρι εὐθὺς ἀρχομένῳ τοῦ ἐπιγιγνομένου θέρους, οἱ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι, ἄραντες ἐκ τῆς Κατάνης, παρέπλευσαν ἐπὶ Μεγάρων τῶν ἐν τῇ*

tuunt, eique rem cum Corinthiis et Syracuſanis adminiſtrandam committunt. Finis ſeptimi decimi anni. 94. In Sicilia Athenienſes Megarenſium agrum, tum temporis a Syracuſanis cultum, devaſtant; poſt etiam propius

copiarum veſtrarum parte. Nam duce potius Siculis opus erat.

93. *περιορώμενοι*, *περισκοποῦντες*. — Ad *πέμπειν τινὰ τιμωρίαν* intell. *διενοοῦντο* vel tale quid ex praecedente *προςεῖχον τὸν νοῦν*.

μετ᾽ ἐκείνων, i. e. *τῶν πρέσβεων Συρακουσίων*, qui aderant Lacedaemone. — *ἐς Ἀσίνην*, oppidum Laconicae ad ſinum Laconicum ſitum. — *ἀνεχώρουν*, legati Corinthiorum et Syracuſanorum.

Σικελίᾳ, οὓς ἐπὶ Γέλωνος τοῦ τυράννου (ὥσπερ καὶ πρότερόν μοι εἴρηται) ἀναστήσαντες Συρακούσιοι, αὐτοὶ ἔχουσι τὴν γῆν. Ἀποβάντες δὲ ἐδῄωσαν τούς τε ἀγροὺς, καὶ ἐλθόντες ἐπὶ ἔρυμά τι τῶν Συρακουσίων, καὶ οὐχ ἑλόντες, αὖθις καὶ πεζῇ καὶ ναυσὶ παρακομισθέντες ἐπὶ τὸν Τηρέαν ποταμὸν, τό τε πεδίον ἀναβάντες ἐδῄουν, καὶ τὸν σῖτον ἐνεπίμπρασαν. Καὶ τῶν Συρακουσίων περιτυχόντες τισὶν οὐ πολλοῖς, καὶ ἀποκτείναντές τε τινὰς, καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν ἐπὶ τὰς ναῦς. Καὶ ἀποπλεύσαντες ἐς Κατάνην, ἐκεῖθεν δὲ ἐπισιτισάμενοι, πάσῃ τῇ στρατιᾷ ἐχώρουν ἐπὶ Κεντόριπα, Σικελῶν πόλισμα, καὶ προσαγαγόμενοι ὁμολογίᾳ ἀπῄεσαν, πιμπράντες ἅμα τὸν σῖτον τῶν τε Ἰνησσαίων καὶ τῶν Ὑβλαίων. Καὶ ἀφικόμενοι ἐς Κατάνην, καταλαμβάνουσι τούς τε ἱππέας ἥκοντας ἐκ τῶν Ἀθηνῶν πεντήκοντα καὶ διακοσίους, ἄνευ τῶν ἵππων, μετὰ σκευῆς, ὡς αὐτόθεν ἵππων πορισθησομένων, καὶ ἱπποτοξότας τριάκοντα, καὶ τάλαντα ἀργυρίου τριακόσια.

95. Τοῦ δ' αὐτοῦ ἦρος καὶ ἐπ' Ἄργος στρατεύσαντες Λακεδαιμόνιοι, μέχρι μὲν Κλεωνῶν ἦλθον, σεισμοῦ δὲ γενομένου, ἀπεχώρησαν. Καὶ Ἀργεῖοι

Syracuſas, claſſe ad Teream fluvium appulſa, vaſtato et combuſto frumento, leve cum Syracuſanis proelium committunt. Tum Centoripa, Siculorum oppidum pactione recipiunt, et reverſi Catanam, equites ducentos quinquaginta ſine equis et trecenta talenta Athenis miſſa offendunt. 95. Lacedaemoniorum expeditio in Argivo-

94. *οὓς ἐπὶ Γέλωνος*, transitus ab urbe ad incolas eius. Vid. ad 1, 2.

πρότερόν μοι εἴρηται. Supra cap. 4 med. cf. c. 49 extr.

τούς τε ἀγρούς. Hoc *τέ* non habet quo referatur, quia non ſequitur alterum ſubſtantivum, quod ab *ἐδῄωσαν* pendeat. Videtur aut *τέ* cum cod. Gr. delendum, aut ſcribendum *ἐδῄωσάν τε τοὺς ἀγρούς.*

ἐπὶ τὸν Τηρέαν. Haud dubie ſcribendum *Τηρίαν*, ut ſupra cap. 50.

95. *μέχρι μὲν Κλεωνῶν.* Cleonae oppidum in Argiva regione. Vid. ad 5, 67.

μετὰ ταῦτα ἐσβαλόντες ἐς τὴν Θυρεᾶτιν, ὅμορον οὖσαν, λείαν τῶν Λακεδαιμονίων πολλὴν ἔλαβον, ἣ ἐπράθη ταλάντων οὐκ ἔλασσον πέντε καὶ εἴκοσι. Καὶ ὁ Θεσπιέων δῆμος ἐν τῷ αὐτῷ θέρει, οὐ πολὺ ὕστερον, ἐπιθέμενος τοῖς τὰς ἀρχὰς ἔχουσιν, οὐ κατέσχεν· ἀλλὰ, βοηθησάντων Ἀθηναίων, οἱ μὲν ξυνελήφθησαν, οἱ δ' ἐξέπεσον Ἀθήναζε.

96. Καὶ οἱ Συρακούσιοι τοῦ αὐτοῦ θέρους, ὡς ἐπύθοντο τούς τε ἱππέας ἥκοντας τοῖς Ἀθηναίοις, καὶ μέλλοντας ἤδη ἐπὶ σφᾶς ἰέναι, νομίσαντες, ἐὰν μὴ τῶν Ἐπιπολῶν κρατήσωσιν οἱ Ἀθηναῖοι, χωρίου ἀποκρήμνου τε καὶ ὑπὲρ τῆς πόλεως εὐθὺς κειμένου, οὐκ ἂν ῥᾳδίως σφᾶς, οὐδ' εἰ κρατοῖντο μάχῃ, ἀποτειχισθῆναι, διενοοῦντο τὰς προσβάσεις αὐτῶν φυλάσσειν, ὅπως μὴ κατὰ ταύτας λάθωσι σφᾶς ἀναβάντες οἱ πολέμιοι· οὐ γὰρ ἂν ἄλλῃ γε αὐτοὺς δυνηθῆναι. Ἐξήρτηται γὰρ τὸ ἄλλο χωρίον, καὶ μέχρι τῆς πόλεως ἐπικλινές τε ἐστὶ,

rum agrum terrae motu ſublata. Argivi in Thyreatin incurrunt et praedam magnam faciunt. Theſpienſis populi conatus adverſus optimates irritus factus. 96. Syracuſani Epipolarum, quae celſa et abrupta rupes eſt, aſcen-

οὐκ ἔλασσον. Vulgo ἔλαττον. Sed illud vel contra codices omnes reponendum, neque aliter unquam Thucydides.

ἀλλὰ, βοηθησάντων Ἀθηναίων. Bauerus Heilmanno adſentitur, ad hos genitivos particulam conceſſionalem, veluti καίτοι, ſubaudientem; licet ſic ſimpliciter, et tali tenore poſitos genitivos nihil niſi cauſam et modum effectae rei notare ſolere contendat. Mihi non videtur neceſſarium, h. l. ab hac norma recedere. Nam verba βοηθησάντων Ἀθηναίων cauſam produnt, cur non omnes ab optimatibus oppreſſi fuerint, ſed nonnulli Athenas evaſerint. Poſt ἀλλὰ comma ponendum. Germanice verterim: „Aber, da Athener zu Hülfe kamen, wurden einige zwar gefangen, andere aber retteten ſich nach Athen.“

96. τὰς προσβάσεις αὐτῶν, int. τῶν Ἐπιπολῶν.

ὅπως μὴ κατὰ ταῦτα. Merito Benedictus quinque praeſtantiorum codd. Reg. Caſſ. Aug. Gr. Moſq. lectionem ταῦτα vulgato ταύτας, quod e correctione natum eſt, praetulit.

ἐξήρτηται γὰρ τὸ ἄλλο χωρίον. Ab Epipolis usque deſcendebat et inclinabatur regio verſus urbem, quae inde tota conſpici poterat. Cf. 5, 6. Ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων,

καὶ ἐπιφανὲς πᾶν εἴσω· καὶ ὠνόμασται ὑπὸ τῶν Συρακουσίων, διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι, Ἐπιπολαί. Καὶ οἱ μὲν ἐξελθόντες πανδημεὶ ἐς τὸν λειμῶνα, παρὰ τὸν Ἄναπον ποταμὸν, ἅμα τῇ ἡμέρᾳ (ἐτύγχανον γὰρ αὐτοῖς καὶ οἱ περὶ τὸν Ἑρμοκράτην στρατηγοὶ ἄρτι παρειληφότες τὴν ἀρχὴν,) ἐξέτασίν τε ὅπλων ἐποιοῦντο, καὶ ἑξακοσίους λογάδας τῶν ὁπλιτῶν ἐξέκριναν πρότερον, ὧν ἦρχε Διόμιλος, φυγὰς ἐξ Ἄνδρου· ὅπως τῶν τε Ἐπιπολῶν εἴησαν φύλακες, καὶ, ἢν ἐς ἄλλο τι δέῃ, ταχὺ ξυνεστῶτες παραγίγνωνται.

97. Οἱ δὲ Ἀθηναῖοι ταύτης τῆς νυκτὸς τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ ἐξητάζοντο, καὶ ἔλαθον αὐτοὺς παντὶ ἤδη τῷ στρατεύματι ἐκ τῆς Κατάνης σχόντες κατὰ τὸν Λέοντα καλούμενον, (ὃς ἀπέχει τῶν Ἐπιπολῶν ἓξ ἢ ἑπτὰ σταδίους,) καὶ τοὺς πεζοὺς ἀποβιβάσαντες, ταῖς τε ναυσὶν ἐς τὴν Θάψον καθορμισάμενοι. ἔστι δὲ χερσόνησος μὲν ἐν στενῷ ἰσθμῷ, προύχουσα ἐς τὸ πέλαγος, τῆς δὲ Συρακουσίων πόλεως οὔτε πλοῦν οὔτε ὁδὸν πολλὴν ἀπέχει. Καὶ ὁ μὲν ναυτικὸς στρατὸς τῶν Ἀθηναίων ἐν τῇ Θάψῳ, διασταυρωσάμενος τὸν ἰσθμὸν, ἡσύχαζεν· ὁ δὲ πεζὸς ἐχώρει εὐθὺς δρόμῳ πρὸς τὰς Ἐπιπολὰς, καὶ φθάνει ἀναβὰς κατὰ τὸν Εὐρύηλον, πρὶν τοὺς

ſus praeſidiis firmare conſtituunt et, luſtratione in prato ad Anapum facta, ſexcentos milites ad eos cuſtodiendos eligunt. 97. Sed Athenienſes antevertunt, cumque,

ἐπὶ μετεώρου, — καὶ κατεφαίνετο πάντα αὐτόθεν. Ab illa igitur parte, quae urbem ſpectabat, non poterant Syracuſanos fallere et latere Athenienſes, ſi forte aſcendere conarentur. A contraria igitur parte αἱ προςβάσεις videntur fuiſſe, quas cuſtodia tegere Syracuſani conſtituebant.

καὶ ἑπτακοσίους λογάδας. Ita hic quidem codices. Sed Valla vertit: „delecti ſunt prius ſexcenti armati." Et cap. 97. codices tantum non omnes praebent: οἱ περὶ τὸν Διόμιλον ἑξακόσιοι, qui numerus item 7, 43. ſine varietate repetitur. Itaque, cum in numerorum ſignis χ et ψ facilis permutatio ſit, viris doctis, Bredovio et Benedicto, adſentior, et hic, ſicut cap. 97., ubi codicum auctoritas cogit, ſcribendum eſſe ἑξακοσίους. Et ſic feci.

97. κατὰ τὸν Εὐρύηλον. Ita duodecim codices hic repoui

Συρακουσίους, αἰσθομένους, ἐκ τοῦ λειμῶνος καὶ τῆς ἐξετάσεως παραγενέσθαι. Ἐβοήθουν δέ οἵ τε ἄλλοι, ὡς ἕκαστος τάχους εἶχε, καὶ οἱ περὶ τὸν Διόμιλον ἑξακόσιοι. Στάδιοι δέ, πρὶν προςμίξαι ἐκ τοῦ λειμῶνος, ἐγίγνοντο αὐτοῖς οὐκ ἔλασσον ἢ πέντε καὶ εἴκοσι. Προςπεσόντες οὖν αὐτοῖς τοιούτῳ τρόπῳ ἀτακτότερον, καὶ μάχῃ νικηθέντες οἱ Συρακούσιοι ἐπὶ ταῖς Ἐπιπολαῖς, ἀνεχώρησαν ἐς τὴν πόλιν· καὶ ὅ τε Διόμιλος ἀποθνήσκει, καὶ τῶν ἄλλων ὡς τριακόσιοι. Καὶ μετὰ τοῦτο οἱ Ἀθηναῖοι, τροπαῖόν τε στήσαντες, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀποδόντες τοῖς Συρακουσίοις, πρὸς τὴν πόλιν αὐτὴν τῇ ὑστεραίᾳ ἐπικαταβάντες, ὡς οὐκ ἐπεξῄεσαν αὐτοῖς, ἐπαναχωρήσαντες, φρούριον ἐπὶ τῷ Λαβδάλῳ ᾠκοδόμησαν, ἐπ' ἄκροις τοῖς κρημνοῖς τῶν Ἐπιπολῶν, ὁρῶν πρὸς τὰ Μέγαρα· ὅπως εἴη αὐτοῖς, ὁπότε προςίοιεν, ἢ μαχούμενοι, ἢ τειχιοῦντες, τοῖς τε σκεύεσι καὶ τοῖς χρήμασιν ἀποθήκη.

98. Καὶ οὐ πολλῷ ὕστερον αὐτοῖς ἦλθον ἔκ τε Ἐγέστης τριακόσιοι, καὶ Σικελῶν καὶ Ναξίων καὶ ἄλ-

navibus Thapſum appulſis, Epipolas occupaſſent, fruſtra Syracuſani eos depellere conantur, et clade affecti in urbem refugiunt. Athenienſes autem poſtridie ad urbem progreſſi, cum hoſtes non occurrerent ad pugnam, in ſumma Epipolarum rupe caſtellum communierunt. 98. Deinde etiam equites et equos a Segeſtanis aliisque Siculis accipiunt, et confeſtim unam urbis partem, Συκῆν,

iubent, et 7, 2. ſine varietate legitur. Vulgo τὸ Εὐρύηλον. Εὐρύηλος ſ. Εὐρύαλος, ſicuti *Labdalon* extr. cap., caſtellum erat in rupe Epipolarum; *Leon* autem et *Thapſus*, ſicuti Daſcon c. 66., parva oppida, illa quidem verſus ſeptemtrionem, hoc verſus meridiem. — Mox καὶ ante τῆς ἐξετάσεως decem codicum auctoritate recepi, praeeunte Benedicto. Bredovius quidem vulgatum defendit. Sed eius ratio valeret, ſi conſtaret, illud pratum ſemper ad exercitus luſtrationes fuiſſe deſtinatum.

ἑξακόσιοι. Vid. ad cap. 96.

98. αὐτοῖς ἦλθον — τριακόσιοι. Neſcio, unde habeat compertum Portus, hos trecentos, ab Segeſtanis miſſos, *equites* fuiſſe. Mihi non illud dubitandum videtur, an Segeſtani tantum equitum numerum praebere potuerint, licet etiam equos Athenienſibus praebuiſſe narren-

λων τινῶν ὡς ἑκατόν. Καὶ Ἀθηναίων ὑπῆρχον πεντήκοντα καὶ διακόσιοι, οἷς ἵππους τοὺς μὲν παρ᾽ Ἐγεσταίων καὶ Καταναίων ἔλαβον, τοὺς δ᾽ ἐπρίαντο· καὶ ξύμπαντες πεντήκοντα καὶ ἑξακόσιοι ἱππεῖς ξυνελέγησαν. Καὶ καταστήσαντες ἐν τῷ Λαβδάλῳ φυλακὴν, ἐχώρουν πρὸς τὴν Συκῆν οἱ Ἀθηναῖοι, ἵνα περ καθεζόμενοι, ἐτείχισαν τὸν κύκλον διὰ τάχους, καὶ ἔκπληξιν τοῖς Συρακουσίοις παρέσχον τῷ τάχει τῆς οἰκοδομίας. Καὶ ἐπεξελθόντες, μάχην διενοοῦντο ποιεῖσθαι, καὶ μὴ περιορᾷν. Καὶ ἤδη ἀντιπαρατασσομένων ἀλλήλοις, οἱ τῶν Συρακουσίων στρατηγοὶ, ὡς ἑώρων σφίσι τὸ στράτευμα διεσπασμένον τε, καὶ οὐ ῥᾳδίως ξυντασσό-

circumdant opere. Celeritate munitionis perterriti Syracuſani impedire opus velle, copias educere, mox male compoſitas, in urbem reducere. Equites tantum relicti, ne longius vagarentur Athenienſes; ſed etiam hi fugati

tur paullo poſt; ſed illud mirari ſubit, cur Thucydides verbum ἱππεῖς hic addere neglexerit. Supra cap. 88. retulerat, Athenienſes Segeſtam miſiſſe, qui *equos* quam plurimos imperarent; hic autem numerus equitum conficitur quinquaginta et ſexcentorum, quorum cum ducenti et quinquaginta Athenienſes eſſent, quibus equi vel tributi vel empti, quadringenti ferme deficiunt ad ſummam illam complendam. Itaque, cum Segeſtani trecentos, Siculi et Naxii centum miſerint equites, ratio ſane conſtet. Suſpicor igitur, poſt τριακόσιοι vocabulum ἱππεῖς excidiſſe, quod omittere hic eo minus licebat, quia ſupra non equites, ſed equos poſtulatos eſſe dixerat. Etiam Diodorus in loco parallelo 13, 7. ſcribit: παραγενομένων τοῖς Ἀθηναίοις ἐξ Ἐγέστης τριακοσίων μὲν ἱππέων —. Ceterum idem in numero omnium equitum conſtituendo a Thucydide discrepat, *octingentos* fuiſſe tradens. — Pro οἱ ἵππους cum optimis libris dedimus οἷς ἵππους. Cf. Bened.

πρὸς τὴν Συκῆν. In cod. Aug. eſt τυκῆν. Unde Cluverii coniectura, Τύκην h. l. legendum eſſe, quae pars erat Syracuſarum, alias Τύχη nominata, egregie confirmatur. Nam de parte urbis Syracuſarum, quam Athenienſes circumvallaverint, hic agi, etiam Diodori teſtimonio conſtat, ſcribentis l. l. τὴν πόλιν τῶν Συρακουσίων ἀπετείχιζον. Niſi forte ea urbis pars etiam Σύκη vel Σύκα dorice vocabatur. — De verbis ἵνα περ καθεζόμενοι Benedictus monet, ἵνα pro ὅπου rarius a proſaicis ſcriptoribus uſurpari, ſed tamen apud Herodotum et Thucydidem legi. Malit tamen ſcribere περικαθεζόμενοι. Mihi in mentem venit ἣν περικαθεζόμενοι, quod melius convenit ſequenti τὸν κύκλον. Poſt τάχους punctum mutavi in com-

μενον, ἀνήγαγον πάλιν ἐς τὴν πόλιν, πλὴν μέρους τινὸς τῶν ἱππέων. Οὗτοι δὲ ὑπομένοντες ἐκώλυον τοὺς Ἀθηναίους λιθοφορεῖν τε καὶ ἀποσκίδνασθαι μακροτέραν. Καὶ τῶν Ἀθηναίων φυλὴ μία τῶν ὁπλιτῶν, καὶ οἱ ἱππεῖς μετ᾽ αὐτῶν πάντες, ἐτρέψαντο τοὺς τῶν Συρακουσίων ἱππέας προσβαλόντες· καὶ ἀπέκτεινάν τε τινάς, καὶ τροπαῖον τῆς ἱππομαχίας ἔστησαν.

99. Καὶ τῇ ὑστεραίᾳ οἱ μὲν ἐτείχιζον τῶν Ἀθηναίων τὸ πρὸς Βορέαν τοῦ κύκλου τεῖχος· οἱ δέ, λίθους καὶ ξύλα ξυμφοροῦντες, παρέβαλλον ἐπὶ τὸν Τρωγίλον καλούμενον, ἀεί, ᾗπερ βραχύτατον ἐγίγνετο αὐτοῖς ἐκ τοῦ μεγάλου λιμένος ἐπὶ τὴν ἑτέραν θάλασσαν τὸ ἀποτείχισμα. Οἱ δὲ Συρακούσιοι, οὐχ ἥκιστα Ἑρμοκράτους τῶν στρατηγῶν ἐσηγησαμένου, μάχαις μὲν πανδημεὶ πρὸς Ἀθηναίους οὐκέτι ἐβούλοντο δια-

ab equitibus Athenienſium. 99. Nondum perfecto hoc opere, aliud maius inſtituunt Athenienſes, ut totum

ma, et poſt *οἰκοδομίας* plene interpungendum eſſe cenſui. Ita etiam Diodorus haec diſtinxit, qui hic Thucydidem preſſe ſequitur.

ἀποσκίδνασθαι μακροτέραν. Vulgo *μακρότερον.* Illud exhibent codices praeſtantiſſimi Cl. Gr. Reg. Caſſ. Aug. et duo Pariſſ., et Benedictus recte doctius et elegantius cenſet. — Paullo poſt *φυλὴ* dicitur, quae alias *τάξις.* Nam Athenienſes non ſolebant inter ſe miſcere diverſarum tribuum milites.

99. *τοῦ κύκλου.* *Τὸν κύκλον* hic, ut cap. 98., intellige murum circa Syracuſas Athenienſibus extruendum. Illuſtrat rem Diodorus, ſcribens l. c. *Οἱ δ᾽ Ἀθηναῖοι τῷ μέρει τῆς δυνάμεως τὸν ὑπερκείμενον τοῦ λιμένος τόπον κατελάβοντο, καὶ τὴν καλουμένην Πολίχνην τειχίσαντες, τό, τε τοῦ Διὸς ἱερὸν περιεβάλοντο, καὶ ἐξ ἀμφοτέρων τῶν μερῶν τὰς Συρακούσας ἐπολιόρκουν.* Videntur igitur verſus ſeptemtrionem, ubi *Trogilus* portus (alter is erat ex duobus minoribus; erat enim alter nomine *Laceus*) ſitus erat, per iſthmum illum, in quo conditae erant tres Syracuſarum partes, *Acradina*, *Tyche* et *Neapolis* (nam quarta pars erat inſula *Ortygia*, et quinta poſteriore demum tempore acceſſit *Epipolae*) incipientes a magno portu, qui meridiem ſpectabat, murum inſtituiſſe Athenienſes. Itaque, cum alter murus in ſeptemtrionali urbis parte conficeretur, alter e regione magni portus, i. e. in meridionali regione materia congerenda certe pararetur, Diodorus dicere poterat: *ἐξ ἀμφοτέρων τῶν μερῶν τὰς Συρακούσας ἐπολιόρκουν.* Cf. Thucyd. 7, 2 extr., ubi eadem aliquanto clarius exponuntur, ſic tamen, ut invicem ex noſtro loco lucem accipiant.

κινδυνεύειν, ὑποτειχίζειν δὲ ἄμεινον ἐδόκει εἶναι, ᾗ ἐκεῖνοι ἔμελλον ἄξειν τὸ τεῖχος· καὶ, εἰ φθάσειαν, ἀποκλείσεις γίγνεσθαι· καὶ ἅμα καὶ, ἐν τούτῳ εἰ ἐπιβοηθοῖεν, μέρος ἀντιπέμπειν αὐτοὺς τῆς στρατιᾶς. καὶ φθάνειν ἂν τοῖς σταυροῖς προκαταλαμβάνοντες τὰς ἐφόδους· ἐκείνους δὲ ἂν, παυομένους τοῦ ἔργου, πάντας αν πρὸς σφᾶς τρέπεσθαι. Ἐτείχιζον οὖν ἐξελθόντες, ἀπὸ τῆς σφετέρας πόλεως ἀρξάμενοι, κάτωθεν τοῦ κύκλου τῶν Ἀθηναίων, ἐγκάρσιον τεῖχος ἄγοντες, τάς τε ἐλάας ἐκκόπτοντες τοῦ τεμένους, καὶ πύργους ξυλίνους καθιστάντες. Αἱ δὲ νῆες τῶν Ἀθηναίων οὔπω ἐκ τῆς Θάψου περιεπεπλεύκεσαν ἐς τὸν μέγαν λιμένα· ἀλλ' ἔτι οἱ Συρακούσιοι ἐκράτουν τῶν περὶ τὴν θά-

iſthmum, in quo Syracuſae ſitae ſunt, ab altero ad alterum mare munitione intercludant. Materiam quidem, quocumque aptum erat, congerunt; ſed Syracuſani, auctore Hermocrate, transverſum in illam munitionem du-

ὑποτειχίζειν δὲ ἄμεινον ἐδ. Quid h. l. ſit ὑποτειχίζειν, optime diſcas ex Scholiaſtâ, cuius expoſitionem totius loci adſcribam. Οἱ μὲν Ἀθηναῖοι (φησὶν) ἐβούλοντο, ἐκ θαλάττης εἰς θάλατταν τεῖχος οἰκοδομησάμενοι, Συρακουσίους εἶρξαι τῆς ἔξω γῆς, κατακλείσαντες εἰς τὴν χεῤῥόνησον. οἱ δὲ Συρακούσιοι, ὄρθιον τεῖχος διὰ μέσου τοῦ ἰσθμώδους ὑπετείχιζον, κώλυμα ἐσόμενον τοῖς Ἀθηναίοις τοῦ δύνασθαι διατειχίσαι. καὶ ἐνόμιζον, εἰ φθάσαιεν περιτειχίσαντες (fortaſſe παρατειχίσαντες ſcrib.) αὐτοὶ, ἀποκλεῖσαι ἂν ἐκείνους τοῦ ἔτι διατειχίσαι δύνασθαι. εἰ γὰρ δὴ καὶ κωλύειν αὐτοὺς ἀποτειχίζοντας οἱ Ἀθηναῖοι ἐθέλοιεν, μέρει μὲν ἄν τινι τῆς αὐτῶν στρατιᾶς ἀντιτάξασθαι τοῖς ἐπιοῦσι τῶν Ἀθηναίων· οἱ λοιποὶ δὲ ἐν τούτῳ προαποσταυρώσειν τὰ βάσιμα τῶν Ἀθηναίων. Ceterum ad verba ἀποκλείσεις γίγνεσθαι, ut etiam e Scholio patet, aut ἐδόκει aut ἐνόμιζον ſubaudiendum ex praecedente ἄμεινον ἐδόκει, et paullo plenius interpungendum poſt τὸ τεῖχος, quia καὶ — γίγνεσθαι melius cum ſequentibus coniungitur. Cf. Bredov. Poſt καὶ ἅμα, (quod ἅμα cur in codicibus fortaſſe nonnullis exciderit, ideoque vulgo uncis incluſum ſit, cauſa ſatis perſpicua eſt alterum καὶ) e codd. plurimis recepi cum Benedicto καί.

τάς τε ἐλαίας. Optimi codices Thucydidis Reg. Caſſ. Aug. Gr. hic, et iidem cum Cl. et Marg. infra 7, 81. exhibent ἐλάας, et ſic ſcribendum eſſe contendit Thomas Mag. Cf. Duck. ad h. l. et Waſſe ad 7, 81. Nobis Grammatici teſtimonium verum videtur eſſe, et codicum auctoritati obtemperandum. — Paullo ante κάτωθεν τοῦ κύκλου eſt *infra* murum Athenienſium.

λασσαν· κατὰ γῆν δ' ἐκ τῆς Θάψου οἱ Ἀθηναῖοι τὰ ἐπιτήδεια ἐπήγοντο.

100. Ἐπειδὴ δὲ τοῖς Συρακουσίοις ἀρκούντως ἐδόκει ἔχειν, ὅσα τε ἐσταυρώθη καὶ ᾠκοδομήθη τοῦ ὑποτειχίσματος, καὶ οἱ Ἀθηναῖοι αὐτοὺς οὐκ ἦλθον κωλύσοντες, φοβούμενοι, μὴ σφίσι δίχα γιγνομένοις ῥᾷον μάχωνται, καὶ ἅμα τὴν καθ' αὐτοὺς περιτείχισιν ἐπειγόμενοι· οἱ μὲν Συρακούσιοι, φυλὴν μίαν καταλιπόντες φύλακα τοῦ οἰκοδομήματος, ἀνεχώρησαν ἐς τὴν πόλιν· οἱ δὲ Ἀθηναῖοι τούς τε ὀχετοὺς αὐτῶν, οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν, ποτοῦ ὕδατος, ἠγμένοι ἦσαν, διέφθειραν, καὶ τηρήσαντες τούς τε ἄλλους Συρακουσίους, κατὰ σκηνὰς ὄντας ἐν μεσημβρίᾳ, καί τινας καὶ ἐς τὴν πόλιν ἀποκεχωρηκότας, καὶ τοὺς ἐν τῷ σταυρώματι ἀμελῶς φυλάσσοντας, τριακοσίους μὲν σφῶν αὐτῶν λογάδας, καὶ τῶν ψιλῶν τινὰς ἐκλεκτοὺς ὡπλισμένους προὔταξαν θεῖν δρόμῳ ἐξαπιναίως πρὸς τὸ ὑποτείχισμα· ἡ δὲ ἄλλη στρατιὰ δίχα, ἡ μὲν μετὰ τοῦ ἑτέρου στρατηγοῦ πρὸς τὴν πόλιν, εἰ ἐπιβοηθοῖεν, ἐχώρουν, ἡ δὲ, μετὰ τοῦ ἑτέρου, πρὸς τὸ σταύρωμα τὸ παρὰ τὴν πυλίδα. Καὶ προςβαλόντες οἱ τριακόσιοι αἱροῦσι τὸ σταύρωμα· καὶ οἱ φύλακες, αὐτὸ ἐκλιπόντες, κατέφυγον ἐς τὸ προτείχισμα τὸ περὶ τὸν Τεμε-

cunt murum. 100. Qui quo minus exſtrueretur, cum Athenienſes prohibere non potuiſſent, perfectum aggreſſi

100. *δίχα γιγνομένοις*, i. e. *τῶν μὲν τειχιζόντων, τῶν δὲ μαχομένων*. Eo ſpectat *ἡ καθ' αὐτοὺς περιτείχισις*.

ποτοῦ ὕδατος. Duo ſubſtantiva, quorum alterum *ποτοῦ* vice adiectivi fungitur „aquae potulentae." Genitivus autem pendet a praecedente *τοὺς ὀχετοὺς*, et verba valde disiecta ſunt. Cf. ad 6, 77.

τὸ σταύρωμα τὸ παρὰ τὴν πυλίδα. Hoc illud eſſe videtur, quod Syracuſani paullo ante exſtruxerant. Cf. ſupra init. cap. Haud dubie idem intelligendum eſt, quod etiam *ὑποτείχισμα* modo dixit, ſed ea eius *ὑποτειχίσματος* pars, quae portulam attingeret. Infra hoc cap. *τήν τε ὑποτείχισιν καθεῖλον, καὶ τὸ σταύρωμα ἀνέσπασαν.* — Mox *τὸ περιτείχισμα τὸ περὶ τὸν Τεμενίτην*, de quo vide cap. 75.

νίτην. Καὶ αὐτοῖς ξυνέπεσον οἱ διώκοντες· καὶ ἐντὸς γενόμενοι, βίᾳ ἐξεκρούσθησαν πάλιν ὑπὸ τῶν Συρακουσίων. Καὶ τῶν Ἀργείων τινὲς αὐτόθι, καὶ τῶν Ἀθηναίων οὐ πολλοὶ διεφθάρησαν. Καὶ ἐπαναχωρήσασα ἡ πᾶσα στρατιὰ τήν τε ὑποτείχισιν καθεῖλον, καὶ τὸ σταύρωμα ἀνέσπασαν· καὶ διεφόρησαν τοὺς σταυροὺς παρ' ἑαυτοὺς, καὶ τροπαῖον ἔστησαν.

101. Τῇ δ' ὑστεραίᾳ ἀπὸ τοῦ κύκλου ἐτείχιζον οἱ Ἀθηναῖοι τὸν κρημνὸν τὸν ὑπὲρ τοῦ ἕλους, ὃς τῶν Ἐπιπολῶν ταύτῃ πρὸς τὸν μέγαν λιμένα ὁρᾷ, καὶ ᾗπερ αὐτοῖς βραχύτατον ἐγίγνετο, καταβᾶσι διὰ τοῦ ὁμαλοῦ καὶ τοῦ ἕλους ἐς τὸν λιμένα, τὸ περιτείχισμα. Καὶ οἱ Συρακούσιοι ἐν τούτῳ ἐξελθόντες καὶ αὐτοὶ, ἀπεσταύρουν αὖθις, ἀρξάμενοι ἀπὸ τῆς πόλεως, διὰ μέσου τοῦ ἕλους· καὶ τάφρον ἅμα παρώρυσσον, ὅπως μὴ οἷόν τε ᾖ τοῖς Ἀθηναίοις μέχρι τῆς θαλάσσης ἀπο-

capiunt diruuntque. 101. Poſtridie rupem quandam ad magnum portum ſpectantem muniunt. Syracuſii iterum

καὶ αὐτοῖς ξυνέπεσον. Etiam mihi placet egregie *ξυνεσέπεσον*, quod Kiſtem. affert, ad marginem edit. Steph. a viro docto notatum. Cf. 5, 3. *Καὶ ὁ πεζὸς ἐπισπόμενος, αὐτοβοεὶ κατὰ τὸ διῃρημένον τοῦ παλαιοῦ τείχους ξυνεσπεσών.*

101. *ἀπὸ τοῦ κύκλου ἐτείχιζον.* Kiſtemak. interpretatur: „*poſt munitionis partem abſolutam* muniebant Athenienſes rupem ſuper paludem, quae rupes eſt Epipolarum ſ. in Epipolis, et ab ea parte ſpectat cet.“ Sed nondum perfectum erat opus; neque de operis *parte* hic ſermo eſt. Manifeſto enim hic loquitur Thucydides de munitione illa ampliore, qua, ab uno mari ad alterum per iſthmum ducta, Syracuſae a continente plane interciperentur. Vid. cap. 99 init. cf. c. 103 init. Itaque verba *ἀπὸ τοῦ κύκλου* non intelligo, niſi accipere ea licet per linguae uſum pro *ἐκ τοῦ κ.*, vel *τοῦ κύκλου* ſimpliciter, ut ſit: „*munitionis partem eam*, ubi rupes eſt, paludi imminens“—; quae notio defendi poſſit loco 8, 44 init. *ἐπικηρυκευομένων ἀπὸ τῶν δυνατοτάτων ἀνδρῶν.* Nam ne *ἀπὸ τοῦ κύκλου* ita accipias, ut ſupra 1, 7. *ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν*, „Procul ab illo loco, ubi murus circularis exſtruendus erat;“ vetant verba ſequentia *ᾗπερ αὐτοῖς βραχύτατον ἐγίγνετο τὸ περιτείχισμα.* Ea enim indicant, in ipſa munitionis linea illam rupem ſitam fuiſſe. Cf. cap. 99 init. Alibi ſimpliciter genitivus adhibetur, ut 7, 47. *καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν.*

τειχίσαι. Οἱ δ', ἐπειδὴ τὸ πρὸς τὸν κρημνὸν αὐτοῖς ἐξείργαστο, ἐπιχειροῦσιν αὖθις τῷ τῶν Συρακουσίων σταυρώματι καὶ τάφρῳ, τὰς μὲν ναῦς κελεύσαντες περιπλεῦσαι ἐκ τῆς Θάψου ἐς τὸν μέγαν λιμένα τὸν τῶν Συρακουσίων· αὐτοὶ δὲ περὶ ὄρθρον καταβάντες ἀπὸ τῶν Ἐπιπολῶν ἐς τὸ ὁμαλὸν, καὶ διὰ τοῦ ἕλους, ᾗ πηλῶδες ἦν καὶ στεριφώτατον, καὶ θύρας καὶ ξύλα πλατέα ἐπιθέντες, καὶ ἐπ' αὐτῶν διαβαδίσαντες, αἱροῦσιν ἅμα ἕῳ τό τε σταύρωμα, πλὴν ὀλίγου, καὶ τὴν τάφρον, καὶ τὸ ὑπολειφθὲν εἷλον. Καὶ μάχη ἐγένετο, καὶ ἐν αὐτῇ ἐνίκων οἱ Ἀθηναῖοι· καὶ τῶν Συρακουσίων οἱ μὲν τὸ δεξιὸν κέρας ἔχοντες, πρὸς τὴν πόλιν ἔφυγον, οἱ δ' ἐπὶ τῷ εὐωνύμῳ, παρὰ τὸν ποταμόν· καὶ αὐτοὺς βουλόμενοι ἀποκλείσασθαι τῆς διαβάσεως οἱ τῶν Ἀθηναίων τριακόσιοι λογάδες, δρόμῳ ἠπείγοντο πρὸς τὴν γέφυραν. Δείσαντες δὲ οἱ Συρακούσιοι (ἦσαν γὰρ καὶ τῶν ἱππέων αὐτοῖς οἱ πολλοὶ ἐνταῦθα.) ὁμόσε χωροῦσι τοῖς τριακοσίοις τούτοις, καὶ τρέπουσί τε αὐτοὺς, καὶ ἐσβάλλουσιν ἐς τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων. Καὶ, προσπεσόντων αὐτῶν, ξυνεφοβήθη καὶ ἡ πρώτη φυλακὴ τοῦ κέρως. Ἰδὼν δὲ ὁ Λάμαχος, παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν, μετὰ τοξοτῶν τε οὐ πολλῶν, καὶ τοὺς Ἀργείους παραλαβών· καὶ ἐπιδιαβὰς τάφρον τινὰ, καὶ μονωθεὶς μετ' ὀλίγων τῶν ξυνδιαβάντων, ἀποθνήσκει αὐτός τε καὶ πέντε

contra exſtruunt vallum, et foſſam inſuper ducunt. Sed utrumque Athenienſes capiunt, et pugna coorta ruiſus

καὶ τὸ ὑπολειφθὲν εἷλον. Portus vertit: „*ſed paullo poſt* et illam partem, quae reliqua erat ceperunt." Haec non poteſt eſſe ſententia huius loci. Ubi enim eſt illud *ſed paullo poſt?* Rectius fortaſſe ceperis: *relictos munimenti cuſtodes ceperunt.*

ἡ πρώτη φυλακή. Placet Duckeri coniectura, legendum eſſe ἡ πρώτη φυλή. Cf. cap. 98. Etiam cap. 100. cod. Gr. pro φυλὴν habet φυλακήν, quod pro ſua ſententia afferre Duckerus non neglexit.

ἀποθνήσκει αὐτός. Diodor. 13, 8. poſt Gylippi adventum demum in acri cum illo proelio occiſum eſſe Lamachum nar-

ἢ ἐξ τῶν μετ' αὐτοῦ. Καὶ τούτους μὲν οἱ Συρακούσιοι εὐθὺς κατὰ τάχος φθάνουσιν ἁρπάσαντες πέραν τοῦ ποταμοῦ ἐς τὸ ἀσφαλές· αὐτοὶ δέ, ἐπιόντος ἤδη καὶ τοῦ ἄλλου στρατεύματος τῶν Ἀθηναίων, ἀπεχώρουν.

102. Ἐν τούτῳ δὲ οἱ πρὸς τὴν πόλιν αὐτῶν τὸ πρῶτον καταφυγόντες, ὡς ἑώρων ταῦτα γιγνόμενα, αὐτοί τε πάλιν ἀπὸ τῆς πόλεως, ἀναθαρσήσαντες, ἀντετάξαντο πρὸς τοὺς κατὰ σφᾶς Ἀθηναίους, καὶ μέρος τι αὐτῶν πέμπουσιν ἐπὶ τὸν κύκλον τὸν ἐπὶ ταῖς Ἐπιπολαῖς, ἡγούμενοι ἔρημον αἱρήσειν. Καὶ τὸ μὲν δεκάπλεθρον προτείχισμα αὐτῶν αἱροῦσι, καὶ διεπόρθησαν, αὐτὸν δὲ τὸν κύκλον Νικίας διεκώλυσεν· ἔτυχε γὰρ ἐν αὐτῷ δι' ἀσθένειαν ὑπολελειμμένος. Τὰς γὰρ μηχανάς, καὶ ξύλα, ὅσα πρὸ τοῦ τείχους ἦν καταβεβλημένα, ἐμπρῆσαι τοὺς ὑπηρέτας ἐκέλευσεν, ὡς ἔγνω ἀδυνάτους [αὐτοὺς] ἐσομένους, ἐρημίᾳ ἀνδρῶν, ἄλλῳ τρόπῳ περιγενέσθαι. καὶ ξυνέβη οὕτως. Οὐ γὰρ ἔτι προσῆλθον οἱ Συρακούσιοι διὰ τὸ πῦρ, ἀλλ' ἀπεχώρουν πάλιν. Καὶ γὰρ πρός τε τὸν κύκλον βοήθεια ἤδη κάτωθεν τῶν Ἀθηναίων, ἀποδιωξόντων τοὺς ἐκεῖ,

victores evadunt; Lamachus tamen interficitur. 102. Niciae, adversa valetudine in munimento detenti, consilio servatur illud munimentum, quod tempore proelii Syracusani, desertum esse rati, adoriri conabantur. Athe-

rat. Plutarch. Nic. p. 534 tradit, Lamachum in certamine singulari cum Callicrate, Syracusano equite, a quo provocatus fuerit, una cum illo periisse.

102. τὸν κύκλον τὸν ἐπὶ ταῖς Ἐπ. Utrum τὸ φρούριον τὸ ἐπὶ τῷ Λαβδάλῳ (cap. 97.), an τὸν κύκλον τὸν πρὸς τὸν κρημνόν (cap. 101) intelligit? Hunc crediderim, quia illud remotius paullo, hoc in propinquo. Nam paullo post memorantur ligna, ad muri constructionem ibi congesta. Et in Labdalo praesidium erat constitutum. Vid. c. 98.

ἀδυνάτους [αὐτοὺς] ἐσομένους. Pronomen αὐτοὺς a decem MSS. abest. Poterat facile excidere propter similis sonus vocem, quae praecedit. Tamen cum necessaria non sit, codicum auctoritati obsecutus, uncis inclusi. Sed malim ἀδύνατος ἐσόμενος. Ita enim suae salutis potiorem haberet rationem, ut par est.

ἀποδιωξόντων τοὺς ἐκεῖ. Haec codd. Gr. Cl. Cass. Aug. et unius Par. lectio multo aptior et elegantior est, quam vulgata

ἐπανῄει, καὶ αἱ νῆες ἅμα αὐτῶν ἐκ τῆς Θάψου, ὥσπερ εἴρητο, κατέπλεον ἐς τὸν μέγαν λιμένα. Ἀφορῶντες οἱ ἄνωθεν, κατὰ τάχος ἀπῄεσαν, καὶ ἡ ξύμπασα στρατιὰ τῶν Συρακουσίων ἐς τὴν πόλιν, νομίσαντες μὴ ἂν ἔτι ἀπὸ τῆς παρούσης σφίσι δυνάμεως ἱκανοὶ γενέσθαι κωλῦσαι τὸν ἐπὶ τὴν θάλασσαν τειχισμόν.

103. Μετὰ δὲ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Συρακουσίοις· καὶ τοὺς μετὰ Λαμάχου καὶ αὐτὸν ἐκομίσαντο. Καὶ παρόντος ἤδη σφίσι παντὸς τοῦ στρατεύματος, καὶ τοῦ ναυτικοῦ καὶ τοῦ πεζοῦ, ἀπὸ τῶν Ἐπιπολῶν καὶ τοῦ κρημνώδους ἀρξάμενοι, ἀπετείχιζον μέχρι τῆς θαλάσσης τείχει διπλῷ τοὺς Συρακουσίους. Τὰ δ᾽ ἐπιτήδεια τῇ στρατιᾷ ἐσήγετο ἐκ τῆς Ἰταλίας πανταχόθεν. Ἦλθον δὲ καὶ τῶν Σικελῶν πολλοὶ ξύμμαχοι τοῖς Ἀθηναίοις, οἳ πρότερον περιεωρῶντο, καὶ ἐκ τῆς Τυρσηνίας νῆες πεντηκόντοροι τρεῖς. Καὶ τἄλλα προὐχώρει αὐτοῖς ἐς ἐλπίδας· καὶ γὰρ οἱ Συρακούσιοι πολέμῳ μὲν οὐκέτι ἐνόμιζον ἂν περιγενέσθαι, ὡς αὐτοῖς οὐδὲ ἀπὸ τῆς Πελοποννήσου ὠφέλεια οὐδεμία ἧκε· τοὺς δὲ λόγους ἔν τε σφίσιν αὐτοῖς ἐποιοῦντο ξυμβατικούς, καὶ πρὸς τὸν Νικίαν· οὗτος γὰρ δὴ μόνος εἶχε, Λαμάχου τεθνεῶτος, τὴν ἀρχήν. Καὶ κύρωσις μὲν οὐδεμία ἐγίγνετο· οἷα δὲ εἰκὸς ἀνθρώπων ἀπορούντων, καὶ μᾶλλον, ἢ πρίν, πολιορκουμένων, πολλὰ ἐλέγετο πρός τε ἐκεῖνον, καὶ πλείω ἔτι κατὰ τὴν πόλιν. Καὶ γάρ τινα καὶ ὑποψίαν, ὑπὸ τῶν παρόντων κακῶν, ἐς

nienſium claſſis in magnum portum delata. 103. Cum animum iam abiicerent Syracuſani, cum Nicia agunt; et ducibus ſuis infortunii ſui culpam imputantes, eis impe-

ἀποδιωξάντων. Nam ἐκεῖ rectius ad τὸν κύκλον in rupe refertur, quam ad planitiem.

103. τείχει διπλῷ. Cf. 7,2. καὶ μᾶλλον, ἢ πρίν, πολιορκουμένων. Vocula πρίν a tribus tantum Mſſ. et nonnullis edd. abeſt. Itaque uncos, Gailio praeeunte, ſuſtuli, etiam ſententia poſtulante. Nam, re male geſta, magis premebantur et arctiore obſidione.

ἀλλήλους εἶχον· καὶ τοὺς στρατηγούς γε, ἐφ' ὧν αὐτοῖς ταῦτα ξυνέβη, ἔπαυσαν, ὡς ἢ δυστυχίᾳ ἢ προδοσίᾳ τῇ ἐκείνων βλαπτόμενοι, καὶ ἄλλους ἀνθείλοντο, Ἡρακλείδην καὶ Εὐκλέα καὶ Τελλίαν.

104. Ἐν δὲ τούτῳ Γύλιππος ὁ Λακεδαιμόνιος καὶ αἱ ἀπὸ τῆς Κορίνθου νῆες περὶ Λευκάδα ἤδη ἦσαν, βουλόμενοι ἐς τὴν Σικελίαν διὰ τάχους βοηθῆσαι. Καὶ, ὡς αὐτοῖς αἱ ἀγγελίαι ἐφοίτων δειναὶ, καὶ πᾶσαι ἐπὶ τὸ αὐτὸ ἐψευσμέναι, ὡς ἤδη παντελῶς ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσι, τῆς μὲν Σικελίας οὐκέτι ἐλπίδα οὐδεμίαν εἶχεν ὁ Γύλιππος· τὴν δὲ Ἰταλίαν βουλόμενος περιποιῆσαι, αὐτὸς μὲν καὶ Πυθὴν ὁ Κορίνθιος ναυσὶ, δυοῖν μὲν Λακωνικαῖν, δυοῖν δὲ Κορινθίαιν, ὅτι τάχιστα ἐπεραιώθησαν τὸν Ἰόνιον ἐς Τάραντα· οἱ δὲ Κορίνθιοι, πρὸς ταῖς σφετέραις δέκα Λευκαδίας δύο καὶ Ἀμπρακιώτιδας τρεῖς προσπληρώσαντες, ὕστερον ἔμελλον πλεύσεσθαι. Καὶ ὁ μὲν Γύλιππος, ἐκ τοῦ Τάραντος ἐς τὴν Θουρίαν πρῶτον πρεσβευσάμενος, κατὰ τὴν τοῦ πατρὸς ποτὲ πολιτείαν, καὶ οὐ δυνάμενος αὐτοὺς προσαγαγέσθαι, ἄρας, παρέ-

rium abrogant et alios conſtituunt. 104. Interim Gylippus cum paucis navibus, duabus Laconicis, totidem Corinthiis, decem Leucadiis et tribus Ambraciotis Taren-

καὶ τοὺς στρατηγούς γε. Cum τὲ non habeat quo referatur, haud dubie legendum eſt στρατηγούς γε, quod γέ huic loco aptiſſimum eſt, et ſaepe in codicibus cum τέ permutatur. Vid. ad 6, 41.

104. ἐπὶ τὸ αὐτὸ ἐψευσμέναι. Schol. ψευδεῖς μὲν, σύμφωνοι δέ. Nam nondum perfecta erat munitio. Cf. 7, 2.

καὶ Πυθήν. Apud Diodorum 13, 7. legitur Πύθην in caſu quarto, tamquam a Πύθης.

πρεσβευσάμενος, non ipſe, ſed legatis Tarento Thurios miſſis. Ita bene exponit Benedictus, exemplo allato, ad hanc vim medii πρεσβεύεσθαι demonſtrandam, Thucyd. 1, 92.

κατὰ τὴν τοῦ πατρὸς ποτὲ πολιτείαν. Pater eius erat Cleandridas. Qui in expeditione contra Athenienſes Pliſtoanacti adoleſcenti adiunctus, et pecuniae a Pericle ob reditum acceptae poſtea inſimulatus damnatusque, Thuriis exſul non ſolum vitam egerat, ſed etiam, ut h. l. patet, civitatem adeptus erat.

πλει τὴν Ἰταλίαν· καὶ ἁρπασθεὶς ὑπ᾽ ἀνέμου, κατὰ τὸν Τεριναῖον κόλπον ὃς ἐκπνεῖ ταύτῃ μέγας, κατὰ Βορέαν ἑστηκὼς, ἀποφέρεται ἐς τὸ πέλαγος, καὶ πάλιν, χειμασθεὶς ἐς τὰ μάλιστα, τῷ Τάραντι προσμίσγει· καὶ τὰς ναῦς, ὅσαι ἐπόνησαν ὑπὸ τοῦ χειμῶνος, ἀνελκύσας ἐπεσκεύαζεν. Ὁ δὲ Νικίας, πυθόμενος αὐτὸν πλέοντα, ὑπερεῖδε τὸ πλῆθος τῶν νεῶν· (ὅπερ καὶ οἱ Θούριοι ἔπαθον·) καὶ ληστικώτερον ἔδοξε παρεσκευασμένους πλεῖν, καὶ οὐδεμίαν φυλακήν πω ἐποιεῖτο.

105. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους καὶ Λακεδαιμόνιοι ἐς τὸ Ἄργος ἐσέβαλον, αὐτοί τε καὶ οἱ ξύμμαχοι, καὶ τῆς γῆς τὴν πολλὴν ἐδῄωσαν. Καὶ Ἀθηναῖοι Ἀργείοις τριάκοντα ναυσὶν ἐβοήθησαν· αἵπερ τὰς σπονδὰς φανερώτατα πρὸς Λακεδαιμονίους αὐτοῖς ἔλυσαν. Πρότερον μὲν γὰρ λῃστείαις ἐκ Πύλου, καὶ περὶ τὴν ἄλλην Πελοπόννησον μᾶλλον, ἢ ἐς τὴν Λακωνικὴν ἀποβαίνοντες, μετά τε Ἀργείων καὶ Μαντινέων ἐπολέμουν· καὶ πολλάκις, Ἀργείων κελευόντων, ὅσον σχόντας μόνον ξὺν ὅπλοις

tum venit. 105. Lacedaemonii Argivum agrum vaſtant. Athenienſes autem, appulſa in Laconicam tum

καὶ ἁρπασθεὶς — προσμίσγει. Pro ἀναρπασθεὶς quatuordecim codices legere iubent ἁρπασθεὶς. Deinde parentheſis, quibus vulgo circumſcribuntur verba ὃς ἐκπνεῖ — ἑστηκὼς partim non neceſſaria eſt, partim ne recte quidem ſe habet, quia κατὰ τὸν Τεριναῖον κόλπον iungendum eſt cum ἐκπνεῖ. Recte enim Benedictus obſervat, ipſum Terinaei ſinus ſitum ſatis declarare, non claſſem Gylippi eo ventis abreptam eſſe, quia per fretum Siculum demum eo deferri potuiſſet; ſed de vento aquilonali (κατὰ Βορέαν ἑστηκώς), ab illius ſinus regione flare ſolito, haec verba intelligi debere. — ταύτῃ, in illo mari, quod infimam Italiae partem alluit. — πάλιν cum Heilmanno rectius iungas cum προσμίσγει; quare comma ponendum ante χειμασθείς.

105. ἢ ἐς τὴν Λακωνικὴν ἀποβαίνοντες. Haec iungenda, et comma poſt Λακωνικήν tollendum eſſe, arbitror. Nam ſententia eſt: Athenienſes priore tempore tantum latrociniis inde a Pylo factis, et circa reliquam potius Peloponneſum, quam in Laconicam deſcendendo, et (porro) una cum Argivis Mantinenſibusque bellum exercuiſſe.

ὅσον σχόντας μόνον —. Suſpiceris μόνον interpreta-

ἐς τὴν Λακωνικὴν, καὶ τὸ ἐλάχιστον μετὰ σφῶν δῃώσαντας ἀπελθεῖν, οὐκ ἤθελον· τότε δὲ, Πυθοδώρου καὶ Λαισποδίου καὶ Δημαράτου ἀρχόντων, ἀποβάντες ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ Πρασιὰν, καὶ ὅσα ἄλλα, ἐδῄωσαν τῆς γῆς, καὶ τοῖς Λακεδαιμονίοις ἤδη εὐπροφάσιστον μᾶλλον τὴν αἰτίαν ἐς τοὺς Ἀθηναίους τοῦ ἀμύνεσθαι ἐποίησαν. Ἀναχωρησάντων δὲ τῶν Ἀθηναίων ἐκ τοῦ Ἄργους ταῖς ναυσὶ, καὶ τῶν Λακεδαιμονίων, οἱ Ἀργεῖοι, ἐσβαλόντες ἐς τὴν Φλιασίαν, τῆς τε γῆς αὐτῶν ἔτεμον, καὶ ἀπέκτειναν τινὰς, καὶ ἀπῆλθον ἐπ' οἴκου.

primum claſſe, Lacedaemoniis iuſtam belli integrandi cauſam praebuerunt.

mentum eſſe, verbis ὅσον σχόντας adſcriptum. Alibi enim non additur, et omnino ſupervacaneum eſt.

Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ Πρασιάν. Haec oppida erant Laconicae, ad ſinum Argolicum ſita. Alteram ſupra 2, 56. ſcripſerat Πρασιάς, numero plurali. — Λαισποδίας etiam infra 8, 86. inter legatos Lacedaemonem miſſos nominatur.

ΘΟΥΚΥΔΙΔΟΥ

ὈΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ἙΒΔΟΜΟΝ.

Ο ΔΕ Γύλιππος καὶ ὁ Πυθὴν ἐκ τοῦ Τάραντος, ἐπεὶ ἐπεσκεύασαν τὰς ναῦς, παρέπλευσαν ἐς Λοκροὺς τοὺς Ἐπιζεφυρίους· καὶ, πυνθανόμενοι σαφέστερον ἤδη, ὅτι οὐ παντελῶς πω ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσιν, ἀλλ᾽ ἔτι οἷόν τε κατὰ τὰς Ἐπιπολὰς στρατιᾷ ἀφικομένους ἐςελθεῖν, ἐβουλεύοντο, εἴτ᾽, ἐν δεξιᾷ λαβόντες τὴν Σικελίαν, διακινδυνεύσωσιν ἐςπλεῦσαι, εἴτ᾽, ἐν ἀριστερᾷ, ἐς Ἱμέραν πρῶτον πλεύσαντες, καὶ αὐτούς τε ἐκείνους καὶ στρατιὰν ἄλλην προςλαβόντες, οὓς ἂν πείθωσι, κατὰ γῆν ἔλθωσι. Καὶ ἔδοξεν αὐτοῖς ἐπὶ τῆς Ἱμέρας πλεῖν, ἄλλως τε καὶ τῶν Ἀττικῶν τεσσάρων νεῶν οὔπω παρουσῶν ἐν τῷ Ῥηγίῳ, ἃς ὁ

1. Tarento Gylippus Locros Epizephyrios petit, inde, re deliberata, Himeram, quo tutius per Siculos,

1. εἴτ᾽, ἐν ἀριστερᾷ, ἐς Ἱμέραν —. Comma pofui poft ἀριστερᾷ, propterea quod ex praecedentibus fubaudiendum eft λαβόντες τὴν Σικελίαν, neque verba ἐν ἀριστερᾷ iungi poffunt cum πλεύσαντες. Paullo ante ad ἐςπλεῦσαι fubaudi ἐς τὰς Συρακούσας, vel ἐς τὸν τῶν Συρακουσίων λιμένα.

οὔπω παρουσῶν ἐν τῷ Ῥηγίῳ. Praepofitionem ἐν e codd. plurimis reftitui cum Benedicto. Etiam Scholiafta eam agnofcere videtur, qui etiam ὅμως in fequentibus rectiffime refert ad

Νικίας ὅμως, πυνθανόμενος αὐτοὺς ἐν Λοκροῖς εἶναι, ἀπέστειλε. Φθάσαντες δὲ τὴν φυλακὴν ταύτην, περαιοῦνται διὰ τοῦ πορθμοῦ· καὶ σχόντες Ῥηγίῳ καὶ Μεσσήνῃ, ἀφικνοῦνται ἐς Ἱμέραν. Ἐκεῖ δὲ ὄντες, τούς τε Ἱμεραίους ἔπεισαν ξυμπολεμεῖν, καὶ αὐτούς τε ἕπεσθαι, καὶ τοῖς ἐκ τῶν νεῶν τῶν σφετέρων ναύταις, ὅσοι μὴ εἶχον ὅπλα, παρασχεῖν· (τὰς γὰρ ναῦς ἀνείλκυσαν ἐν Ἱμέρᾳ) καὶ τοὺς Σελινουντίους, πέμψαντες, ἐκέλευον ἀπαντᾷν πανστρατιᾷ ἔς τι χωρίον. Πέμψειν δέ τινα αὐτοῖς ὑπέσχοντο στρατιὰν οὐ πολλὴν καὶ οἱ Γελῷοι καὶ τῶν Σικελῶν τινὲς, οἳ πολὺ προθυμότερον προσχωρεῖν ἕτοιμοι ἦσαν, τοῦ Ἀρχωνίδου νεωστὶ τεθνηκότος, ὃς, τῶν ταύτῃ Σικελῶν βασιλεύων τινῶν, καὶ ὢν οὐκ ἀδύνατος, τοῖς Ἀθηναίοις φίλος ἦν, καὶ τοῦ Γυλίππου ἐκ Λακεδαίμονος προθύμως δοκοῦντος ἥκειν. Καὶ ὁ μὲν Γύλιππος, ἀναλαβὼν τῶν τε σφετέρων ναυτῶν καὶ ἐπιβατῶν τοὺς ὡπλισμένους, ἑπτακοσίους μάλιστα, Ἱμεραίους δὲ ὁπλίτας καὶ ψιλοὺς, ξυν-

adiutus ab Himeraeis, Selinuntiis aliisque, Syracufas pe-

verba 6, 104 extr. ὑπερεῖδε τὸ πλῆθος τῶν νεῶν — καὶ οὐδεμίαν φυλακήν πω ἐποιεῖτο. — ἀπέστειλε de conatu et confilio accipiendum, „mittere parabat.“ ὅσοι μὴ εἶχον ὅπλα, παρασχεῖν. Comma, quod vulgo eft ante ὅπλα, migrare iuffi poft hoc vocabulum, quia facilius et rectius in fequiore membro ex antecedentibus repetitur, quam in priore ex fequentibus intelligitur per prolepfin. Subaudi igitur ταῦτα ad παρασχεῖν. τὰς γὰρ ναῦς — Ἱμέρᾳ. Haec verba parenthefeos fignis circumfcripfi, ut loci totius ftructurae ratio conftet. Manifefto enim verba καὶ τοὺς Σελινουντίους — refpondent praecedentibus: τούς τε Ἱμεραίους ἔπεισαν, cum non adfit aliud καὶ, quod ad illud τέ referatur. Pro γάρ codices quidem magno numero exhibent μέν, fed male, et haud dubie ex correctione, licet in cod. Caff. erafa vetere fcriptura, recens corrector fcripferit γάρ. Non enim uno in loco, e. c. mox in verbo πανστρατιᾷ (ubi plurimi codices facillimo errore exhibent στρατιᾷ), hic codex meliorem et genuinam lectionem habet a correctore, qui alios libros diligenter contuliffe videtur. Μέν h. l. nihil habet, quo referatur; (neque enim cum Benedicto ad πέμψειν δέ retuleris) et lectioni depravandae anfam praebuiffe videtur aut prava loci interpunctio, aut particularum μέν et γάρ, in codicibus per compendium fcriptarum, fimilitudo. In Mofq. legitur δέ.

ἀμφοτέρους χιλίους, καὶ ἱππέας ἑκατὸν, καὶ Σελινουντίων τινὰς ψιλοὺς καὶ ἱππέας, καὶ Γελώων ὀλίγους, Σικελῶν τε ἐς χιλίους τοὺς πάντας, ἐχώρει πρὸς τὰς Συρακούσας.

2. Οἱ δ' ἐκ τῆς Λευκάδος Κορίνθιοι ταῖς τε ἄλλαις ναυσὶν, ὡς εἶχον τάχους, ἐβοήθουν· καὶ Γόγγυλος, εἷς τῶν Κορινθίων ἀρχόντων, μιᾷ νηῒ τελευταῖος ὁρμηθεὶς, πρῶτος μὲν ἀφικνεῖται ἐς τὰς Συρακούσας, ὀλίγον δὲ πρὸ Γυλίππου· καὶ καταλαβὼν αὐτοὺς περὶ ἀπαλλαγῆς τοῦ πολέμου μέλλοντας ἐκκλησιάσειν, διεκώλυσέ τε καὶ παρεθάρσυνε, λέγων, ὅτι νῆές τε ἄλλαι ἔτι προσπλέουσι, καὶ Γύλιππος ὁ Κλεανδρίδου, Λακεδαιμονίων ἀποστειλάντων, ἄρχων. Καὶ οἱ μὲν Συρακούσιοι ἐπεῤῥώσθησάν τε, καὶ τῷ Γυλίππῳ εὐθὺς πανστρατιᾷ ὡς ἀπαντησόμενοι ἐξῆλθον· ἤδη γὰρ καὶ ἐγγὺς ὄντα ᾐσθάνοντο αὐτόν. Ὁ δὲ Ἰέγας τότε τεῖχος ἐν τῇ παρόδῳ τῶν Σικελῶν ἑλὼν, καὶ ξυνταξάμενος ὡς ἐς μάχην, ἀφικνεῖται ἐς τὰς Ἐπιπολάς· καὶ ἀναβὰς

netrare poſſit. 2. Interim ceterae Corinthiorum naves Leucade proficiſcuntur, et Gongylus, unus ex ducibus earum, qui primus venit Syracuſas, allatis nuntiis de Gylippi et Corinthiorum adventu, Syracuſanorum animum

τοὺς πάντας. Hoc ad Siculos ſolos pertinet, ne cum Bredovio etiam ad Selinuntios et Geloos referas, quorum pars erant equites, qui numquam cum peditibus computantur.

2. **οἱ δ' ἐκ τῆς Λευκάδος Κορίνθιοι.** Vid. ad 5, 65. ubi hanc breviloquentiae ſpeciem exemplis illuſtravimus.

ὁ δὲ Ἰέγας τότε τεῖχος — ἑλών. H. l. valde turbatus in Mſſ. videtur. Plurimi codices nomen Ἰέγας ignorant, atque ſic exhibent: ὁ δέ γε τό, τε τεῖχος. Nonniſi Marg. et Gr. illud nomen agnoſcunt, pro quo unus Pariſſ. Γέτας, et Vallae verſio cum ed. Baſil. *Gegas* exhibet. Quid Thucydides ſcripſerit, divinare non auſim. Tamen eo ſum propenſior, ut nomen aliquod hic a Thucydide poſitum fuiſſe putem, ideoque vulgatum ſervavi, licet fortaſſe corruptum, certe ignotum. Pro τό, τε dedi τότε, quia illud τέ non habet, quo referatur, et τότε apte tempora illa nectit. Nonnulli codd. addunt τί ante τεῖχος, unus τό. Sed ab utroque abſtinemus, cum etiam prius illud, quod aptius eſt, facilius oriri potuerit ex interpretatione, quam abſorberi ſequentis vocabuli τεῖχος prima ſyllaba. Ceterum Bauero adſentior, τῶν Σικελῶν pendere a τεῖχος per traiectionem, Thucydidi familiarem, non a παρόδῳ.

κατὰ τὸν Εὐρύηλον, ἧπερ καὶ οἱ Ἀθηναῖοι τὸ πρῶτον, ἐχώρει μετὰ τῶν Συρακουσίων ἐπὶ τὸ τείχισμα τῶν Ἀθηναίων. Ἔτυχε δὲ κατὰ τοῦτο καιροῦ ἐλθὼν, ἐν ᾧ ἑπτὰ μὲν ἢ ὀκτὼ σταδίων ἤδη ἐπετετέλεστο τοῖς Ἀθηναίοις ἐς τὸν μέγαν λιμένα διπλοῦν τεῖχος, πλὴν κατὰ βραχύ τι, τὸ πρὸς τὴν θάλασσαν· (τοῦτο δ' ἔτι ᾠκοδόμουν) τῷ δὲ ἄλλῳ τοῦ κύκλου πρὸς τὸν Τρώγιλον ἐπὶ τὴν ἑτέραν θάλασσαν, λίθοι τε παραβεβλημένοι τῷ πλέονι ἤδη ἦσαν, καὶ ἔστιν ἃ καὶ ἡμίεργα, τὰ δὲ καὶ ἐξειργασμένα κατελείπετο. Παρὰ τοσοῦτον μὲν [αἱ] Συράκουσαι ἦλθον κινδύνου.

3. Οἱ δὲ Ἀθηναῖοι, αἰφνιδίως τοῦ τε Γυλίππου καὶ τῶν Συρακουσίων σφίσιν ἐπιόντων, ἐθορυβήθησαν μὲν πρῶτον, παρετάξαντο δέ. Ὁ δὲ, θέμενος τὰ ὅπλα

auget. Athenienſium opera pene confecta erant, cum Gylippus Epipolis appropinquaret, obviam eunte ſimul toto Syracuſanorum exercitu. 3. Tum Nicias, praecone, qui eum quinque diebus e Sicilia abire iuſſerat, ſine reſponſo ad Gylippum remiſſo, aciem contra inſtruit;

ἧπερ καὶ οἱ Ἀθηναῖοι. Cf. 6, 97.

διπλοῦν τεῖχος. Vid. 6, 103. Ἀπὸ τῶν Ἐπιπολῶν καὶ τοῦ κρημνώδους ἀρξάμενοι, ἀπετείχιζον μέχρι τῆς θαλάσσης *τείχει διπλῷ* τοὺς Συρακουσίους.— *τὸ πρὸς τὴν θάλασσαν*, i. e. prope ipſum magnum portum. Mox enim opponit alteram illam circuli partem, quae inde ab Epipolis ad ſiniſtram verſus Trogilum ἐπὶ τὴν ἑτέραν θάλασσαν porrigitur. Eandem ob cauſam verba τοῦτο δ' ἔτι ᾠκοδόμουν parentheſi incluſi.

παρὰ τοσοῦτον μὲν [αἱ] Συρ. Articulum αἱ plurimi codices ignorant. Benedictus collegit locos, in quibus hoc ipſo in nomine omittitur. Nos contra monendum ducimus, cap. 1. bis articulum adiectum eſſe huic nomini, et totam rem codicum auctoritate expendi debere. — Paullo ante pro *παραβεβλημένοι* Benedictus lectionem depravatorum codicum Ar. C. Dan. Moſq. Marg. *παρεμβεβλημένοι* praeſerendam cenſet, maxime propter verba ἔστιν ἃ καὶ ἡμίεργα, τὰ δὲ καὶ ἐξειργασμένα, quae non tam ad lapides ſine ordine proiectos, quam ad murum iam magna ex parte lapidibus conſtructum quadrent. Sed dum hoc argumento utitur, ſua vineta caedit. Nam et particula καί, et vel ipſa verba ἔστιν ἃ καὶ ἡμίεργα — demonſtrant, non omnem murum, ſed partem tantum vel plane, vel ex parte perfectam eſſe, ideoque ad reliquam partem adhuc conficiendam lapides modo coniectos, non conſtructos. Etiam Scholiaſtes vulgatum habet; explicat enim παρεῤῥιμμένοι πρὸς οἰκοδομίαν.

ἐγγὺς, κήρυκα προπέμπει αὐτοῖς, λέγοντα, εἰ βούλονται ἐξιέναι ἐκ τῆς Σικελίας πέντε ἡμερῶν, λαβόντες τὰ σφέτερα αὐτῶν, ἕτοιμος εἶναι σπένδεσθαι. Οἱ δὲ ἐν ὀλιγωρίᾳ τε ἐποιοῦντο, καὶ οὐδὲν ἀποκρινάμενοι, ἀπέπεμψαν. Καὶ μετὰ τοῦτο ἀντιπαρεσκευάζοντο ἀλλήλοις ὡς ἐς μάχην. Καὶ ὁ Γύλιππος, ὁρῶν τοὺς Συρακουσίους ταρασσομένους, καὶ οὐ ῥᾳδίως ξυντασσομένους, ἐπανῆγε τὸ στρατόπεδον ἐς τὴν εὐρυχωρίαν μᾶλλον. Καὶ ὁ Νικίας οὐκ ἐπῆγε τοὺς Ἀθηναίους, ἀλλ' ἡσύχαζε πρὸς τῷ ἑαυτοῦ τείχει. Ὡς δ' ἔγνω ὁ Γύλιππος οὐ προσιόντας αὐτοὺς, ἀπήγαγε τὴν στρατιὰν ἐπὶ τὴν ἄκραν τὴν Τεμενῖτιν καλουμένην, καὶ αὐτοῦ ηὐλίσαντο. Τῇ δ' ὑστεραίᾳ ἄγων τὴν μὲν πλείστην τῆς στρατιᾶς, παρέταξε πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ὅπως μὴ ἐπιβοηθοῖεν ἄλλοσε· μέρος δέ τι πέμψας πρὸς τὸ φρούριον τὸ Λάβδαλον, αἱρεῖ, καὶ, ὅσους ἔλαβεν ἐν αὐτῷ, πάντας ἀπέκτεινεν. Ἦν δὲ οὐκ ἐπιφανὲς τοῖς Ἀθηναίοις τὸ χωρίον. Καὶ τριήρης τῇ αὐτῇ ἡμέρᾳ ἁλίσκεται τῶν Ἀθηναίων ὑπὸ τῶν Συρακουσίων, ἐφορμοῦσα τῷ λιμένι.

4. Καὶ μετὰ ταῦτα ἐτείχιζον οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι διὰ τῶν Ἐπιπολῶν, ἀπὸ τῆς πόλεως

cum autem Gylippus a munimentis in latiorem campum ſe reciperet, non discedit a munimentis. Poſtridie Gylippus, qui in Temenite promontorio pernoctaverat cum ſuis, contra Athenienſium munimenta maiorem copiarum partem ducit; reliquas adverſus Labdalum caſtellum mittit, idque occupat. 4. Deinde murum obliquum a Syra-

3. *ἕτοιμος εἶναι σπένδεσθαι*. Proprie dicendum erat: *τὸν Γύλιππον ἕτοιμον εἶναι σπένδεσθαι*, quia pendent haec a *κήρυκα — λέγοντα*. Sed Thucydides fortaſſe in animo habebat aliam verborum iuncturam, veluti: *κήρυκα προπέμψας, λέγει*.

τὴν Τεμενίτην καλουμένην. Promontorium illud ſi vocatum eſt *ὁ Τεμενίτης*, *τὴν* et *καλουμένην* non ad *Τεμενίτην*, ſed ad *τὴν ἄκραν* tantum quadrant. Neque tamen haec vera videtur ſcriptura. Nam *Τεμενῖτιν*, quod exhibent codd. Reg. Caſſ. Aug., non credam librariorum errori deberi.

τὸ φρούριον τὸ Λάβδαλον. Vid. 6, 97 extr.

ἀρξάμενοι ἄνω πρὸς τὸ ἐγκάρσιον, τεῖχος ἁπλοῦν· ὅπως οἱ Ἀθηναῖοι, εἰ μὴ δύναιντο κωλῦσαι, μηκέτι οἷοί τε ὦσιν ἀποτειχίσαι. Καὶ οἵ τε Ἀθηναῖοι ἀναβεβήκεσαν ἤδη ἄνω, τὸ ἐπὶ θαλάσσῃ τεῖχος ἐπιτελέσαντες· καὶ ὁ Γύλιππος, (ἦν γάρ τι τοῖς Ἀθηναίοις τοῦ τείχους ἀσθενές,) νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν, ἐπῄει πρὸς αὐτό. Οἱ δ' Ἀθηναῖοι, (ἔτυχον γὰρ ἔξω αὐλιζόμενοι,) ὡς ᾔσθοντο, ἀντεπῄεσαν. ὁ δὲ, γνοὺς, κατὰ τάχος ἀπήγαγε τοὺς σφετέρους πάλιν. Ἐποικοδομήσαντες δὲ αὐτὸ οἱ Ἀθηναῖοι ὑψηλότερον, αὐτοὶ μὲν ταύτῃ ἐφύλασσον, τοὺς δὲ ἄλλους ξυμμάχους κατὰ τὸ ἄλλο τείχισμα ἤδη διέταξαν, ᾗπερ ἔμελλον ἕκαστοι φρουρεῖν. Τῷ δὲ Νικίᾳ ἐδόκει τὸ Πλημμύριον καλούμενον τειχίσαι· (ἔστι δὲ ἄκρα ἀντιπέρας τῆς πόλεως, ἥπερ, προὔχουσα τοῦ μεγάλου λιμένος, τὸ στόμα στενὸν ποιεῖ·) καὶ, εἰ τειχισθείη, ῥᾴων αὐτῷ ἐφαίνετο ἡ ἐςκομιδὴ τῶν ἐπιτηδείων ἔσεσθαι· δι' ἐλάσσονος γὰρ πρὸς τῷ λιμένι τῷ τῶν Συρακουσίων ἐφορμήσειν σφᾶς,

cuſis verſus Athenienſium opera dirigit; ſimul, adducto per noctem exercitu, infirmiorem eorum muri partem tentat, ſed fruſtra. Nicias autem Plemmyrium tribus caſtellis munit, eoque naves ſuas ſubducit, ut ad navale

4. **πρὸς τὸ ἐγκάρσιον, τεῖχος ἁπλοῦν.** Murus Athenienſium duplex erat (διπλοῦν τεῖχος cap. 2 extr.). Ergo h. l. τεῖχος ἁπλοῦν non poteſt iungi cum πρός, ſed pendere debet ab ἐτείχιζον, ut Syracuſanorum murum obliquum deſignet. Quare comma poſui poſt ἐγκάρσιον. Cf. Bredov. Verba πρὸς τὸ ἐγκάρσιον malim abſolute accipere pro *in obliquum*, licet infra cap. 7. murus Athenienſium appelletur τεῖχος ἐγκάρσιον.

τὸ ἐπὶ θαλάσσῃ τεῖχος ἐπιτελέσαντες. Cl. habet τὸ ἐπὶ τῇ θαλάσσῃ. Ita ſupra cap. 2. τὸ πρὸς τὴν θάλασσαν. Neque tamen unius codicis auctoritate articulus, ubi non prorſus neceſſarius eſt, reponi debet. — **τοῦ τείχους ἀσθενές,** mox explicatur verbis: ἐποικοδομήσαντες αὐτὸ ὑψηλότερον.

δι' ἐλάσσονος γὰρ πρὸς τῷ λιμένι —. Portus vertit: „Breviore enim intervallo prope *parvum* Syracuſanorum portum ſe ſtationem habituros, neque, quemadmodum tunc cogebantur, ex intimo *magni* portus ſinu, atque longiore intervallo, ſe ituros contra hoſtes, ſi quid illi claſſe molirentur." Neſcio unde habeat *parvum portum*, cum

καὶ οὐχ, ὥςπερ νῦν, ἐκ μυχοῦ τοῦ λιμένος τὰς ἐπαγωγὰς ποιήσεσθαι, ἤν τι ναυτικῷ κινῶνται. Προςεῖχέ τε ἤδη μᾶλλον τῷ κατὰ θάλασσαν πολέμῳ, ὁρῶν τὰ ἐκ τῆς γῆς σφίσιν, ἐπειδὴ Γύλιππος ἧκεν, ἀνελπιστότερα ὄντα. Διακομίσας οὖν στρατιὰν καὶ τὰς ναῦς, ἐξετείχισε τρία φρούρια· καὶ ἐν αὐτοῖς τά τε σκεύη τὰ πλεῖστα ἔκειτο, καὶ τὰ πλοῖα ἤδη ἐκεῖ τὰ μεγάλα ὥρμει, καὶ αἱ ταχεῖαι νῆες. Ὥςτε καὶ τῶν πληρωμάτων οὐχ ἥκιστα τότε πρῶτον κάκωσις ἐγένετο· τῷ τε γὰρ ὕδατι σπανίῳ χρώμενοι, καὶ οὐκ ἐγγύθεν, καὶ ἐπὶ φρυγανισμὸν ἅμα

proelium magis praesto sint. Iam tum classiarii in aquatione et fruticum collectione ab equitibus Syracusanis misere vexari. Corinthiis navibus tum temporis succedentibus viginti ex suis obviam mittit Nicias, ut circa

Scholiasta diserte intelligendum esse *magnum portum* doceat. Recte. Nam sane brevius est intervallum ab aditu portus usque ad Italiam, unde commeatum petebant, quam ab intimo portus sinu. Itaque, Plemmyrio munito, ad ipsum portus magni aditum stationem habere, Nicias statuebat. Hanc interpretandi rationem, quae valde discrepat a recentiorum interpretum expositionibus versionibusque, quas hic memorare longum esset, non solum γάρ defendit, quod ad verba ὁρῶν — ἡ ἐςκομιδὴ τῶν ἐπιτηδείων spectat; sed etiam verba inter se opposita: πρὸς τῷ λιμένι et ἐκ μυχοῦ τοῦ λιμένος. — ἐπαγωγάς, intellige impetus in hostem faciendos; et ad κινῶνται subaudi αὐτοί, i. e. οἱ Ἀθηναῖοι. Cf. 5, 8. ὡς (ὁ Βρασίδας) εἶδε κινουμένους τοὺς Ἀθηναίους.

ἐξετείχισε τρία φρούρια. Ita rescripsi e decem codicibus pro ἐξετείχιζε. Mox ante στρατιάν Cl. addit articulum τήν, male. Non enim omnem exercitum eo perducebat, sicut naves omnes transduxit; sed ad munimenta tuenda maxima exercitus pars relinquenda erat. Inde fit, ut in sequentibus non nisi de *classiariis* sive *nautis* (πληρώμασι), hostium equitatu pressis, sermo fit.

τῷ τε γὰρ ὕδατι σπ. χρώμενοι. Participium χρώμενοι non est pro verbo finito, sed brevitatis studio Scriptor ad immutandam structuram verborum sequentium abreptus est. Cum enim plene dicendum fuisset: Τῷ τε γὰρ ὕδατι σπανίῳ [χρώμενοι, καὶ οὐκ ἐγγύθεν καὶ τῷ φρυγάνῳ, ὁπότε ἐφ' ὑδρείαν καὶ ἐπὶ φρυγανισμὸν ἐξέλθοιεν οἱ ναῦται — διεφθείροντο: duo membra ita contraxit, ut verba καὶ ἐπὶ φρυγανισμὸν ἅμα utrumque significarent, et *aquationem*, et fruticum e longinquo petendorum collectionem. Sed male vulgo ante ἐπὶ φρυγανισμόν comma positum est, cum in toto loco nihil sit, quocum illud καί iungatur, nisi verba ὁπότε ἐξέλθοιεν, quae, mutata structura, adhibuit loco participii ἐξερχόμενοι.

ὁπότε ἐξέλθοιεν οἱ ναῦται, ὑπὸ τῶν ἱππέων τῶν Συρακουσίων, κρατούντων τῆς γῆς, διεφθείροντο. Τρίτον γὰρ μέρος τῶν ἱππέων τοῖς Συρακουσίοις διὰ τοὺς ἐν τῷ Πλημμυρίῳ, ἵνα μὴ κακουργήσοντες ἐξίοιεν, ἐπὶ τῇ ἐν τῷ Ὀλυμπιείῳ πολίχνῃ ἐτετάχατο. Ἐπυνθάνετο δὲ καὶ τὰς λοιπὰς τῶν Κορινθίων ναῦς προςπλεούσας ὁ Νικίας· καὶ πέμπει ἐς φυλακὴν αὐτῶν εἴκοσι ναῦς, αἷς εἴρητο περί τε Λοκροὺς καὶ Ῥήγιον καὶ τὴν προςβολὴν τῆς Σικελίας ναυλοχεῖν αὐτάς.

5. Ὁ δὲ Γύλιππος ἅμα μὲν ἐτείχιζε τὸ διὰ τῶν Ἐπιπολῶν τεῖχος, τοῖς λίθοις χρώμενος, οὓς οἱ Ἀθηναῖοι προπαρεβάλοντο σφίσιν, ἅμα δὲ παρέτασσεν ἐξάγων ἀεὶ πρὸ τοῦ τειχίσματος τοὺς Συρακουσίους καὶ τοὺς ξυμμάχους· καὶ οἱ Ἀθηναῖοι ἀντιπαρετάσσοντο. Ἐπειδὴ δὲ ἔδοξε Γυλίππῳ καιρὸς εἶναι, ἦρχε τῆς ἐφόδου· καὶ ἐν χερσὶ γενόμενοι ἐμάχοντο μεταξὺ τῶν τειχισμάτων, ᾗ τῆς ἵππου τῶν Συρακουσίων οὐδεμία

Locros et Rhegium illis infidiarentur. 5. Interim Syracufani, cúm prope munimenta in angufto loco, ubi

ἵνα μὴ κακουργήσοντες ἐξ. Vulgo κακουργήσαντες, contra loci fententiam et undecim codicum auctoritatem. — De *Olympieo* vide dicta ad 6, 64.

ναυλοχεῖν αὐτάς. Duckerus cum Stephano pronomen αὐτάς abundare putat, ut 4, 93. Τῷ Ἱπποκράτει ὄντι περὶ τὸ Δήλιον, ὡς αὐτῷ ἠγγέλθη, ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα. Rectius Bauerus verbum ναυλοχεῖν transitive ufurpari ftatuit, ut αὐτάς pertineat ad Corinthiorum naves.

5. οὓς οἱ Ἀθηναῖοι προπαρεβάλοντο. Ita dedimus ex optimis libris pro προςπαρεβάλοντο. Supra cap. 2. λίθοι τε παραβεβλημένοι τῷ πλέονι ἤδη ἦσαν. Προςπαραβάλλειν pleonafmum fapit, et mutatione harum praepofitionum in codicibus nihil frequentius eft. Vid. ad 2, 79. Aoriftus autem, cuius loco nonnulli Mff. hic imperfectum προπαρεβάλλοντο praebent, plusquamperfecti vice fungitur.

ᾗ τῆς ἵππου τῶν Συρακουσίων. Vulgo poft haec verba adduntur haec: καὶ τῶν ξυμμάχων, quae ex praecedentibus hic repetita a librariis effe, demonftrant codices praeftantiffimi Cl. Reg. Bafil. Aug. Caff. et quatuor ex Pariff. nuper collatis. Et rectiffime Benedictus monuit, equitatus Syracufani, non fociorum, tamquam maxime timendi Athenienfibus in antecedentibus mentionem iniectam effe. Quare laciniam iftam fuftuli.

χρῆσις ἦν· καὶ νικηθέντων τῶν Συρακουσίων καὶ τῶν ξυμμάχων, καὶ νεκροὺς ὑποσπόνδους ἀνελομένων, καὶ τῶν Ἀθηναίων τροπαῖον στησάντων, ὁ Γύλιππος, ξυγκαλέσας τὸ στράτευμα, οὐκ ἔφη τὸ ἁμάρτημα ἐκείνων, ἀλλ' αὐτοῦ γενέσθαι· τῆς γὰρ ἵππου καὶ τῶν ἀκοντιστῶν τὴν ὠφέλειαν τῇ τάξει, ἐντὸς λίαν τῶν τειχῶν ποιήσας, ἀφελέσθαι· νῦν οὖν αὖθις ἐπάξειν. Καὶ διανοεῖσθαι οὕτως ἐκέλευεν αὐτοὺς, ὡς τῇ μὲν παρασκευῇ οὐκ ἔλασσον ἕξοντας, τῇ δὲ γνώμῃ, οὐκ ἀνεκτὸν ἐσόμενον, εἰ μὴ ἀξιώσουσι, Πελοποννήσιοί τε ὄντες καὶ Δωριεῖς, Ἰώνων καὶ νησιωτῶν καὶ ξυγκλύδων ἀνθρώπων κρατήσαντες, ἐξελάσασθαι ἐκ τῆς χώρας.

6. Καὶ μετὰ ταῦτα, ἐπειδὴ καιρὸς ἦν, αὖθις ἐπῆγεν αὐτούς. Ὁ δὲ Νικίας καὶ οἱ Ἀθηναῖοι, νομίζοντες, καὶ εἰ ἐκεῖνοι μὴ ἐθέλοιεν μάχης ἄρχειν, ἀναγκαῖον εἶναι σφίσι μὴ περιορᾷν παροικοδομούμενον τὸ τεῖχος· (ἤδη γὰρ καὶ ὅσον οὐ παρεληλύθει τὴν τῶν Ἀθηναίων τοῦ τείχους τελευτὴν ἡ ἐκείνων τείχισις· καὶ, εἰ προέλθοι, ταυτὸν ἤδη ἐποίει αὐτοῖς, νικᾷν τε μαχομένοις διὰ παντὸς, καὶ μηδὲ μάχεσθαι·) ἀντεπ-

equitum nullus uſus, Athenienſes invaderent, profligantur. Sed Gylippus, ſuam culpam arguens, reficit animos adhortatione, 6. et denuo ad proelium educit in campum ſpatioſiorem, ne Nicia quidem pugnam recuſante.

τῇ τάξει — ἀφελέσθαι. Male vulgo poſt ὠφέλειαν interpungitur. Equidem poſt τάξει comma poſui, et ad verba ἐντὸς λίαν τῶν τειχῶν ποιήσας ſubaudio *αὐτήν*, i. e. τὴν τάξιν.

καὶ ξυγκλύδων ἀνθρώπων. Schol. χυδαίων interpretatur. Similiter Livius 26, 40. dicit: „mixti ex omni colluvione exſules." Et 22, 43. „mixtos ex colluvione omnium gentium." Cf. Riemer in Lex. voc. *σύγκλυς.*

6. *νομίζοντες, καὶ εἰ ἐκεῖνοι μὴ ἐθέλοιεν.* Sic ex praeſtantiſſimis libris iam Duckerus emendaverat. Altera lectio, quae vulgo obtinet, haec eſt: νομίζοντες καὶ ἐκεῖνοι, εἰ μὴ ἐθέλοιεν. Etiam Scholiaſta et Vallae verſio noſtram lectionem firmat. Cf. Bredov.

ἤδη γὰρ — μηδὲ μάχεσθαι. Haec parentheſeos ſignis circumſcripſi. Nam verba ſequentia: ἀντεπῆεσαν οὖν τοῖς Συρακουσίοις cum primis periodi verbis iungenda ſunt, adiecto οὖν propter longiorem, parentheſin.

ἤεσαν οὖν τοῖς Συρακουσίοις. Καὶ ὁ Γύλιππος, τοὺς μὲν ὁπλίτας ἔξω τῶν τειχῶν μᾶλλον, ἢ πρότερον, προεξαγαγὼν, ξυνέμισγεν αὐτοῖς· τοὺς δ' ἱππέας καὶ τοὺς ἀκοντιστὰς ἐκ πλαγίου τάξας τῶν Ἀθηναίων, κατὰ τὴν εὐρυχωρίαν, ᾗ τῶν τειχῶν ἀμφοτέρων αἱ ἐργασίαι ἔληγον. Καὶ προσβαλόντες οἱ ἱππεῖς ἐν τῇ μάχῃ τῷ εὐωνύμῳ κέρᾳ τῶν Ἀθηναίων, ὅπερ κατ' αὐτοὺς ἦν, ἔτρεψαν· καὶ δι' αὐτὸ καὶ τὸ ἄλλο στράτευμα, νικηθὲν ὑπὸ τῶν Συρακουσίων, κατεῤῥάχθη ἐς τὰ τειχίσματα. Καὶ τῇ ἐπιούσῃ νυκτὶ ἔφθασαν παροικοδομήσαντες, καὶ παρελθόντες τὴν τῶν Ἀθηναίων οἰκοδομίαν· ὥστε μηκέτι μήτε αὐτοὶ κωλύεσθαι ὑπ' αὐτῶν, ἐκείνους τε καὶ παντάπασιν ἀπεστερηκέναι, εἰ καὶ κρατοῖεν, μὴ ἂν ἔτι σφᾶς ἀποτειχίσαι.

7. Μετὰ δὲ τοῦτο αἵ τε τῶν Κορινθίων νῆες καὶ Ἀμπρακιωτῶν καὶ Λευκαδίων ἐσέπλευσαν αἱ ὑπόλοιποι δώδεκα, λαθοῦσαι τὴν τῶν Ἀθηναίων φυλακήν. Ἦρχε δὲ αὐτῶν Ἐρασινίδης Κορίνθιος. Καὶ ξυνετείχισαν τὸ λοιπὸν τοῖς Συρακουσίοις, μέχρι τοῦ

Tum equitum impetu primum ſiniſtrum Athenienſium cornu, poſt reliquum quoque exercitus funditur et in munimenta compellitur. Et ſtatim nocte inſequenti Syracuſani munitionem ſuam ultra Athenienſium murum perduxerunt. 7. Poſt Corinthiarum navium adventum Gylippus copias parat et pedeſtres et navales, totam Siciliam obeundo,

προεξαγαγών. Plerique codices exhibent προαγαγών, deteriores προσαγαγών. Sed cum facilius προαγαγών ex προεξαγαγών fieri potuerit, quam vice verſa, vulgatam lectionem ſervo. — Paullo inferius cum Reg. Caſſ. Aug. dedi κατεῤῥάχθη. Vulgo κατηράχθη.

7. καὶ ξυνετείχισαν τὸ λοιπόν. Quaeras quid ſit illud τὸ λοιπόν, cum iam ante iſtarum navium adventum Syracuſani ultra Athenienſium munimenta ſuum murum perduxiſſe narrentur cap. 6 extr. Nihil auxilii eſt in verbis ad explicationem additis: μέχρι τοῦ ἐγκαρσίου τείχους, quae Portus vertit: „usque ad *alterum* transverſum murum;" quaſi duos muros Syracuſani extruxiſſent, quod nuſquam indicavit Thucydides. Vid. ſupra cap. 4 init. coll. c. 11 extr. Ego difficultatem ſic tolli poſſe putaverim, ut verba ξυνετείχισαν τὸ λοιπόν intelligantur de muri perfectione, quem non longiorem quidem, ſed altiorem et firmiorem effecerint Syracuſani

ἐγκαρσίου τείχους. Καὶ ὁ Γύλιππος ἐς τὴν ἄλλην Σικελίαν ἐπὶ στρατιάν τε ᾤχετο, καὶ ναυτικὴν καὶ πεζικὴν ξυλλέξων, καὶ τῶν πόλεων ἅμα προσαξόμενος, εἴ τις ἢ μὴ πρόθυμος ἦν, ἢ παντάπασιν ἔτι ἀφειστήκει τοῦ πολέμου. Πρέσβεις τε ἄλλοι, τῶν Συρακουσίων καὶ Κορινθίων, ἐς Λακεδαίμονα καὶ Κόρινθον ἀπεστάλησαν, ὅπως στρατιὰ ἔτι περαιωθῇ, τρόπῳ ᾧ ἂν ἐν ὁλκάσιν, ἢ πλοίοις, ἢ ἄλλως ὅπως ἂν προχωρῇ, ὡς καὶ τῶν Ἀθηναίων ἐπιμεταπεμπομένων. Οἵ τε Συρακούσιοι ναυτικὸν ἐπλήρουν, καὶ ἀνεπειρῶντο, ὡς καὶ τούτῳ ἐπιχειρήσοντες, καὶ ἐς τἆλλα πολὺ ἐπέῤῥωντο.

8. Ὁ δὲ Νικίας, αἰσθόμενος τοῦτο, καὶ ὁρῶν καθ' ἡμέραν ἐπιδιδοῦσαν τήν τε τῶν πολεμίων ἰσχὺν καὶ τὴν σφετέραν ἀπορίαν, ἔπεμπε καὶ αὐτὸς ἐς τὰς Ἀθήνας, ἀγγέλλων πολλάκις μὲν καὶ ἄλλοτε καθ' ἑκα-

legatisque in Peloponnefum miffis. 8. Neque Nicias tum non mifit legatos Athenas cum mandatis et epiftola,

poft Corinthiorum adventum, cum antea fundamenta tantum iecissent, et profligassent munitionem.

καὶ τῶν πόλεων ἅμα προσαξόμενος. Comma poft *ἅμα* ineptum eft, quia *καί* iungendum eft cum *ἅμα προσαξόμενος.*

τρόπῳ ᾧ ἂν — προχωρῇ. Non mutavi vulgatam interpunctionem horum verborum. *Προχωρῇ* pertinet ad *τρόπῳ ᾧ ἄν*, et explicationis caufa breviter interiecta funt *ἐν ὁλκάσιν, ἢ πλοίοις, ἢ ἄλλως ὅπως*, quibus particulis item verbum *προχωρῇ* apte redditur, ut, fi fevere agas, bis fuerit ponendum. *Ὁλκάδες* funt naves onerariae, magnitudine, certe ufu, diverfae *πλοίοις*, quae non tam ad onera inertia, quam ad homines transvehendos adhibebantur. — *ἀνεπειρῶντο, ἐμελέτων, ἀπεπειρῶντο.* Schol. — *ἐπέῤῥωντο.* Schol. ad 7, 17. interpretatur *διηγέρθησαν.*

8. *ἀγγέλλων πολλάκις μέν.* Ita Benedictus fcribi iuffit duodecim codicum auctoritate. Vulgo *ἀγγέλλοντας* legitur commate fixo ante *πολλάκις*. Lectio *ἄγγελον*, quae in duobus codd. eft, et loco depravando anfam dare potuit, vel ipfa comprobat fcripturam a nobis reftitutam. — Mox cum aliis delevimus ineptum articulum *τοῖς* ante *δεινοῖς*, plurimis libris adftipulantibus. Item paullo infra articulum *τήν* ante *τοῦ λέγειν ἀδυνασίαν* quindecim libri omittunt. Nam articulo addito fignificaretur, Niciam non ignoraffe legatorum facundiae inopiam. Ita in reprehenfionem reciderit ipfe, qui non facundiores elegerit. Articulo omiffo aptiffima fententia funditur: „Si forte facundia careant."

στὰ τῶν γιγνομένων, μάλιστα δὲ καὶ τότε, νομίζων ἐν δεινοῖς τε εἶναι, καὶ, ἢν μὴ ὡς τάχιστα ἢ σφᾶς μεταπέμψωσιν, ἢ ἄλλους μὴ ὀλίγους ἀποστέλλωσιν, οὐδεμίαν εἶναι σωτηρίαν. Φοβούμενος δὲ, μὴ οἱ πεμπόμενοι, ἢ κατὰ τοῦ λέγειν ἀδυνασίαν, ἢ καὶ γνώμης ἐλλιπεῖς γιγνόμενοι, ἢ τῷ ὄχλῳ πρὸς χάριν τὶ λέγοντες, οὐ τὰ ὄντα ἀπαγγείλωσιν, ἔγραψεν ἐπιστολὴν, νομίζων, οὕτως ἂν μάλιστα τὴν αὑτοῦ γνώμην, μηδὲν ἐν τῷ ἀγγέλῳ ἀφανισθεῖσαν, μαθόντας τοὺς Ἀθηναίους, βουλεύσασθαι περὶ τῆς ἀληθείας. Καὶ οἱ μὲν ᾤχοντο φέροντες, οὓς ἀπέστειλε, τὰ γράμματα, καὶ ὅσα ἔδει αὐτοὺς εἰπεῖν· ὁ δὲ, τὰ κατὰ τὸ στρατόπεδον διὰ φυλακῆς ἤδη ἔχων, ἑκουσίων κινδύνων ἐπεμελεῖτο.

9. Ἐν δὲ τῷ αὐτῷ θέρει τελευτῶντι καὶ Εὐετίων, στρατηγὸς Ἀθηναίων, μετὰ Περδίκκου στρατεύσας

ne quid in legatis impedimenti esset, quominus suam Athenienses sententiam perspicerent. 9. Euetion Atheniensis

ἀπαγγείλωσιν. Duo Pariss. cum Cl. Reg. Cass. Aug. exhibent ἀπαγγέλλωσιν. Eodem modo paullo superius libri variant in verbo ἀποστέλλωσιν, aliis ἀποστελοῦσιν, aliis ἀποστείλωσιν praebentibus. Utroque loco vulgatum non moveo. — Paullo ante verba ἢ καὶ γνώμης ἐλλιπεῖς γιγνόμενοι recte Bauerus accipit de consilii inopia legatorum, trepidantium, haerentium, neque habentium, quod ad interrogata confestim responderent, praesertim cum exercitatissimis oratoribus satisfaciendum esset in ecclesia Atheniensium.

ἤδη ἔχων, ἑκουσίων κινδύνων ἐπεμελεῖτο. Hanc lectionem genuinam existimo, neque ab ea aberrassent vel librarii vel interpretes, nisi perperam reconditam sane sententiam accepissent. Nam quod non nulli codices, quos cum Heilmanno sequitur Benedictus, praebent ἤδη ἔχων, ἢ δι' ἑκουσίων, id rectissime Bredovius iudicat factum esse ex transpositione verborum ἤδη ἔχων, cum in aliis codicibus fortasse scriptum esset ἔχων ἤδη, quod ἤδη a correctoribus aut mutaretur in ἢ δι', aut punctis notaretur, ut in Aug., simulac alterum ἤδη ex aliis codd. suo loco repositum esset. „Vulgata lectio satis idoneam fundit sententiam hanc: „Nicias iam castra custodiis firmabat, ac periculis eiusmodi operam dabat s. studebat, *quae ultro subiret* i. e. quae aut viribus suis paria, aut magno ipsi emolumento, si bene cessissent, certe nullo vel parvo detrimento, si minus prospere rem gessisset, fore iudicasset)." Ita se castris tenebat Nicias, atque adeo id

ἐπ' Ἀμφίπολιν Θρᾳξὶ πολλοῖς, τὴν μὲν πόλιν οὐχ εἷλεν, ἐς δὲ τὸν Στρυμόνα περικομίσας τριήρεις, ἐκ τοῦ ποταμοῦ ἐπολιόρκει, ὁρμώμενος ἐξ Ἱμεραίου. Καὶ τὸ θέρος ἐτελεύτα [τοῦτο].

10. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἥκοντες ἐς τὰς Ἀθήνας οἱ παρὰ τοῦ Νικίου, ὅσα τε ἀπὸ γλώσσης εἴρητο αὐτοῖς, εἶπον, καὶ, εἴ τις τι ἠρώτα, ἀπεκρίνοντο· καὶ τὴν ἐπιστολὴν ἀπέδοσαν. Ὁ δὲ γραμματεὺς τῆς πόλεως παρελθὼν ἀνέγνω τοῖς Ἀθηναίοις, δηλοῦσαν τοιάδε.

11. „Τὰ μὲν πρότερον πραχθέντα, ὦ Ἀθηναῖοι, ἐν ἄλλαις πολλαῖς ἐπιστολαῖς ἴστε· νῦν δὲ καιρὸς οὐχ ἧσσον, μαθόντας ὑμᾶς, ἐν ᾧ ἐσμέν, βουλεύσασθαι. Κρατησάντων γὰρ ἡμῶν μάχαις ταῖς πλείοσι Συρακουσίους, ἐφ' οὓς ἐπέμφθημεν, καὶ τὰ τείχη οἰκοδομησαμένων, ἐν οἷςπερ νῦν ἐσμέν, ἦλθε Γύλιππος Λακεδαιμόνιος, στρατιὰν ἔχων ἐκ Πελοποννήσου καὶ ἀπὸ τῶν ἐν Σικελίᾳ πόλεων ἔστιν ὧν. Καὶ μάχῃ τῇ μὲν

cum Perdicca et multis Thracibus Amphipolin fruſtra incadit. 10. Cum Athenas veniſſent, quos Nicias miſerat, in concione a publico ſcriba recitatur, 11 — 15. eius epiſtola, qua ea, quae poſt Gylippi adventum acciderant,

agebat, ut non praeter voluntatem, tempore et loco non opportuno, confligere cogeretur, ſed penes ipſum eſſet arbitrium, quandocumque exercitum periculis obiicere vellet. Antea autem in nullo hoſtium occurſu pugnam detrectaverat, etiamſi hoſtibus magis opportunum eſſet, quam ipſi; ſcilicet, ne ab iis contemneretur.

9. ἐξ Ἱμεραίου. Alii ſcripti et editi libri exhibent Ἱμεραίου. Sed de hoc nomine ſilent interpretes omnes. Hoc ipſo tantum loco patet, illud Himeraeum prope Amphipolin ſitum fuiſſe. — περικομίσας refero ad Amphipolis ſitum, quae urbs ab utraque parte a Strymone cingebatur. Vid. 4, 103. — Mox τοῦτο abeſt ab Aug. Caſſ. Cl. Reg. et quatuor aliis Pariſſ. Unde ſuſpicio movetur, hoc pronomen ab aliena manu adiectum eſſe, praeſertim cum etiam alibi Thucydides omittere ſoleat. Quare vocem uncinis incluſi.

10. ἀπεκρίνοντο. Reg. Caſſ. Aug. Moſq. ἀπεκρίναντο, quod fortaſſe recipiendum. — ὁ γραμματεὺς τῆς πόλεως, vid. interpretes ad Polluc. 8, 98. et Duck. ad h. l.

πρώτῃ νικᾶται ὑφ' ἡμῶν· τῇ δ' ὑστεραίᾳ, ἱππεῦσί τε πολλοῖς καὶ ἀκοντισταῖς βιασθέντες, ἀνεχωρήσαμεν ἐς τὰ τείχη. Νῦν οὖν ἡμεῖς μὲν, παυσάμενοι τοῦ περιτειχισμοῦ διὰ τὸ πλῆθος τῶν ἐναντίων, ἡσυχάζομεν· (οὐδὲ γὰρ ξυμπάσῃ τῇ στρατιᾷ δυναίμεθ' ἂν χρήσασθαι, ἀπαναλωκυίας τῆς φυλακῆς τῶν τειχῶν μέρος τι τοῦ ὁπλιτικοῦ·) οἱ δὲ παρῳκοδομήκασιν ἡμῖν τεῖχος ἁπλοῦν, ὥστε μὴ εἶναι ἔτι περιτειχίσαι αὐτοὺς, ἢν μή τις τὸ παρατείχισμα τοῦτο, πολλῇ στρατιᾷ ἐπελθὼν, ἕλῃ. Ξυμβέβηκέ τε, πολιορκεῖν δοκοῦντας ἡμᾶς ἄλλους, αὐτοὺς μᾶλλον, ὅσα γε κατὰ γῆν, τοῦτο πάσχειν. Οὐδὲ γὰρ τῆς χώρας ἐπὶ πολὺ, διὰ τοὺς ἱππέας, ἐξερχόμεθα.

12. „Πεπόμφασι δὲ καὶ ἐς Πελοπόννησον πρέσβεις ἐπ' ἄλλην στρατιάν. Καὶ ἐς τὰς ἐν Σικελίᾳ πόλεις Γύλιππος οἴχεται, τὰς μὲν καὶ πείσων ξυμπολεμεῖν, ὅσαι νῦν ἡσυχάζουσιν, ἀπὸ δὲ τῶν ἔτι καὶ στρατιὰν πεζὴν καὶ ναυτικοῦ παρασκευὴν, ἢν δύνηται, ἄξων. Διανοοῦνται γὰρ, ὡς ἐγὼ πυνθάνομαι, τῷ τε πεζῷ ἅμα τῶν τειχῶν ἡμῶν πειρᾷν, καὶ ταῖς ναυσὶ κατὰ θάλασσαν. Καὶ δεινὸν μηδενὶ ὑμῶν δόξῃ εἶναι, ὅτι καὶ κατὰ θάλασσαν. Τὸ γὰρ ναυτικὸν ἡμῶν (ἧπερ κἀκεῖνοι πυνθάνονται,) τὸ μὲν πρῶτον ἤκμαζε, καὶ

item hostium opes, suarum navium et remigum miseram

11. τῇ δ' ὑστεραίᾳ, intelligendum μάχῃ, non ἡμέρᾳ.
οὐδὲ γὰρ ξυμπάσῃ — ὁπλιτικοῦ. Haec parentheseos signis circumscripsi, et minus plene interpunxi ante οὐδέ et post ὁπλιτικοῦ. Causa patet.

12. τὰς μὲν καὶ πείσων. Καί h. l., ut saepe in partitione, abundat, neque urgendum erat Bauero, qui, cum *ultro* (*noch dazu*) explicaret, a vero sensu aberravit. Nam particula illa in utroque partitionis membro locum habet. Ut e sexcentis exemplis unum promam, afferam locum Thucydidis 6, 13. Τοῖς δ' Ἐγεσταίοις ἰδίᾳ εἰπεῖν, ἐπειδὴ ἄνευ Ἀθηναίων καὶ ξυνῆψαν πρὸς Σελινουντίους τὸν πρῶτον πόλεμον, μετὰ σφῶν αὐτῶν καὶ καταλύεσθαι. Paullo post ἄξων est loco medii ἀξόμενος, ut supra cap. 8. μεταπέμψωσιν pro μεταπέμψωνται: cf. c. 15. μεταπέμπειν.
ταῖς ναυσὶ κατὰ θάλασσαν, repete πειρᾷν et ἡμῶν subaudi ex praecedentibus τῶν τειχῶν ἡμῶν.
ἧπερ κἀκεῖνοι πυνθάνονται. Sic undecim codices

τῶν νεῶν τῇ ξηρότητι, καὶ τῶν πληρωμάτων τῇ σωτηρίᾳ· νῦν δὲ αἵ τε νῆες διάβροχοι, τοσοῦτον χρόνον ἤδη θαλασσεύουσαι, καὶ τὰ πληρώματα ἔφθαρται. Τὰς μὲν γὰρ ναῦς οὐκ ἔστιν ἀνελκύσαντας διαψύξαι, διὰ τὸ ἀντιπάλους καὶ τῷ πλήθει, καὶ ἐπιπλείους, τὰς τῶν πολεμίων οὔσας ἀεὶ προσδοκίαν παρέχειν, ὡς ἐπιπλεύσονται. Φανεραὶ δέ εἰσιν ἀποπειρώμεναι· καὶ αἱ ἐπιχειρήσεις ἐπ' ἐκείνοις, καὶ ἀποξηρᾶναι τὰς σφετέρας μᾶλλον ἐξουσία. οὐ γὰρ ἐφορμοῦσιν ἄλλοις.

conditionem, exponit, poſcitque, ut aut arceſſant reli-

pro vulgato ὅπερ, et in Scholiis idem illud pro varia lectione notatur. Quidquid Bauerus contra dicat, ἥπερ κἀκεῖνοι πυνθάνονται tam bene dici poteſt, quam paullo ante ὡς ἐγὼ πυνθάνομαι. Difficilior lectio oblitterata eſt ea, quae magis uſu venit. Neque tamen ſic hanc lectionem defendam, ut fecit Benedictus. Is enim ἥπερ ad ſequentia: ξηρότητι et σωτηρίᾳ referri poſſe putat; a quibus disiuncta ſunt pluribus verbis.

διὰ τὸ ἀντιπάλους καὶ τῷ πλήθει, καὶ ἐπιπλείους —. Plurimorum librorum ſcriptura eſt καὶ ὅτι πλείους, et in ſcholiis eadem lectio commemoratur. Mihi primum legenti in mentem venit, quod haud dubie multis, legi poſſe καὶ ἔτι πλείους, quemadmodum legitur in uno Pariſ. Sed non apparet cauſa, cur a facillima hac ſcriptura ad impeditiorem ὅτι πλείους tot librarii declinaverint. Cum autem haec lectio ſcabram efficiat orationem, non ſustinui vulgatam relinquere, quam defendit Riemer. in Lex. Verto: „Non enim licet, naves ſubducere et ſiccare, propterea quod hoſtium naves, cum pares ſint etiam numero, atque adeo plures, ſemper invaſionis futurae exſpectationem praebeant."

οὐ γὰρ ἐφορμοῦσιν ἄλλοις. Hanc undecim codicum lectionem, praeeuntibus aliis pluribus, praetuli vulgatae ἀλλήλοις, quam cum Bauero defendit vir doctus in Diurnis litt. Ienenſ. 1814. No. 86. Primum enim nemo poteſt docere, verbi ἐφορμεῖν eam eſſe vim, quam iſti volunt, ut ἐφορμοῦσιν ἀλλήλοις ſit: *ſeſe nimis urgent confertae et e propinquo.* Deinde cum, ut paullo ante demonſtravit Nicias, Syracuſanorum naves numero plures eſſent, quam Athenienſium, ideoque penes eosdem Syracuſanos invadendi facultas (αἱ ἐπιχειρήσεις ἐπ' ἐκείνοις); Athenienſes tantum, non item Syracuſani, et *perpetuo*, et *omnes* naves ſuas in ſtatione habere cogebantur, quia ſemper iis eſſet verendum, ne ab hoſtibus potentioribus invaderentur. Imbecilliori enim a validiore metuendum eſt, non contra. Syracuſani igitur, licet navigiis frumentum et neceſſaria Athenienſibus afferentibus inſidiarentur, et ipſam Athenienſium claſſem obſervarent, tamen per vices id efficere poterant et ad tempus

13. „Ἡμῖν δ' ἐκ πολλῆς ἂν περιουσίας νεῶν μόλις τοῦτο ὑπῆρχε, καὶ μὴ ἀναγκαζομένοις, ὥσπερ νῦν, πάσαις φυλάσσειν. Εἰ γὰρ ἀφαιρήσομέν τι καὶ βραχὺ τῆς τηρήσεως, τὰ ἐπιτήδεια οὐχ ἕξομεν, παρὰ τὴν ἐκείνων πόλιν χαλεπῶς καὶ νῦν ἐσκομιζόμενοι. Τὰ δὲ πληρώματα διὰ τόδε ἐφθάρη τε ἡμῖν, καὶ ἔτι νῦν φθείρεται, τῶν ναυτῶν, τῶν μὲν, διὰ φρυγανισμὸν, καὶ ἁρπαγὴν μακρὰν, καὶ ὑδρείαν, ὑπὸ τῶν ἱππέων ἀπολλυμένων· οἱ δὲ θεραπεύοντες, ἐπειδὴ ἐς ἀντίπαλα καθεστήκαμεν, αὐτομολοῦσι. Καὶ οἱ ξένοι, οἱ μὲν, ἀναγκαστοὶ ἐσβάντες, εὐθὺς κατὰ τὰς πόλεις ἀποχωροῦσιν· οἱ δὲ ὑπὸ μεγάλου μισθοῦ τὸ πρῶτον ἐπαρθέντες, καὶ οἰόμενοι χρηματιεῖσθαι μᾶλλον, ἢ μαχεῖ-

quias exercitus, aut alium exercitum, et pedeſtrem et na-

diverſis, ut caſus ferebat, locis. Athenienſes autem, alterum portum hoſtilem claudere, alterum obſervare coacti, nihil umquam a ſtatione avocare, nihil de cuſtodia remittere poterant. Cf. c. 13. Et hoc vere dicitur ἐφορμεῖν. Denique ſpatio minime carebant Athenienſes ad naves per vices ſiccandas; quin potius, ſi ex toto navium numero unam vel alteram partem ad ſiccationem refectionemque ſubduci in terram per hoſtes licuiſſet, laxiore ſpatio ceterae, qui in ſtatione remanebant, uſae fuiſſent.

13. τοῦτο ὑπῆρχε, int. τὸ ἀποξηρᾶναι, vel τὸ ἀνελκύσαντας διαψῦξαι.

οἱ δὲ θεραπεύοντες. Plurimi libri praebent θεράποντες, quod interpretamentum vulgatae lectionis redolet. Ceterum ab inchoata ſtructura abiit, cum dicendum fuiſſet: τῶν δὲ θεραπευόντων — αὐτομολούντων. Verba ἐπειδὴ ἐς τὰ ἀντίπαλα καθεστήκαμεν verto: „poſtquam ad virium aequalitatem redacti ſumus, i. e. aequis hoſti viribus uti coepimus.“ Affundunt lucem ſequentia: Ἐπειδὴ παρὰ γνώμην ναυτικόν τε δὴ καὶ τἄλλα ἀπὸ τῶν πολεμίων ἀνθεστῶτα ὁρῶσιν, οἱ μὲν ἐπ' αὐτομολίας προφάσει ἀπέρχονται —, ubi ultima verba multi interpretes perperam intellexerunt. Neque enim idem ſonant, quod ſupra, (ubi de nautis et ſervis *Athenienſibus* ſermo, non, ut hic, de peregrinis) αὐτομολοῦσι ſimpliciter, quemadmodum ii volunt, qui πρόφασιν accipiunt pro *occaſione*; neque de conſilio et praetextu futurae et iam inſtantis ad hoſtem transitionis cum Bredovio intelligenda ſunt; ſed de *diſceſſu* (ἀπέρχονται), non ſine honeſta ſpecie facto (ἐπὶ προφάσει) eorum qui quondam *ultro* ad Athenienſes veniſſent, quippe hanc abeundi cauſam praetexentes, qua ſpe praedae fuerint inducti ab Athenienſibus, ea ſe nunc eſſe deſtitutos; vel propoſita praemia ſibi non eſſe ſoluta.

σθαι, ἐπειδὴ παρὰ γνώμην ναυτικόν τε δὴ καὶ τἆλλα ἀπὸ τῶν πολεμίων ἀνθεστῶτα ὁρῶσιν, οἱ μὲν ἐπ' αὐτομολίας προφάσει ἀπέρχονται, οἱ δὲ, ὡς ἕκαστοι δύνανται· (πολλὴ δ' ἡ Σικελία·) εἰσὶ δ', οἳ καὶ αὐτοῦ ἐμπορευόμενοι, ἀνδράποδα Ὑκκαρικὰ ἀντεμβιβάσαι ὑπὲρ σφῶν πείσαντες τοὺς τριηράρχους, τὴν ἀκρίβειαν τοῦ ναυτικοῦ ἀφῄρηνται.

14. „Ἐπισταμένοις δ' ὑμῖν γράφω, ὅτι βραχεῖα ἀκμὴ πληρώματος, καὶ ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορμῶντές τε ναῦν, καὶ ξυνέχοντες τὴν εἰρεσίαν. Τούτων δὲ πάντων ἀπορώτατον, τό, τε μὴ οἷόν τε εἶναι ταῦτα ἐμοὶ κωλῦσαι τῷ στρατηγῷ, (χάλεπαὶ γὰρ αἱ ὑμέτεραι φύσεις ἄρξαι,) καὶ, ὅτι οὐδ', ὁπόθεν ἐπιπληρωσόμεθα

valem, non minorem illo priore, in ſubſidium mittant cum

πολλὴ δ' ἡ Σικελία. Ipſa inſulae amplitudo varias vel latendi vel effugiendi occaſiones praebet iis, qui Athenienſium caſtra deſerere voluerint.

ἀνδράποδα Ὑκκαρικά. Urbem Ὕκκαρα memorat 6, 62. Comma ante ἀνδράποδα delendum eſſe, cum Kiltemakero monet Bredovius, ut ſenſus ſit: emebant ſervitia Hyccarica. Sed quomodo, hanc rationem ſecuti, carere poſſimus interpunctione poſt Ὑκκαρικά, equidem non video. Et vulgata diſtinctio praeferenda videtur, quia ſic ratio et cauſa apparet, cur ipſi nautae operum navalium immunitatem ſibi paraverint. „Sunt etiam, qui cum hic negotiantur, ſervitia Hyccarica pro ſe ut in naves imponerent, trierarchis perſuaſerint." Cf. 6, 31. καὶ ὅσα ἐπὶ μεταβολῇ τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει. — τὴν ἀκρίβειαν τοῦ ναυτικοῦ rectius Portus *exactam rei nauticae diſciplinam* intelligit, quam Bauerus, qui ad *numerum* refert. Nam numerus quidem ſuffectis mancipiis vicariis complebatur.

14. βραχεῖα ἀκμὴ πληρώματος. Errat Scholiaſta, cum exponat: οὐ πολλῷ χρόνῳ ἀκμάζει ἡ ναυτικὴ δύναμις. Βραχεῖα ἀκμὴ πληρ. eſt exigua copia remigum aetate et uſu florentium, parva copia nautici roboris. — ἐξορμᾶν ναῦν ad portum ſpectat et ſtationem; ξυνέχειν τὴν εἰρεσίαν ad peritiam navem ſiſtendi vel eius curſum cohibendi.

ταῦτα — κωλῦσαι. Verbum κωλῦσαι minus aptum videtur iis, quae in proximis queſtus erat Nicias. Referas igitur potiſſimum ad λειποστρατίαν eorum, qui pro ſe mancipia trierarchis ſuppeditabant. Nam verba ἐπισταμένοις δ' ὑμῖν γράφω — εἰρεσίαν praecedentibus tamquam epiphonema potius adiecta ſunt, quam novi argumenti demonſtrationem exhibent, licet ab iis novum caput incipiat, quod rectius fieret paullo poſt a verbis: τούτων δὲ πάντων. — ἐμοὶ τῷ

τὰς ναῦς, ἔχομεν· ὃ τοῖς πολεμίοις πολλαχόθεν ὑπάρχει· ἀλλ᾽ ἀνάγκη, ἀφ᾽ ὧν ἔχοντες ἤλθομεν, τά τε ὄντα καὶ ἀπαναλισκόμενα γίγνεσθαι. Αἱ γὰρ νῦν οὖσαι πόλεις ξύμμαχοι, ἀδύνατοι, Νάξος καὶ Κατάνη· εἰ δὲ προςγενήσεται ἓν ἔτι τοῖς πολεμίοις, ὥστε τὰ τρέφοντα ἡμᾶς χωρία τῆς Ἰταλίας, ὁρῶντα, ἐν ᾧ τε ἐσμὲν, καὶ ὑμῶν μὴ ἐπιβοηθούντων, πρὸς ἐκείνους χωρῆσαι, διαπολεμήσεται αὐτοῖς ἀμαχεὶ, ἐκπολιορκηθέντων ἡμῶν, ὁ πόλεμος. Τούτων ἐγὼ ἡδίω μὲν ἂν εἶχον ὑμῖν ἕτερα ἐπιστέλλειν, οὐ μέντοι χρησιμώτερά γε, εἰ δεῖ σαφῶς ὑμᾶς εἰδότας τὰ ἐνθάδε βουλεύσασθαι. Καὶ ἅμα, τὰς φύσεις ἐπιστάμενος ὑμῶν, βουλομένων μὲν τὰ ἥδιστα ἀκούειν, αἰτιωμένων δὲ ὕστερον, ἤν τι ὑμῖν ἀπ᾽ αὐτῶν μὴ ὅμοιον ἐκβῇ, ἀσφαλέστερον ἡγησάμην τὸ ἀληθὲς δηλῶσαι.

15. „Καὶ νῦν, ὡς, ἐφ᾽ ἃ μὲν ἤλθομεν τὸ πρῶτον, καὶ τῶν στρατιωτῶν καὶ τῶν ἡγεμόνων ὑμῖν μὴ μεμπτῶν γεγενημένων, οὕτω τὴν γνώμην ἔχετε. Ἐπειδὴ δὲ ἡ Σικελία τε ἅπασα ξυνίσταται, καὶ ἐκ Πελοποννήσου ἄλλη στρατιὰ προςδόκιμος αὐτοῖς, βουλεύεσθε ἤδη, ὡς τῶν γ᾽ ἐνθάδε μηδὲ τοῖς παροῦσιν αὐταρκούντων, ἀλλ᾽ ἢ τούτους μεταπέμπειν δέον, ἢ ἄλλην στρα-

pecunia, atque in ipſius locum ſucceſſorem, cum ex re-

στρατηγῷ, cui omnes ad unum parere debeant, etiam trierarchi.

ἀφ᾽ ὧν ἔχοντες ἤλθομεν — γίγνεσθαι. Cum Heilmanno ſic iunge: *ἀνάγκη (ἐστί), ἀπ᾽ ἐκείνων, ἃ ἔχοντες ἤλθομεν, γίγνεσθαι (ἡμῖν) τά τε ὄντα καὶ ἀναλισκόμενα.* Cf. infra cap. 31. *Ἀφ᾽ ὧν αὐτοὶ εἶχον, ξυμπέμπουσι.* Obſcurior ſententia. *Τὰ ὄντα* intellige eos, qui adhuc ſuperſunt ex iis, quos adduxerant. Hos dicit ſibi ſuppetere debere ad omnia munera, etiam ad officia eorum, qui interempti ſint (*ἀπαναλισκόμενα*), i. e *licet* multi ex iis iam interempti ſint. Articulum ante *ἀπαναλισκόμενα* non deſidero, memor aliorum locorum, quae congeſſi ad 1, 107.

καὶ ὑμῶν μὴ ἐπιβοηθούντων. Variavit ſtructuram pro: *καὶ ὑμᾶς μὴ ἐπιβοηθεῖν*, vel *ἐπιβοηθοῦντας.*

15. *ἐφ᾽ ἃ μὲν ἤλθομεν*, neutrum pro maſculino, *ἐφ᾽ οὓς*, *adverſus quos ab initio venerimus.*

δέον, pro *δέοντος*, ut ſaepiſſime *ἐξόν, παρόν, παρασχόν* (1, 120),

τιὰν μὴ ἐλάσσω ἐπιπέμπειν, καὶ πεζὴν καὶ ναυτικὴν, καὶ χρήματα μὴ ὀλίγα· ἐμοὶ δὲ διάδοχόν τινα, ὡς ἀδύνατός εἰμι διὰ νόσον νεφρῖτιν παραμένειν. Ἀξιῶ δ' ὑμῶν ξυγγνώμης τυγχάνειν. Καὶ γὰρ, ὅτ' ἐῤῥώμην, πολλὰ ἐν ἡγεμονίαις ὑμᾶς εὖ ἐποίησα. Ὅ, τι δὲ μέλλετε, ἅμα τῷ ἦρι εὐθὺς, καὶ μὴ ἐς ἀναβολὰς, πράσσετε· ὡς τῶν πολεμίων τὰ μὲν ἐν Σικελίᾳ δι' ὀλίγου ποριουμένων, τὰ δ' ἐκ Πελοποννήσου, σχολαίτερον μὲν, ὅμως δ', ἢν μὴ προςέχητε τὴν γνώμην, τὰ μὲν λήσουσιν ὑμᾶς, ὥςπερ καὶ πρότερον, τὰ δὲ φθήσονται."

16. Ἡ μὲν τοῦ Νικίου ἐπιστολὴ τοσαῦτα ἐδήλου. Οἱ δὲ Ἀθηναῖοι, ἀκούσαντες αὐτῆς, τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς, ἀλλ' αὐτῷ, ἕως ἂν ἕτεροι ξυνάρχοντες αἱρεθέντες ἀφίκωνται, τῶν αὐτοῦ ἐκεῖ δύο προςείλοντο, Μένανδρον καὶ Εὐθύδημον, ὅπως μὴ μόνος ἐν ἀσθενείᾳ ταλαιπωροίη· στρατιὰν δὲ ἄλλην ἐψηφίσαντο πέμπειν, καὶ ναυτικὴν καὶ πεζικὴν, Ἀθη-

nibus laboret. 16. Athenienses Niciae statim duos collegas ex illis, qui iam in Sicilia erant, adiungunt, donec Demosthenes et Eurymedon, quos in priorum eius colle-

εἰρημένον (7, 18), ἐπιχώριον ὂν (4, 17.).

ὡς ἀδύνατός εἰμι. Praeter Thucydidis morem ὡς cum indicativo hic valet ὅτι, γάρ, cum alias participio iungere soleat ὡς ἀδυνάτῳ ὄντι. Coniicio legendum esse ὃς ἀδύνατός εἰμι. Saepe haec verba in codicibus inter se permutantur, ut 5, 6. ὃ δ' ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν, ubi boni codices veriorem lectionem ὡς praebent.

πράσσετε, Vulgo, ut in omnibus Mss. h. l., πράττετε. Paullo ante etiam ἐλάττω vulgo legitur cum codd. plurimis. Constantiae caussa utrumque correxi. Cf. ad 5, 71.

τὰ μὲν λήσουσιν — φθήσονται. Debebat λησόντων — φθησομένων. Sed inchoatae structurae oblitus est.

16. ἕως ἂν ἕτεροι ξυνάρχοντες αἱρεθέντες ἀφίκωνται. Vulgo participium αἱρεθέντες uncis inclusum legitur ante ξυνάρχοντες. Sed plurimi codices cum verborum ordinem exhibent, quem nos cum Benedicto restituimus. Cum in uno et altero exemplo αἱρεθέντες vel excidisset, vel alio loco adscriptum esset, prioribus editoribus haec vox suspecta videri potuit. Post ταλαιπωροίη minus plene interpunximus, quia verba στρατιὰν δέ —referenda sunt ad praecedens τὸν μὲν Νικίαν οὐ παρ.

ναίων τε ἐκ καταλόγου καὶ τῶν ξυμμάχων· καὶ ξυνάρχοντας αὐτῷ εἵλοντο Δημοσθένην τε τὸν Ἀλκισθένους καὶ Εὐρυμέδοντα τὸν Θουκλέους. Καὶ τὸν μὲν Εὐρυμέδοντα εὐθὺς περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς ἀποπέμπουσιν ἐς τὴν Σικελίαν, μετὰ δέκα νεῶν, ἄγοντα εἴκοσι καὶ ἑκατὸν τάλαντα ἀργυρίου, καὶ ἅμα ἀγγελοῦντα τοῖς ἐκεῖ, ὅτι ἥξει βοήθεια, καὶ ἐπιμέλεια αὐτῶν ἔσται.

17. Ὁ δὲ Δημοσθένης, ὑπομένων, παρεσκευάζετο τὸν ἔκπλουν, ὡς ἅμα τῷ ἦρι ποιησόμενος, στρατιάν τε ἐπαγγέλλων ἐς τοὺς ξυμμάχους, καὶ χρήματα αὐτόθεν, καὶ ναῦς καὶ ὁπλίτας ἑτοιμάζων. Πέμπουσι δὲ καὶ περὶ τὴν Πελοπόννησον οἱ Ἀθηναῖοι εἴκοσι ναῦς, ὅπως φυλάσσοιεν μηδένα ἀπὸ Κορίνθου καὶ τῆς Πελο-

garum locum fuffecerant, eo pervenirent. E quibus Eurymedontem praemittunt ftatim cum decem navibus et argento; 17. Demofthenes autem primo vere profecturus exercitum et naves per hiemem parabat. Simul viginti

ἄγοντα εἴκοσι τάλαντα. Ita codd. omnes praeter praeftantiffimum Parif. H., qui habet εἴκοσι καὶ ἑκατὸν τάλαντα, quod Gailius tamquam verifimilius recepit, propterea quod Diodorus 13, 8. fcribit; Οἱ Ἀθηναῖοι μετ' Εὐρυμέδοντος μὲν τοῦ στρατηγοῦ δέκα ναῦς ἀπέστειλαν εἰς Σικελίαν καὶ ἀργυρίου τάλαντα ἑκατὸν τεσσαράκοντα περὶ τὰς χειμερινὰς (ita recte edit. Eichftaedtiana) τροπάς· περὶ δὲ τὴν ἐαρινὴν ὥραν παρεσκευάζοντο μέγαν στόλον ἐξαποστέλλειν. Eandem codicis H. lectionem dignam, quae recipiatur, effe cenfent Bredovius et Benedictus, refragante viro docto in Diurn. litt. Ienenf. Auctar. 1813. No. 82. Sed alterum eius argumentum nititur in depravata lectione Diodori θερινὰς pro χειμερινάς, quam vel ftatim ibi fequentia redarguunt; alterum leviffimum eft. Contendit enim, fummam 120 talentorum grandiorem effe, cum inftante vere maiores copiae mittendae effent; cum tamen Thucydides manifefto dicat, Athenienfes nunc quidem *argentum* mififfe, (haud dubie quod in aerario praefto erat); in pofterum autem per *naves* et *milites* fe miffuros (βοήθειαν), oftendiffe. Cf. c. 26. 42. Hi enim et confcribendi et armis inftruendi erant; illae remigio implendae et rebus neceffariis. Atque fumma viginti talentorum, quae noftrae pecuniae duodetriginta millia Ioachimicorum aequent, nimis exigua fuerit pro tanto exercitu et nautico apparatu. Quare verba καὶ ἑκατόν per compendiariam fcripturam oblitterata, et in textum reftituenda cenfeo.

17. καὶ χρήματα αὐτόθεν, i. e. ἀπὸ τῶν ξυμμάχων.

πονν ήσου ἐς τὴν Σικελίαν περαιοῦσθαι. Οἱ γὰρ Κορίνθιοι, ὡς οἵ τε πρέσβεις αὐτοῖς ἧκον, καὶ τὰ ἐν τῇ Σικελίᾳ βελτίω ἤγγελλον, νομίσαντες, οὐκ ἄκαιρον καὶ τὴν προτέραν πέμψιν τῶν νεῶν ποιήσασθαι, πολλῷ μᾶλλον ἐπέῤῥωντο. Καὶ ἐν ὁλκάσι παρεσκευάζοντο αὐτοί τε ἀποστελοῦντες ὁπλίτας ἐν τῇ Σικελίᾳ, καὶ ἐκ τῆς ἄλλης Πελοποννήσου οἱ Λακεδαιμόνιοι τῷ αὐτῷ τρόπῳ πέμψοντες. Ναῦς τε οἱ Κορίνθιοι πέντε καὶ εἴκοσιν ἐπλήρουν, ὅπως ναυμαχίας τε ἀποπειράσωσι πρὸς τὴν ἐν τῇ Ναυπάκτῳ φυλακὴν, καὶ τὰς ὁλκάδας αὐτῶν ἧσσον οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι κωλύοιεν ἀπαίρειν, πρὸς τὴν σφετέραν ἀντίταξιν τῶν τριηρῶν τὴν φυλακὴν ποιούμενοι.

18. Παρεσκευάζοντο δὲ καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν οἱ Λακεδαιμόνιοι, ὥσπερ τε προεδέδοκτο αὐ-

naves circa Peloponnesum mittunt Athenienses, qui impedirent, quo minus Corintho vel ex aliis Peloponnesi oppidis auxilium in Siciliam transnavigaret. Quibus Corinthii, onerariis navigiis copias emissuri, viginti quinque naves opponunt. 18. Lacedaemonii autem incursionem in Atticam parant, firmatis animis, nec ulla

Καὶ ἐν ὁλκάσι. Ante haec verba plenius interpungendum esse ratus sum, quo facilius duo subiecta *αὐτοί τε* et *καὶ οἱ Λακεδαιμόνιοι* ad idem verbum *παρεσκευάζοντο* referri possent. — Mox *ἐν τῇ Σικελίᾳ* rarius loquendi genus, certe apud Thucydidem, pro *εἰς τὴν Σικελίαν.* Duckerus affert verba 4, 14. *Ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον.* Aptius 4, 42. *ἐν Λευκαδίᾳ ἀπῄεσαν* attulisset. Apud Homerum hoc dictionis genus frequentissimum v. c. *κάππεσεν ἐν Λήμνῳ.* Hymn. in Apoll. V. 73. *ὤσῃ ἁλὸς ἐν πελάγεσσιν.* Videndum tamen, an forte apud Thucydidem scribendum sit *ἐς τὴν Σικελίαν,* quomodo alibi semper loquitur. Constat *ι* subscriptum saepe mutari cum *ν.* Praepositio *ἐς* primum absorberi potuit a praecedentis vocabuli extrema syllaba, deinde accusativo in dativum mutato, *ἐν* a correctore scriptum esse. Nam loci 4, 14. ea est ratio, ut dativus recte se habeat.

πρὸς τὴν ἐν τῇ Ναυπάκτῳ φυλακήν. Ibi enim semper praesidium et statio Atheniensium erat; sed fortasse illae 20 naves eo missae sunt, quas paullo ante circum Peloponnesum missas refert. Certe cap. 19 extr. dicit: *ταῖς ἐν τῇ Ναυπάκτῳ εἴκοσιν Ἀττικαῖς.* Cf. c. 34.

18. *προεδέδοκτο αὐτοῖς.* Vid. 6,93.

τοῖς, καὶ τῶν Συρακουσίων καὶ [τῶν] Κορινθίων ἐναγόντων, ἐπειδὴ ἐπυνθάνοντο τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ἐς τὴν Σικελίαν, ὅπως δὴ, ἐςβολῆς γενομένης, διακωλυθῇ. Καὶ ὁ Ἀλκιβιάδης, προςκείμενος, ἐδίδασκε τὴν Δεκέλειαν τειχίζειν, καὶ μὴ ἀνιέναι τὸν πόλεμον. Μάλιστα δὲ τοῖς Λακεδαιμονίοις ἐγεγένητό τις ῥώμη, διότι τοὺς Ἀθηναίους ἐνόμιζον, διπλοῦν τὸν πόλεμον ἔχοντας, πρός τε σφᾶς καὶ Σικελιώτας, εὐκαθαιρετωτέρους ἔσεσθαι· καὶ ὅτι τὰς σπονδὰς προτέρους λελυκέναι ἡγοῦντο αὐτούς· ἐν γὰρ τῷ προτέρῳ πολέμῳ σφέτερον τὸ παρανόμημα μᾶλλον γενέσθαι, ὅτι ἐς Πλάταιαν ἦλθον Θηβαῖοι ἐν σπονδαῖς, καὶ, εἰρημένον ἐν ταῖς πρότερον ξυνθήκαις, ὅπλα μὴ ἐπιφέρειν, ἢν δίκας θέλωσι διδόναι, αὐτοὶ οὐχ ὑπήκουον ἐς δίκας προκαλουμένων τῶν Ἀθηναίων· καὶ διὰ τοῦτο εἰκότως δυςτυχεῖν τε ἐνόμιζον, καὶ ἐνεθυμοῦντο τήν τε περὶ Πύλον ξυμφορὰν, καὶ εἴ τις ἄλλη αὐτοῖς γένοιτο. Ἐπειδὴ δὲ οἱ Ἀθηναῖοι, ταῖς τριάκοντα ναυσὶν ὁρμώμενοι, Ἐπιδαύρου τὶ καὶ Πρασιῶν καὶ ἄλλα ἐδῄωσαν, καὶ ἐκ Πύλου ἅμα ἐλῃστεύοντο, καὶ, ὁσάκις περί του διαφοραὶ γένοιντο τῶν κατὰ τὰς σπονδὰς ἀμφιςβητουμένων, ἐς δίκας προκαλουμένων τῶν Λακεδαιμονίων, οὐκ ἤθελον ἐπιτρέπειν· τότε δὴ οἱ Λακεδαι-

religione impeditis, quod Athenienſes contra foederis

καὶ [τῶν] Κορινθίων ἐναγόντων. Articulum τῶν, quem omittunt codd. Reg. Caſſ. Aug. Moſq. uncis incluſi, quia in altero ſubſtantivo deeſſe ſolet apud Thucydidem, cum ſemel praeceſſerit. Vid. ad 1, 71.

ὅτι ἐς Πλάταιαν ἦλθον Θηβαῖοι. Vid. 2, 2. — *ἐν σπονδαῖς,* int. *σπονδὰς τριακοντούτεις, αἳ ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν.* Cf. l. l. 1, 23. 115. Eosdem mox dicit *τὰς πρότερον ξυνθήκας.*

ἐς δίκας προκαλουμένων τῶν Ἀθην. Vid. 1, 145.

διὰ τοῦτο εἰκότως δυςτυχεῖν τε ἐνόμ. Hunc ordinem verborum undecim Mſſ. et Vallae auctoritate reſtitui iuſſit Benedictus, pro vulgato *δυςτυχεῖν τε εἰκότως.*

ταῖς τριάκοντα ναυσίν. Non ſibi contradicit Thucydides, ut Duckerus putabat, qui haec ad cap. 17., ubi viginti tantum naves memorantur, referebat. Pertinent ad expeditionem eam,

μόνιοι, νομίσαντες, τὸ παρανόμημα, ὅπερ καὶ σφίσι πρότερον ἡμάρτητο, αὖθις ἐς τοὺς Ἀθηναίους τὸ αὐτὸ περιεστάναι, πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον. Καὶ ἐν τῷ χειμῶνι τούτῳ σίδηρόν τε περιήγγελλον κατὰ τοὺς ξυμμάχους, καὶ τὰ ἄλλα ἐργαλεῖα ἡτοίμαζον ἐς τὸν ἐπιτειχισμόν· καὶ τοῖς ἐν τῇ Σικελίᾳ ἅμα, ὡς ἀποπέμψοντες ἐν ταῖς ὁλκάσιν ἐπικουρίαν, αὐτοί τε ἐπόριζον, καὶ τοὺς ἄλλους Πελοποννησίους προσηνάγκαζον. Καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ὄγδοον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

19. Τοῦ δ' ἐπιγιγνομένου ἦρος, εὐθὺς ἀρχομένου, πρωϊαίτατα δὴ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐς τὴν Ἀττικὴν ἐσέβαλον· ἡγεῖτο δὲ Ἆγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς. Καὶ πρῶτον μὲν τῆς χώρας τὰ περὶ τὸ πεδίον ἐδῄωσαν· ἔπειτα Δεκέλειαν ἐτείχιζον, κατὰ πόλεις διελόμενοι τὸ ἔργον. Ἀπέχει δὲ ἡ Δεκέλεια σταδίους μάλιστα τῆς τῶν Ἀθηναίων πόλεως εἴκοσι καὶ ἑκατόν· παραπλήσιον δὲ [οὐ πολλῷ πλέον] καὶ ἐπὶ τῆς Βοιωτίας. Ἐπὶ δὲ τῷ πεδίῳ καὶ τῆς χώρας

leges feciſſe videantur. 19. Et primo ſtatim vere, Agide duce, et Deceliam muniunt, et una cum Boeotis

quae 6, 105. deſcripta eſt, monente etiam Bredovio.

19. πρωϊαίτατα. Codd. Reg. Caſſ. Aug. exhibent πρωϊτατα, quod Thomas Mag. elegantius dici pronuntiat, quam alterum illud. Cf. 8, 101. πρωϊτερον μέσων νυκτῶν. Et ſic haud dubie hoc quoque loco reponendum, et 7, 39.

παραπλήσιον δὲ οὐ πολλῷ πλέον καὶ ἐπὶ τῆς Βοιωτίας. Decelia prope Boeotorum fines ſita erat. Quid ergo eſt, quod Thucydides h. l. eam non multo plus quam centum et viginti ſtadia diſtare a Boeotia pronuntiat? Ubinam autem hoc pronuntiat? Non dicit ἀπὸ τῆς Βοιωτίας, ſed ἐπὶ τῆς Β. Itaque Bredovius aliam interpretandi rationem commentus, ſubaudito ad ἐπὶ τῆς Βοιωτίας vocabulo πόλεως, intelligit Boeotiae urbem capitalem, quam Thebas eſſe vult. Quae interpretatio multis laborat difficultatibus. Ut enim alia omittam, nemo veterum Thebas caput urbium Boeotiarum illo quidem ſenſu vocavit, cum Boeoti plures easque liberas civitates continerent, quibus omnibus non eo ſenſu, quo Athenae vel Lacedaemon ſuis regionibus erant ἡ πόλις, Thebae hoc nomine valere poterant. Deinde, etiamſi poſſet, dura ta-

τοῖς κρατίστοις ἐς τὸ κακουργεῖν ᾠκοδομεῖτο τὸ τεῖχος, ἐπιφανὲς μέχρι τῆς τῶν Ἀθηναίων πόλεως. Καὶ οἱ μὲν ἐν τῇ Ἀττικῇ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐτείχιζον· οἱ δ' ἐν τῇ Πελοποννήσῳ ἀπέστελλον περὶ τὸν αὐτὸν χρόνον ταῖς ὁλκάσι τοὺς ὁπλίτας ἐς τὴν Σικελίαν· Λακεδαιμόνιοι μὲν, τῶν τε Εἱλώτων ἐπιλεξάμενοι τοὺς βελτίστους, καὶ [τῶν] Νεοδαμωδῶν, ξυναμφοτέρων ἑξακοσίους ὁπλίτας, καὶ Ἔκκριτον Σπαρτιάτην ἄρχοντα· Βοιωτοὶ δὲ τριακοσίους ὁπλίτας, ὧν ἦρχον Ξένων τε καὶ Νίκων, Θηβαῖοι, καὶ Ἡγήσανδρος Θεσπιεύς. Οὗτοι μὲν οὖν ἐν τοῖς πρῶτοι, ὁρμήσαντες ἀπὸ τοῦ Ταινάρου τῆς Λακωνικῆς, ἐς τὸ πέλαγος ἀφῆκαν. Μετὰ δὲ τούτους Κορίνθιοι οὐ πολλῷ ὕστερον πεντακοσίους ὁπλίτας, τοὺς μὲν ἐξ αὐτῆς Κορίνθου, τοὺς δὲ προςμισθωσάμενοι Ἀρκάδων, καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προςτάξαντες, ἀπέπεμψαν. Ἀπέστειλαν δὲ καὶ Σικυώνιοι διακοσίους ὁπλίτας ὁμοῦ τοῖς Κορινθίοις, ὧν ἦρχε Σαργεὺς Σικυώ-

milites in Siciliam mittunt, quos deinceps sequuntur

men et insolens eiusmodi ellipsis esset, cum ambiguum esset, utrum potius fines, an urbem, intelligeremus. Neque absurde in vulgata lectione Reiskius ἢ desideravit ante οὐ πολλῷ, cuius loco duo codd. Pariss. exhibent καί, haud dubie a correctore. Praepositio ἐπί cum genitivo sane significat *versus*, sed quis potest iungere ἀπέχει ἐπὶ πόλεως τινος *distat versus urbem aliquam*, pro ἀπέχει ἀπὸ π. τ.? Haud dubie Bauerus verum vidit, non ἀπέχει, sed ἐστί, κεῖται, subaudiendum esse; obiter etiam innuit idem, fortassis verba οὐ πολλῷ πλέον glossema esse. Quam sententiam vellem tenuisset, atque ita difficultates loci, unde vix aliter pedem extricaveris, sustulisset! Verisimile enim mihi, primum haec legenti, videbatur, verba οὐ πολλῷ πλέον ineptum interpretamentum esse vocis παραπλήσιον, neque ea ulla ratione vel defendi, nisi stupida codicum veneratione, vel cum παραπλήσιον et ἐπὶ τῆς Βοιωτίας iungi posse, confido. Verte: sed propemodum vel in Boeotiae finibus sita est.

καὶ [τῶν] Νεοδαμωδῶν. Articulum novem codices omittunt. Vid. ad cap. 18.

ἐς τὸ πέλαγος ἀφῆκαν, int. τὰς ναῦς. — Paullo superius pro ἐν τοῖς πρώτοις legendum esse coniicio ἐν τοῖς πρῶτοι. Vide ad 3, 17. Librariorum lapsus in his proclivis est; neque, praeter Lacedaemonios et Boeotos, ulli alii profecti esse eodem tempore narrantur.

νιος. Αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων, αἱ τοῦ χειμῶνος πληρωθεῖσαι, ἀνθώρμουν ταῖς ἐν τῇ Ναυπάκτῳ εἴκοσιν Ἀττικαῖς, ἕωσπερ αὐτοῖς οἱ ὁπλῖται ταῖς ὁλκάσιν ἀπὸ τῆς Πελοποννήσου ἀπῆραν· οὗπερ ἕνεκα καὶ τὸ πρότερον ἐπληρώθησαν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς ὁλκάδας μᾶλλον, ἢ πρὸς τὰς τριήρεις, τὸν νοῦν ἔχωσιν.

20. Ἐν δὲ τούτῳ καὶ οἱ Ἀθηναῖοι, ἅμα Δεκελείας τῷ τειχισμῷ, καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου, περὶ Πελοπόννησον ναῦς τριάκοντα ἔστειλαν, καὶ Χαρικλέα τὸν Ἀπολλοδώρου ἄρχοντα· ᾧ εἴρητο, καὶ ἐς Ἄργος ἀφικομένῳ, κατὰ τὸ ξυμμαχικὸν παρακαλεῖν Ἀργείων τε ὁπλίτας ἐπὶ τὰς ναῦς. Καὶ τὸν Δημοσθένην ἐς τὴν Σικελίαν (ὥσπερ ἔμελλον,) ἀπέστελλον, ἑξήκοντα μὲν ναυσὶν Ἀθηναίων, καὶ πέντε Χίαις, ὁπλίταις δὲ ἐκ καταλόγου Ἀθηναίων διακοσίοις καὶ χιλίοις, καὶ νησιωτῶν, ὅσοις ἑκασταχόθεν οἷόν τ' ἦν πλείστοις χρήσασθαι· καὶ ἐκ τῶν ἄλλων ξυμμάχων τῶν ὑπηκόων, εἴποθέν τι εἶχον ἐπιτήδειον ἐς τὸν πόλεμον,

etiam Corinthii Sicyoniique. 20. Eodem tempore Athenienſes et triginta naves, duce Charicle, [circa Peloponneſum mittunt, et Demoſthenem in Siciliam cum ſexaginta navibus Atticis, quinque Chiis; qui Aeginae

αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν Κορ. Vid. cap. 17 extr.

ἕωσπερ αὐτοῖς οἱ ὁπλῖται. Novem codd. praebent οὗτοι pro αὐτοῖς. Antiquo. Nam vulgata lectio doctior et elegantior eſt, quam ut caſu nata videatur; vulgata potius indocti cuiusdam correctionem ſapit. Cur enim addat οὗτοι, cum adſit articulus, neque praeter hos Corinthii alios miſerint? Cf. notam ad c. 40. Duck. ad c. 39. Eosdem et alios codices infra non audio, cum articulum τὰς in verbis πρὸς τὰς ὁλκάδας omittunt. Ibi enim articulus prorſus neceſſarius eſt. Sed paullo poſt recte ſeptemdecim librorum auctoritate recipere mihi videor articulum τὸν ante νοῦν ἔχωσιν.

20. Ἀργείων τε ὁπλίτας. Hoc τέ quo referam, non habeo. Coniicio, in γέ eſſe mutandum, quae permutatio frequens eſt. Cum enim iam non alios in Peloponneſo ſocios haberent, ſaltem Argivos in auxilium advocare ſtatuebant, quibus antea ipſi opitulati eſſent. Vid. 6, 105.

ξυμπορίσαντες. Εἴρητο δ' αὐτῷ, πρῶτον μετὰ τοῦ Χαρικλέους ἅμα περιπλέοντα ξυστρατεύεσθαι περὶ τὴν Λακωνικήν. Καὶ ὁ μὲν Δημοσθένης ἐς τὴν Αἴγιναν προσπλεύσας, τοῦ στρατεύματός τε εἴ τι ὑπελείπετο, περιέμενε, καὶ τὸν Χαρικλέα τοὺς Ἀργείους παραλαβεῖν.

21. Ἐν δὲ τῇ Σικελίᾳ, ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ ἦρος, καὶ ὁ Γύλιππος ἧκεν ἐς τὰς Συρακούσας, ἄγων ἀπὸ τῶν πόλεων, ὧν ἔπεισε, στρατιὰν, ὅσην ἑκασταχόθεν πλείστην ἐδύνατο· καὶ ξυγκαλέσας τοὺς Συρακουσίους, ἔφη, χρῆναι πληροῦν ναῦς ὡς δύνανται πλείστας, καὶ ναυμαχίας ἀπόπειραν λαμβάνειν· ἐλπίζειν γὰρ ἀπ' αὐτοῦ τι ἔργον ἄξιον τοῦ κινδύνου ἐς τὸν πόλεμον κατεργάσασθαι. Ξυνανέπειθε δὲ καὶ ὁ Ἑρμοκράτης οὐχ ἥκιστα τοῦ ταῖς ναυσὶ μὴ ἀθυμεῖν ἐπιχειρῆσαι πρὸς τοὺς Ἀθηναίους, λέγων, οὐδὲ ἐκείνους πάτριον τὴν ἐμπειρίαν οὐδὲ ἀΐδιον τῆς

Chariclem, Argivos in naves fuas recepturum, opperiebatur. 21. Gylippus cum copiis, e Siciliae urbibus collectis, redit Syracufas, et, Hermocrate adiuvante,

ἐς τὴν Αἴγιναν προσπλεύσας. Codices optimae notae Cl. Reg. Caff. Aug. habent πλεύσας. Sic infra cap. 31 extr.

21. ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος τούτου. Codd. Marg. Ar. C. Caff. Reg. cum aliis quatuor Pariff. alio ordine legunt τούτου τοῦ ἦρος. In Aug. et duobus Pariff. eft τούτους τοῦ ἦρος. Mofq. τοῦτόν omittit. Mihi vulgata lectio minime aliena videtur a Thucydidis dicendi more. Sed cum codices bene multi alium ordinem verborum olim fuiffe demonftrent, qui non minus recte fe habeat, et vero Thucydidi quoque fit non inufitatus, eorum auctoritatem fecutus fum. Supra 6, 105. Κατὰ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους.

ἐς τὸν πόλεμον κατεργάσασθαι. Ita plurimi codices. Vulgo κατεργάσεσθαι, e correctione. Illud utique praeferendum. Vid. ad 1, 96. 4, 21.

τοῦ ταῖς ναυσὶ μὴ ἀθυμεῖν ἐπιχειρῆσαι. Scholiafta: ὑπὲρ τοῦ μὴ ὀκνεῖν ἐπιχειρῆσαι τοῖς Ἀθηναίοις κατὰ θάλασσαν· ἢ, ὑπὲρ τοῦ μὴ δεδιέναι. Ex hoc fcholio primum apparet, articulum τοῦ, quem Mff. nonnulli omittunt, genuinum effe; deinde ἐπιχειρῆσαι in Scholiaftae exemplo fuiffe, non vulgatum ἐπιχειρήσειν. Illud etiam Marg. Gr. Baf. praebent; et per fe praeferendum eft.

θαλάσσης ἔχειν, ἀλλ' ἠπειρώτας μᾶλλον τῶν Συρακουσίων ὄντας, καὶ ἀναγκασθέντας ὑπὸ Μήδων, ναυτικοὺς γενέσθαι· καὶ πρὸς ἄνδρας τολμηρούς, οἵους καὶ Ἀθηναίους, τοὺς ἀντιτολμῶντας χαλεπωτάτους [ἂν] αὐτοῖς φαίνεσθαι. Ὧι γὰρ ἐκεῖνοι τοὺς πέλας, οὐ δυνάμει ἔστιν ὅτε προὔχοντες, τῷ δὲ θράσει, ἐπιχειροῦντες, καταφοβοῦσι, καὶ σφᾶς ἂν τὸ αὐτὸ ὁμοίως τοῖς ἐναντίοις ὑποσχεῖν. Καὶ Συρακουσίους εὖ εἰδέναι ἔφη, τῷ τολμῆσαι ἀπροσδοκήτως πρὸς τὸ Ἀθηναίων ναυτικὸν ἀντιστῆναι, πλέον, διὰ τὸ τοιοῦτον ἐκπλαγέντων αὐτῶν, περιεσομένους, ἢ Ἀθηναίους τῇ ἐπιστήμῃ τὴν Συρακουσίων ἀπειρίαν βλάψοντας. Ἰέναι οὖν ἐκέλευεν ἐς τὴν πεῖραν τοῦ ναυτικοῦ, καὶ μὴ ἀποκνεῖν. Καὶ οἱ μὲν Συρακούσιοι, τοῦ τε Γυλίππου καὶ τοῦ Ἑρμοκράτους, καὶ εἴ του ἄλλου, πειθόντων, ὥρμηντό τε ἐς τὴν ναυμαχίαν, καὶ τὰς ναῦς ἐπλήρουν.

22. Ὁ δὲ Γύλιππος, ἐπειδὴ παρεσκευάσατο τὸ ναυτικόν, ἀγαγὼν ὑπὸ νύκτα πᾶσαν τὴν στρατιὰν τὴν πεζὴν, αὐτὸς μὲν τοῖς ἐν τῷ Πλημμυρίῳ τείχεσι κατὰ γῆν ἔμελλε προσβαλεῖν· αἱ δὲ τριήρεις τῶν Συρακουσίων ἅμα καὶ ἀπὸ ξυνθήματος, πέντε μὲν καὶ τριάκοντα ἐκ τοῦ μεγάλου λιμένος ἐπέπλεον, αἱ δὲ, πέντε καὶ τεσσαράκοντα, ἐκ τοῦ ἐλάσσονος, οὗ ἦν καὶ τὸ

Syracuſanis perſuadet, ut claſſem inſtruant, bellique navalis fortunam pericliteutur. 22. Quo facto, dum

οἵους καὶ Ἀθηναίους, pro *οἷοι οἱ Ἀθηναῖοι εἰσίν*. Amant hanc ſtructuram Graeci ſcriptores. Xen. Memor. 2, 9, 3. *οἵῳ σοὶ ἀνδρί*, pro *ἀνδρὶ, οἷος σὺ εἶ.*

χαλεπωτάτους ἂν αὐτοῖς φαίνεσθαι. Particula *ἂν* vulgo uncis incluſa eſt, et omittitur ab octo codd. Servanda tamen videtur, cum et aptiorem ſane ſententiam efficiat, et ante *αὐτοῖς* facile excidere potuerit; denique quod Scholiaſta eam agnoſcere videatur, cuius haec eſt interpretatio: *καὶ τοῖς οὕτω τολμηροῖς, ὡς Ἀθηναῖοι εἰσὶ, τοὺς ἀντιτολμῶντας φοβεροὺς φανήσεσθαι*. — *Αὐτοῖς*, i. e. *τοῖς τολμηροῖς*. Fortaſſe ab initio volebat ſimpliciter dicere *εἶναι*, deinde mutavit ſtructuram, ſcribens *αὐτοῖς φαίνεσθαι*.

22. *ἐπειδὴ παρεσκευάσατο τὸ ναυτικόν*. Codd. Gr. Par. H. praebent *παρεσκεύαστο*, fortaſſe rectius. Cf. Duck.

αἱ δὲ πέντε καὶ τεσσαράκοντα. Cum articulus *αἱ* adie-

νεώριον αὐτοῖς. Καὶ περιέπλεον, βουλόμενοι πρὸς τὰς ἐντὸς προςμίξαι, καὶ ἅμα ἐπιπλεῖν τῷ Πλημμυρίῳ, ὅπως οἱ Ἀθηναῖοι ἀμφοτέρωθεν θορυβῶνται. Οἱ δ' Ἀθηναῖοι, διὰ τάχους ἀντιπληρώσαντες ἑξήκοντα ναῦς, ταῖς μὲν πέντε καὶ εἴκοσι πρὸς τὰς πέντε καὶ τριάκοντα τῶν Συρακουσίων, τὰς ἐν τῷ μεγάλῳ λιμένι, ἐναυμάχουν, ταῖς δ' ἐπιλοίποις ἀπήντων ἐπὶ τὰς ἐκ τοῦ νεωρίου περιπλεούσας. Καὶ εὐθὺς πρὸ τοῦ στόματος τοῦ μεγάλου λιμένος ἐναυμάχουν, καὶ ἀντεῖχον ἀλλήλοις ἐπὶ πολὺ, οἱ μὲν, βιάσασθαι βουλόμενοι τὸν ἔςπλουν, οἱ δὲ, κωλύειν.

23. Ἐν τούτῳ δὲ ὁ Γύλιππος, τῶν ἐν τῷ Πλημμυρίῳ Ἀθηναίων πρὸς τὴν θάλασσαν ἐπικαταβάντων, καὶ τῇ ναυμαχίᾳ τὴν γνώμην προςεχόντων, φθάνει προςπεσὼν ἅμα τῇ ἕῳ αἰφνιδίως τοῖς τείχεσι· καὶ αἱρεῖ τὸ μέγιστον πρῶτον, ἔπειτα δὲ καὶ τὰ ἐλάσσω δύο, οὐχ ὑπομεινάντων τῶν φυλάκων, ὡς εἶδον τὸ μέγιστον ῥᾳδίως ληφθέν. Καὶ ἐκ μὲν τοῦ πρώτου ἁλόντος, χαλεπῶς οἱ ἄνθρωποι, ὅσοι καὶ ἐς τὰ πλοῖα καὶ ὁλκάδα τινὰ κατέφυγον, ἐξεκομίζοντο ἐς τὸ στρατόπεδον. Τῶν γὰρ Συρακουσίων ταῖς ἐν τῷ μεγάλῳ λιμένι ναυσὶ

navibus partim a maiore portu, partim a minore, classis Atheniensium impugnatur, Gylippus 23., intentis ad navale proelium omnium animis, deinceps oppugnata cum

ctus sit, inspiceris, supra in verbis *αἱ δὲ τριήρεις τῶν Συρακουσίων* numerum navium universarum, per litteram π' scriptam, quae *ὀγδοήκοντα* valet, olim excidisse. Ita enim *αἱ δὲ πέντε καὶ τεσσαράκοντα* significet, numerum octoginta completum esse, et rationem constare: *reliqua autem quadraginta quinque.* Paullo infra: *Οἱ Ἀθηναῖοι — ἀντιπληρώσαντες ἑξήκοντα ναῦς, ταῖς μὲν πέντε καὶ εἴκοσι —, ταῖς δ' ἐπιλοίποις ἀπήντων ἐπὶ τὰς ἐκ τοῦ νεωρίου περιπλεούσας.* Cf. c. 25 init. *αἱ δὲ ἕνδεκα.* Cum vero in codicibus nullum huius omissionis vestigium appareat, locus interpunctione sublevandus videtur. Pone comma post *αἱ δέ*, ut *πέντε καὶ τεσσαράκοντα* eius sit tamquam appositio.

καὶ περιέπλεον, int. *αἱ ἐκ τοῦ ἐλάσσονος λιμένος.* — *πρὸς τὰς ἐντός*, i. e. *ἐν τῷ μεγάλῳ λιμένι οὔσας.* Nam ante magni portus aditum Atheniensium erat statio. Cf. c. 4.

κρατούντων τῇ ναυμαχίᾳ, ὑπὸ τριήρους μιᾶς καὶ εὖ πλεούσης ἐπεδιώκοντο· ἐπειδὴ δὲ τὰ δύο τειχίσματα ἡλίσκετο, ἐν τούτῳ καὶ οἱ Συρακούσιοι ἐτύγχανον ἤδη νικώμενοι, καὶ οἱ ἐξ αὐτῶν φεύγοντες ῥᾷον παρέπλευσαν. Αἱ γὰρ τῶν Συρακουσίων αἱ πρὸ τοῦ στόματος νῆες ναυμαχοῦσαι, βιασάμεναι τὰς τῶν Ἀθηναίων ναῦς, οὐδενὶ κόσμῳ ἐσέπλεον, καὶ ταραχθεῖσαι περὶ ἀλλήλας, παρέδοσαν τὴν νίκην τοῖς Ἀθηναίοις. Ταύτας τέ γὰρ ἔτρεψαν, καὶ ὑφ᾽ ὧν τὸ πρῶτον ἐνικῶντο ἐν τῷ λιμένι. Καὶ ἕνδεκα μὲν ναῦς τῶν Συρακουσίων κατέδυσαν, καὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων ἀπέκτειναν, πλὴν ὅσον ἐκ τριῶν νεῶν οὓς ἐζώγρησαν· τῶν δὲ σφετέρων τρεῖς νῆες διεφθάρησαν. Τὰ δὲ ναυάγια ἀνελκύσαντες τῶν Συρακουσίων, καὶ τροπαῖον ἐν τῷ νησιδίῳ στήσαντες τῷ πρὸ τοῦ Πλημμυρίου, ἀνεχώρησαν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

24. Οἱ δὲ Συρακούσιοι κατὰ μὲν τὴν ναυμαχίαν οὕτως ἐπεπράγεσαν, τὰ δ᾽ ἐν τῷ Πλημμυρίῳ τείχη εἶχον, καὶ τροπαῖα ἔστησαν αὐτῶν τρία. Καὶ τὸ μὲν

peditatu caſtella in Plemmyrio facta cepit omnia ſine negotio; navalis autem victoria interim ad Athenienſes conceſſit. 24. Ex tribus illis caſtellis, in quibus magnas et frumenti et nautici apparatus copias Syracuſani ceperant, duo deſtruunt, unum ſervant et praeſidio firmant.

23. βιασάμενοι τὰς τῶν Ἀθηναίων ναῦς. Vocem ναῦς non agnoſcit Par. H., qui codex eſt optimae notae. — Pro οὐδενὶ κόσμῳ ἐσέπλεον, cod. Moſq. praebet ἐπέπλεον. Sed vulgatam lectionem, quae ceterorum omnium eſt librorum, tuentur verba cap. 22. βουλόμενοι πρὸς τὰς ἐντὸς προσμίξαι. Ceterum illuſtrat locum Diodorus 13, 9., qui conferatur.

ἐν τῷ νησιδίῳ. Waſſius inſulam Ortygiam intelligit, quae erat pars Syracuſarum. Vid. ad 6, 3. Hanc igitur intelligere non licet; et Bredovius docuit, τὸ νησίδιον eſſe parvam illam inſulam, quae hodie vocatur l'Iſola del Caſtelluccio, prope Plemmyrion in aditu magni portus ſita.

24. τροπαῖα ἔστησαν αὐτῶν τρία. Αὐτῶν refer ad τὰ τείχη. — Mox pro λειφθέντοιν iam alii legendum eſſe viderunt ληφθέντοιν. Ita etiam paullo inferius ſex codicum auctoritate legendum ἐγκατελήφθη pro ἐγκατελείφθη.

ἕτερον τοῖν δυοῖν τειχοῖν τοῖν ὕστερον ληφθέντοιν κατέβαλον, τὰ δὲ δύο ἐπισκευάσαντες ἐφρούρουν. Ἄνθρωποι δ' ἐν τῶν τειχῶν τῇ ἁλώσει ἀπέθανον καὶ ἐζωγρήθησαν πολλοὶ, καὶ χρήματα, πολλὰ τὰ ξύμπαντα, ἑάλω. Ὥςτε γὰρ ταμιείῳ χρωμένων τῶν Ἀθηναίων τοῖς τείχεσι, πολλὰ μὲν ἐμπόρων χρήματα καὶ σῖτος ἐνῆν, πολλὰ δὲ καὶ τριηραρχῶν· ἐπεὶ καὶ ἱστία τεσσαράκοντα τριηρῶν καὶ τἄλλα σκεύη ἐγκατελήφθη, καὶ τριήρεις ἀνειλκυσμέναι τρεῖς. Μέγιστον δὲ καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἡ τοῦ Πλημμυρίου λῆψις· οὐ γὰρ ἔτι οὐδ' οἱ ἔςπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων, (οἱ γὰρ Συρακούσιοι ναυσὶν αὐτόθι ἐφορμοῦντες ἐκώλυον,) καὶ διὰ μάχης ἤδη ἐγίγνοντο αἱ ἐςκομιδαί· ἔς τε τὰ ἄλλα κατάπληξιν παρέσχε καὶ ἀθυμίαν τῷ στρατεύματι.

25. Μετὰ δὲ τοῦτο ναῦς τε ἐκπέμπουσι δώδεκα οἱ Συρακούσιοι, καὶ Ἀγάθαρχον ἐπ' αὐτῶν Συρακούσιον ἄρχοντα. Καὶ αὐτῶν μία μὲν ἐς Πελοπόννησον ᾤχετο,

Primum hoc et graviſſimum damnum Athenienſibus in Sicilia acciderat, quo non ſolum commeatuum importatio impediebatur, ſed etiam animi omnino debilitabantur. 25. Quarum rerum nuntios in Peloponneſum mittunt Syracuſani, et inde ab eo tempore ſaepius cum Athe-

Non enim reliquerant Athenienſes caſtella et quae ibi depoſita erant; ſed cuſtodes, qui ad tutelam praeſto erant, a Syracuſanis opprimebantur. Etiam aoriſtus vulgatae repugnat, niſi quis pro plusquamperfecto eſſe uſurpatum contendat.

ὥςτε γὰρ ταμιείῳ. Poëtarum proprius eſt hic uſus τοῦ ὥςτε, ut ſit pro ὡς, ut Homericum: ὥςτε κρήνη μελάνυδρος. Cod. Par. H. habet ἅτε, ex interpretatione fortaſſe. — χρήματα ſunt *bona*, non pecuniae. cf. c. 25. πλοῖα τοῖς Ἀθηναίοις γέμοντα χρημάτων, ibique Schol. — Articulum τῶν ante τριηραρχῶν, undecim codices ignorant. Expunxi cum Benedicto, cum articulus propter antecedentia πολλὰ μὲν ἐμπόρων non ſolum neceſſarius non ſit, ſed melius abſit.

καὶ τριήρεις ἀνειλκυσμέναι τρεῖς. Vulgo ἀνελκυσμέναι vitioſe.

ἐν τοῖς πρῶτον. Vid. ad cap. 19. coll. 3, 17. — Mox articulum τὸ ante τῶν Ἀθηναίων, ſervo cum plurimis MSſ.

πρέσβεις ἄγουσα, οἵπερ τὰ σφέτερα φράσωσιν, ὅτι ἐν ἐλπίσιν εἰσὶ, καὶ τὸν ἐκεῖ πόλεμον ἔτι μᾶλλον ἐποτρύνωσι γίγνεσθαι· αἱ δὲ ἕνδεκα νῆες πρὸς τὴν Ἰταλίαν ἔπλευσαν, πυνθανόμεναι, πλοῖα τοῖς Ἀθηναίοις γέμοντα χρημάτων προσπλεῖν. Καὶ τῶν τε πλοίων, ἐπιτυχοῦσαι, τὰ πολλὰ διέφθειραν, καὶ ξύλα ναυπηγήσιμα ἐν τῇ Καυλωνιάτιδι κατέκαυσαν, ἃ τοῖς Ἀθηναίοις ἑτοιμα ἦν. Ἔς τε Λοκροὺς μετὰ ταῦτα ἦλθον. Καὶ ὁρμουσῶν αὐτῶν, κατέπλευσε μία τῶν ὁλκάδων τῶν ἀπὸ Πελοποννήσου, ἄγουσα Θεσπιέων ὁπλίτας. Καὶ ἀναλαβόντες αὐτοὺς οἱ Συρακούσιοι ἐπὶ τὰς ναῦς, παρέπλεον ἐπ' οἴκου. Φυλάξαντες δ' αὐτοὺς οἱ Ἀθηναῖοι εἴκοσι ναυσὶ πρὸς τοῖς Μεγάροις, μίαν μὲν ναῦν λαμβάνουσιν αὐτοῖς ἀνδράσι, τὰς δ' ἄλλας οὐκ ἠδυνήθησαν, ἀλλ' ἀποφεύγουσιν ἐς τὰς Συρακούσας. Ἐγένετο δὲ καὶ περὶ τῶν σταυρῶν ἀκροβολισμὸς ἐν τῷ λιμένι, οὓς οἱ Συρακούσιοι πρὸ τῶν παλαιῶν νεωςοίκων κατέπηξαν ἐν τῇ θαλάσσῃ, ὅπως αὐτοῖς αἱ νῆες ἐντὸς ὁρμοῖεν, καὶ οἱ Ἀθηναῖοι ἐπιπλέοντες μὴ βλάπτοιεν ἐμβάλλοντες. Προςαγαγόντες γὰρ ναῦν μυριοφόρον αὐτοῖς οἱ Ἀθηναῖοι, πύργους τε ξυλίνους ἔχουσαν καὶ παραφράγματα, ἔκ τε τῶν ἀκάτων ὤνευον

nienſibus claſſe confligunt. Maximum vero certamen de vallis, a Syracuſanis ante vetera navalia in magno portu

25. *ἐν τῇ Καυλωνιάτιδι.* Caulonia urbs in Bruttiis ſita. Cf. Duck. Strabo lib. VI. inter Sagram fluvium et Scyllacium ponit.

μὴ βλάπτοιεν ἐμβάλλοντες. Vulgo *ἐμβαλόντες*. Illud e ſeptem praeſtantioribus libris cum Benedicto recepi.

ναῦν μυριοφόρον. Schol. *μεγάλην, δυναμένην δέξασθαι μυρίον φόρτον.* In univerſum ſignificat navem onerariam grandiorem. Cf. Bredovius ad h. l. Etiam hodierni populi navium magnitudinem ita deſignant, et bellicarum, et mercaturae inſervientium. (Ein Schiff von 70 Kanonen, von 500 Tonnen oder Laſten). Eadem navis paullo inferius dicitur *ὁλκάς*.

ἔκ δὲ τῶν ἀκάτων ὤνευον. Vulgo *ἀκατίων*. Sed lectio novem codicum, quam etiam Thomas Mag. habet, aptior eſt, propterea quod parvis navigiis hic nullus uſus. Cf. infra cap. 59. *Ὀνεύειν* dicuntur, qui utuntur *ὄνῳ* ſive, ut Scholiaſtes

ἀναδούμενοι τοὺς σταυροὺς, καὶ ἀνέκλων, καὶ κατακολυμβῶντες ἐξέπριον. Οἱ δὲ Συρακούσιοι ἀπὸ τῶν νεωςοίκων ἔβαλλον· οἱ δ' ἐκ τῆς ὁλκάδος ἀντέβαλλον· καὶ τέλος τοὺς πολλοὺς τῶν σταυρῶν ἀνεῖλον οἱ Ἀθηναῖοι. Χαλεπωτάτη δ' ἦν τῆς σταυρώσεως ἡ κρύφιος. Ἦσαν γὰρ τῶν σταυρῶν, οὓς οὐχ ὑπερέχοντας τῆς θαλάσσης κατέπηξαν· ὥςτε δεινὸν ἦν προςπλεῦσαι, μὴ οὐ προϊδών τις, ὥςπερ περὶ ἕρμα, περιβάλῃ τὴν ναῦν. Ἀλλὰ καὶ τούτους κολυμβηταὶ δυόμενοι ἐξέπριον μισθοῦ. Ὅμως δ' αὖθις οἱ Συρακούσιοι ἐσταύρωσαν. Πολλὰ δὲ καὶ ἄλλα πρὸς ἀλλήλους (οἷον εἰκὸς, τῶν στρατοπέδων ἐγγὺς ὄντων καὶ ἀντιτεταγμένων,) ἐμηχανῶντο, καὶ ἀκροβολισμοῖς καὶ πείραις παντοίαις ἐχρῶντο. Ἔπεμψαν δὲ καὶ ἐς τὰς πόλεις πρέσβεις οἱ Συρακούσιοι Κορινθίων καὶ Ἀμπρακιωτῶν καὶ Λακεδαιμονίων, ἀγγελοῦντας τήν τε τοῦ Πλημμυρίου λῆψιν, καὶ τῆς ναυμαχίας πέρι, ὡς, οὐ τῇ τῶν πολεμίων ἰσχύϊ μᾶλλον, ἢ τῇ σφετέρᾳ ταραχῇ, ἡσσηθεῖεν· τά τε ἄλλα αὖ δηλώσοντας, ὅτι ἐν ἐλπίσιν εἰσὶ, καὶ ἀξιώσοντας

fixis, exarſit. Et in Siciliae civitates legati miſſi ſunt cum nuntiis rerum geſtarum, qui ad auxilium ferendum

ſcribit, *ὀνεύῳ*, i. e. machina in navigio fixa, qua per laqueos, iniectos alicui rei vel graviſſimae et maximi ponderis, ſurſum ea tollitur, e fundo evellitur. Hoc enim valet h. l. *ἀνακλᾶν*, *convellere*, *e fundo evellere*.

κολυμβηταὶ δυόμενοι ἐξέπριον. Memorabilis locus! Tanta igitur urinatorum Graecorum ars, ut vel valles ſub aqua merſi ſerra finderent.

Κορινθίων καὶ Ἀμπρακιωτῶν κ. Λ. Hos genitivos quo referas, dubitari poſſit, utrum ad *πόλεις*, an ad *πρέσβεις*. Ad Peloponneſias quidem paullo ante, ab initio capitis, una navis miſſa narrabatur; neque veriſimile eſt, nunc rurſus alios legatos eſſe ſubmiſſos, cum interea nil novi evenerit. Ergo Siciliae civitates, quae quidem Syracuſanorum ſociae eſſent, intelligendae, et genitivi cum vocabulo *πρέσβεις* iungendi ſunt. Dicit aperte Thucydides infra cap. 32. Miſerunt legatos ex Corinthiis, Ambraciotis et Lacedaemoniis delectos. Quid hoc? Scilicet, ut maiorem auctoritatem et fidem haberet apud exteras civitates eorum relatio et teſtimonium. — Mox pro *ἀγγελοῦντας* codices quatuordecim habent *ἀγγέλλοντας*. Non audio. Sequitur enim *δηλώσοντας* — *ἀξιώσοντας*. Cf. ſupra init. cap. *οἵπερ* — *φράσουσιν*.

ξυμβοηθεῖν ἐπ' αὐτοὺς καὶ ναυσὶ καὶ πεζῷ, ὡς καὶ τῶν Ἀθηναίων προσδοκίμων ὄντων ἄλλῃ στρατιᾷ, καὶ, ἢν φθάσωσιν αὐτοὶ πρότερον διαφθείραντες τὸ παρὸν στράτευμα αὐτῶν, διαπολεμησόμενον. Καὶ οἱ μὲν ἐν τῇ Σικελίᾳ ταῦτα ἔπρασσον.

26. Ὁ δὲ Δημοσθένης, ἐπεὶ ξυνελέγη αὐτῷ τὸ στράτευμα, ὃ ἔδει ἔχοντα ἐς τὴν Σικελίαν βοηθεῖν, ἄρας ἐκ τῆς Αἰγίνης, καὶ πλεύσας πρὸς τὴν Πελοπόννησον, τῷ τε Χαρικλεῖ καὶ ταῖς τριάκοντα ναυσὶ τῶν Ἀθηναίων ξυμμίσγει. Καὶ παραλαβόντες τῶν Ἀργείων ὁπλίτας [τινὰς] ἐπὶ τὰς ναῦς, ἔπλεον ἐς τὴν Λακωνικήν. Καὶ πρῶτον μὲν τῆς Ἐπιδαύρου τι τῆς Λιμηρᾶς ἐδῄωσαν· ἔπειτα, σχόντες ἐς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς, ἔνθα τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστι, τῆς τε γῆς ἔστιν ἃ ἐδῄωσαν, καὶ ἐτείχισαν ἰσθμῶδές τι χωρίον, ἵνα δὴ οἵ τε Εἵλωτες τῶν Λακεδαιμονίων αὐτόσε αὐτομολῶσι, καὶ λησταὶ ἐξ αὐτοῦ, ὥσπερ ἐκ τῆς Πύλου, ἁρπαγὴν ποιῶνται. Καὶ ὁ μὲν Δημοσθένης εὐθὺς, ἐπειδὴ ξυγκατέλαβε τὸ χωρίον, ἐπέπλει ἐπὶ τῆς Κερκύρας, ὅπως, καὶ τῶν ἐκεῖθεν ξυμμάχων παραλαβὼν, τὸν ἐς τὴν Σικελίαν πλοῦν ὅτι τάχιστα ποιῆται· ὁ δὲ Χαρικλῆς, περιμείνας, ἕως τὸ χωρίον ἐξετείχισε, καὶ καταλιπὼν φυλακὴν αὐτοῦ,

evocarent. 26. Interim Demoſthenes, adiuncto ſibi Charicle, primum Epidaurum Limeram devaſtavit, deinde in iſthmo quodam Peloponneſi, prope Cythera, munimentum facere inſtituit, ad cuius perfectionem Chariclem

διαπολεμησόμενον. Cod. Par. H. exhibet διαπεπολημησομένων, haud dubie a correctore. Nam futurum medii pro futuro paſſivi frequens eſt (v. ad 2, 87.), et ſtructurae mutatio, vel transitus a genitivis abſolutis ad accuſativum participii abſolutum, Thucydidi familiaris. Supra cap. 15. Βουλεύεσθε ἤδη, ὡς τῶν γ' ἐνθάδε μηδὲ τοῖς παροῦσιν αὐταρκούντων, ἀλλ' ἢ τούτους μεταπέμπειν δέον, ἢ ἄλλην στρατιὰν μὴ ἐλάσσω ἐπιπέμπειν. Cf. exempla a Duckero allata.

26. ὁπλίτας [τινὰς] ἐπὶ τὰς ναῦς. Pronomen τινάς abeſt a codd. Ar. C. Dan. Reg. Caſſ. Aug. Pariſſ. duobus, item a Vallae libro.

ἀπεκομίζετο καὶ αὐτὸς ὕστερον ταῖς τριάκοντα ναυσὶν ἐπ' οἴκου, καὶ οἱ Ἀργεῖοι ἅμα.

27. Ἀφίκοντο δὲ καὶ τῶν Θρακῶν τῶν μαχαιροφόρων τοῦ Διακοῦ γένους ἐς τὰς Ἀθήνας πελτασταὶ ἐν τῷ αὐτῷ θέρει τούτῳ τριακόσιοι καὶ χίλιοι, οὓς ἔδει τῷ Δημοσθένει ἐς τὴν Σικελίαν ξυμπλεῖν. Οἱ δ' Ἀθηναῖοι, ὡς ὕστερον ἧκον, διενοοῦντο αὐτοὺς πάλιν, ὅθεν ἦλθον, ἐς Θρᾴκην ἀποπέμπειν. Τὸ γὰρ ἔχειν πρὸς τὸν ἐκ τῆς Δεκελείας πόλεμον αὐτοὺς πολυτελὲς ἐφαίνετο· δραχμὴν γὰρ τῆς ἡμέρας ἕκαστος ἐλάμβανεν. Ἐπειδὴ γὰρ ἡ Δεκέλεια, τὸ μὲν πρῶτον ὑπὸ πάσης τῆς στρατιᾶς ἐν τῷ θέρει τούτῳ τειχισθεῖσα, ὕστερον δὲ φρουραῖς ὑπὸ τῶν πόλεων, κατὰ διαδοχὴν χρόνου ἐπιούσαις τῇ χώρᾳ, ἐπῳκεῖτο, πολλὰ ἔβλαπτε τοὺς Ἀθηναίους, καὶ ἐν τοῖς πρώτοις χρημάτων τ' ὀλέθρῳ καὶ ἀνθρώπων φθορᾷ ἐκάκωσε τὰ πράγματα. Πρότερον μὲν γὰρ βραχεῖαι γιγνόμεναι αἱ ἐσβολαὶ, τὸν ἄλλον χρόνον τῆς γῆς ἀπολαύειν οὐκ ἐκώλυον· τότε δὲ, ξυνεχῶς ἐπικαθημένων, καὶ ὁτὲ μὲν καὶ πλεόνων ἐπιόντων, ὁτὲ δ' ἐξ ἀνάγκης τῆς ἴσης φρουρᾶς καταθεούσης τε τὴν χώραν, καὶ λῃστείας ποιουμένης, βασιλέως

reliquit, ipſe circa Peloponneſum Corcyram profectus. 27 — 28. Cum Thraces, quos Athenienſes cum Demo-

27. τοῦ Διακοῦ γένους. Δῖοι erant Thracica gens, cuius meminit etiam ſupra 2, 96., ubi eos αὐτονόμους, et, ut hic, μαχαιροφόρους dicit.

ἐπειδὴ γὰρ ἡ Δεκέλεια — ἐπῳκεῖτο. Aut participium τειχισθεῖσα h. l. eſt pro verbo finito ἐτειχίσθη, aut transiit a participio ad conſtructionem per verbum finitum, ut plenius dicendum fuerit pro ἐπῳκεῖτο: ἐποικουμένη, κατείχετο. — Pro ἐπιουσῶν, codd. iubentibus, dedi ἐπιούσαις, ut ad φρουραῖς referretur, quod utique melius, praeſertim cum αἱ πόλεις nihil amplius quam curarent, ut Decelia praeſidiis cuſtodiretur, certumque ſingulae militum numerum, certo temporum ſpatio elapſo, ſubmitterent. Itaque ὑπὸ τῶν πόλεων pertinet ad ἐπῳκεῖτο, et φρουραῖς dativus eſt inſtrumentalis, quo recte refertur participium ἐπιούσαις, licet remotior ſit genitivo τῶν πόλεων. — ἀνθρώπων φθορᾷ, nempe proeliis et ſervorum fugis.

τῆς ἴσης φρουρᾶς. Schol. τῆς τεταγμένης, recte. Nam de praeſidio illo ſemper pari, quod erat Deceliae, ſermo eſt.

τε παρόντος τοῦ τῶν Λακεδαιμονίων, Ἄγιδος, ὃς οὐκ ἐκ παρέργου τὸν πόλεμον ἐποιεῖτο, μεγάλα οἱ Ἀθηναῖοι ἐβλάπτοντο. Τῆς τε γὰρ χώρας ἁπάσης ἐστέρηντο, καὶ ἀνδραπόδων πλέον ἢ δύο μυριάδες ηὐτομολήκεσαν, καὶ τούτων πολὺ μέρος χειροτέχναι· πρόβατά τε πάντα ἀπολώλει καὶ ὑποζύγια· ἵπποι τε, ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων, πρός τε τὴν Δεκέλειαν καταδρομὰς ποιουμένων, καὶ κατὰ τὴν χώραν φυλασσόντων, οἱ μὲν ἀπεχωλοῦντο, ἐν γῇ ἀποκρότῳ τε, καὶ ξυνεχῶς ταλαιπωροῦντες, οἱ δ' ἐτιτρώσκοντο.

28. Ἥ τε τῶν ἐπιτηδείων παρακομιδὴ ἐκ τῆς Εὐβοίας, πρότερον ἐκ τοῦ Ὠρωποῦ κατὰ γῆν διὰ τῆς Δεκελείας θάσσων οὖσα, περὶ Σούνιον κατὰ θάλασσαν πολυτελὴς ἐγίγνετο· τῶν τε πάντων ὁμοίως ἐπακτῶν ἐδεῖτο ἡ πόλις, καὶ, ἀντὶ τοῦ πόλις εἶναι, φρούριον κατέστη. Πρὸς γὰρ τῇ ἐπάλξει τὴν μὲν ἡμέραν κατὰ διαδοχὴν οἱ Ἀθηναῖοι φυλάσσοντες, τὴν δὲ νύκτα καὶ ξύμπαντες, πλὴν τῶν ἱππέων, οἱ μὲν ἐφ' ὅπλοις ποιούμενοι, οἱ δ' ἐπὶ τοῦ τείχους, καὶ θέρους καὶ χειμῶνος ἐταλαιπωροῦντο. Μάλιστα δ' αὐτοὺς ἐπίεζεν, ὅτι δύο πολέμους ἅμα εἶχον. Καὶ ἐς φιλονεικίαν καθέστασαν τοιαύτην, ἣν, πρὶν γενέσθαι, ἠπίστησεν ἄν τις ἀκούσας. Τὸ γὰρ αὐτοὺς, πολιορκουμένους ἐπιτειχισμῷ ὑπὸ

ſthene in Siciliam miſſuri erant, ſero adveniſſent, Athe-

28. *θάσσων οὖσα.* Ita codd. Reg. Caſſ. Aug. rectius, quam vulgati libri, in quibus eſt *θᾶσσον.* Saepe ο et ω inter ſe permutantur. Vid. 5, 6 init. *Ὠρωπός*, Atticae urbs, ad Euripum ſita.

ἐφ' ὅπλοις ποιούμενοι, ſubaudi *τὴν φυλακήν*, ex praecedente *φυλάσσοντες.* *Ἐφ' ὅπλοις*, i. e. in ſtatione armati, ut alibi *τὰ ὅπλα τιθέμενοι.*

τὸ γὰρ αὐτοὺς, — ἐκ Πελοποννήσου. Mancam eſſe orationem patet. Non male Scholiaſtes *ἀπὸ κοινοῦ*, vel e praecedentibus, ſubaudit: *ἠπίστησεν ἄν τις ἀκούσας.* Certe ſimilem quandam dictionem in animo fuiſſe Thucydidi, cum priorem periodi partem ſcriberet, opinari conſentaneum eſt. Sed abreptus orationis flumine, fortaſſe propter iniectum *ἐνόμιζον*, verbum omiſit, unde penderet accuſativus cum infinitivo; quod equidem lineola poſt *Πελοπον-*

Πελοποννησίων, μηδ' ὡς ἀποστῆναι ἐκ Σικελίας, ἀλλὰ ἐκεῖ Συρακούσας τῷ αὐτῷ τρόπῳ ἀντιπολιορκεῖν, πόλιν οὐδὲν ἐλάσσονα αὐτήν τε καθ' αὑτὴν τῶν Ἀθηναίων, καὶ τὸν παράλογον τοσοῦτον ποιῆσαι τοῖς Ἕλλησι τῆς δυνάμεως καὶ τόλμης, ὅσον κατ' ἀρχὰς τοῦ πολέμου, οἱ μὲν ἐνιαυτὸν, οἱ δὲ δύο, οἱ δὲ τριῶν γε ἐτῶν, οὐδεὶς πλείω χρόνον, ἐνόμιζον περιοίσειν αὐτοὺς, εἰ οἱ Πελοποννήσιοι ἐσβάλοιεν ἐς τὴν χώραν· ὥστε ἔτει ἑπτακαιδεκάτῳ μετὰ τὴν πρώτην ἐσβολὴν ἦλθον ἐς Σικελίαν, ἤδη τῷ πολέμῳ κατὰ πάντα τετρυχωμένοι, καὶ πόλεμον οὐδὲν ἐλάσσω προσανείλοντο τοῦ πρότερον ὑπάρχοντος ἐκ Πελοποννήσου —. Δι' ἃ καὶ τότε, ὑπό τε τῆς Δεκελείας πολλὰ βλαπτούσης, καὶ τῶν ἄλλων ἀναλωμάτων μεγάλων προσπιπτόντων, ἀδύνατοι ἐγένοντο τοῖς χρήμασι· καὶ τὴν εἰκοστὴν ὑπὸ τοῦτον τὸν χρόνον τῶν κατὰ θάλασσαν ἀντὶ τοῦ φόρου τοῖς ὑπη-

nienſes, exhauſtis publicis privatisque opibus, domum

νῆσον poſita, indicandum eſſe duxi. Cf. ad 5, 72 init. *ὥστε* pendet a *τοσοῦτον*. — Pro *ἐλάσσονα* Schol. *ἐλάσσω* pro varia lectione affert, quae contractio frequentiſſima eſt apud Thucydidem, ut paullo poſt etiam hoc capite legitur *πλείω χρόνον*, et *πόλεμον οὐδὲν ἐλάσσω*, et rurſus *πλείω χρήματα*. Sed ne altera quidem forma Noſtro inuſitata, ſed promiſcue utramque uſurpat. *Ἐλάσσονα* autem hic non ad magnitudinem, ſed ad vires pertinet. Quare non ſpernenda videtur lectio *τῶν Ἀθηναίων* pro *τῶν Ἀθηνῶν*, codicum fere omnium conſenſu firmata, quam praeter conſuetudinem et morem ſuum Benedictus reiecit. Comparari recte poteſt viribus Syracuſanorum urbs cum Athenienſibus, i. e. Syracuſani cum Athenienſibus, aut ſi malis, Syracuſae cum Athenis. Nihil hac permutatione apud veteres frequentius, ut pigeat exempla afferre.

ὅσον κατ' ἀρχὰς τοῦ πολέμου, i. e. *quatenus* ab initio belli alii — exiſtimabant.

μετὰ τὴν πρώτην ἐσβολὴν, Archidamo duce, 2, 10 ſeqq.

ὑπό τε τῆς Δεκελείας. A quibusdam Mſſ. *τέ* abeſt, male.

ἀντὶ τοῦ φόρου. De hoc tributo ſociorum diximus ad 1, 96. Id cum inde a Periclis temporibus valde auctum fuerit, primum ab ipſo Pericle ad 600 talenta, deinde a ſequioribus demagogis ad 1300; Bredovius dubitat, an omnino abrogatum ſit tributum, quod ſolus h. l. tradat Thucydides. Cum enim viceſimae mercium Athenas ſubvectarum (5 pro Cent) ex Manſonis ratiocinatione non plus quam 90 talenta quotannis efficiant, patere, mul-

κόσις ἐποίησαν, πλείω νομίζοντες ἂν σφίσι χρήματα οὕτω προσιέναι. Αἱ μὲν γὰρ δαπάναι οὐχ ὁμοίως καὶ πρὶν, ἀλλὰ πολλῷ μείζους, καθέστασαν, ὅσῳ καὶ μείζων ὁ πόλεμος ἦν· αἱ δὲ πρόσοδοι ἀπώλλυντο.

29. Τοὺς οὖν Θρᾶκας, τοὺς τῷ Δημοσθένει ὑστερήσαντας, διὰ τὴν παροῦσαν ἀπορίαν τῶν χρημάτων, οὐ βουλόμενοι δαπανᾷν, εὐθὺς ἀπέπεμπον, προστάξαντες κομίσαι αὐτοὺς Διïτρεφεῖ, καὶ εἰπόντες, ἅμα ἐν τῷ παράπλῳ (ἐπορεύοντο γὰρ δι' Εὐρίπου,) καὶ τοὺς πολεμίους, ἤν τι δύνωνται, ἀπ' αὐτῶν βλάψαι. Ὁ δὲ ἐς τὴν Τάναγραν ἀπεβίβασεν αὐτοὺς, καὶ ἁρπαγήν τινα ἐποιήσατο διὰ τάχους. Καὶ ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀφ' ἑσπέρας διέπλευσε τὸν Εὔριπον· καὶ ἀποβιβάσας ἐς τὴν Βοιωτίαν, ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν. Καὶ τὴν μὲν νύκτα λαθὼν, πρὸς τῷ Ἑρμαίῳ ηὐλίζετο· (ἀπέχει δὲ τῆς Μυκαλησσοῦ ἑκκαίδεκα μάλιστα σταδίους·) ἅμα δὲ τῇ ἡμέρᾳ τῇ πόλει προσέκειτο, οὔσῃ μεγάλῃ· καὶ αἱρεῖ, ἀφυλάκτοις τε ἐπιπεσὼν, καὶ ἀπροσδοκήτοις, μὴ ἄν ποτέ τινα σφίσιν ἀπὸ θαλάσσης, τοσοῦτον ἐπαναβάντα, ἐπιθέσθαι, τοῦ τείχους ἀσθενοῦς ὄντος, καὶ ἔστιν ᾗ καὶ πεπτωκότος, τοῦ δὲ βραχέος ᾠκοδομημένου,

eos remittunt. 29. Qui cum per Euripum navigantes ad Boeotiae littora appulissent, Mycalessios oppresserunt,

to minus ex portorio, quam ex tributo tralatitio Athenienses perceptu ros fuisse. Quamvis autem portorium superaverit tributum, illud tamen ab ipsis Atheniensibus potius, quam a sociis exigi necesse fuisse. Vera haec sunt, quae de natura portorii pronuntiat; nec tamen Thucydidem convincunt, qui brevius ideoque obscurius hic loquitur, neque addit, mox hoc institutum rursus esse mutatum. Nam ex Plutarchi loco (Aristid. c. 24.) non hoc, quod Bredovius colligit, efficitur, *perpetuo* et sine ulla intermissione tributum a sociis solutum esse; sed etiam postea exactum; neque diu fortasse intermissum, quia mox ipsos Athenienses errorem suum intellexisse, credibile est.

29. τοῦ δὲ βραχέος ᾠκοδομημένου. Supra cap. 4. eodem sensu, sed minus perspicue dixerat ἀσθενές, cui opponit ὑψηλότερον. — Superius h. c. ante verba καὶ ἐκ Χαλκίδος plene interpunxi, quia prior illa ad Tanagram Boeotiae appulsio a posteriore contra Mycalessum facta, et tempore et loco,

καὶ πυλῶν ἅμα, διὰ τὴν ἄδειαν, ἀνεῳγμένων. Ἐσπεσόντες δὲ οἱ Θρᾶκες ἐς τὴν Μυκαλησσὸν, τάς τε οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν, καὶ τοὺς ἀνθρώπους ἐφόνευον, φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ πάντας ἑξῆς, ὅτῳ ἐντύχοιεν, καὶ παῖδας καὶ γυναῖκας κτείνοντες, καὶ προσέτι καὶ ὑποζύγια, καὶ ὅσα ἄλλα ἔμψυχα ἴδοιεν. Τὸ γὰρ γένος τὸ τῶν Θρᾳκῶν, ὅμοια τοῖς μάλιστα τοῦ βαρβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστι. Καὶ τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη, καὶ ἰδέα πᾶσα καθειστήκει ὀλέθρου· καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων, ὅπερ μέγιστον ἦν αὐτόθι, (καὶ ἄρτι ἔτυχον οἱ παῖδες ἐσεληλυθότες,) κατέκοψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει πάσῃ οὐδεμιᾶς ἥσσων μᾶλλον ἑτέρας ἀδόκητός τε ἐπέπεσεν αὕτη καὶ δεινή.

30. Οἱ δὲ Θηβαῖοι, αἰσθόμενοι, ἐβοήθουν, καὶ καταλαβόντες προκεχωρηκότας ἤδη τοὺς Θρᾷκας οὐ πολὺ, τήν τε λείαν ἀφείλοντο, καὶ αὐτοὺς φοβήσαντες, καταδιώκουσιν ἐπὶ τὸν Εὔριπον καὶ τὴν θάλασσαν, οὗ αὐτοῖς τὰ πλοῖα, ἃ ἤγαγεν, ὥρμει. Καὶ ἀποκτείνουσιν αὐτῶν ἐν τῇ ἐσβάσει τοὺς πλείστους, οὔτε ἐπισταμένους

et, magna ibi ſtrage facta, 30. a Thebanis, confeſtim

unde proficiſcerentur, diverſa erat. — Poſt ἀπροσδοκήτοις, quod h. l. active pro οὐ προσδεχομένοις accipiendum eſt, negatio μὴ redundat, ut ſaepe. Vid. ad 3, 1.

ὅμοια τοῖς μάλιστα τοῦ βαρβ. Ὅμοια h. l. habes pro ὁμοίως. Ad τοῖς μάλιστα ex ſequentibus ſubaudi φονικοῖς. — ἐν ᾧ, int. ἔργῳ, πράγματι. Alii τόπῳ, alii χρόνῳ ſubaudiunt; minus bene.

καὶ ἄρτι — ἐσεληλυθότες. Haec verba in parentheſi dicta eſſe, apparet. Quare ſigna appoſui. — Mox Heilmannum verum vidiſſe puto, cum verba μᾶλλον ἑτέρας praecedentium verborum οὐδεμιᾶς ἥσσων interpretamentum eſſe ſuſpicaretur. Me vero, ut eius ſententiae ſubſcribam, paullo magis movet vox ἑτέρας, cuius ſignificatio ab hoc loco aliena eſt, quam μᾶλλον comparativo adiectum. Praeferam etiam ἧσσον e Caſſ.

30. καὶ ἀποκτείνουσιν αὐτῶν ἐν τῇ ἐσβάσει τοὺς πλείστους. Cum mille et ducenti Thraces fuerint, ducenti autem et quinquaginta tantum occiſi infra memorentur, quaeras, quo iure h. l. Thucydides dixerit ἀποκτείνουσι τοὺς πλείστους. Interpretes inde a Scholiaſta hanc difficultatem nondum ſustulerunt. Plerique τοὺς πλεί-

νεῖν, τῶν τε ἐν τοῖς πλοίοις, ὡς ἑώρων τὰ ἐν τῇ γῇ, ὁρμισάντων ἔξω τοῦ ζεύγματος τὰ πλοῖα. Ἐπεὶ ἔν γε τῇ ἄλλῃ ἀναχωρήσει οὐκ ἀτόπως οἱ Θρᾷκες πρὸς τὸ τῶν Θηβαίων ἱππικὸν, ὅπερ πρῶτον προσέκειτο, προεκθέοντές τε καὶ ξυστρεφόμενοι ἐν ἐπιχωρίῳ τάξει, τὴν φυλακὴν ἐποιοῦντο· καὶ ὀλίγοι αὐτῶν ἐν τούτῳ διεφθάρησαν· μέρος δέ τι καὶ ἐν τῇ πόλει αὐτῇ δι' ἁρπαγὴν ἐγκαταληφθὲν ἀπώλετο. Οἱ δὲ ξύμπαντες τῶν

ad auxilium fuccurrentibus, ad naves compulfi funt.

στους ad eos tantum referunt, qui nare non poffent, quod vetant, ut alia taceam, particulae οὔτε — τέ, et accufativus ἐπισταμένους, cum ita genitivus requireretur. Vera autem loci interpretandi ratio haec eft. Non ad ἀποκτείνουσι fimpliciter verba τοὺς πλείστους referenda funt, fed etiam ad ἐν τῇ ἐςβάσει. Mox enim dicit, contra equitatum Boeotorum non abfurde fe defendiffe Thraces, et in hac propugnatione (ἐν τούτῳ) paucos effe interfectos; nonnullos vero etiam in ipfa urbe, cum praedae intenti effent, captos et interemptos. Cum igitur tribus in locis Thraces caederentur, in urbe, in pugna cum profequentibus equitibus, in efcenfione navium: illis inter fe comparatis locis, maximum caeforum numerum in efcenfione fuiffe, Thucydides pronuntiat.

ὡς ἑώρων τὰ ἐν τῇ γῇ, ὁρμισάντων ἔξω τοῦ ζεύγματος τ. π. Codex Par. H. ita legit: ὡς ἑώρων τὴν φυγὴν ἀνορμισάντων ἔξω τοξεύματος. In margine autem γρ. ὁρμισάντων ἔξω τοῦ ζεύγματος. Etiam Gr. et Vallae liber τοξεύματος habent; et τὴν φυγὴν, ἀνορμισάντων praebet etiam Marg. Sed hae lectiones merae funt partim interpretationes, partim correctionum conatus, neque a vulgata recedendum effe arbitror. Τὸ ζεῦγμα intellige eam navis cum terra iuncturam, qua vel efcendere vel defcendere licet per ἀποβάθραν. Thucyd. 4, 12. Ἐχώρει ἐπὶ τὴν ἀποβάθραν. Reducebant naves a Boeotiae littore, veriti, ne perfequentes hoftes naves ipfas confcendere et capere occuparent. Lectio τοξεύματος multo facilior eft et magis obvia, quam ut ab ea ad alteram illam aberrari potuerit. Hoc etiam Bauerus monuit, in ceteris a vera interpretatione aberrans, et pontem intelligens, quo Euboea continenti Boeotiae coniuncta fuerit; quem pontem poft cladem Athenienfium in Sicilia, et poft defectionem Euboeae ab Athenienfibus demum factum effe, Duckerus demonftraverat ex Diodori 13, 47.

προεκθέοντές τε καὶ ξυστρ. Codd. Ar. C. Dan. Mofq. Reg. Caff. Aug. omittunt τέ, quod h. l. aptiffimum eft. Etiam infra c. 31. extr. octo codd., omiffo τέ, legunt: καὶ πεντεκαίδεκα ναῦς πληροῦν κελεύσας αὐτούς, ubi vulgo τέ poft πεντεκαίδεκα, quod fortaffe natum ex numeri nota ιέ.

δι' ἁρπαγὴν ἐγκαταληφθέν. Male Abrefchius probat ἐγκαταλειφθέν, quod eft in Reg. Brevius indicatur caufa re-

Θρακῶν πεντήκοντα καὶ διακόσιοι ἀπὸ τριακοσίων καὶ χιλίων ἀπέθανον. Διέφθειραν δὲ καὶ τῶν Θηβαίων καὶ τῶν ἄλλων, οἳ ξυνεβοήθησαν, ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας ὁμοῦ, καὶ Θηβαίων τῶν Βοιωταρχῶν Σκιρφώνδαν· τῶν δὲ Μυκαλησσίων μέρος τι ἀπαναλώθη. Τὰ μὲν κατὰ τὴν Μυκαλησσὸν, πάθει χρησαμένων οὐδενὸς, ὡς ἐπὶ μεγέθει, τῶν κατὰ τὸν πόλεμον ἧσσον ὀλοφύρασθαι ἀξίῳ, τοιαῦτα ξυνέβη.

51. Ὁ δὲ Δημοσθένης, τότε ἀποπλέων ἐπὶ τῆς Κερκύρας μετὰ τὴν ἐκ τῆς Λακωνικῆς τείχισιν, ὁλκάδα ὁρμοῦσαν ἐν Φειᾷ τῇ Ἠλείων, ἐν ᾗ οἱ Κορίνθιοι ὁπλῖ-

51. Demosthenes in itinere illo versus Corcyram Pheae in Elide occupat navem onerariam Corinthiorum, a Za-

manendi verbis δι᾽ ἁρπαγήν, „quia ad praedam faciendam commorabantur." — Paullo ante ad ἐν τούτῳ intf. ἔργῳ, i. e. ἐν τῇ ἄλλῃ ἀναχωρήσει.

Θηβαίων τῶν Βοιωταρχῶν. Erant enim inter undecim Boeotarchas duo Thebani. Vid. ad 4, 91.

ὡς ἐπὶ μεγέθει. Portus: „pro civitatis magnitudine." Mihi πάθους subaudiendum videtur cum Bauero, tum quod Thucydides, si illud voluisset, haud dubie adiecisset τῆς πόλεως, tum quia supra cap. 29. magnam caedem factam esse demonstravit.

51. τότε ἀποπλέων ἐκ τῆς Κερκύρας. Supra c. 26. Καὶ ὁ μὲν Δημοσθένης — ἔπλει ἐπὶ τῆς Κερκύρας. Eundem etiam nunc in hoc itinere versantem conspicimus, et antequam Corcyram perveniat (cap. 33), Zacynthum et Cephalleniam et Acarnaniae quaedam oppida adeuntem. Hoc quidem ad ea, quae ipsi mandata erant, pertinebat. Cf. c. 26. ὅπως καὶ, τῶν ἐκεῖθεν ξυμμάχων παραλαβὼν, τὸν ἐς Σικελίαν πλοῦν ὅτι τάχιστα ποιῆται. Sed illa locorum ratio mihi suspectam reddit vulgatam omnium fere librorum lectionem ἐκ τῆς Κερκύρας. Nusquam enim neque Thucydides, advenisse Corcyram Demosthenem memorat, neque eum venisse eo ante Eurymedontis adventum, verisimile est. Nam is demum naves et milites imperat. Vid. infra hoc cap. extr. Haud dubie igitur lectio cod. Mosq. ἐπὶ τῆς Κερκύρας vera est. Praepositio ἀπό in ἀποπλέων corrumpendi ansa fuit. Τότε filum nectit, inde a cap. 26. ruptum, ut 5, 6 init. Ὁ Κλέων, ὃς (lege ὡς) ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν —. Etiam verba ἐκ τῆς Λακωνικῆς meam sententiam firmant. Indicant enim e Laconica, ergo non Corcyra, Demosthenem navigasse, pro: μετὰ τὴν ἐν τῇ Λακωνικῇ τείχισιν ἐκεῖθεν ἀποπλέων τότε ἐπὶ τῆς Κερκύρας. Cf. ad 5, 65.

ἐν Φειᾷ τῇ Ἠλείων. Participium λαβών, quod vulgo legitur post Ἠλείων, codd. plurimorum auctoritate eiecimus, Duckero obsecuti.

ται ἐς τὴν Σικελίαν ἔμελλον περαιοῦσθαι, αὐτὴν μὲν διαφθείρει· οἱ δ' ἄνδρες, ἀποφυγόντες, ὕστερον λαβόντες ἄλλην, ἔπλεον. Καὶ μετὰ τοῦτο ἀφικόμενος ὁ Δημοσθένης ἐς τὴν Ζάκυνθον καὶ Κεφαλληνίαν, ὁπλίτας τε παρέλαβε, καὶ ἐκ τῆς Ναυπάκτου τῶν Μεσσηνίων μετεπέμψατο· καὶ ἐς τὴν ἀντιπέρας ἤπειρον τῆς Ἀκαρνανίας διέβη, ἐς Ἀλυζίαν τε καὶ Ἀνακτόριον, ὃ αὐτοὶ εἶχον. Ὄντι δ' αὐτῷ περὶ ταῦτα ὁ Εὐρυμέδων ἀπαντᾷ, ἐκ τῆς Σικελίας ἀποπλέων, ὃς τότε τοῦ χειμῶνος, τὰ χρήματα ἄγων τῇ στρατιᾷ, ἀπεπέμφθη· καὶ ἀγγέλλει τά τε ἄλλα, καὶ ὅτι πύθοιτο κατὰ πλοῦν ἤδη ὢν, τὸ Πλημμύριον ὑπὸ τῶν Συρακουσίων ἑαλωκός. Ἀφικνεῖται δὲ καὶ Κόνων παρ' αὐτοὺς, ὃς ἦρχε Ναυπάκτου, ἀγγέλλων, ὅτι αἱ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων, αἱ σφίσιν ἀνθορμοῦσαι, οὔτε καταλύουσι τὸν πόλεμον, ναυμαχεῖν τε μέλλουσι· πέμπειν οὖν ἐκέλευεν αὐτοὺς ναῦς, ὡς οὐχ ἱκανὰς οὔσας δυοῖν δεούσας εἴκοσι τὰς ἑαυτῶν πρὸς τὰς ἐκείνων πέντε καὶ εἴ-

cynthiis et Cephalleniis milites recipit, et circa Acarnaniam adhuc verſatur, cum redux e Sicilia Eurymedon advenit, Plemmyriumque receptum nuntiat. Quo facto, miſſis decem navibus Naupactum Cononi, qui aderat ad auxilium contra Corinthios arceſſendum, Eurymedon Corcyraeis naves imperavit et militum delectum ibi habuit;

ἐς Ἀλυζίαν τε καὶ Ἀνακτόριον, quarum civitatum utraque in Acarnaniae littore ſita. — περὶ ταῦτα, int. χωρία. — In verbis: ὃς τότε τοῦ χειμῶνος, τὰ χρήματα ἄγων, vocabulum τότε non iungendum eſt cum ſequenti τοῦ χειμῶνος, ſed hoc explicationis cauſa illi adiectum. Non enim de hieme illa, cum Eurymedon mitteretur, ſed de proximi anni vere Thucydides hic narrat, niſi quod rei, ſupra deſcriptae c. 16, et iam perfectae, mentionem hic iniicit. Poſt ἀπεπέμφθη paullo maiorem diſtinctionem induxi.

ὡς οὐχ ἱκανὰς οὔσας δυοῖν δεούσας εἴκοσι τὰς ἑ. Ita plane, neque uno apice vel auctius, vel parcius, cod. Cl., qui optimae notae eſt. Ceteri plerique ἱκανὰς οὔσας quidem habent, ſed poſtea δεούσαις εἴκοσι ταῖς; unus tantum Pariſ. exhibet, quod noſtrae lectioni proxime accedit, δυοῖν δὲ οὔσας. Sed vulgo legitur: ὡς οὐχ ἱκανοὺς ὄντας δυοῖν δεούσαις εἴκοσιν ταῖς ἑαυτῶν. Cumque in Pariſ. H. legatur

κοσι ναυμαχεῖν. Τῷ μὲν οὖν Κόνωνι δέκα ναῦς ὁ Δημοσθένης καὶ ὁ Εὐρυμέδων, τὰς ἄριστα σφίσι πλεούσας, ἀφ' ὧν αὐτοὶ εἶχον, ξυμπέμπουσι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ· αὐτοὶ δὲ τὰ περὶ τῆς στρατιᾶς τὸν ξύλλογον ἡτοιμάζοντο· Εὐρυμέδων μὲν, ἐς τὴν Κέρκυραν πλεύσας, καὶ πεντεκαίδεκά [τε] ναῦς πληροῦν κελεύσας αὐτοὺς, καὶ ὁπλίτας καταλεγόμενος· (ξυνῆρχε γὰρ ἤδη Δημοσθένει, ἀποτραπόμενος, ὥσπερ καὶ ᾑρέθη.) Δημοσθένης δ' ἐκ τῶν περὶ τὴν Ἀκαρνανίαν χωρίων σφενδονήτας τε καὶ ἀκοντιστὰς ξυναγείρων.

32. Οἱ δ' ἐκ τῶν Συρακουσῶν τότε μετὰ τὴν τοῦ Πλημμυρίου ἅλωσιν πρέσβεις, οἰχόμενοι ἐς τὰς πόλεις, ἐπειδὴ ἔπεισάν τε, καὶ ξυναγείραντες ἔμελλον ἄξειν τὸν στρατὸν, ὁ Νικίας, προπυθόμενος, πέμπει ἐς τῶν Σικελῶν τοὺς τὴν δίοδον ἔχοντας, καὶ ξυμμάχους, Κεντόριπάς τε καὶ Ἀλικυαίους, καὶ ἄλλους, ὅπως μὴ διαφήσουσι τοὺς πολεμίους, ἀλλὰ, ξυστραφέντες, κωλύσουσι

Demosthenes vero apud Acarnanes funditores iaculatoresque collegit. 32. In Sicilia Nicias per Siculos, qui ipsius socii erant, partem eorum Siciliensium, qui Syra-

ἱκανὰς εἶναι, Bredovius legendum esse censet *ἱκανὸς δυοῖν δεούσαις εἴκ. ταῖς—*, subaudito *ὤν*, cuius loco glossae subnatae fuerint *ὄντας, οὔσας, εἶναι*. Sed haec suspicio vana est, cum *εἶναι* nihil amplius quam interpretamentum *τοῦ οὔσας* sit, *ὄντας* autem in loco, ubi multimodis turbatum videtur, facile e correctione potuerit oriri. Postquam enim verba *δεούσας* et *τάς* in *δεούσαις* et *ταῖς* corrupta erant, quod, testibus codicibus, prius factum est, quia sic est in plurimis; ea, quae praecedunt, correctione egebant, certe correctioni obnoxia erant. Nostram sententiam etiam Benedictus commendavit, et suo more defendit.

ἀποτραπόμενος, nempe ἐς τὴν Κέρκυραν.

32. *οἰχόμενοι ἐς τὰς πόλεις*. Ad Siculorum vel *Siceliotarum* potius civitates. Vid. ad cap. 25.

Κεντόριπάς τε καὶ Ἀλικυαίους. Vulgo *Ἀλικυκαίους* contra plerosque codices, quos cum aliis secutus sum. *Κεντόριπα*, posterioribus Scriptoribus *Κεντούριπαι* dicta, et Halicyae nimis remotae illae quidem inter se in tabulis geographicis comparent, si prae ceteris aptae ad hostium transitum prohibendum erant. *Κεντόριπες* vocantur hic, qui Diodoro Siculo *Κεντοριπῖνοι*. — *διαφήσουσι* et *κωλύσουσι*, in-

διελθεῖν· ἄλλῃ γὰρ αὐτοὺς οὐδὲ πειράσειν· Ἀκραγαντῖνοι γὰρ οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν. Πορευομένων δ' ἤδη τῶν Σικελιωτῶν, οἱ Σικελοὶ, καθάπερ ἐδέοντο οἱ Ἀθηναῖοι, ἐνέδραν τινὰ [τριχῇ] ποιησάμενοι, ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι, διέφθειραν ἐς ὀκτακοσίους μάλιστα, καὶ τοὺς πρέσβεις, πλὴν ἑνὸς τοῦ Κορινθίου, πάντας. οὗτος δὲ τοὺς διαφυγόντας ἐς πεντακοσίους καὶ χιλίους ἐκόμισεν ἐς τὰς Συρακούσας.

33. Καὶ περὶ τὰς αὐτὰς ἡμέρας καὶ οἱ Καμαριναῖοι ἀφικνοῦνται, αὐτοῖς βοηθοῦντες, πεντακόσιοι μὲν ὁπλῖται, τριακόσιοι δὲ ἀκοντισταὶ, καὶ τοξόται τριακόσιοι. Ἔπεμψαν δὲ καὶ οἱ Γελῷοι ναυτικόν τε ἐς πέντε ναῦς, καὶ ἀκοντιστὰς τετρακοσίους, καὶ ἱππέας διακοσίους. Σχεδὸν γάρ τι ἤδη πᾶσα ἡ Σικελία, πλὴν

cuſanis in auxilium adducebantur, intercipit. 33. Camarinenſes autem varii generis pedites, Geloi etiam naves quinque et equites ducentos Syracuſanis mittunt; et plerique omnes Sicilienſes, etiam ii, qui hactenus belli even-

bentibus libris, iam Benedictus emendavit. Vulgo διαφήσωσι — κωλύσωσι. Vid. ad 6, 72.

ἐνέδραν τινὰ [τριχῇ] ποιησάμενοι. Uncis incluſi vocem τριχῇ, quae a plerisque omnibus codicibus abeſt. Etiam Thomas Mag., laudante Duckero, tantum habet, ἐνέδραν ποιησάμενοι; et in Caſſ. recens manus vocabulum τριχῇ inter ἐνέδραν et τινὰ ſcripſerat. Suſpectum igitur eſſe debet, licet non facile ſit exputare, unde et cur in Thucydidis orationem inſertum ſit.

33. ναυτικόν τε ἐς πέντε ναῦς. Acacius vertit: „Geloi quoque claſſem quinque navium miſerunt." Alii cum Scholiaſta ναυτικόν intelligunt πληρώματα, i. e. non claſſiarios, ſed remiges. Hi quidem ſuam ſententiam firmare poſſint Thucydidis loco 7, 48. Καὶ ναυτικὸν πολὺ ἔτι ἐνιαυτὸν ἤδη βόσκοντας. Scholiaſtae interpretatio: λαὸν πέντε νεῶν vera eſt, ſed ſubaudiendum potius fuerit ὄχλον, vel ὅμιλον. cf. cap. 58 extr.

σχεδὸν γάρ τι. Vulgo γάρ τοι, vitioſe, ut ſaepe. — περιορώμενοι, vid. 6, 93. Ceterum Bauerus recte vidit, verbis οἱ δ' ἄλλοι ſubiectum totius loci πᾶσα ἡ Σικελία revocatum eſſe poſt parentheſin, verbum autem ἐβοήθουν, cum participiis περιορώμενοι et ξυστάντες, accommodatum eſſe ad ſuffectum illud ſubiectum οἱ δ' ἄλλοι. Hoc propter Benedicti errorem monendum videbatur. Is enim ad πᾶσα ἡ Σικελία ſupplendum cenſet: μεθ' ἑτέρων ἦσαν.

Ἀκραγαντίνων, (οὗτοι δ' οὐδὲ μεθ' ἑτέρων ἦσαν,) οἱ δ' ἄλλοι ἐπὶ τοὺς Ἀθηναίους, μετὰ τῶν Συρακουσίων, οἱ πρότερον περιορώμενοι, ξυστάντες ἐβοήθουν. Καὶ οἱ μὲν Συρακούσιοι, ὡς αὐτοῖς τὸ ἐν τοῖς Σικελοῖς πάθος ἐγένετο, ἐπέσχον τὸ εὐθέως τοῖς Ἀθηναίοις ἐπιχειρεῖν. Ὁ δὲ Δημοσθένης καὶ Εὐρυμέδων, ἑτοίμης ἤδη τῆς στρατιᾶς οὔσης ἐκ τῆς Κερκύρας καὶ ἀπὸ τῆς ἠπείρου, ἐπεραιώθησαν ξυμπάσῃ τῇ στρατιᾷ τὸν Ἰόνιον ἐπ' ἄκραν Ἰαπυγίαν. Καὶ ὁρμηθέντες αὐτόθεν, κατίσχουσιν ἐς τὰς Χοιράδας νήσους Ἰαπυγίας· καὶ ἀκοντιστάς τε τινὰς τῶν Ἰαπύγων, πεντήκοντα καὶ ἑκατὸν, τοῦ Μεσσαπίου ἔθνους, ἀναβιβάζονται ἐπὶ τὰς ναῦς, καὶ τῷ Ἄρτᾳ, ὅσπερ καὶ τοὺς ἀκοντιστὰς, δυνάστης ὢν, παρέσχεν αὐτοῖς, ἀνανεωσάμενοί τινα παλαιὰν φιλίαν, ἀφικνοῦνται ἐς Μεταπόντιον τῆς Ἰταλίας. Καὶ τοὺς Μεταποντίους πείσαντες κατὰ τὸ ξυμμαχικὸν ἀκοντιστάς τε ξυμπέμπειν τριακοσίους καὶ τριήρεις δύο,

tum circumſpexerant, tum temporis iisdem opem ferebant, praeter Agrigentinos, neutri addictos parti. — Demoſthenes interim et Eurymedon proficiſcuntur, et circum-

ἐπέσχον τὸ εὐθέως. Ita, praeeuntibus codd., Gr. et Caſſ., ſcribendum ex Thucydidis more, exemplis illuſtrato, docuit Duckerus pro vulgato ἐπέσχοντο εὐθέως.

ἐς τὰς Χοιράδας νήσους Ἰαπυγίας. „Cluverius has inſulas ad ipſum Tarentinae urbis portum, in conſpectu Metapontii et oſtii amnis Bradani poſitas fuiſſe cenſet. Ital. Ant. p. 1325. Sed Caſaubonus in notis ad Strabonem p. 122. exiſtimat, Χοιράδας νήσους eſſe τῶν Ἰαπύγων ἄκρας τρεῖς, de quibus Strabo p. 261." Annotavit *Hudſon.* Danvillius Cluverium ſecutus eſt. Vide quos laudat Duckerus, qui pro nomine appellativo multos eo uti monet. Noſtrates vocant *Scheren*, ſcopulos non multum e maris ſuperficie eminentes, quibus Aelianus Hiſt. Animal. 4, 28. opponit ὑφάλους πέτρας.

τοῦ Μεσσαπίου ἔθνους. Hudſonus Meſſapiam partem tantum Iapygiae fuiſſe autumat. Scilicet Graecis latius patebat Iapygiae nomen, Dauniam, Peucetiam et Meſſapiam complectens. Romani Apuliam, Calabriam et Salentinos diſtinguebant. Vid. Cluverii Introduct. in Geogr. p. 263., qui Iapygiam inter Apuliae partes recenſet.

παρέσχετο αὐτοῖς. Optimi codd. Aug. Par. G. (Reg.) H. habent παρέσχεν, quod recipiendum videtur, cum medio hic nullus ſit locus.

καὶ ἀναλαβόντες ταῦτα, παρέπλευσαν ἐς Θουρίαν, καὶ καταλαμβάνουσι νεωστὶ στάσει τοὺς τῶν Ἀθηναίων ἐναντίους ἐκπεπτωκότας. Καὶ βουλόμενοι τὴν στρατιὰν αὐτόθι πᾶσαν, ἀθροίσαντες, εἴ τις ὑπελέλειπτο, ἐξετάσαι, καὶ τοὺς Θουρίους πεῖσαι, σφίσι ξυστρατεύειν τε ὡς προθυμότατα, καὶ, ἐπειδήπερ ἐν τούτῳ τύχης εἰσὶ, τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους τοῖς Ἀθηναίοις νομίζειν, περιέμενον ἐν τῇ Θουρίᾳ. καὶ ἔπρασσον ταῦτα.

34. Οἱ δὲ Πελοποννήσιοι, καὶ οἱ περὶ τὸν αὐτὸν χρόνον τοῦτον οἱ ἐν ταῖς πέντε καὶ εἴκοσι ναυσὶν, οἵπερ τῶν ὁλκάδων ἕνεκα τῆς ἐς Σικελίαν κομιδῆς ἀνθώρμουν πρὸς τὰς ἐν Ναυπάκτῳ ναῦς, παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίᾳ, καὶ προσπληρώσαντες ἔτι ναῦς, ὥστε ὀλίγῳ ἐλάσσους εἶναι αὐτοῖς τῶν Ἀττικῶν νεῶν, ὁρμίζονται κατὰ Ἐρινεὸν τῆς Ἀχαΐας ἐν τῇ Ῥυπικῇ. Καὶ αὐτοῖς, τοῦ χωρίου μηνοειδοῦς ὄντος, ἐφ' ᾧ ὥρμουν, ὁ μὲν πεζὸς ἑκατέρωθεν, προσβεβοηθηκότες, τῶν

vecti Iapygiam, Metapontios Thuriosque adeunt et ad ſocietatem hortantur. 34. Interim navale fit proelium

καὶ βουλόμενοι τὴν στρατιάν —. Abeundum eſſe duxi a vulgata interpunctione, qua haec verba ſic leguntur: *Καὶ, βουλόμενοι, τὴν στρατιὰν αὐτόθι πᾶσαν ἀθροίσαντες, εἴ τις ὑπελ.* —, quaſi id explorare voluerint, num quis ſuorum relictus ſit; cum multo ſit veriſimilius, voluiſſe Athenienſes Thuriis colligere, *ſi quid* forte relictum ſit, tum vero totum exercitum luſtrare.

ἐν τούτῳ τύχης εἰσί. Haec refer ad *τὴν νεωστὶ στάσιν*, de qua paullo ante.

34. καὶ οἱ περὶ τὸν αὐτὸν χρ. τοῦτον οἱ ἐν ταῖς πέντε κ. εἴκ. ν. Alterum *οἱ* ſupervacaneum eſt, adeoque turbat ſtructuram. Benedictus coniecit, legendum eſſe *χρόνον τουτονὶ ἐν ταῖς* — more Atticorum. Mihi verba *καὶ οἱ,* quae etiam Heilmannus non expreſſit, ſi vel ab uno ſpectato libro abeſſent, ſuſpecta viderentur, tamquam ab interprete aliquo adſcripta, ut *οἱ Πελοποννήσιοι* recte intelligerentur de iis potiſſimum, qui in ſtatione navali eſſent. Sed contra codices omnes nihil tentaverim, quamvis probante Scriptoris uſu.

καὶ προσπληρώσαντες ἔτι ναῦς. Schol. recte: *καὶ προσέτι ἄλλας πληρώσαντες.* *Rhypae* oppidum Achaiae. *Erineum* Stephanus Byz. oppidum, Pauſanias portum nuncupat. — *ἀνεχούσαις*, int. *ἐς τὴν θάλασσαν.* — Quia autem *ἑκατέρωθεν* aptius iungitur cum *παρετέτακτο*, quam cum *προσβεβοηθηκότες*, comma migrare iuſſi.

τε Κορινθίων καὶ τῶν αὐτόθεν ξυμμάχων, ἐπὶ ταῖς ἀνεχούσαις ἄκραις παρετέτακτο, αἱ δὲ νῆες τὸ μεταξὺ εἶχον ἐμφράξασαι. ἦρχε δὲ τοῦ ναυτικοῦ Πολυάνθης Κορίνθιος. Οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Ναυπάκτου τριάκοντα ναυσὶ καὶ τρισὶν (ἦρχε δὲ αὐτῶν Δίφιλος,) ἐπέπλευσαν αὐτοῖς. Καὶ οἱ Κορίνθιοι τὸ μὲν πρῶτον ἡσύχαζον, ἔπειτα, ἀρθέντος αὐτοῖς τοῦ σημείου, ἐπεὶ καιρὸς ἐδόκει εἶναι, ὥρμησαν ἐπὶ τοὺς Ἀθηναίους, καὶ ἐναυμάχουν. Καὶ χρόνον ἀντεῖχον πολὺν ἀλλήλοις. Καὶ τῶν μὲν Κορινθίων τρεῖς νῆες διαφθείρονται· τῶν δὲ Ἀθηναίων κατέδυ μὲν οὐδεμία ἁπλῶς, ἑπτὰ δέ τινες ἄπλοι ἐγένοντο, ἀντίπρωροι ἐμβαλλόμεναι, καὶ ἀναῤῥαγεῖσαι τὰς παρεξειρεσίας ὑπὸ τῶν Κορινθίων νεῶν, ἐπ' αὐτὸ τοῦτο παχυτέρας τὰς ἐπωτίδας ἐχουσῶν. Ναυμαχήσαντες δέ, ἀντίπαλα μέν, καὶ ὡς αὐτοὺς ἑκατέρους ἀξιοῦν νικᾶν, ὅμως δὲ τῶν ναυαγίων κρα-

inter Corinthios et Athenienses ad Achaiae littora, ubi

Δίφιλος. Supra cap. 31. Conon Naupacti praefectus vocatur. Fortasse hic Diphilus navibus viginti iis praeerat, quae cap. 17. memorantur, ubi vide notam. Sic enim ratio constat. Nam Diphili 20 navibus Conon adduxerat decem (cap. 31.) et tres in perpetua statione habuisse videtur idem Conon, qui Naupacto praesidebat.

τὰς παρεξειρεσίας. Schol. παρεξειρεσία ἐστὶ τὸ κατὰ τὴν πρώραν πρὸ τῶν κωπῶν ὡς ἂν εἴπῃ τις τὸ πάρεξ τῆς εἰρεσίας. — *Ἐπωτίδες* εἰσὶ τὰ ἑκατέρωθεν πρώρας ἐξέχοντα ξύλα. Hae autem non solum ad eludendum et arcendum rostrorum ictum, verum etiam ad inferendum valebant; (nam et hic ἐπωτίσι παχυτέραις tribuitur Atticarum navium perruptio, et c. 40. victoriam τῶν ἐμβολῶν (lege ἐμβόλων) τῇ παρασκευῇ debere dicuntur Syracusani); sed ad ictum faciendum etiam ἐμβόλοις, rostris aere obductis, utebantur. Cf. c. 36, (ubi ipse Auctor uberius de his rebus exponit: στερίφοις καὶ παχέσι πρὸς κοῖλα καὶ ἀσθενῆ παρέχοντες τοῖς ἐμβόλοις. — Paullo ante *ἐμβαλλόμεναι* passive accipiendum et cum verbis ὑπὸ τῶν Κορινθίων νεῶν iungendum est.

καὶ ὡς αὐτ. ἑκατέρους ἀξιοῦν νικᾶν. Ὡς h. l. est pro ὥστε. Paullo inferius pro *ἐπαγωγὴν* videtur e Cass. et Schol. qui habet: διὰ τὸ μὴ *ἐπανάγεσθαι* αὐτοῖς τοὺς Κορινθίους, rescribendum *ἐπαναγωγήν.* Etiam alterum Scholion: οὐκέτι ἐπαγωγὴν] ἤτοι δευτέραν ἀνάπλευσιν, eandem cod. Cass. lectionem firmat. Praeterea Abreschius monuit, ἐπαγωγὴν numquam invasionem, impetum, impressionem significare; cuius

τησάντων τῶν Ἀθηναίων, διά τε τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν ἐς τὸ πέλαγος, καὶ διὰ τὴν τῶν Κορινθίων οὐκέτι ἐπαναγωγὴν, διεκρίθησαν ἀπ' ἀλλήλων· καὶ δίωξις οὐδεμία ἐγένετο, οὐδ' ἄνδρες οὐδετέρων ἑάλωσαν. Οἱ μὲν γὰρ Κορίνθιοι καὶ Πελοποννήσιοι, πρὸς τῇ γῇ ναυμαχοῦντες, καὶ διεσώζοντο· τῶν δὲ Ἀθηναίων οὐδεμία κατέδυ ναῦς. Ἀποπλευσάντων δὲ τῶν Ἀθηναίων ἐς τὴν Ναύπακτον, οἱ Κορίνθιοι εὐθὺς τροπαῖον ἔστησαν ὡς νικῶντες, ὅτι πλείους τῶν ἐναντίων ναῦς ἄπλους ἐποίησαν, καὶ νομίσαντες δι' αὐτὸ οὐχ ἡσσᾶσθαι, δι' ὅπερ οὐδ' οἱ ἕτεροι νικᾶν. Οἵ τε γὰρ Κορίνθιοι ἡγήσαντο κρατεῖν, εἰ μὴ πολὺ ἐκρατοῦντο, οἵ τ' Ἀθηναῖοι ἐνόμιζον ἡσσᾶσθαι, εἰ μὴ πολὺ ἐνίκων. Ἀποπλευσάντων δὲ τῶν Πελοποννησίων, καὶ τοῦ πεζοῦ διαλυθέντος, οἱ Ἀθηναῖοι ἔστησαν τροπαῖον καὶ αὐτοὶ ἐν τῇ Ἀχαΐᾳ, ὡς νικήσαντες, ἀπέχον τοῦ Ἐρινεοῦ, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, ὡς εἴκοσι σταδίους. Καὶ ἡ μὲν ναυμαχία οὕτως ἐτελεύτα.

55. Ὁ δὲ Δημοσθένης καὶ ὁ Εὐρυμέδων, ἐπειδὴ ξυστρατεύειν αὐτοῖς οἱ Θούριοι παρεσκευάσθησαν ἑπτα-

ancipiti Marte pugnatum. 55. Demoſthenes vero,

obſervationis veritatem licet nondum concedamus, tamen h. l. vocabulum illud propter genitivum *τῶν Κορινθίων* nimis ambiguum eſſe videtur; et ſane magis proprie aut importationem commeatuum, aut hominum ſollicitationem deſignat.

πρὸς τῇ γῇ ναυμαχοῦντες, ῥᾳδίως διεσ. Codices magno numero habent: *ναυμαχοῦντες καὶ διεσώζοντο.* Etiam Valla *ῥᾳδίως* non exprimit. Quare Benedictum recte iudicare arbitramur, *ῥᾳδίως* ex interpretamento ortum eſſe. Sed cuiusnam verbi? Eius ipſius, in cuius poſtea locum ſucceſſit. Nam cum *καὶ* h. l. vim habeat *τοῦ ſane*, *ſine negotio*, eam notionem, voce *ῥᾳδίως* expreſſam, aliquis vel librarius vel lector particulae ſuperſcripſit, alius librarius eandem vocem tanquam correctionem corruptae lectionis in textum recepit.

δι' ὅπερ οὐδ' οἱ ἕτεροι νικᾶν. Recte Duckerus *οἱ ἕτεροι* ad Athenienſes retulit. Probant ſequentia. Subaudiendum autem ex *νομίσαντες*, *ἐνόμισαν*.

ἀπέχον τοῦ Ἐρινεοῦ. Vulgo *ἀπεῖχον*, ſine ſenſu. Certiſſimam Duckeri correctionem *ἀπέχον*, quod ad *τροπαῖον* referatur, recepi. Eam praeter Reg. Caſſ. Aug. Moſq. etiam duo Pariſſ. tuentur.

κοσίοις μὲν ὁπλίταις, τριακοσίοις δὲ ἀκοντισταῖς, τὰς μὲν ναῦς παραπλεῖν ἐκέλευον ἐπὶ τῆς Κροτωνιάτιδος, αὐτοὶ δὲ, τὸν πεζὸν πάντα ἐξετάσαντες πρῶτον ἐπὶ τῷ Συβάρει ποταμῷ, ἦγον διὰ τῆς Θουριάδος γῆς. Καὶ ὡς ἐγένοντο ἐπὶ τῷ Ὑλίᾳ ποταμῷ, καὶ αὐτοῖς οἱ Κροτωνιᾶται προσπέμψαντες εἶπον, οὐκ ἂν σφίσι βουλομένοις εἶναι, διὰ τῆς γῆς σφῶν τὸν στρατὸν ἰέναι, ἐπικαταβάντες ηὐλίσαντο πρὸς τὴν θάλασσαν καὶ τὴν ἐκβολὴν τοῦ Ὑλίου· καὶ αἱ νῆες αὐτοῖς ἐς τὸ αὐτὸ ἀπήντων. Τῇ δ' ὑστεραίᾳ ἀναβιβασάμενοι παρέπλεον, ἴσχοντες πρὸς ταῖς πόλεσι, πλὴν Λοκρῶν, ἕως ἀφίκοντο ἐπὶ Πέτραν τῆς Ῥηγίνης.

56. Οἱ δὲ Συρακούσιοι ἐν τούτῳ, πυνθανόμενοι αὐτῶν τὸν ἐπίπλουν, αὖθις ταῖς ναυσὶν ἀποπειράσαι ἐβούλοντο, καὶ τῇ ἄλλῃ παρασκευῇ τοῦ πεζοῦ, ἥνπερ ἐπ' αὐτὸ τοῦτο, πρὶν ἐλθεῖν αὐτοὺς, φθάσαι βουλόμενοι, ξυνέλεγον. Παρεσκευάσαντο δὲ τό τε ἄλλο ναυτικὸν, ὡς ἐκ τῆς προτέρας ναυμαχίας τὶ πλέον ἐνεῖδον σχήσοντες· καὶ τὰς πρώρας τῶν νεῶν ξυντεμόντες ἐς ἔλασσον, στεριφωτέρας ἐποίησαν, καὶ τὰς ἐπωτίδας

Thuriis profectus, Italiam usque Petram in Rheginorum ditione circumnavigavit. 56. Cuius adventum cum Syracuſani reſciviſſent, claſſe periclitandum eſſe rati,

35. *διὰ τῆς Θουριάδος γῆς.* Ita pro *Θουριάτιδος* e codicibus, et Stephano Byzant. ſcribendum eſſe docuit Duckerus, probante Benedicto.

ἐπὶ Πέτραν. Haud dubie eadem urbs eſt, quae alias Leucopetra vocatur.

56. *ξυντεμόντες ἐς ἔλασσον —.* Rem illuſtrat Diodorus, qui XIII, 10. haec habet: Συμβουλεύσαντος δ' αὐτοῖς Ἀρίστωνος τοῦ Κορινθίου κυβερνήτου τὰς πρώρας τῶν νεῶν ποιῆσαι βραχυτέρας καὶ ταπεινοτέρας, πεισθέντες οἱ Συρακούσιοι πολλὰ διὰ ταύτην τὴν αἰτίαν ἐν τοῖς μετὰ ταῦτα κινδύνοις ἐπλεονέκτησαν. Αἱ μὲν γὰρ Ἀττικαὶ τριήρεις ἦσαν ἀσθενεστέρας ἔχουσαι τὰς πρώρας καὶ μετεώρους· διὸ συνέβαινεν αὐτῶν τὰς ἐμβολὰς τιτρώσκειν τοὺς ὑπερέχοντας τῆς θαλάττης τόπους, ὥστε τοὺς πολεμίους μὴ μεγάλοις ἐλαττώμασι περιπίπτειν· αἱ δὲ τῶν Συρακουσίων τὸν περὶ τὴν πρῷραν τόπον ἰσχυρὸν ἔχουσαι καὶ ταπεινὸν, κατὰ τὰς τῶν ἐμβολῶν δόσεις μιᾷ πολλάκις πληγῇ κατέδυον τὰς τῶν Ἀθηναίων τριήρεις.

ἐπέθεσαν ταῖς πρώραις παχείας· καὶ ἀντηρίδας ἀπ' αὐτῶν ὑπέτειναν πρὸς τοὺς τοίχους, ὡς ἐπὶ ἓξ πήχεις, ἐντός τε καὶ ἔξωθεν· ᾧπερ τρόπῳ καὶ οἱ Κορίνθιοι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ ναῦς ἐπισκευασάμενοι πρώραθεν ἐναυμάχουν. Ἐνόμισαν γὰρ οἱ Συρακούσιοι, πρὸς τὰς τῶν Ἀθηναίων ναῦς, οὐχ ὁμοίως ἀντινεναυπηγημένας, ἀλλὰ λεπτὰ τὰ πρώραθεν ἐχούσας, διὰ τὸ μὴ ἀντιπρώροις μᾶλλον αὐτοὺς, ἢ ἐκ περίπλου, ταῖς ἐμβολαῖς χρῆσθαι, οὐκ ἔλασσον σχήσειν· καὶ τὴν ἐν τῷ μεγάλῳ λιμένι ναυμαχίαν, οὐκ ἐν πολλῷ πολλαῖς ναυσὶν οὖσαν, πρὸς ἑαυτῶν ἔσεσθαι. Ἀντίπρωροι γὰρ ταῖς ἐμβολαῖς χρώμενοι, ἀναῤῥήξειν τὰ πρώραθεν αὐτοῖς, στερίφοις καὶ παχέσι πρὸς κοῖλα καὶ ἀσθενῆ παρέχοντες τοῖς ἐμβόλοις· τοῖς δὲ Ἀθηναίοις οὐκ ἔσεσθαι σφῶν ἐν στενοχωρίᾳ οὔτε περίπλουν, οὔτε διέκπλουν, ᾧπερ τῆς τέχνης μάλιστα ἐπίστευον. Αὐτοὶ γὰρ κατὰ τὸ δυνατὸν, τὸ μὲν, οὐ δώσειν διεκπλεῖν, τὸ

navium ſuarum proras craſſiores firmioresque effecerunt,

ἐπισκευασάμενοι πρώραθεν. Haec iungenda ſunt, non πρώραθεν ἐναυμάχουν. Paullo inferius: λεπτὰ τὰ πρώραθεν ἐχούσας, et rurſus ἀναῤῥήξειν τὰ πρώραθεν αὐτοῖς. Pro vulgato ἐπεσκευασμένοι repoſui e codd. praeſtantiſſimis Cam. Cl. Reg. Caſſ. Aug. Marg. duob. Pariſſ. et Schol. ἐπισκευασάμενοι, quam lectionem etiam Benedictus praeferebat.

παρέχοντες. Portus ſupplebat ἑαυτοὺς, ut ſit pro ἐπερχόμενοι. Non placebat haec ratio Duckero, qui ſibi non liquere fatebatur, quae ſit ſententia in illo παρέχοντες. Benedictus probat Abreſchii coniecturam: περιέχοντες τοῖς ἐμβόλοις, *ſuperantes impetu roſtris facto.* Vix digna eſt, quae hic memoretur Reiskii coniectura παρελθόντες. Kiſtemakeri rationem: „*quum poſſent perfringere* ſolidis roſtris adverſus infirma“, iam Bredovius refutavit, qui ſubaudiendum cenſet e praecedentibus τὰς πρώρας τὰ πρώραθεν. Hoc utique melius, quam reliqua omnia; nec tamen ſatis aptum, cum antea verba τὰ πρώραθεν ad naves Athenienſium pertinerent. Mihi ſubaudiendum potius videtur τὰς ἐμβολάς. Eadem enim res cum bis enuntianda eſſet, noluit repetere Thucydides dictionem χρῆσθαι ταῖς ἐμβολαῖς, ſed variavit, ſcribens παρέχοντες int. τὰς ἐμβολάς. Conferri poteſt Diodori locus ſupra laudatus, ubi locutio κατὰ τὰς τῶν ἐμβολῶν δόσεις noſtrum locum egregie illuſtrat.

αὐτοὶ γὰρ — κωλύσειν. Infinitivus κωλύσειν pendet a τὴν στενοχωρίαν, quod contortam

δέ, τὴν στενοχωρίαν κωλύσειν, ὥςτε μὴ περιπλεῖν. Τῇ τε πρότερον ἀμαθίᾳ τῶν κυβερνητῶν δοκούσῃ εἶναι, τὸ ἀντίπρωρον ξυγκροῦσαι, μάλιστ᾽ ἂν αὐτοὶ χρήσασθαι· πλεῖστον γὰρ ἐν αὐτῷ σχήσειν· τὴν γὰρ ἀνάκρουσιν οὐκ ἔσεσθαι τοῖς Ἀθηναίοις, ἐξωθουμένοις, ἄλλοσε, ἢ ἐς τὴν γῆν, καὶ ταύτην δι᾽ ὀλίγου καὶ ἐς ὀλίγον, κατ᾽ αὐτὸ τὸ στρατόπεδον τὸ ἑαυτῶν· τοῦ δ᾽ ἄλλου λιμένος αὐτοὶ κρατήσειν, καὶ ξυμφερομένους αὐτοὺς, ἤν πῃ βιάζωνται, ἐς ὀλίγον τε, καὶ πάντας ἐς τὸ αὐτὸ προςπίπτοντας ἀλλήλοις, ταράξεσθαι· (ὅπερ καὶ ἔβλαπτε μάλιστα τοὺς Ἀθηναίους ἐν ἁπάσαις ταῖς ναυμαχίαις, οὐκ οὔσης αὐτοῖς ἐς πάντα τὸν λιμένα τῆς ἀνακρούσεως, ὥςπερ τοῖς Συρακουσίοις·) περιπλεῦσαι δὲ ἐς τὴν εὐρυχωρίαν, (σφῶν ἐχόντων τὴν ἐπίπλευσιν ἀπὸ τοῦ πελάγους τε καὶ ἀνάκρουσιν,) οὐ δυνήσεσθαι

ut adverſis proris incurrentes debiliores a proris Athe-

reddit ſtructuram, cum hic verborum ordo ab initio inſtituendus fuiſſet: *τὸ μὲν γὰρ αὐτοὶ οὐ δώσειν, κατὰ τὸ δυνατὸν, διεκπλεῖν, τὸ δὲ τὴν στενοχωρίαν κωλύσειν.* Cauſa traiectionis videtur eſſe, quod animo Scriptoris, cum prima periodi verba ſcriberet, alia periodi facies obverſabatur. Quare cum antea fortaſſe ſcribere voluiſſet: *αὐτοὶ γὰρ κ. τ. δ. οὐ δώσειν διεκπλεῖν, καὶ τὴν στενοχωρίαν κωλ., ὥςτε μὴ περιπλεῖν,* mutavit ſtructuram partitione, non ſatis apta prioribus verbis, ſi ſevere et grammatice agas. — Quid ſit *διεκπλεῖν*, docui ad 1, 49.

τὸ ἀντίπρωρον ξυγκροῦσαι. Nonnulli codices Pariſſ. exhibent *συγκρούσει*, et depravati illi Ar. C. Dan. Moſq. habent *τῇ ἀντίπρωρον συγκρούσει.* Inde Benedictus legendum cenſet *τῇ ἀντιπρώρων συγκρούσει.* Apud me illorum codicum ſcriptura, niſi cum aliis libris probatis conveniat, nihil valet. Vulgatam lectionem defendo, cum et ſenſum aptum admittat, neque adverſetur grammaticae legibus. Nam *τὸ ἀντίπρωρον* iungi poteſt, ut ſupra cap. 4. *πρὸς τὸ ἐγκάρσιον*, intellecta praepoſitione *κατὰ* vel *ἐς* vel etiam *πρός*, *adverſis proris.* Ita *ξυγκροῦσαι* aut pro dativo accipiendum, in appoſitione praecedentis dativi *τῇ ἀμαθίᾳ*, aut certe hinc pendet, intellecto *ὥςτε.*

καὶ ταύτην, int. *ἀνάκρουσιν*, *receptum.* — *κατ᾽ αὐτὸ τὸ στρατόπεδον*, „prope ſ. iuxta ſua ipſorum caſtra, i. e. navium omnium ſtationem.“

σφῶν ἐχόντων — καὶ ἀνάκρουσιν. Nam a minore portu Athenienſibus, qui ad aditum magni portus ſtationem ſuarum navium habebant, neque tamen magnam eius partem tenebant, imminere; in maiore autem ſe recipere poterant, ſimulac ab Athenienſibus urgerentur.

αὐτοὺς, ἄλλως τε καὶ τοῦ Πλημμυρίου πολεμίου τε αὐτοῖς ἐσομένου καὶ τοῦ στόματος οὐ μεγάλου ὄντος τοῦ λιμένος.

37. Τοιαῦτα οἱ Συρακούσιοι πρὸς τὴν ἑαυτῶν ἐπιστήμην τε καὶ δύναμιν ἐπινοήσαντες, καὶ ἅμα τεθαῤῥηκότες μᾶλλον ἤδη ἀπὸ τῆς προτέρας ναυμαχίας, ἐπεχείρουν τῷ τε πεζῷ ἅμα καὶ ταῖς ναυσί. Καὶ τὸν μὲν πεζὸν ὀλίγῳ πρότερον, τὸν ἐκ τῆς πόλεως, Γύλιππος προὐξαγαγὼν, προςῆγε τῷ τείχει τῶν Ἀθηναίων, καθ' ὅσον πρὸς τὴν πόλιν αὐτοῦ ἑώρα. Καὶ οἱ ἀπὸ τοῦ Ὀλυμπιείου, οἵ τε ὁπλῖται, ὅσοι ἐκεῖ ἦσαν, καὶ οἱ ἱππεῖς καὶ ἡ γυμνητία τῶν Συρακουσίων ἐκ τοῦ ἐπὶ θάτερα προςῄει τῷ τείχει· αἱ δὲ νῆες μετὰ τοῦτο εὐθὺς ἐξέπλεον τῶν Συρακουσίων καὶ τῶν ξυμμάχων. Καὶ οἱ Ἀθηναῖοι, τὸ πρῶτον αὐτοὺς οἰόμενοι τῷ πεζῷ μόνῳ πειράσειν, ὁρῶντες δὲ καὶ τὰς ναῦς ἐπιφερομένας ἄφνω, ἐθορυβοῦντο· καὶ οἱ μὲν ἐπὶ τὰ τείχη καὶ πρὸ τῶν τειχῶν τοῖς προσιοῦσιν ἀντιπαρετάσσοντο· οἱ δὲ πρὸς τοὺς ἀπὸ τοῦ Ὀλυμπιείου καὶ τῶν ἔξω κατὰ

nienſium naves perfringerent. 37. Tum Gylippus pedeſtres copias Athenienſium munimentis adduxit, et ab Olympieo ſimul equites velitesque eodem procedere iuſſit; naves autem, paullo poſt prodeuntes, perturbarunt qui-

37. *καὶ ἡ γυμνητία.* Codices fluctuant inter γυμνητία et γυμνητεία. Tertiam equitum Syracuſanorum partem ad Olympieum conſtitutam eſſe, ſupra cap. 4 extr. demonſtravit.

τῶν Συρακουσίων καὶ τῶν ξυμμάχων. Articulum τῶν ante ξυμμάχων plurimi libri et ſcripti et editi omittunt. Male. Ita enim fere ſemper Thucydides, v. c. 6, 65. οἱ Ἀργεῖοι καὶ οἱ ξύμμαχοι. Ibid. c. 66. 70. 72. 73. οἱ Μαντινεῖς καὶ οἱ ξύμμαχοι. Saepe etiam, ubi articulus ante nomen proprium omittitur, vocabulo ξύμμαχοι praefigitur, ut Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι 5, 18. pluribus locis. Rarius codices omittunt articulum ante ξύμμαχοι, ut 5, 73. Ὡς ταύτῃ ἐνεδεδώκει τὸ τῶν Ἀργείων καὶ ξυμμάχων στράτευμα, ubi cod. Marg. habet τὸ τῶν ξυμμάχων. 6, 42. Καὶ τοῖς μὲν Συρακουσίοις καὶ ξυμμάχοις, ubi cod. Cl. καὶ τοῖς ξυμμάχοις, quod verum videtur. Infra tamen c. 70. extr. ſine varietate legitur τοῖς Συρακουσίοις καὶ ξυμμάχοις.

οἱ δὲ πρὸς τοὺς ἀπὸ τοῦ Ὀλυμπ. Etſi codices omnes praeter Gr. et unum ex Pariſſ.

τάχος χωροῦντας ἱππέας τε πολλοὺς καὶ ἀκοντιστὰς ἀντεπεξῄεσαν· ἄλλοι δὲ τὰς ναῦς ἐπλήρουν, καὶ ἅμα ἐπὶ τὸν αἰγιαλὸν παρεβοήθουν, καὶ, ἐπειδὴ πλήρεις ἦσαν, ἀντανῆγον πέντε καὶ ἑβδομήκοντα ναῦς. καὶ αἱ τῶν Συρακουσίων ἦσαν ὀγδοήκοντα μάλιστα.

38. Τῆς δὲ ἡμέρας ἐπὶ πολὺ προσπλέοντες, καὶ ἀνακρουόμενοι, καὶ πειράσαντες ἀλλήλων, καὶ οὐδέτεροι δυνάμενοι ἄξιόν τι λόγου παραλαβεῖν, εἰ μὴ ναῦν μίαν ἢ δύο τῶν Ἀθηναίων οἱ Συρακούσιοι καταδύσαντες, διεκρίθησαν· καὶ ὁ πεζὸς ἅμα ἀπὸ τῶν τειχῶν ἀπῆλθε. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακούσιοι ἡσύχαζον, οὐδὲν δηλοῦντες, ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν· ὁ δὲ Νικίας, ἰδὼν ἀντίπαλα τὰ τῆς ναυμαχίας γενόμενα, καὶ ἐλπίζων αὐτοὺς αὖθις ἐπιχειρήσειν, τούς τε τριηράρχους ἠνάγκαζεν ἐπισκευάζειν τὰς ναῦς, εἴ τίς τι ἐπεπονήκει, καὶ ὁλκάδας προώρμισε πρὸ τοῦ σφετέρου σταυρώματος, ὃ αὐτοῖς πρὸ τῶν νεῶν ἀντὶ λιμένος κλειστοῦ ἐν τῇ θαλάσσῃ ἐπεπήγει. Διαλιπούσας δὲ τὰς ὁλκάδας ὅσον δύο πλέθρα ἀπ' ἀλλήλων κατέστησεν, ὅπως, εἴ τις βιάζοιτο ναῦς, εἴη κατάφευξις ἀσφαλὴς, καὶ πάλιν καθ' ἡσυχίαν ἔκπλους. Παρασκευαζόμενοι δὲ ταῦτα ὅλην τὴν ἡμέραν διετέλεσαν οἱ Ἀθηναῖοι μέχρι νυκτός.

dem ab initio Athenienses, in omnia simul se convertere coactos, 38. sed nihil, quod operae pretium esset, effecerunt, et postridie Nicias, onerariis quibusdam navibus ante vallum suum productis, navium suarum statio-

post οἱ δὲ inserunt Ἀθηναῖοι, tamen hoc nomen, tamquam interpretamentum e Scholiis insertum, ubi in capite Scholii omittitur, cum Duckero sine haesitatione expunxi. Nam etiam praecedens οἱ μὲν ad Athenienses pertinet, et de Atheniensibus sermo est per totam periodum.

38. ὅλην τὴν ἡμέραν. Articulum τὴν, iubentibus libris plerisque omnibus, addidi. — Paullo ante pro διαλιπούσας videtur legendum διαλειπούσας. Ita etiam Scholiastes in suo codice invenit, quod ostendit eius explicatio: διαλειπούσας] ἤγουν διϊσταμένας.

59. Τῇ δ' ὑστεραίᾳ οἱ Συρακούσιοι τῆς μὲν ὥρας πρωϊαίτερον, τῇ δὲ ἐπιχειρήσει τῇ αὐτῇ τοῦ τε πεζοῦ καὶ τοῦ ναυτικοῦ, προσέμισγον τοῖς Ἀθηναίοις. Καὶ ἀντικαταστάντες ταῖς ναυσὶ, τὸν αὐτὸν τρόπον αὖθις ἐπὶ πολὺ διῆγον τῆς ἡμέρας πειρώμενοι ἀλλήλων· πρὶν δὴ Ἀρίστων ὁ Πυῤῥίχου, Κορίνθιος, ἄριστος ὢν κυβερνήτης τῶν μετὰ Συρακουσίων, πείθει τοὺς σφετέρους τοῦ ναυτικοῦ ἄρχοντας, πέμψαντας ὡς τοὺς ἐν τῇ πόλει ἐπιμελομένους, κελεύειν ὅτι τάχιστα τὴν ἀγορὰν τῶν πωλουμένων παρὰ τὴν θάλασσαν μεταστῆσαι κομίσαντας, καὶ, ὅσα τις ἔχει ἐδώδιμα, πάντας ἐκεῖσε φέροντας ἀναγκάσαι πωλεῖν, ὅπως, αὐτοὺς ἐκβιβάσαντες τοὺς ναύτας, εὐθὺς παρὰ τὰς ναῦς ἀριστοποιήσωνται, καὶ δι' ὀλίγου αὖθις καὶ αὐθημερὸν ἀπροσδοκήτοις τοῖς Ἀθηναίοις ἐπιχειρῶσι.

nem firmavit. 59. Poftero die eandem, quae modo defcripta eft (c. 57.), pugnae ratione ufi, Ariftonis Corinthii confilio forum rerum venalium ex urbe ad mare transferri iufferunt, ut iuxta naves nautae expofiti pran-

39. τῆς μὲν ὥρας πρωΐτερον. Codices et hic fluctuant inter πρωϊαίτερον, πρωΐτερον et τὸ πρότερον. Cf. ad 7, 19. Τὸ πρότερον fenfu caffum eft, etfi in plerisque codd. reperitur. Etiam πρωϊαίτερον minus placet, quam πρωΐτερον, ut ad l. l. docui. Si πρωΐτερον veram effe scripturam concedas, facile apparebit, quomodo inde et πρωϊαίτερον et πρότερον oriri potuerit.

Ἀρίστων. Eft haud dubie idem, qui, tefte Diodoro, Syracufanis fuaferat, ut firmiores exhiberent navium proras. Vid. Diod. l. l.

ὅπως, αὐτοὺς ἐκβιβασ. Duckerus, quem fequitur Benedictus, pro αὐτούς legit αὐτοῖς, quod duodecim Mff. hic praebent. Sed exempla a Duckero allata, in quibus αὐτοῖς pleonafmi fpeciem prae fe fert, huc non quadrant, quod vel ipfius Benedicti interpretatio indicat, αὐτοῖς referentis ad ἐδώδιμα illa, de quibus paullo ante. Duckeri rationem veram non effe, ipfius pronominis vis demonftrat, cum in oratione obliqua non αὐτοῖς fed σφίσιν fcribendum effet. Αὐτούς, quod eft in cod. Cl. Gr. Baf. Pariff. quatuor, e quibus omnibus nulla varietas enotatur, fatis firmam a codicibus habet fidem, et per fe ferendum eft. Notat enim *folos*. Si quid mutandum fit, malim cum Porto αὐτοῦ, commate poft hoc vocabulum transpofito. αὐθημερόν, pro αὐθήμερον hic e Caff. Reg. fcripfi, et fupra 6, 55. conftantiae caufa. Vid. Duck. ad h. l.

40. Καὶ οἱ μὲν, πεισθέντες, ἔπεμψαν ἄγγελον, καὶ ἡ ἀγορὰ παρεσκευάσθη· καὶ οἱ Συρακούσιοι, ἐξαίφνης πρύμναν κρουσάμενοι, πάλιν πρὸς τὴν πόλιν ἔπλευσαν, καὶ εὐθὺς ἐκβάντες, αὐτοῦ ἄριστον ἐποιοῦντο. Οἱ δ' Ἀθηναῖοι, νομίσαντες, αὐτοὺς, ὡς ἡσσημένους σφῶν, πρὸς τὴν πόλιν ἀνακρούσασθαι, καθ' ἡσυχίαν ἐκβάντες, τά τε ἄλλα διεπράσσοντο, καὶ τὰ ἀμφὶ τὸ ἄριστον, ὡς τῆς γε ἡμέρας ταύτης οὐκέτι οἰόμενοι ἂν ναυμαχῆσαι. Ἐξαίφνης δὲ οἱ Συρακούσιοι, πληρώσαντες τὰς ναῦς, ἐπέπλεον αὖθις. Οἱ δὲ διὰ πολλοῦ θορύβου καὶ ἄσιτοι οἱ πλείους, οὐδενὶ κόσμῳ ἐςβάντες, μόγις ποτὲ ἀντανήγοντο· καὶ χρόνον μέν τινα ἀπέσχοντο ἀλλήλων, φυλασσόμενοι· ἔπειτα οὐκ ἐδόκει τοῖς Ἀθηναίοις, αὐτοῦ ὑπὸ σφῶν αὐτῶν, δια-

derent. 40. Cum igitur ſe recepiſſent Syracuſani, Athenienſes egreſſi, et ipſi prandium apparaverunt, rati, illos tamquam ſuperatos ſe recepiſſe, nec eo die reverſuros. Illi vero invehebantur ſtatim; et, proelio commiſſo,

40. *μόγις ποτὲ ἀντανήγοντο.* Scholion μέχρι τινός non ad haec verba, ſed ad aliud caput referendum eſſe, nempe ad verba ſequentia *χρόνον μέν τινα*, recte vidit Abreſchius. Recte Portus: „*aegre tandem* obviam (ipſis) iverunt.“ Formam *μόγις* hic tuentur libri omnes, ſicut 8, 27. 92. Vid. Waſſe ad h. l. Sed cum alibi ſemper aut conſtanter *μόλις* exhibeant Mſſ., aut certe plures eo inclinent, ut cap. 44 init., etiam ibi reponendum videtur *μόλις*, ubi nulla varietas ſcripturae notatur. Cf. ad 1, 12.

αὐτοῦ ὑπὸ σφῶν αὐτῶν —. Pronomen *αὐτοῦ* omittunt undecim codices, et Valla in verſione non reddit. Cum tamen non appareat cauſa, cur hic extrinſecus adiectum ſit, et propter ſequens *αὐτῶν* a librario facile potuerit negligi, praeſertim verbis *αὐτοῦ διαμέλλοντας*, quae iungenda ſunt, inter ſe disiunctis: genuinum puto *αὐτοῦ*. Ne *ἠμύνοντο* quidem, quod non ſolum Benedicto, ſed Bredovio etiam ſuppoſititium videbatur, et vulgo uncis incluſum eſt, reiiciendum puto, ſed a ſuſpicione vindico. Primum enim nemo docuit, verbo *ἠμύνοντο* ſublato, loci ſtructuram ſatis cohaerere. Nam quod Benedictus dicit, illud *δεξάμενοι* ad *ἀνεῤῥήγνυσαν* referri poſſe, id quam bene inſtituat, ipſe viderit. Impedit enim talem iuncturam ſequens *τέ* poſt *ταῖς*, quod verba *ταῖς ναυσὶ χρώμενοι ἀνεῤῥήγνυσαν* iungit cum ſequenti membro: *καὶ — ἀκοντίζοντες — ἔβλαπτον.* Aut igitur cum codd. C. Caſſ. Moſq. *τέ* delendum, aut *ἠμύνοντο* ſervandum eſt. Deinde, etſi videri poſſit, *ἠμύνοντο* ex interpretamento τοῦ *δεξάμενοι*

μέλλοντας, κόπῳ ἁλίσκεσθαι, ἀλλ' ἐπιχειρεῖν ὅτι τάχιστα· καὶ, ἐπιφερόμενοι ἐκ παρακελεύσεως, ἐναυμάχουν. Οἱ δὲ Συρακούσιοι, δεξάμενοι, ἠμύνοντο· καὶ ταῖς τε ναυσὶν ἀντιπρώροις χρώμενοι, ὥσπερ διενοήθησαν, τῶν ἐμβόλων τῇ παρασκευῇ ἀνεῤῥήγνυσαν τὰς τῶν Ἀθηναίων ναῦς ἐπὶ πολὺ τῆς παρεξειρεσίας, καὶ οἱ ἀπὸ τῶν καταστρωμάτων αὐτοῖς ἀκοντίζοντες, μεγάλα ἔβλαπτον τοὺς Ἀθηναίους· πολὺ δ' ἔτι μείζω οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες τῶν Συρακουσίων, καὶ ἔς τε τοὺς ταρσοὺς ὑποπίπτοντες τῶν πολεμίων νεῶν, καὶ ἐς τὰ πλάγια παραπλέοντες, καὶ ἐξ αὐτῶν ἐς τοὺς ναύτας ἀκοντίζοντες.

41. Τέλος δὲ τούτῳ τῷ τρόπῳ κατὰ κράτος ναυμαχοῦντες οἱ Συρακούσιοι ἐνίκησαν· καὶ οἱ Ἀθηναῖοι, τραπόμενοι, διὰ τῶν ὁλκάδων τὴν κατάφευξιν ἐποιοῦντο ἐς τὸν ἑαυτῶν ὅρμον. Αἱ δὲ τῶν Συρακουσίων

magnam ex illa prorarum conſtructione utilitatem percipiebant. 41. Tandem Athenienſes victi receſſerunt, Syracuſanis perſequentibus usque ad onerarias illas naves,

ortum eſſe, tamen etiam haec ſuſpicio evaneſcit cogitanti, interpretem potius ſcripturum fuiſſe ἀμυνάμενοι. Excidere autem verbum potuit propter ſimilem ſonum ultimarum ſyllabarum participii δεξάμενοι, et primarum in ἠμύνοντο, ſi itaciſmo, quem vocant, pronuntiarentur, et pronuntiata tantum, non oculis conſpecta a librariis calamo exciperentur. — ἐμβόλων ſcripſi cum Abreſchio ceterisque recentioribus criticis pro ἐμβολῶν, quod parum convenit τῇ παρασκευῇ, quae cap. 36. deſcripta eſt.

αὐτοῖς ἀκοντίζοντες. Αὐτοῖς hic abundat, ut ſaepe. Cap. 30. οὗ αὐτοῖς τὰ πλοῖα ὥρμει. Cap. 19. ἕωσπερ αὐτοῖς οἱ ὁπλῖται ἀπῇραν. Plura congeſſit Duck. ad c. 39. — Ceterum ad verba οἱ — ἀκοντίζοντες ex praecedentibus repetendum eſt ἔβλαπτον τοὺς Ἀθηναίους.

ἔς τε τοὺς ταρσοὺς ὑποπίπτοντες. Cum Porto intelligo „*totam remorum ſeriem navium hoſtilium.*" *Extremam remorum partem* (τὰ πλατύσματα τῶν κωπῶν vocat Aelius Dionyſius) ſunt, qui hic quoque proprio vocis ſenſu accipiant. Sed vereor, ne ipſi ſatis intelligant, quid velint. Saltem remos (κώπας) totos, quatenus ſuper navis oram porrigebantur, intelligendos eſſe, res ipſa docet, et *partem* remorum cogitare vetat genitivus τῶν νεῶν, ut iam innuit Bauerus.

41. διὰ τῶν ὁλκάδων, quarum rationem demonſtraverat cap. 38.

νῆες μέχρι μὲν τῶν ὁλκάδων ἐπεδίωκον· ἔπειτα αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἔσπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι ἐκώλυον. Δύο δὲ νῆες τῶν Συρακουσίων, ἐπαιρόμεναι τῇ νίκῃ, προσέμιξαν αὐτῶν ἐγγὺς, καὶ διεφθάρησαν, καὶ ἡ ἑτέρα αὐτοῖς ἀνδράσιν ἑάλω. Καταδύσαντες δ᾽ οἱ Συρακούσιοι τῶν Ἀθηναίων ἑπτὰ ναῦς, καὶ κατατραυματίσαντες πολλὰς, ἄνδρας τε τοὺς μὲν πολλοὺς ζωγρήσαντες, τοὺς δὲ ἀποκτείναντες, ἀπεχώρησαν· καὶ τροπαῖά τε ἀμφοτέρων τῶν ναυμαχιῶν ἔστησαν, καὶ τὴν ἐλπίδα ἤδη ἐχυρὰν εἶχον, ταῖς μὲν ναυσὶ καὶ πολὺ κρείσσους εἶναι, ἐδόκουν δὲ καὶ τὸν πεζὸν χειρώσεσθαι. Καὶ οἱ μὲν, ὡς ἐπιθησόμενοι κατ᾽ ἀμφότερα, παρεσκευάζοντο αὖθις.

ubi delphines antennis fuspenfi minabantur, quibus duae naves temere propinquantes interierunt. Athenienfium

αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι. Legendum ἡρμέναι fine ι fubfcripto. Non enim ab αἴρω, fed ab ἄρω deducendum participium. Sic plane legit Schol. Ariftoph. ad Equit. v. 759. Eodem ducit Cod. Bafil. fcriptura ἡρμέναι. Confirmat quodammodo Thucydidis Scholiaftes ad h. l. qui haec habet etiam ad loci interpretationem utilia: Ἐκ τῶν κεραιῶν δελφῖνες ἦσαν ἠρτημένοι, μολίβδινοι, ὥστε ἐμβάλλεσθαι ταῖς προσπλεούσαις πολεμίαις ναυσίν. οἷον, ἐμπίπτοντες αὐτοῖς, διέκοπτον τοὔδαφος αὐτῶν, καὶ κατέδυον. Cur autem illas antennas in navium onerariarum proris potius, quam malis, fuspenfas dicat Bredovius, non video.

τοὺς μὲν πολλοὺς ζωγρήσαντες. Vulgo abeft πολλούς, quod recepi e codd. C. Cl. Caff. Aug. Dan. Mofq. quatuor Pariff., fuadente etiam Benedicto, qui Vallae quoque codicis auctoritatem accedere docet. Neque ulla caufa eft, cur illud vocabulum ab interprete adiectum effe fufpiceris. Nam fic alibi quoque Thucydides. Infra cap. 53. Καὶ τὰς ναῦς τὰς μὲν πολλὰς διέσωσαν —. Mox vulgo mendofe legitur: τούς τε ἀποκτείναντες pro τοὺς δὲ ἀποκ., quae quatuor librorum fcriptura vel fine codicum teftimonio reftituenda erat.

ἐδόκουν δὲ καὶ τὸν πεζὸν χειρώσεσθαι. Codices nonnulli pro ἐδόκουν exhibent δοκεῖν vel δοκεῖ. Sed vulgata vera eft. Mutavit ftructuram Thucydides, poft ἐλπίδα ἤδη ἐχυρὰν εἶχον inferens novum verbum ἐδόκουν, cum verbis ταῖς μὲν ναυσὶ aptius refpondeat: τὸν δὲ πεζὸν καὶ αὐτὸν χειρώσεσθαι. Male Benedictus χειρώσεσθαι pro paffivo dictum putat, cum fententia fit: „certam fpem habebat, non folum navibus iam vel fuperiores effe fe, fed etiam peditatum fuperaturos.“ Ceterum τὸν πεζόν e Mff. dedi, pro τὸ πεζόν. Et paullo

42. Ἐν τούτῳ δὲ Δημοσθένης καὶ Εὐρυμέδων, ἔχοντες τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν, παραγίγνονται, ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα μάλιστα ξὺν ταῖς ξενικαῖς, καὶ ὁπλίτας περὶ πεντακισχιλίους ἑαυτῶν τε καὶ τῶν ξυμμάχων, ἀκοντιστάς τε βαρβάρους καὶ Ἕλληνας οὐκ ὀλίγους, καὶ σφενδονήτας καὶ τοξότας, καὶ τὴν ἄλλην παρασκευὴν ἱκανήν. Καὶ τοῖς μὲν Συρακουσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν τῷ αὐτίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μηδὲν ἔσται σφίσι τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου· ὁρῶντες οὔτε διὰ τὴν Δεκέλειαν τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον καὶ παραπλήσιον τῷ προτέρῳ ἐπεληλυθότα, τήν τε τῶν Ἀθηναίων δύναμιν πανταχόσε πολλὴν φαινομένην· τῷ δὲ προτέρῳ στρατεύματι τῶν Ἀθηναίων, ὡς ἐκ κακῶν, ῥώμη τις ἐγεγένητο. Ὁ δὲ Δημοσθένης, ἰδὼν, ὡς εἶχε τὰ πράγματα, καὶ νομίσας, οὐχ οἷόν τε εἶναι διατρίβειν, οὐδὲ παθεῖν, ὅπερ ὁ Νικίας ἔπαθεν· (ἀφικόμενος γὰρ τὸ πρῶτον ὁ Νικίας φοβερὸς, ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς Συρακούσαις, ἀλλ' ἐν Κατάνῃ διεχεί-

ſeptem naves demerſae, multae laceratae. 42. Circa illud tempus Demoſthenes et Eurymedon cum navibus

ſuperius ante verba πολὺ κρείσσους εἶναι addidi e codd. Gr. Reg. καί, quod optime convenit ſententiae, licet librarii hoc non asſequerentur. — ἀμφοτέρων τῶν ναυμαχιῶν, huius et illius, quae deſcripta eſt cap. 38 init.

42. ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα. Diodorus Sic. 13, 11. ed. Eichſt. Ἦγον δὲ τριήρεις πλείους τῶν ὀγδοήκοντα, στρατιωτῶν δὲ, χωρὶς τῶν ἐν τοῖς πληρώμασι, πεντακισχιλίους.

τοῖς μὲν Συρακουσίοις καὶ ξυμμάχοις. Vide ad cap. 37. Mox genitivum τοῦ ἀπαλλαγῆναι Bauerus explicat ὥστε ἀπαλλαγῆναι, praeter neceſſitatem. In vacatione periculorum eſt finis eorundem. — ὁρῶντες, pro ὁρῶσιν. Exempla huius ſtructurae vid. ad 3, 36. Cf 6, 24. 61.

οὐχ οἷόντε εἶναι διατρίβειν. Codd. Cl. Reg. εἶναι ignorant, quod fortaſſis ex interpretatione ortum eſt. Nam ſupra cap. 1. in verbis: ἀλλ' ἔτι οἷόν τε κατὰ τὰς Ἐπιπολὰς στρατιᾷ ἀφικομένους ἐςελθεῖν, omittitur ἐστί. Et infra cap. 47. ſimiliter legitur, omiſſo verbo ſubſtantivo: ἕως ἔτι τὸ πέλαγος οἷόν τε περαιοῦσθαι. Cf. Duck. — οὐδὲ παθεῖν pendet ab οὐχ' οἷόντε εἶναι, non a νομίσας.

μαζεν, ὑπερώφθη τε, καὶ ἔφθασεν αὐτὸν ἐκ τῆς Πελοποννήσου στρατιᾷ ὁ Γύλιππος ἀφικόμενος· ἣν οὐδ' ἂν μετέπεμψαν οἱ Συρακούσιοι, εἰ ἐκεῖνος εὐθὺς ἐπέκειτο· ἱκανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι, ἅμα τ' ἂν ἔμαθον ἥσσους ὄντες, καὶ ἀποτετειχισμένοι ἂν ἦσαν· ὥςτε μηδ', εἰ μετέπεμψαν, ἔτι ὁμοίως ἂν αὐτοὺς ὠφελεῖν·) ταῦτα οὖν ἀνασκοπῶν ὁ Δημοσθένης, καὶ γιγνώσκων, ὅτι καὶ αὐτὸς, ἐν τῷ παρόντι, τῇ πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατός ἐστι τοῖς ἐναντίοις, ἐβούλετο ὅτι τάχος ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει. Καὶ ὁρῶν τὸ παρατείχισμα τῶν Συρακουσίων, ᾧ ἐκώλυσαν περιτειχίσαι σφᾶς τοὺς Ἀθηναίους, ἁπλοῦν τε ὂν, καὶ, εἰ κρατήσειέ τις τῶν τε Ἐπιπολῶν τῆς ἀναβάσεως, καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως ἂν αὐτὸ ληφθὲν, (οὐδὲ γὰρ ὑπομεῖναι ἂν σφᾶς οὐδένα,) ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ· καὶ ξυντομωτάτην ἡγεῖτο διαπολέμησιν· ἢ γὰρ, κατορθώσας, ἕξειν Συρακούσας, ἢ ἀπάξειν τὴν στρατιὰν, καὶ οὐ τρίβεσθαι ἄλλως Ἀθηναίους τε τοὺς ξυστρατευομένους, καὶ τὴν ξύμπασαν πόλιν. Πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακουσίων ἔτεμνον οἱ Ἀθηναῖοι περὶ τὸν Ἀνα-

ſeptuaginta ferme, et quinque millibus gravis armaturae militum adveniunt. Et ſtatim Demoſthenes conſtituit, caſtra in Epipolis, a Nicia relicta, recipere et ea ratione

καί, εἰ κρατήσειέ τις τῶν τε Ἐπιπ. Vulgatum ἐπικρατήσειε ad duodecim codicum fidem correxi. In Gr. eſt εἰ καὶ ἐπικρατήσειε, in Moſq. καὶ ἐπικρατ., omiſſo εἰ. Vitium ortum eſſe videtur, quod εἰ primum in ἐπὶ corruptum eſſet, deinde denuo ſcriptum vel ex aliis codicibus revocatum.

καὶ ξυντομωτάτην ἡγ. διαπολ. Vulgo οἱ ante ξυντομωτάτην legitur uncis incluſum. Niſi hanc vocem damnarent praeter quatuor Pariſſ. codd. etiam Ar. C. Dan. Caſſ. Aug., ferenda eſſet. Cf. cap. 49. Bauero ſcribendum videbatur ᾗ, *qua ratione.* Ante διαπολέμησιν articulum τὴν deſidero.

ἕξειν Συρακούσας. Sic Reg. Caſſ. Gr. Aug. cum edd. Baſ. Steph. 2. Port.; ſed ne Gailius quidem correxit vulgatum ἥξειν, quod iam Duckerus vitium Edit. Hudſonianae eſſe ſuſpicabatur. — ἄλλως, fruſtra, ἀπράκτως, μάτην. Sic iterum cap. 47 extr.

κον, καὶ τῷ στρατεύματι ἐπεκράτουν, ὥςπερ τὸ πρῶτον, τῷ τε πεζῷ, καὶ ταῖς ναυσίν. οὐδὲ γὰρ καθ' ἑκάτερα οἱ Συρακούσιοι ἀντεπεξῄεσαν, ὅτι μὴ τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ἀπὸ τοῦ Ὀλυμπιείου.

43. Ἔπειτα μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειράσαι τοῦ παρατειχίσματος. Ὡς δὲ αὐτῷ προςαγαγόντι κατεκαύθησάν τε ὑπὸ τῶν ἐναντίων, ἀπὸ τοῦ τείχους ἀμυνομένων, αἱ μηχαναὶ, καὶ τῇ ἄλλῃ στρατιᾷ πολλαχῇ προςβάλλοντες ἀπεκρούοντο, οὐκέτι ἐδόκει διατρίβειν· ἀλλὰ, πείσας τόν τε Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας, ὡς ἐπενόει, τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο. Καὶ ἡμέρας μὲν ἀδύνατα ἐδόκει εἶναι λαθεῖν προςελθόντας τε καὶ ἀναβάντας· παραγγείλας δὲ πένθ' ἡμερῶν σιτία, καὶ τοὺς λιθολόγους καὶ

munimentum Syracuſanorum capere. 43. Quod conſilium, cum machinae nihil valuiſſent, exſequi auſus nocte cum copiis plerisque omnibus, circa Euryelum quidem

οὐδὲ γὰρ καθ' ἑκάτερα. Codices hic et infra cap. 59. fluctuant inter καθ' ἕτερα et καθ' ἑκάτερα. Hoc verius videtur, et propter vagam vocis ἑκάτερος notionem (cf. Waſſius ad l. l.), et quia corruptioni magis obnoxium eſt, quam alterum illud. Tamen οὐδ' ἀφ' ἑτέρων eſt cap. 44 init. ſine varietate. — Paullo ſuperius pro ἔτεμνον οἱ Ἀθηναῖοι boni libri ἔτεμον praebent, quod propter ſequens imperfectum ἐπεκράτουν mutatum videtur, ut ſaepe alibi factum. Ita 1, 63. iisdem libris iubentibus dedimus: ὡς ἡ μάχη ἐγίγνετο, καὶ τὰ σημεῖα ἤρθη, pro ἐγένετο. Hoc tamen loco incertam reddit emendationem hoc ſcholion: ἔτεμνον] ἤγουν ἐδενδροτόμουν.

43. *ἀποπειράσαι τοῦ παρατειχίσματος.* Ita e duodecim MSſ. ſcribendum eſſe docuit Benedictus, pro vulgato ἀποτειχίσματος. Nam cum de Syracuſanorum munimento ſermo ſit, quod erat παρατείχισμα, ſicuti etiam ſupra cap. 42. ab ipſo Auctore vocatur, non de muro circulari Athenienſium, qui rectius ἀποτείχισμα dicatur; de huius correctionis veritate non eſt dubitandum.

ὡς ἐπενόει. Hanc lectionem genuinam eſſe arbitror. Nam quod libri nonnulli ὡς omittunt, et ante τὴν ἐπιχείρησιν inſerunt καί, id facile expedio. Nimirum, ὡς ab extrema praecedentis ſyllaba abſorpto, καί a correctore, tamquam neceſſaria fultura, addi potuit. Niſi forte ipſum illud καί reponendum, quod praeplacet. Cf. c. 61.

ἀδύνατα ἐδόκει: Etiam hic fluctuant libri inter ἀδύνατα et ἀδύνατον. Cf. Poppo Obſſ. crit. p. 49.

τέκτονας πάντας λαβὼν, καὶ ἄλλην παρασκευὴν, τοξευμάτων τε, καὶ ὅσα ἔδει, ἢν κρατῶσι, τειχίζοντας ἔχειν, αὐτὸς μὲν ἀπὸ πρώτου ὕπνου, καὶ Εὐρυμέδων, καὶ Μένανδρος, ἀναλαβὼν τὴν πᾶσαν στρατιὰν, ἐχώρει πρὸς τὰς Ἐπιπολάς· Νικίας δὲ ἐν τοῖς τείχεσιν ὑπελέλειπτο. Καὶ ἐπειδὴ ἐγένοντο πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον, (ᾗπερ καὶ ἡ προτέρα στρατιὰ τὸ πρῶτον ἀνέβη,) λανθάνουσί τε τοὺς φύλακας τῶν Συρακουσίων, καὶ προσβάντες, τὸ τείχισμα, ὃ ἦν αὐτόθι, τῶν Συρακουσίων αἱροῦσι, καὶ ἄνδρας τῶν φυλάκων ἀποκτείνουσιν· οἱ δὲ πλείους, διαφυγόντες εὐθὺς πρὸς τὰ στρατόπεδα, ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν τρία, ἓν μὲν τῶν Συρακουσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν, ἓν δὲ τῶν ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον, καὶ τοῖς ἑξακοσίοις τῶν Συρακουσίων, οἳ καὶ πρῶτοι κατὰ τοῦτο τὸ μέρος τῶν Ἐπιπολῶν φύλακες ἦσαν, ἔφραζον. Οἱ δ' ἐβοήθουν τ' εὐθὺς, καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ οἱ Ἀθηναῖοι ἐντυχόντες, ἀμυνομένους προθύμως ἔτρεψαν. Καὶ

clam aſcendit et progreditur; mox autem, rumore de hoſtium adventu per caſtra Syracuſanorum ſparſo, cum hi

ἀπὸ πρώτου ὕπνου. Sic e codicibus pluribus cum Benedicto edidi, omiſſo articulo τοῦ, qui vulgo eſt poſt ἀπό. Ita Thucyd. 2, 2. dicit περὶ πρῶτον ὕπνον. Sic 7, 29. ἀφ' ἑσπέρας. Ἀπό hic valet *poſt*.

πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον. Αὐταῖς int. Ἐπιπολαῖς. De Euryelo vid. ad 6, 97.

καὶ ἄνδρας τῶν φυλάκων ἀποκτείνουσιν. Pronomen τινὰς poſt ἄνδρας undecim codices ignorant; quam ſcripturam Duckerus confirmat alio loco Thucyd. 2, 33. ἄνδρας τε ἀποβάλλουσι σφῶν αὐτῶν, et Ariſtophanis Equit. v. 423. ἀνὴρ τῶν ῥητόρων, ubi ἀνὴρ ſimpliciter τὶς, *quidam*, ſignificat. Cf. 8, 44 init. 71 med. ἄνδρας κατέβαλον αὐτῶν. Itaque cum Benedicto pronomen expunxi, quod ab interprete male ſedulo adſcriptum erat. Cf. ad cap. 26. — Porro etiam verba ἐν προτειχίσμασιν, quae abſunt a duodecim libris ſcriptis, neque a Valla agnoſcuntur, expungenda ſunt tamquam interpretamentum. Neque ulla ibi erant προτειχίσματα, praeter ipſa caſtra Syracuſanorum, ſed unum tantum παρατείχισμα; neque hoc totum *in* Epipolis, ubi tria caſtra, ſed tantum *verſus* Epipolas ductum.

τοῖς ἑξακοσίοις τῶν Συρακ., quorum ducem Hermocratem fuiſſe ait Diodor. 13, 11. Ceterum de horum ſexcentorum delectu vide ad 6, 96.

αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ πρόσθεν, ὅπως τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι, ὧν ἕνεκα ἦλθον, μὴ βραδεῖς γένωνται· ἄλλοι δὲ τὸ ἀπὸ τῆς πρώτης παρατείχισμα τῶν Συρακουσίων, οὐχ ὑπομενόντων τῶν φυλάκων, ᾕρουν τε, καὶ τὰς ἐπάλξεις ἀπέσυρον. Οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, καὶ ὁ Γύλιππος καὶ οἱ μετ᾽ αὐτοῦ, ἐβοήθουν ἐκ τῶν προτειχισμάτων. Καὶ, ἀδοκήτου τοῦ τολμήματος ἐν νυκτὶ σφίσι γενομένου, προσέβαλλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι, καὶ, βιασθέντες ὑπ᾽ αὐτῶν, τὸ πρῶτον ὑπεχώρησαν. Προϊόντων δὲ τῶν Ἀθηναίων ἐν ἀταξίᾳ μᾶλλον ἤδη, ὡς κεκρατηκότων, καὶ βουλομένων διὰ παντὸς τοῦ μήπω μεμαχημένου τῶν ἐναντίων ὡς τάχιστα διελθεῖν, ἵνα μὴ, ἀνέντων σφῶν τῆς ἐφόδου, αὖθις ξυστραφῶσιν, οἱ Βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον, καὶ προσβαλόντες ἔτρεψάν τε καὶ ἐς φυγὴν κατέστησαν.

44. Καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο οἱ Ἀθηναῖοι, ἣν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν οὐδ᾽ ἀφ᾽ ἑτέρων, ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη. Ἐν μὲν γὰρ ἡμέρᾳ σαφέστερα μὲν, ὅμως δὲ οὐδὲ ταῦτα οἱ παραγενόμενοι πάντα, πλὴν τὸ καθ᾽ ἑαυτὸν ἕκαστος μόλις οἶδεν· ἐν δὲ νυκτομαχίᾳ (ἣ μόνη δὴ στρατοπέδων μεγάλων ἐν τῷδε τῷ πολέμῳ ἐγένετο,) πῶς ἄν τις

contra irent, primique Boeoti reſiſterent: 44. adeo

τὸ ἀπὸ τῆς πρώτης παρατείχισμα. Schol. ſubaudit ὁρμῆς, recte. Synchyſis eſt Thucydidi familiaris pro τὸ παρατείχισμα ἀπὸ τῆς πρώτης — ᾕρουν. Cf. ad 5, 65. Bredovius adverbialiter dictum putat ἀπὸ τῆς πρώτης, ut ἀπὸ τῆς ἴσης, intell. ωιο μοίρας, ὁδοῦ.

τοῦ τολμήματος ἐν νυκτὶ σφίσι γεν. Hunc verborum ordinem duodecim libri conſtituunt pro vulgato σφίσιν ἐν νυκτί. A Baſ. edit. σφίσιν abeſt. Saepe autem factum videtur, ut omiſſa vox poſtea alieno loco ex aliis codicibus adſcriberetur ab iis, qui codices emendarent comparatione aliorum.

διὰ παντὸς τοῦ μήπω μεμαχημένου, cum *Acacio* de ea parte hoſtium, quae, expers certaminis, nondum pugnaverat, accipiendum; non de munimentis vel expugnatis, vel oppugnatis.

44. ἕκαστος μόλις οἶδεν. Singularis verbi οἶδεν ad proximum ſubiectum ἕκαστος accom-

σαφῶς τι εἰδείη; Ἦν μὲν γὰρ σελήνη λαμπρὰ, ἑώρων δὲ οὕτως ἀλλήλους, ὡς ἐν σελήνῃ εἰκὸς, τὴν μὲν ὄψιν τοῦ σώματος προορᾶν, τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. Ὁπλῖται δὲ ἀμφοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέφοντο. Καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δὲ ἔτι τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι ἐχώρουν. πολὺ δὲ καὶ τοῦ ἄλλου στρατεύματος αὐτοῖς τὸ μὲν ἄρτι ἀναβεβήκει, τὸ δ᾽ ἔτι προςανῄει· ὥςτ᾽ οὐκ ἠπίσταντο, πρὸς ὅ, τι χρὴ χωρῆσαι. Ἤδη γὰρ, τὰ πρόςθεν τῆς τροπῆς γεγενημένης, ἐτετάρακτο πάντα, καὶ χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι. Οἵ τε γὰρ Συρακούσιοι καὶ οἱ ξύμμαχοι κρατοῦντες παρεκελεύοντό τε, κραυγῇ οὐκ ὀλίγῃ χρώμενοι, ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι, καὶ ἅμα τοὺς προςφερομένους ἐδέχοντο· οἵ τε Ἀθηναῖοι ἐζήτουν τε σφᾶς αὐτοὺς, καὶ πᾶν τὸ ἐναντίον, καὶ εἰ φίλιον εἴη, τῶν ἤδη πάλιν φευγόντων, πολέμιον ἐνόμιζον· καὶ τοῖς ἐρωτήμασι τοῦ ξυνθήματος πυκνοῖς χρώμενοι, διὰ τὸ μὴ εἶναι ἄλλῳ τῳ γνωρίσαι, σφίσι τε αὐτοῖς θόρυβον πολὺν παρεῖχον, ἅμα πάντες ἐρωτῶντες, καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν· τὸ δ᾽ ἐκείνων οὐχ ὁμοίως ἠπίσταντο, διὰ τὸ κρατοῦντας αὐτοὺς καὶ μὴ διεσπασμένους ἧσσον ἀγνοεῖσθαι. ὥςτ᾽, εἰ μὲν ἐντύχοιέν τισι, κρείσσους ὄντες, τῶν πολεμίων, διέφευγον αὐτοὺς,

turbati ſunt Athenienſes, catervatim in tenebris proce-

modatus eſt, cum οἱ παραγενόμενοι pluralem οἴδασι poſcat. De forma μόλις dixi ad cap. 40. Vulgo hic μόγις contra plerosque codices.

ἤδη γὰρ, τὰ πρόςθεν τῆς τρ. γεγ. Valla vertit: „Nam, facta iam a primis fuga, omnia perturbata.“ Et ſic interpunxi, commate poſito poſt γὰρ et γεγενημένης. Superius enim paullo dixerat: οἱ μὲν ἤδη ἐνικῶντο.

καὶ πᾶν τὸ ἐναντίον. Quod pro varia lectione affert Schol. et Marg. καὶ πᾶν τὸ ἐξ ἐναντίας, merum eſt interpretamentum, ſignificans τὸ ἐναντίον hic non eſſe hoſtem, ſed quodcumque obviam veniret Athenienſibus, et iungendum cum τῶν ἤδη πάλιν φευγόντων.

ὥςτ᾽, εἰ μὲν ἐντύχοιέν τισι — Ante τῶν πολεμίων, praeeunte Scholiaſta, commate

ἅτε ἐκείνων ἐπιστάμενοι τὸ ξύνθημα· εἰ δ' αὐτοὶ μὴ ὑποκρίνοιντο, διεφθείροντο. Μέγιστον δὲ καὶ οὐχ ἥκιστα ἔβλαψε καὶ ὁ παιωνισμός· ἀπὸ γὰρ ἀμφοτέρων παραπλήσιος ὢν, ἀπορίαν παρεῖχεν. Οἵ τε γὰρ Ἀργεῖοι καὶ οἱ Κερκυραῖοι, καὶ ὅσον Δωρικὸν μετ' Ἀθηναίων ἦν, ὁπότε παιωνίσειαν, φόβον παρεῖχε τοῖς Ἀθηναίοις, οἵ τε πολέμιοι ὁμοίως. Ὥστε τέλος, ξυμπεσόντες αὐτοῖς κατὰ πολλὰ τοῦ στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλοις, καὶ πολῖται πολίταις, οὐ μόνον ἐς φόβον κατέστησαν, ἀλλὰ καὶ ἐς χεῖρας ἀλλήλοις ἐλθόντες, μόλις ἀπελύοντο. Καὶ διωκόμενοι, κατά τε τῶν κρημνῶν οἱ πολλοὶ ῥίπτοντες ἑαυτοὺς, ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν πάλιν καταβάσεως· καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν οἱ σωζόμενοι ἄνωθεν καταβαίνοιεν, οἱ μὲν πολλοὶ αὐτῶν, καὶ ὅσοι ἦσαν τῶν προτέρων στρατιωτῶν, ἐμπειρίᾳ μᾶλλον τῆς χώρας, ἐς τὸ στρατόπεδον διεφύγγανον· οἱ δὲ ὕστερον ἥκοντες, εἰσὶν οἳ, διαμαρτόντες τῶν ὁδῶν, κατὰ τὴν χώραν ἐπλανήθησαν· οὓς, ἐπειδὴ ἡμέρα ἐγένετο, οἱ ἱππεῖς τῶν Συρακουσίων περιελάσαντες διέφθειραν.

dentes, nec ſuos ab hoſtibus internoſcentes, ut graviſſima

interpunxi, ut haec verba pendeant a τισί. Nam ad ἐντύχοιεν Athenienſes intelligendi, qui tum non erant ſuperiores hoſtibus in univerſum, ſed tantum, catervatim pugnantes, hic illic numero ſuperabant nos, qui forte obviam fierent.

ἔβλαψε καὶ ὁ παιωνισμός. Voculam καί cum Benedicto e Mſſ. recepi.

κατὰ πολλὰ τοῦ στρατοπέδου. Articulum τά ante πολλά ignorant praeſtantiſſimi libri Cl. Caſſ. Aug. Gr. Moſq. Reg. cum aliis quinque Pariſſ. Et aptior eſt ſententia, ſi articulus omittitur, ſicut etiam Heilmanno viſum.

οἱ μὲν πολλοὶ αὐτῶν. Etſi in codd. Cl. Reg. Caſſ. Aug. Dan. Moſq. et duobus Pariſſ. voces οἱ μέν deſunt; tamen eas genuinas puto, et propter ſequens οἱ δὲ ὕστερον —, et quia facile abſorberi poterant ultimis vocabuli praecedentis καταβαίνοιεν ſyllabis. — οἱ δὲ ὕστερον ἥκοντες, εἰσὶν οἵ, pro τῶν δὲ ὕστερον ἡκόντων εἰσὶν οἵ, quod Atticum ſchema appellat Scholiaſta. Cf. c. 45 extr.

45. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακούσιοι δύο τροπαῖα ἔστησαν, ἐπί τε ταῖς Ἐπιπολαῖς, ᾗ ἡ πρόςβασις, καὶ κατὰ τὸ χωρίον, ᾗ οἱ Βοιωτοὶ πρῶτον ἀντέστησαν. Οἱ δ' Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἐκομίσαντο. Ἀπέθανον δὲ οὐκ ὀλίγοι αὐτῶν τε καὶ τῶν ξυμμάχων· ὅπλα μέντοι ἔτι πλείω, ἢ κατὰ τοὺς νεκροὺς, ἐλήφθη. Οἱ γὰρ κατὰ τῶν κρημνῶν βιασθέντες ἅλλεσθαι ψιλοὶ ἄνευ τῶν ἀσπίδων, οἱ μὲν ἀπώλλυντο, οἱ δ' ἐσώθησαν.

46. Μετὰ δὲ τοῦτο οἱ μὲν Συρακούσιοι, ὡς ἐπὶ ἀπροςδοκήτῳ εὐπραγίᾳ πάλιν αὖ ἀναῤῥωσθέντες, ὥςπερ καὶ πρότερον, ἐς μὲν Ἀκράγαντα, στασιάζοντα, πεντεκαίδεκα ναυσὶ Σικανὸν ἀπέστειλαν, ὅπως ὑπαγάγοιτο τὴν πόλιν, εἰ δύναιτο· Γύλιππος δὲ κατὰ γῆν ἐς τὴν Σικελίαν ᾤχετο αὖθις, ἄξων στρατιὰν ἔτι· ὡς ἐν ἐλπίδι ὢν καὶ τὰ τείχη τῶν Ἀθηναίων αἱρήσειν βίᾳ, ἐπειδὴ τὰ ἐν ταῖς Ἐπιπολαῖς οὕτω ξυνέβη.

clade afficerentur. 45. Poſtridie Syracuſani duo ob hanc victoriam tropaea ponunt; Athenienſes cadavera ſua fide publica interpoſita recipiunt. 46. Agrigentum Sicanus cum quindecim navibus mittitur, ut Syracuſanis conciliaret urbem tum factionibus distractam. Gylippus ad Siciliae urbes ſe convertit, copias arceſſiturus.

45. ᾗ ἡ πρόςβασις, int. ἐστίν, *ubi eſcenſus eſt*, i. e. ubi in Epipolas eſcenditur. Ita cap. 44 extr. κατάβασις ἀπὸ τῶν Ἐπιπολῶν de via intelligenda, quae deorſum ducebat.

ᾗ οἱ Βοιωτοὶ πρῶτοι. Sic quidem ſupra cap. 43 extr. Sed hic magis placet lectio codicum Marg. Caſſ. Aug. Reg. et aliorum quatuor Pariſſ. πρῶτον. Non enim nunc quaeritur, quinam ex omnibus ſociis Syracuſanorum primi reſtiterint, ſed *ubi primum* conſtiterint, qui obſiſtebant.

ἀπέθανον δὲ οὐκ ὀλίγοι. Diodor. 13, 11. bis mille et quingentos occiſos tradit. Cf. Plutarch. in Nicia.

ψιλοὶ ἄνευ τῶν ἀσπίδων. Vox ἄνευ mihi ſuſpecta eſt, tamquam ex interpretamento orta. Si a Thucydide profecta eſſet, καὶ additum eſſet ante ἄνευ. Sed non ſolum neceſſaria non eſt, ſed etiam tamquam inutilis pannus orationem onerat. Neque ego, ſi vel totum illud ἄνευ τῶν ἀσπίδων abeſſet, quicquam deſiderarem.

46. ἐς μὲν Ἀκράγαντα. Rurſus infra huius expeditionis mentionem facit cap. 50 init. At Diodorus 13, 11 extr. refert, Sicanum cum *duodecim* navibus

47. Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τούτῳ ἐβουλεύοντο πρός τε τὴν γεγενημένην ξυμφορὰν, καὶ πρὸς τὴν παροῦσαν ἐν τῷ στρατοπέδῳ κατὰ πάντα ἀῤῥωστίαν. Τοῖς τε γὰρ ἐπιχειρήμασιν ἑώρων οὐ κατορθοῦντες, καὶ τοὺς στρατιώτας ἀχθομένους τῇ μονῇ. Νόσῳ τε γὰρ ἐπιέζοντο κατ' ἀμφότερα, τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης, ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μάλιστα, καὶ τὸ χωρίον ἅμα, ἐν ᾧ ἐστρατοπεδεύοντο, ἑλῶδες καὶ χαλεπὸν ἦν· τά τε ἄλλα ὅτι ἀνέλπιστα αὐτοῖς ἐφαίνετο. Τῷ οὖν Δημοσθένει οὐκ ἐδόκει ἔτι χρῆναι μένειν· ἀλλ', ἅπερ καὶ διανοηθεὶς ἐς τὰς Ἐπιπολὰς διακινδυνεῦσαι, ἐπειδὴ ἔσφαλτο, ἐξιέναι ἐψηφίζετο, καὶ μὴ διατρίβειν, ἕως ἔτι τὸ πέλαγος οἷόν τε περαιοῦσθαι, καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐπελ-

47. Atheniensium praetores in consilio de summa re ha-

missum esse εἰς τὰς ἄλλας πόλεις, ut et victoriam nuntiaret, et auxilium postularet.

47. καὶ τὸ χωρίον ἅμα, Attende structurae varietatem, pro τοῦ χωρίου ἑλώδους καὶ χαλεποῦ ὄντος; aut ὅτι τὸ χωρίον — χαλεπὸν ἦν. Mox contra ὅτι addit sequenti membro, ubi eo nihil opus, quia haec pertinent ad ἐπιέζοντο. — τῆς ὥρας τοῦ ἐνιαυτοῦ. Plutarch. in Nicia: μετοπώρου γὰρ ἦν ἡ ἀρχή. Cf. Horat. Epist. 1, 7 init.

ἅπερ καὶ διανοηθεὶς — διακινδυνεῦσαι. Haec est scriptura meliorum librorum Cass. Aug. Reg. et aliorum duorum Pariss. Praeter eos alii duo Parisienses, qui exhibent διακινδυνεῦσαι ἂν et διακινδυνεύσαιεν, eandem lectionem comprobant. Vulgatum διεκινδύνευσεν si verum esset, nemo tentasset. Infinitivum, cuius in oratione obliqua usum (cf. exempla ad 2, 101) qui ignorabant, aut in indicativum διεκινδύνευσε mutarunt, aut ἂν addiderunt, quasi esset optativus διακινδυνεύσαι. Nostram lectionem qui probabat Bredovius, recte iudicabat, voculam καί, quae vulgo uncis inclusa est, genuinam esse, cum in omnibus Mss. appareret, et ad sententiam aptissima esset. Mox ἐξιέναι dedi cum Benedicto, duodecim libris iubentibus, pro διεξιέναι. Etiam Schol. simpliciter ἀπάγειν τὴν στρατιάν interpretatur. Error natus videtur eo, quod scribentis librarii oculis vicinae voces διακινδυνεῦσαι (vel διεκινδύνευσεν) et διατρίβειν obversabantur.

καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐπ. ν. κρατεῖν. Interpretes quidem plerique cum Scholiasta τὸ στράτευμα intelligunt Syracusanorum, et cum infinitivo κρατεῖν iungunt genitivum τοῦ στρατεύματος. Equidem neque necessitatem, neque adeo causam idoneam huius interpretationis perspicio; atque Thucydidem, si hoc voluisset, diserte indicaturum fuisse existimo. Im-

θούσαις ναυσὶ κρατεῖν· καὶ τῇ πόλει ὠφελιμώτερον ἔφη εἶναι, πρὸς τοὺς ἐν τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον ποιεῖσθαι, ἢ Συρακουσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι, χειρώσασθαι· οὐδ᾽ αὖ ἄλλως χρήματα πολλὰ δαπανῶντας εἰκὸς εἶναι προςκαθῆσθαι. Καὶ ὁ μὲν Δημοσθένης τοιαῦτα ἐγίγνωσκεν.

48. Ὁ δὲ Νικίας ἐνόμιζε μὲν καὶ αὐτὸς, πονηρὰ σφῶν τὰ πράγματα εἶναι, τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀποδεικνύναι, οὐδ᾽ ἐμφανῶς σφᾶς ψηφιζομένους μετὰ πολλῶν τὴν ἀναχώρησιν, τοῖς πολεμίοις καταγγέλτους γίγνεσθαι· λαθεῖν γὰρ ἂν, ὁπότε βούλοιντο, τοῦτο ποιοῦντες πολλῷ ἧσσον. Τὸ δέ τι καὶ τὰ τῶν πολεμίων, ἀφ᾽ ὧν ἐπὶ πλέον, ἢ οἱ ἄλλοι, ᾐσθάνετο αὐτῶν, ἐλπίδος τὶ ἔτι παρεῖχε, πονη-

bito, inter ſe disſentiebant, cum Demoſthenes disceſſum, 48. Nicias perſeverantiam ſuaderet;

mo κρατεῖν hic, ut alibi ſexcenties, abſolute poſitum eſt: genitivus autem τοῦ στρατεύματος in partitione ſolennis. Spes ſola victoriae illae erant naves, quae cum Demoſthene advenerant. Nam non ſolum illa totius exercitus pars, quae prior cum Nicia in Siciliam venerat, variis cladibus affecta, ſed etiam peditatus nuper advectus nocturno proelio graviter afflictus erat. Reliquum igitur nihil Athenienſibus eſſe, Demoſthenes docebat, niſi illis ſaltem ex omni numero navibus, quae ſucceſſiſſent, ſuperiores evadere ad tutum receptum.

ὠφελιμώτερον ἔφη εἶναι. Sic plerique codices Vulgo alio ordine ὠφελιμ. εἶναι ἔφη.

ἢ Συρακουσίους, οὓς — χειρώσασθαι. Durum cenſet Bauerus, quod h. l. ad Συρακουσίους repetendum ſit πρός. Durum ſane eſſet, ſi neceſſe. Sed is accuſativus pendet ab infinitivo ſequenti χειρώσασθαι, qui bis intelligendus eſt, tum ad Συρακουσίους, ut modo diximus, tum ad pronomen οὓς in membro interiecto. Quare rectius comma ponitur ante χειρώσασθαι, ne quid dubitationis relinquatur, quo accuſativus Συρακουσίους referendus ſit. Aliud huius breviloquentiae exemplum exſtat 1, 134.

48. οὐδ᾽ ἐμφανῶς σφᾶς — γίγνεσθαι. Suſtuli comma poſt σφᾶς, propterea quod ἐμφανῶς cum ψηφιζομένους iungendum eſt. — Mox a ſtructura accuſativi cum infinitivo ad nominativum tranſit: τοῦτο ποιοῦντες dicens; quae lectio a Bauero fruſtra tentatur, cum vel Scholiaſta eandem firmet, ad ſecundam perſonam orationem flectens: οὐ δυνήσεσθε (φησὶ) λαθεῖν, ἐπιχειροῦντες ἀποπλεῦσαι.

ἀφ᾽ ὧν ἐπὶ πλέον, ἢ οἱ ἄλλοι, ᾐσθάνετο αὐτῶν.

ρότερα τῶν σφετέρων ἔσεσθαι, ἢν καρτερῶσι προσκαθήμενοι. Χρημάτων γὰρ ἀπορίᾳ αὐτοὺς ἐκτρυχώσειν, ἄλλως τε καὶ ἐπὶ πλέον ἤδη ταῖς ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων. Καὶ (ἦν γάρ τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι) ἐπεκηρυκεύετο ὡς αὐτὸν, καὶ οὐκ εἴα ἀπανίστασθαι. Ἃ ἐπιστάμενος, τῷ μὲν ἔργῳ ἔτι ἐπ' ἀμφότερα ἔχων καὶ διασκοπῶν ἀνεῖχε· τῷ δ' ἐμφανεῖ τότε λόγῳ οὐκ ἔφη ἀπάξειν τὴν στρατιάν. Εὖ γὰρ εἰδέναι, ὅτι Ἀθηναῖοι σφῶν ταῦτα οὐκ ἀποδέξονται, ὥστε, μὴ αὐτῶν ψηφισαμένων, ἀπελθεῖν. Καὶ γὰρ οὐ τοὺς αὐ-

Octo codicum auctoritate recepi οἱ ante ἄλλοι, quod h. l. aptiſſimum eſt, licet non pertineat αὐτῶν ad οἱ ἄλλοι, ut Benedictus exiſtimat, ſed pendeat a verbo ᾐσθάνετο. Neque enim ἀφ' ὧν cum hoc verbo iungi poteſt, ſed recte explicatur a Kiſtemakero *quatenus*. Verba τὸ δέ τι qui cum Aug. Moſq. mutare volebat in τόδ' ἔτι Benedictus, non ſolum oblitus erat Thucydidei loquendi uſus, ſed etiam loci ſententiam plane perturbabat. Nam τόδ' ἔτι cum eſſet τοῦτο δὲ ἔτι, nihil haberet quo referretur, niſi forte verba ſequentia καὶ τὰ τῶν πολεμίων ad eius explicationem adiecta putares. Τὸ δέ τι eſt *quodammodo*. Simile eſt τὸ δὲ πλέον, τὸ δὲ μέγιστον 4, 108.

θαλασσοκρατούντων, int. Ἀθηναίων, vel αὐτῶν, cum ad ἐκτρυχώσειν ſubaudiendum ſit αὐτοί, οἱ Ἀθηναῖοι.

καί, ἦν γάρ τι — ἐπεκηρυκεύετο. Duckerum, ante ἐπεκηρυκεύετο e Cod. Cl. καί reponentem, refellit ordo verborum καὶ ἦν γάρ, cum deberet eſſe καὶ γὰρ ἦν. Eſt Herodoti proprium loquendi genus, ut ſubiectum totius loci lateat in parentheſi; quod ſubinde Thucydides imitatus eſt. Sic 3, 70. καί, (ἦν γὰρ Πειθίας ἐθελοπρόξενός τε τῶν Ἀθηναίων, καὶ τοῦ δήμου προειστήκει) ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες ἐς δίκην. Cf. ad 4, 132. Hoc loco τὶ βουλόμενον, quod eſt τινὲς βουλόμενοι, ad ἐπεκηρυκεύετο ſubaudiendum. Ἐπικηρυκεύεσθαι autem hic minus proprie dicitur de nuntiis a privatis quibusdam clanculum miſſis, cum alibi ſemper de legatis publico nomine miſſis intelligendum ſit. Cf. Ducker. Infra cap. 73. diſtinctius illos appellat διαγγέλους.

ἔτι ἐπ' ἀμφότερα — ἀνεῖχε. De dubitatione hic agi patet, et Scholiaſta confirmat. Ad ἔχων ſubaudio τὸν νοῦν, τὴν γνώμην. Sed quid h. l. eſt ἀνεῖχε? Puto ſupplendum eſſe τὴν γνώμην, ut ſententia ſit: „re vera adhuc ancipitem cogitationem habens et circumſpiciens *ſententiam ſuam ſuspenſam tenebat.*“ — Inferius articulum οἱ ante Ἀθηναῖοι, iubentibus libris, delevimus. Ita mox: ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις; et ſtatim ὑπ' Ἀθηναίων ἀπολέσθαι μᾶλλον.

καὶ γὰρ οὐ τοὺς αὐτοὺς ψηφ. Kiſtemakerus, qui τοὺς

τοὺς ψηφιεῖσθαί τε περὶ σφῶν αὐτῶν, καὶ τὰ πράγματα, ὥσπερ καὶ αὐτοὶ, ὁρῶντας, καὶ οὐκ ἄλλων ἐπιτιμήσει ἀκούσαντας, γνώσεσθαι, ἀλλ', ἐξ ὧν ἄν τις εὖ λέγων διαβάλλοι, ἐκ τούτων αὐτοὺς πείσεσθαι. Τῶν τε παρόντων στρατιωτῶν πολλοὺς, καὶ τοὺς πλείους, ἔφη, οἳ νῦν βοῶσιν, ὡς ἐν δεινοῖς ὄντες, ἐκεῖσε ἀφικομένους, τὰ ἐναντία βοήσεσθαι, ὡς ὑπὸ χρημάτων καταπροδόντες οἱ στρατηγοὶ ἀπῆλθον. Οὔκουν βούλεσθαι αὐτός γε, ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις, ἐπ' αἰσχρᾷ τε αἰτίᾳ καὶ ἀδίκως ὑπ' Ἀθηναίων ἀπολέσθαι μᾶλλον, ἢ ὑπὸ τῶν πολεμίων, εἰ δεῖ, κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ. Τά τε Συρακουσίων, ἔφη, ὅμως ἔτι ἥσσω τῶν σφετέρων εἶναι· καὶ χρήμασι γὰρ αὐτοὺς ξενοτροφοῦντας, καὶ ἐν περιπολίοις ἅμα ἀναλίσκοντας, καὶ ναυτικὸν πολὺ ἔτι ἐνιαυτὸν ἤδη βόσκοντας, τὰ μὲν ἀπορεῖν, τὰ δ' ἔτι ἀμηχανήσειν. Δισχίλια γὰρ

αὐτοὺς intelligit „eosdem qui hic nunc iudicant", perverſe accepit locum. Rectiſſime Bauerus ſenſum cepit: „Qui iudicaturi de nobis ſunt, non illi ſunt, qui iidem etiam rerum viſarum notitia utantur, nec calumniis modo aures praebeant." Verba ſic iunge: οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαί τε καὶ γνώσεσθαι τὰ πράγματα ὁρῶντας (αὐτὰ) καὶ οὐκ ἄ. ἐ. ἀκούσαντας, ἀλλὰ πείσεσθαι αὐτοὺς ἐκ τούτων, ἐξ ὧν ἄν τις διαβάλλοι. Ceterum etiam alii compararunt locum et ad ſententiam et ad verba huic ſimillimum 3, 38. Τὰ μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες, ὡς δυνατὰ γίγνεσθαι. τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ δρασθὲν πιστότερον ὄψει λαβόντες, ἢ τὸ ἀκουσθὲν ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων.

κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ. Quid h. l. ſit ἰδίᾳ, difficile eſt dicere. E verbis ἐπ' αἰσχρᾷ τε αἰτίᾳ καὶ ἀδίκως, quibus reſpondere hoc in membro videtur ἰδίᾳ κινδυνεύσας, explicem: *per ſe, ultro*, periculum ſubiens.

ὅμως ἔτι ἥσσω τῶν σφετέρ. Illud ὅμως pertinet ad ſententiam ſuppreſſam, atque cogitatione ſupplendam: *etſi ipſorum res infirmae et afflictae ſint, tamen* cet. Plura vid. ad 3, 49.

καὶ χρήμασι γάρ. Addidi καί, quod novem codices praebent, referendum illud quidem ad ſequens καί, ut recte Benedictus accepit. Nam cum γάρ iungi nequit, quia hae voces tam arcte cohaerent, ut alia voce interpoſita disiungi non poſſint. Cf. ad 4, 132. et Poppo Obſſ. critt. p. 174. Praeterea totidem libris iubentibus eiicienda eſt vox ἄλλα ante ἀναλίσκοντας, quae merum eſt interpretamentum. Ἀναλίσκειν enim ab-

τάλαντα ἤδη ἀναλωκέναι, καὶ ἔτι πολλὰ προσοφείλειν· ἤν τε καὶ ὁτιοῦν ἐκλίπωσι τῆς νῦν παρασκευῆς, τῷ μὴ διδόναι τροφὴν, φθερεῖσθαι αὐτῶν τὰ πράγματα, ἐπικουρικὰ μᾶλλον, ἢ δι' ἀνάγκης, ὥσπερ τὰ σφέτερα, ὄντα. Τρίβειν οὖν, ἔφη, χρῆναι προσκαθημένους, καὶ μὴ χρήμασιν, ὡς πολὺ κρείσσους εἰσὶ, νικηθέντας ἀπιέναι.

ſolute hic dicitur, ut latinum *ſumptus facere*, *impendere*, neque χρήματα ſubaudies, ſed τροφὴν, *victum*, *commeatum*, *frumentum*, quae χρήμασι ſive pecuniae h. l. opponantur. — Quae ſint περιπόλια, docui ad 6, 45.

ἤδη ἀναλωκέναι. Vulgo ἀνηλωκέναι, praeter Atticorum morem, et codd. Reg. Aug. Caſſ. Gr. trium Pariſſ. auctoritatem. Cf. ad 6, 31.

τῷ μὴ διδόναι τροφήν. Haec ita ſunt in medio poſita, ut quaeri poſſit, utrum ad praecedentia, an ad ſequentia pertineant. Malîm ad praecedentia referre, ut tamquam una eaque graviſſima cauſa lapſurae quandoque Syracuſanorum fortunae haec afferatur, ſi commeatum ſociis praebere non amplius valuerint. Itaque accipio pro ὥστε μὴ διδόναι τροφήν. — Ἐπικουρικά, non μισθοφόροις cum Schol. intelligam, ſed ξυμμάχους, ſocios voluntarios, nec imperio ipſorum ſubiectos, quos non ſolum ex Sicilia, ſed etiam e tota Graecia habebant multos, nempe Peloponneſios, Boeotos, Ambraciotas. — δι' ἀνάγκης, ad eam neceſſitudinem refer, qua quisque patriae ſuae aut ſociis praevalentibus in bello officium debet.

τρίβειν οὖν —. Vulgo vertunt: *in obſidione perſeverare*, quaſi eſſet διατρίβειν. Sed ſubaudiendum eſt αὐτοὺς i. e. Συρακουσίους, morari et *vexare eos obſidione*, ſie hinhalten. Sic ſupra cap. 42. Demoſthenes dicit: ἢ ἀπάξειν τὴν στρατιὰν, καὶ οὐ τρίβεσθαι ἄλλως Ἀθηναίους τε τοὺς ξυστρατευομένους, καὶ τὴν ξύμπασαν πόλιν. Infra c. 49. Εἰ δὲ δεῖ μὴ ἀπάγειν τὴν στρατιὰν ἄνευ Ἀθηναίων ψηφίσματος, ἀλλὰ τρίβειν. Si τρίβειν h. l. eſſet *remanere*, vel *perſtare*, ut Portus vertit, pleonaſmum ſaperet Thucydidis oratio. Cf. 8, 46. Τρίβειν οὖν ἐκέλευε ἀμφοτέρους. Item cap. 56. Et 8, 87. τριβῆς ἕνεκα καὶ ἀνακωχῆς τῶν Ἑλληνικῶν. — Mox pro ὡς πολὺ κρείσσους εἰσί, alii codices ὧν πολύ, alii cum Schol. ᾧ πολύ exhibent, Pariſ. I. autem οἷς πολύ, quod merum eſt interpretamentum. Vulgatam non fert Thucydidis loquendi uſus, ὡς, ſi cauſam enuntiat, numquam cum indicativo, ſed cum participio iungentis. Cf. ad c. 15. Veram puto lectionem ᾧ πολύ, quae facile a librariis in ὡς et in ὧν corrumpi potuit. Vid. ad 5, 79. Scholia quidem etiam vulgatam lectionem afferunt. Sed de iis lectionibus, quae in ſcholiis laudantur praemiſſo γράφεται, Duckerum recte ſtatuiſſe iudico ad 7, 43. ubi ſuſpicatur, a recentioribus quibusdam, qui exemplaria ſcripta inter ſe comparare coepiſſent, talia in Scholiaſten illata eſſe. Senſum lectionis ᾧ Bauerus minus recte illuſtravit.

49. Ὁ μὲν Νικίας, τοσαῦτα λέγων, ἰσχυρίζετο, αἰσθόμενος τὰ ἐν ταῖς Συρακούσαις ἀκριβῶς, καὶ τὴν τῶν χρημάτων ἀπορίαν, καὶ ὅτι ἦν αὐτόθι που τὸ βουλόμενον τοῖς Ἀθηναίοις γίγνεσθαι τὰ πράγματα, καὶ ἐπικηρυκευόμενον πρὸς αὐτὸν, ὥστε μὴ ἀπανίστασθαι, καὶ ἅμα ταῖς γοῦν ναυσὶν ἢ πρότερον θαρσήσει κρατηθείς. Ὁ δὲ Δημοσθένης, περὶ μὲν τοῦ προσκαθῆσθαι, οὐδ' ὁπωσοῦν ἐνεδέχετο· εἰ δὲ δεῖ μὴ ἀπάγειν τὴν στρατιὰν ἄνευ Ἀθηναίων ψηφίσματος, ἀλλὰ τρίβειν, αὐτοὺς ἔφη χρῆναι, ἢ ἐς τὴν Θάψον ἀναστάντας, τοῦτο ποιεῖν, ἢ ἐς τὴν Κατάνην, ὅθεν τῷ τε πεζῷ ἐπὶ πολλὰ τῆς χώρας ἐπιόντες τρέψονται, πορθοῦντες τὰ τῶν πολεμίων, καὶ ἐκείνους βλάψουσι· ταῖς τε ναυσὶν ἐν πελάγει, καὶ οὐκ ἐν στενοχωρίᾳ, (ἣ πρὸς τῶν πολεμίων μᾶλλόν ἐστι,) τοὺς ἀγῶνας ποιήσονται, ἀλλ' ἐν εὐρυχωρίᾳ, ἐν ᾗ τά τε τῆς ἐμπειρίας χρήσιμα σφῶν ἔσται, καὶ ἀναχωρήσεις καὶ ἐπίπλους, οὐκ ἐκ βραχέος καὶ περιγραπτοῦ ὁρμώμενοί τε καὶ καταίρον-

49. et, licet Eurymedon Demosthenis ſententiae accederet,

Non enim referri poteſt ad *ἔχειν χρήματα*, quod verbum non praeceſſit; ſed abſolute accipiendum eſt intellecto *πράγματι*, *ἔργῳ*, ut ſaepe alibi. Verte: *Qua in re multo ſuperiores eſſent Syracuſanis.*

49. *τοσαῦτα λέγων.* Ita recte Mſſ. Vulgo *ταῦτα.* — Mox *πού* poſt *αὐτόθι* omittunt Codd. Ar. C. Caſſ. Aug. Reg. cum quatuor aliis Pariſſ. Ambigo equidem, quid h. l. haec vox valeat. Parum enim convenit praecedenti *αἰσθόμενος ἀκριβῶς.* Neque tamen crediderim, eam irrepſiſſe e margine, ubi quis illuſtraturus, quo referendum ſit *αὐτόθι*, particula interrogativa *ποῦ* lectorem excitaret. Talia ſaepe fingimus praeter ullam veri ſpeciem. *Πού* etiam h. l. incertam quodammodo reddit enunciationem, ad ſcriptorem ipſum, non ad Niciam, referendam. Plerisque autem adverbiis loci adhaerent particulae *πού*, *ποί*, *ποθέν*, ut cap. 51, *ἄλλοσέ ποι τῆς Σικελίας.*

ἢ πρότερον θαρσ. κρατηθείς. Supple *μᾶλλον* ante *ἤ*, quod ſaepiſſime omittitur. „Et ſimul de navibus quidem magis quam ante fiducia motus.“ *Θάρσησις*, ut *θαρσεῖν*, dativo iungitur.

ἀλλὰ τρίβειν, αὐτοὺς ἔφη χρῆναι. De notione verbi *τρίβειν* dixi ad cap. 48. Subaudiendum etiam hic *τοὺς πολεμίους*, et cum Heilmanno poſt *τρίβειν* comma ponendum, propter ſequentem infinitivum *τοῦτο ποιεῖν.*

τες, ἔξουσι. Τό, τε ξύμπαν εἰπεῖν, οὐδενὶ τρόπῳ οἱ, ἔφη, ἀρέσκειν ἐν τῷ αὐτῷ ἔτι μένειν, ἀλλ' ὅτι τάχιστα ἤδη, καὶ μὴ μέλλειν ἐξανίστασθαι. Καὶ ὁ Εὐρυμέδων αὐτῷ ταῦτα ξυνηγόρευεν. Ἀντιλέγοντος δὲ τοῦ Νικίου, ὄκνος τὶς καὶ μέλλησις ἐνεγένετο, καὶ ἅμα ὑπόνοια, μή τι καὶ πλέον εἰδὼς ὁ Νικίας ἰσχυρίζηται. Καὶ οἱ μὲν Ἀθηναῖοι τούτῳ τῷ τρόπῳ διεμέλλησάν τε καὶ κατὰ χώραν ἔμενον.

50. Ὁ δὲ Γύλιππος καὶ ὁ Σικανὸς ἐν τούτῳ παρῆσαν ἐς τὰς Συρακούσας· ὁ μὲν Σικανὸς, ἁμαρτὼν τοῦ Ἀκράγαντος· (ἐν Γέλᾳ γὰρ ὄντος αὐτοῦ ἔτι, ἡ τοῖς Συρακουσίοις στάσις ἐς φιλίαν ἐξεπεπτώκει·) ὁ δὲ Γύλιππος ἄλλην τε στρατιὰν πολλὴν ἔχων ἦλθεν ἀπὸ τῆς Σικελίας, καὶ τοὺς ἐκ τῆς Πελοποννήσου τοῦ ἦρος ἐν ταῖς ὁλκάσιν ὁπλίτας ἀποσταλέντας, ἀφικομένους ἀπὸ τῆς Λιβύης ἐς Σελινοῦντα. Ἀπενεχθέντες γὰρ ἐς Λιβύην, καὶ, δόντων Κυρηναίων τριήρεις δύο, καὶ τοῦ

tamen, Nicia refragante, Athenienſes cunctati in loco manebant. 50. Interim Sicanus redit Agrigento, infecta re; Gylippus vero cum alio magno exercitu; ſimul

οὐδενὶ τρόπῳ· οἱ ἔφη ἀρέσκειν. Pronomen οἱ poſt τρόπῳ, quod undecim codices addunt, cum Benedicto recepi.— In verbis καὶ μὴ μέλλειν ἐξανίστασθαι hic poſterior infinitivus bis intelligendus videtur, primum ad ὅτι τάχιστα ἤδη, deinde ad μέλλειν. Quare fortaſſe comma ponendum poſt μέλλειν.

50. ἐς φιλίαν ἐξεπεπτώκει. Porti expoſitionem ἐς φιλίαν περιέστη, plerique interpretes ſecuti ſunt. Cum autem ἐκπίπτειν alibi apud Thucydidem ſit *patria eiici*, *expelli*, Bauerus, ſubaudiens γῆν ad φιλίαν, intellexit: „*eiecta* in regionem amicam confugerat.“ Quam interpretationem veram eſſe puto, eodemque ſpectare etiam lectionem codd. Gr. Caſſ. Aug. ἐς φίλια.

ἀπενεχθέντες γὰρ ἐς Λιβύην. Benedictus defendit novem codicum lectionem ἀπενεχθέντων. Non audio. Cauſa corruptionis ſequens genitivus δόντων erat; neque moleſta eſt ante hoc vocabulum copula καί, qua rei ſuccedentis temporis ratio, et narrationis plura complexae progreſſio, indicatur; praeſertim cum verba καὶ ἐν τῷ παράπλῳ intelligere poſſis: *etiam* in praeternavigatione. Denique exempla a Duckero ad 7, 42. et 70 allata, ad quae provocat Benedictus, huc non quadrant. Ibi enim verbum adeſt, caſum certum conſtituens, a quo deinceps oratio declinat.

πλοῦ ἡγεμόνας, καὶ ἐν τῷ παράπλῳ Εὐεσπερίταις, πολιορκουμένοις ὑπὸ Λιβύων, ξυμμαχήσαντες, καὶ νικήσαντες τοὺς Λίβυς, καὶ αὐτόθεν παραπλεύσαντες ἐς Νέαν πόλιν, Καρχηδονιακὸν ἐμπόριον, ὅθεν πρὸς Σικελίαν ἐλάχιστον δυοῖν ἡμερῶν καὶ νυκτὸς πλοῦς ἀπέχει, καὶ ἀπ' αὐτοῦ περαιωθέντες, ἀφίκοντο ἐς Σελινοῦντα. Καὶ οἱ μὲν Συρακούσιοι εὐθὺς αὐτῶν ἐλθόντων παρεσκευάζοντο, ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα αὖθις τοῖς Ἀθηναίοις, καὶ ναυσὶ καὶ πεζῷ. Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ, ὁρῶντες στρατιάν τε ἄλλην προςγεγενημένην αὐτοῖς, καὶ τὰ ἑαυτῶν ἅμα οὐκ ἐπὶ τὸ βέλτιον χωροῦντα, ἀλλὰ καθ' ἡμέραν τοῖς πᾶσι χαλεπώτερον ἴσχοντα, μάλιστα δὲ τῇ ἀσθενείᾳ τῶν ἀνθρώπων πιεζόμενα, μετεμέλοντό τε πρότερον οὐκ ἀναστάντες· καὶ, ὡς αὐτοῖς οὐδὲ ὁ Νικίας ἔτι ὁμοίως ἠναντιοῦτο, ἀλλ' ἢ μὴ φανερῶς γε ἀξιῶν ψηφίζεσθαι, προεῖπον, ὡς ἠδύναντο ἀδηλότατα, ἔκπλουν ἐκ τοῦ στρατοπέδου πᾶσι, καὶ παρασκευάσασθαι, ὅταν τὶς σημήνῃ. Καὶ, μελλόντων αὐτῶν, ἐπειδὴ ἕτοιμα ἦν, ἀποπλεῖν, ἡ σελήνη ἐκλείπει· ἐτύγχανε γὰρ πανσέληνος οὖσα. Καὶ οἱ Ἀθηναῖοι οἵ τε πλείους ἐπισχεῖν ἐκέλευον τοὺς στρατηγοὺς, ἐνθύμιον ποιούμενοι, καὶ ὁ Νικίας (ἦν γάρ τι καὶ ἄγαν θειασμῷ τε καὶ τῷ τοιούτῳ προςκείμενος,) οὐδ' ἂν διαβουλεύσασθαι ἔτι ἔφη,

Peloponnesii, qui vere profecti erant in navibus onerariis, adsunt. Quorum adventu rursus ad hostem aggrediendum Syracusani excitantur. Athenienses autem, Nicia non amplius resistente, ad discessum se parantes, forte lunae

Εὐεσπερίταις. Vid. interpretes ad Stephanum Byz. et ad Pausan. 4, 26.

δυοῖν ἡμερῶν. Reg. Cass. Aug. Dan. Mosq. *δύο ἡμερῶν.* Cf. ad 5, 84. et Benedict. ad h. l.

ὡς αὐτοῖς οὐδὲ ὁ Νικίας — ψηφίζεσθαι. Vulgatam lectionem veram puto. Legitur nempe in decem libris *ἠναντιοῦτο ἄλλο, εἰ μὴ φανερῶς γε ἀξιῶν μὴ ψηφίζεσθαι.* Cui lectioni maxime obstat vocabulum *ὁμοίως*, ut etiam Bauerus sensit. Primum *ἢ* proclivi errore abiit in *εἰ*. Deinde *ἄλλο* factum, et negatio *μὴ* ab emendatore addita, ut loco sententia constaret.

πρὶν, ἃς οἱ μάντεις ἐξηγοῦντο, τρὶς ἐννέα ἡμέρας μεῖναι, ὅπως ἂν πρότερον κινηθείη. Καὶ τοῖς μὲν Ἀθηναίοις μελλήσασι, διὰ τοῦτο ἡ μονὴ ἐγεγένητο.

51. Οἱ δὲ Συρακούσιοι, καὶ αὐτοὶ τοῦτο πυθόμενοι, πολλῷ μᾶλλον ἐγηγερμένοι ἦσαν μὴ ἀνιέναι τὰ τῶν Ἀθηναίων, ὡς καὶ αὐτῶν κατεγνωκότων ἤδη μηκέτι κρεισσόνων εἶναι σφῶν μήτε ταῖς ναυσὶ, μήτε τῷ πεζῷ· (οὐ γὰρ ἂν τὸν ἔκπλουν ἐπιβουλεῦσαι·) καὶ ἅμα, οὐ βουλόμενοι, αὐτοὺς, ἄλλοσέ ποι τῆς Σικελίας καθεζομένους, χαλεπωτέρους εἶναι προςπολεμεῖν, ἀλλ' αὐτοῦ ὡς τάχιστα, καὶ ἐν ᾧ σφίσι ξυμφέρει, ἀναγκάσαι αὐτοὺς ναυμαχεῖν. Τὰς οὖν ναῦς ἐπλήρουν, καὶ ἀνεπειρῶντο ἡμέρας, ὅσαι αὐτοῖς ἐδόκουν ἱκαναὶ εἶναι. Ἐπειδὴ δὲ καιρὸς ἦν, τῇ μὲν προτεραίᾳ πρὸς τὰ τείχη τῶν Ἀθηναίων προςέβαλλον, καὶ, ἐπεξελθόντος μέρους τινὸς οὐ πολλοῦ καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων κατά τινας πύλας, ἀπολαμβάνουσί τε τῶν ὁπλιτῶν τινὰς, καὶ τρεψάμενοι καταδιώκουσιν. Οὔσης δὲ στενῆς τῆς ἐφόδου, οἱ Ἀθηναῖοι ἵππους τε ἑβδομήκοντα ἀπολλύουσι, καὶ τῶν ὁπλιτῶν οὐ πολλούς.

defectu cum plerique, tum imprimis Nicias, adeo terrentur, ut ante diem vicefimum feptimum abire religioni habeant. 51. Quod ubi Syracufani refcivere, multo etiam acrius inftiterunt, ut eo ipfo loco Athenienfes conficerent. Et primo quidem die muros Athenienfium oppugnant, et propugnatorum non multos interficiunt;

πρὶν, ἃς οἱ μάντεις ἐξηγοῦντο. Multi Mff. praebent ὡς, quod vulgato numquam praetulerim. ἐξηγεῖσθαι proprie dicitur de prodigiorum interpretatione. Verba ὅπως — κινηθείη pendent a διαβουλεύσασθαι.

51. καὶ ἅμα οὐ βουλόμενοι. Cum non fuccedat verbum finitum, ad verba καὶ ἅμα ex fuperioribus ἐγηγερμένοι ἦσαν repetendum eft. — Paullo ante μὴ ἀνιέναι τὰ τῶν Ἀθην. eft, *non negligere Athenienfium conatus.*

κατά τινας πύλας, int. τοῦ τῶν Ἀθηναίων τειχίσματος. — In lectione προτέρᾳ pro προτεραίᾳ non magis fequor codices illud exhibentes (cf. 5, 75.), quam fupra in verbis μήτε ταῖς ναυσί, ubi ταῖς plerique omittunt.

52. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ἀπεχώρησεν ἡ στρατιὰ τῶν Συρακουσίων· τῇ δ' ὑστεραίᾳ, ταῖς τε ναυσὶν ἐκπλέουσιν, οὔσαις ἓξ καὶ ἑβδομήκοντα, καὶ τῷ πεζῷ ἅμα πρὸς τὰ τείχη ἐχώρουν. Οἱ δ' Ἀθηναῖοι ἀντανῆγον ναυσὶν ἓξ καὶ ὀγδοήκοντα, καὶ προςμίξαντες ἐναυμάχουν. Καὶ τὸν Εὐρυμέδοντα, ἔχοντα τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων, καὶ βουλόμενον περικλήσασθαι τὰς ναῦς τῶν ἐναντίων, καὶ ἐπεξαγαγόντα τῷ πλῷ πρὸς τὴν γῆν μᾶλλον, νικήσαντες οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι τὸ μέσον πρῶτον τῶν Ἀθηναίων, ἀπολαμβάνουσι κἀκεῖνον ἐν τῷ κοίλῳ καὶ μυχῷ τοῦ λιμένος, καὶ αὐτόν τε διαφθείρουσι, καὶ τὰς μετ' αὐτοῦ ναῦς ἐπισπομένας· ἔπειτα δὲ καὶ τὰς πάσας ναῦς ἤδη τῶν Ἀθηναίων κατεδίωκόν τε καὶ ἐξεώθουν ἐς τὴν γῆν.

53. Ὁ δὲ Γύλιππος, ὁρῶν τὰς ναῦς τῶν πολεμίων νικωμένας, καὶ ἔξω τῶν σταυρωμάτων καὶ τοῦ ἑαυτῶν στρατοπέδου καταφερομένας, βουλόμενος διαφθείρειν τοὺς ἐκβαίνοντας, καὶ τὰς ναῦς ῥᾷον τοὺς Συρακουσίους ἀφέλκειν τῆς γῆς, φιλίας οὔσης, παρεβοήθει ἐπὶ τὴν χηλὴν, μέρος τι ἔχων τῆς στρατιᾶς. Καὶ αὐτοὺς οἱ Τυρσηνοὶ (οὗτοι γὰρ ἐφύλασσον τοῖς Ἀθηναίοις) [ταύτῃ] ὁρῶντες ἀτάκτως προςφερομένους,

52. altero autem non ſolum pedeſtri exercitu murum, ſed etiam navibus ſeptuaginta ſex hoſtem invadunt, et proelio navali vincunt, Eurymedonte occiſo. 53. Hoc proelium aliud certamen excipit inter copias pedeſtres, quoniam Gylippus cum ſuis ad littus et portus crepidinem feſtinat. Ibi primum Tyrſeni, tum ipſi Athenienſes,

52. τῇ δ' ὑστεραίᾳ — Huius diei navalem pugnam uberius deſcribit Diodor. Sic. 13, 13. qui non diſcedit a Noſtro, niſi in eo, quod cladem Athenienſium profectam eſſe dicit ab Eurymedontis caede; cum viciſſim Thucydides mediam Athenienſium aciem primam eſſe ſuperatam paullo inferius tradat.

καὶ ἐπεξαγαγόντα. Alii ἐξαγαγόντα, plurimi ἐξάγοντα.

53. φιλίας οὔσης, i. e. ſi ab amicis teneretur. — χηλὴν, vid. ad 1, 63.

ταύτῃ ὁρῶντες ἀτάκτως προςφερομ. Codicum Ar. C. Reg. Caſſ. Aug. Cl. Moſq. et

ἐπεκβοηθήσαντες καὶ προςπεσόντες τοῖς πρώτοις, τρέπουσι, καὶ ἐςβάλλουσιν ἐς τὴν λίμνην τὴν Λυσιμέλειαν καλουμένην. Ὕστερον δέ, πλείονος ἤδη τοῦ στρατεύματος παρόντος τῶν Συρακουσίων καὶ ξυμμάχων, καὶ οἱ Ἀθηναῖοι, ἐπιβοηθήσαντες καὶ δείσαντες περὶ ταῖς ναυσὶν, ἐς μάχην τε κατέστησαν πρὸς αὐτούς. καὶ νικήσαντες ἐπεδίωξαν, καὶ ὁπλίτας τε οὐ πολλοὺς ἀπέκτειναν, καὶ τὰς ναῦς τὰς μὲν πολλὰς διέσωσάν τε καὶ ξυνήγαγον κατὰ τὸ στρατόπεδον, δυοῖν δὲ δεούσας εἴκοσιν οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ἔλαβον αὐτῶν, καὶ τοὺς ἄνδρας πάντας ἀπέκτειναν· καὶ ἐπὶ τὰς λοιπὰς, ἐμπρῆσαι βουλόμενοι, ὁλκάδα παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες, (ἦν γὰρ ἐπὶ τοὺς Ἀθηναίους

eorum impetum repellunt, et plurimas naves ſervant. Sed octodecim naves Syracuſani capiunt, et claſſiarios nautas.

quatuor Pariſſ. conſenſu *ταύτῃ* delendum videtur. Ab interprete adſcribi potuit vocabulo *ἐφύλασσον*, quo recte Heilmannus, qui ſervat, traxit.

καὶ ὁπλίτας τε οὐ πολλοὺς ἀπέκτ. Non ſolum codicum plurimorum conſenſu negatio *οὐ* recipienda, ſed etiam Diodori loco parallelo 13, 13. extr. *Ἀπώλοντο δὲ τῶν μὲν Συρακουσίων ὀλίγοι, τῶν δ' Ἀθηναίων ἄνδρες μὲν οὐκ ἐλάττους τῶν δισχιλίων, τριήρεις δ' ὀκτωκαίδεκα.* Qui locus etiam confert ad proximorum Thucydidis verborum et ſenſum et lectionem conſtituendam. Vulgo enim legitur: *δυοῖν δεούσας εἴκοσιν, ἃς οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ἔλαβον αὐτῶν.* Quibus in verbis primum nihil eſt, quod reſpondeat praecedenti *μέν*; deinde, ſi ex octoginta ſex navibus pleras-que ſervabant, profecto plures quam octodecim in caſtra reducebant. Cf. Bredov. Sed Diodorus Syracuſanos octodecim Atheníenſium naves cepiſſe auctor eſt. Nihil igitur certius, quam illa multorum haud dubie coniectura, poſt *δυοῖν* abſorptam eſſe particulam *δέ* ſequentis vocabuli *δεούσας* prima ſyllaba, neque amplius cunctandum, quo minus optima et certiſſima medela Thucydidis orationi afferatur. Sed ita etiam ſequens *ἃς* expungendum erit. Non enim veriſimile eſt, has naves octodecim, primum a Syracuſanis captas, deinde ab Athenienſibus recuperatas eſſe; neque hoc e Thucydidis verbis elici poteſt; ſed potius hae octodecim naves opponuntur illis pleriſque, quas conſervarant. Quid autem magis veriſimile, quam, cum oratio abſorpto *δέ* eſſet corrupta, *ἃς* ab interprete vel correctore additum eſſe, quia verba *δυοῖν δεούσας εἴκοσιν* tamquam oppoſitionem ad *τὰς πολλάς* acciperet? Ne hoc quidem leve eſt argumentum, quod Bredovius monet, etiam in ſequentibus ſubiectum eſſe *οἱ Συρακούσιοι*. Reſtitui igitur *δέ*, et delevi *ἃς*. Etiam Valla ita vertit, ut hanc ſcripturam ſecutus eſſe videatur.

ὁ ἄνεμος οὔριος,) ἀφεῖσαν τὴν ναῦν, πῦρ ἐμβαλόντες. Καὶ οἱ Ἀθηναῖοι, δείσαντες περὶ ταῖς ναυσὶν, ἀντεμηχανήσαντό τε σβεστήρια κωλύματα, καὶ παύσαντες τὴν φλόγα, καὶ τὸ μὴ προςελθεῖν ἐγγὺς τὴν ὁλκάδα, τοῦ κινδύνου ἀπηλλάγησαν.

54. Μετὰ δὲ τοῦτο οἱ Συρακούσιοι μὲν τῆς τε ναυμαχίας τροπαῖον ἔστησαν, καὶ τῆς ἄνω τῆς πρὸς τῷ τείχει ἀπολήψεως τῶν ὁπλιτῶν, ὅθεν καὶ τοὺς ἵππους ἔλαβον· Ἀθηναῖοι δὲ, ἧς τε οἱ Τυρσηνοὶ τροπῆς ἐποιήσαντο τῶν πεζῶν ἐς τὴν λίμνην, καὶ ἧς αὐτοὶ τῷ ἄλλῳ στρατοπέδῳ.

55. Γεγενημένης δὲ τῆς νίκης τοῖς Συρακουσίοις λαμπρᾶς ἤδη καὶ τοῦ ναυτικοῦ, (πρότερον μὲν γὰρ ἐφοβοῦντο τὰς μετὰ τοῦ Δημοσθένους ναῦς ἐπελθούσας,) οἱ μὲν Ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν, καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν, πολὺ δὲ μείζων ἔτι τῆς στρατείας ὁ μετάμελος. Πόλεσι γὰρ ταύταις μόναις

que necant omnes. 54. Quibus rebus geſtis, utrimque ponuntur tropaea, a Syracuſanis ob navalem victoriam, ab Athenienſibus ob fuſum terra hoſtem. 55. Summa dehinc in caſtris Athenienſium triſtitia obtinebat, cum praeter exſpectationem etiam navali proelio, etſi navium

καὶ τὸ μὴ προςελθεῖν ἐγγὺς τὴν ὁλκάδα. Negatio μὴ abundat poſt παύσαντες, Graecorum more. 6, 49. Διὰ τὸ ἀπιστεῖν, σφᾶς μὴ ἥξειν. 7, 36. Τὴν στενοχωρίαν κωλύσειν, ὥστε μὴ περιπλεῖν. Cf. 3, 1. Duck. ad 7, 29.

55. λαμπρᾶς ἤδη καὶ τοῦ ναυτικοῦ. E codicibus bene multis addidi καὶ ante τοῦ ναυτικοῦ, quod aptiſſimum eſt hoc loco, propterea quod poſt Demoſthenis adventum pedeſtres tantum copias Athenienſium devicerant Syracuſani. Eodem modo etiam infra hoc capite καὶ aditciendum e codd. in verbis: ἐπειδή γε καὶ ταῖς ναυσὶν ἐκρατήθησαν.

τῆς στρατιᾶς ὁ μετάμελος. Cum ſubiectum loci ſit οἱ Ἀθηναῖοι, ad quod idem mox pertinet pronomen αὐτοῖς, non ſolum inconcinna, ſed ne rationi quidem ſatis congrua oratio fuerit, ſi legatur τῆς στρατιᾶς. Quid enim aliud ἡ στρατιά, quam οἱ Ἀθηναῖοι? Deinde μετάμελος, ſi ſequentia conſulueris, non poteſt referri, niſi ad totam in Siciliam expeditionem. Quare neceſſaria mihi cum Porto et Hudſono videtur correctio τῆς

ἤδη ὁμοιοτρόποις ἐπελθόντες, δημοκρατουμέναις τε, ὥσπερ καὶ αὐτοὶ, καὶ ναῦς καὶ ἵππους καὶ μεγέθη ἐχούσαις, οὐ δυνάμενοι ἐπενεγκεῖν οὔτε ἐκ πολιτείας τὶ μεταβολῆς τὸ διάφορον αὐτοῖς, ᾧ προσήγοντο ἄν, οὔτ' ἐκ παρασκευῆς, πολλῷ κρείσσους, σφαλλόμενοι δὲ τὰ πλείω, τά τε πρὸ αὐτῶν ἠπόρουν, καὶ, ἐπειδή γε καὶ ταῖς ναυσὶν ἐκρατήθησαν, ὃ οὐκ ἂν ᾤοντο, πολλῷ δὴ μᾶλλον ἔτι ἠθύμουν.

56. Οἱ δὲ Συρακούσιοι τόν τε λιμένα εὐθὺς παρέπλεον ἀδεῶς, καὶ τὸ στόμα αὐτοῦ διενοοῦντο

numero ſuperiores, victi eſſent. 56. At Syracuſani, non amplius de ſua ſalute dimicandum eſſe

στρατείας ὁ μετάμελος. Confundi haec vocabula ſaepenumero in Mſſ. notiſſimum eſt.

ὁμοιοτρόποις ἐπελθόντες. Pro ὁμοιοτρόπως, codicibus iubentibus, et ſententia magis addicente, dedi ὁμοιοτρόποις. Cf. 6, 20. Παρεσκευασμέναι τοῖς πᾶσιν ὁμοιοτρόπως μάλιστα τῇ ἡμετέρᾳ δυνάμει.

καὶ ναῦς καὶ ἵππους καὶ μεγέθη ἐχούσαις. Cum in pluribus libris inveniatur: καὶ ναυσὶ καὶ ἵπποις καὶ μεγέθει, Duckerus, videns, ſi haec vera ſit lectio, ἐχούσαις ſtare non poſſe, coniecit legendum ἰσχυούσαις. Equidem in vulgata acquieſco. Haud dubie primum μεγέθει ſolenni corruptione ortum (cf. cap. 24. ληφθέντοιν — ἐγκατελήφθη, ubi vulgo λειφθέντων — ἐγκατελείφθη); deinde priora huic aſſimilata. Etiam locutio μέγεθος ἔχειν Noſtro familiaris. Cf. 6, 20. ἵππους πολλοὺς κέκτηνται.

οὔτε ἐκ πολιτείας — διάφορον, quia utrisque democratia. Nam ſi Syracuſanis fuiſſet oligarchia, factionem democraticam Athenienſes haud dubie ibi nacti fuiſſent. — πολλῷ κρείσσους, int. ὄντες, licet multo ſuperiores eſſent, certe ab initio. Δὲ poſt σφαλλόμενοι eſt potius, et inde a verbis τά τε αὐτῶν ἠπόρουν praedicatum ſubiungitur praecedentibus participiis. Ceterum αὐτῶν cum optimis libris legendum pro αὐτῶν. Nam tempus deſcribitur ante extremam cladem navalem.

πολλῷ δὴ μᾶλλον ἔτι ἠθύμουν. Ita quinque ex Pariſſ. habent, et cod. Marg. Alii plures exhibent μᾶλλον ἔτι, omiſſo ἠθύμουν, alii ἠθύμουν agnoſcunt et ἔτι ignorant, quae vulgata ſcriptura eſt. Unus Par. ἔτι habet poſt ἠθύμουν. Duckero et Benedicto hoc verbum videbatur delendum, quia facile ſuppleri poſſet ἠπόρουν. Mihi hic verbum gravioris ſententiae quam ἠπόρουν neceſſarium videtur, propter verba praecedentia: ἐν παντὶ δὴ ἀθυμίας ἦσαν, quae his illuſtrantur et confirmantur; quare vulgata et per ſe placet, et quia codicum collatorum ſcriptura docet, propter ſimilem ſonum verborum ἔτι et ἠθύμουν in quibusdam libris alterum ab altero fuiſſe abſor

κλῄσειν, ὅπως μηκέτι, μηδ᾽ εἰ βούλοιντο, λάθοιεν αὐτοὺς οἱ Ἀθηναῖοι ἐκπλεύσαντες. Οὐ γὰρ περὶ τοῦ αὐτοὶ σωθῆναι μόνον ἔτι τὴν ἐπιμέλειαν ἐποιοῦντο, ἀλλὰ καὶ, ὅπως ἐκείνους κωλύσωσι· νομίζοντες, ὅπερ ἦν, ἀπό τε τῶν παρόντων πολὺ σφῶν καθυπέρτερα τὰ πράγματα εἶναι, καὶ, εἰ δύναιντο κρατῆσαι Ἀθηναίων τε καὶ τῶν ξυμμάχων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καλὸν σφίσιν ἐς τοὺς Ἕλληνας τὸ ἀγώνισμα φανεῖσθαι· τούς τε γὰρ ἄλλους Ἕλληνας εὐθὺς, τοὺς μὲν ἐλευθεροῦσθαι, τοὺς δὲ φόβου ἀπολύεσθαι· (οὐ γὰρ ἔτι δυνατὴν ἔσεσθαι τὴν ὑπόλοιπον Ἀθηναίων δύναμιν τὸν ὕστερον ἐπενεχθησόμενον πόλεμον ἐνεγκεῖν·) καὶ αὐτοὶ, δόξαντες αὐτῶν αἴτιοι εἶναι, ὑπό τε τῶν ἄλλων ἀνθρώπων καὶ τῶν ἔπειτα πολὺ θαυμασθήσεσθαι. Καὶ ἦν δὲ ἄξιος ὁ ἀγὼν, κατά τε ταῦτα, καὶ ὅτι οὐχὶ Ἀθηναίων μόνον περιεγίγνοντο, ἀλλὰ καὶ τῶν ἄλλων πολλῶν ξυμμάχων· καὶ οὐδ᾽ αὐτοὶ αὖ μόνον, ἀλλὰ καὶ μετὰ τῶν ξυμβοηθησάντων σφίσιν, ἡγεμόνες τε γενό-

rati, ſed quomodo Athenienſes interciperent, oſtium portus claudere ſtatuebant; ſperantes, ſummam inde apud omnes Graecos gloriam ſe adepturos, quando-

ptum. Supra c. 24. *Μέγιστον δὲ καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἡ τοῦ Πλημμυρίου λῆψις· οὐ γὰρ ἔτι οὐδ᾽ οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων — καὶ διὰ μάχης ἤδη ἐγίγνοντο αἱ ἐσκομιδαί· ἔς τε τὰ ἄλλα κατάπληξιν παρέσχε καὶ ἀθυμίαν τῷ στρατεύματι.*

56. *τοὺς μὲν ἐλευθεροῦσθαι.* Hunc locum prae ceteris aptum puto ad demonſtrandum, tempora apud Noſtrum mutari, et inter futura praeſentia interſeri. Hic enim in nullo codice *ἀπολύσεσθαι*, quamvis cum Buttmanno *ἐλευθεροῦσθαι* pro forma futuri accipias, quam rem leviter attigimus ad 3, 58. Etiam ſupra cap. 42. *ἐρίβεσθαι* legitur poſt infinitivos futuri *ἥξειν* et *ἀπάξειν*, tantum codd. Gr. Camer. refragantibus. — Sequentia verba *οὐ γὰρ — ἐνεγκεῖν* parentheſi ſecluſi.

καὶ τῶν ἔπειτα —; Mſſ. Cl. Reg. Caſſ. Aug. *καὶ ὑπὸ τῶν ἔπειτα*, praeter morem Thucydidis. Sed poſt *θαυμασθήσεσθαι* plene interpungendum.

καὶ ἦν δὲ ἄξιος ὁ ἀγών. „Et erat *etiam* praeclarum illud certamen.“ Vid. ad 8, 67. Pro *γιγνόμενοι* Mſſ. nonnulli *γενόμενοι*, quam ſcripturam Waſſius primus reliquit; non bene.—

μενοι μετὰ Κορινθίων καὶ Λακεδαιμονίων, καὶ τὴν σφετέραν πόλιν ἐμπαρασχόντες προκινδυνεῦσαί τε, καὶ τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες. Ἔθνη γὰρ πλεῖστα δὴ ἐπὶ μίαν πόλιν ταύτην ξυνῆλθε, πλήν γε δὴ τοῦ ὕμπαντος λόγου τοῦ ἐν τῷδε τῷ πολέμῳ πρὸς τὴν Ἀθηναίων τε πόλιν καὶ Λακεδαιμονίων.

57. Τοσοίδε γὰρ ἑκάτεροι ἐπὶ Σικελίαν τε καὶ περὶ Σικελίας, τοῖς μὲν ξυγκτησόμενοι τὴν χώραν, ἐλθόντες, τοῖς δὲ ξυνδιασώσοντες, ἐπὶ Συρακούσας, ἐπολέμησαν, οὐ κατὰ δίκην τὶ μᾶλλον, οὐδὲ κατὰ ξυγγένειαν, μετ' ἀλλήλων στάντες, ἀλλ', ὡς ἑκάστοις τῆς ξυντυχίας, ἢ κατὰ τὸ ξυμφέρον, ἢ ἀνάγκης ἔσχον. Ἀθηναῖοι μὲν αὐτοὶ, Ἴωνες ἐπὶ Δωριέας Συρακουσίους,

quidem ipſi ſuam urbem periculo obieciſſent, et maximum navium numerum ſuppeditaſſent. 57. Recen-

τοῦ ναυτικοῦ μέγα μέρος προκ. cum Duckero de incremento potentiae navalis accipio.

πλήν γε δὴ τοῦ ξύμπαντος λόγου. Poſt Heilmannum Benedictus coniecit ξυλλόγου. Sed hanc fere vim ipſum vocabulum λόγος hic habet, ut ſit ἀριθμός. Certe ita in omnibus libris legitur, et Scholiaſta cod. Caſſ. ſic accepit.

57. ἐλθόντες, τοῖς δὲ ξυνδιασ., ἐπὶ Συρακούσας, ἐπολ. Cum participium ἐλθόντες optimi libri, Cam. Cl. Gr. Reg. Caſſ. Moſq. cum quinque Pariſſ. exhibeant, cumque ſequentia verba ἐπὶ Συρακούσας einsmodi verbum requirant, niſi cum Bauero malis a vulgata ſcriptura recedere, Συρακούσας in Συρακούσαις mutando: illud recipere non dubitavi. Non rarae ſunt apud hunc Scriptorem eiusmodi συγχύσεις, atque h. l. ea videtur cauſa omittendi in aliis codicibus participii fuiſſe. Atque, hac lectione admiſſa, poſt Συρακούσας comma ponendum eſt. — In ſequentibus verbis: ὡς ἑκάστοις — ἔσχον, nil muto, niſi quod commate poſt ξυντυχίας diſtinguo. Quamquam ne hoc quidem neceſſarium, ſi malis pro ὡς ἑκάστοις ἔτυχον ἔχοντες ἢ κατὰ τὸ ξυμφέρον, ἢ ἀνάγκης accipere. Nam κατὰ τὸ ξυμφέρον varietatis amori, qui in Thucydide eſt, recte tribuit Bauerus, ut ſit pro τοῦ ξυμφέροντος. Sicut autem ἑκάστοις ad ſingulos Athenienſium Syracuſanorumque ſocios referendum eſt, ita ad verbum ἔσχον ſubaudi illos ipſos, Athenienſes et Syracuſanos, qui illorum ſingulos caſu, aut utilitate, aut neceſſitudine ſibi obſtrinxerant. Genitivi τῆς ξυντυχίας, ἀνάγκης nihil habent difficultatis, cum ita dicatur triliſſimum illud: ὡς ποδῶν εἶχε, ὡς εἶχον τάχους ſupra 7, 2. Neque vero dativus ἑκάστοις (i. e. ἐς ἑκάστους) offendere poteſt.

ἑκόντες ἦλθον· καὶ αὐτοῖς τῇ αὐτῇ φωνῇ καὶ νομίμοις ἔτι χρώμενοι Λήμνιοι, καὶ Ἴμβριοι, καὶ Αἰγινῆται, οἳ τότε Αἴγιναν εἶχον, καὶ ἔτι Ἑστιαιεῖς, οἱ ἐν Εὐβοίᾳ Ἑστίαιαν οἰκοῦντες, ἄποικοι ὄντες, ξυνεστράτευσαν. Τῶν δὲ ἄλλων, οἱ μὲν ὑπήκοοι, οἱ δ' ἀπὸ ξυμμαχίας αὐτόνομοι, εἰσὶ δ' οἳ καὶ μισθοφόροι, ξυνεστράτευον. Καὶ τῶν μὲν ὑπηκόων καὶ φόρου ὑποτελῶν, Ἐρετριεῖς, καὶ Χαλκιδεῖς, καὶ Στυρεῖς, καὶ Καρύστιοι, ἀπ' Εὐβοίας ἦσαν· ἀπὸ δὲ νήσων, Κεῖοι, καὶ Ἄνδριοι, καὶ Τήνιοι· ἐκ δ' Ἰωνίας, Μιλήσιοι, καὶ Σάμιοι, καὶ Χῖοι. Τούτων Χῖοι οὐχ ὑποτελεῖς ὄντες φόρου, ναῦς δὲ παρέχοντες, αὐτόνομοι ξυνέσποντο. Καὶ τὸ πλεῖστον Ἴωνες ὄντες οὗτοι πάντες, καὶ ἀπ' Ἀθηναίων, πλὴν Καρυστίων (οὗτοι δ' εἰσὶ Δρύοπες), ὑπήκοοι δ' ὄντες, καὶ ἀνάγκῃ ὅμως, Ἴωνές τε ἐπὶ Δωριέας, ἠκολούθουν. Πρὸς δ' αὐτοῖς Αἰολεῖς, Μηθυμναῖοι μὲν ναυσὶ, καὶ οὐ φόρῳ ὑπήκοοι, Τενέδιοι δὲ καὶ Αἴνιοι, ὑποτελεῖς. Οὗτοι δὲ Αἰολεῖς Αἰολεῦσι τοῖς κτίσασι Βοιωτοῖς μετὰ Συρακουσίων κατ' ἀνάγκην ἐμάχοντο· Πλαταιεῖς δὲ

ſentur Athenienſium ſocii, contra Syracuſas profecti,

καὶ αὐτοῖς τῇ αὐτῇ φωνῇ — **Αὐτοῖς** rectius referas ad τῇ αὐτῇ, ut ſit „eadem, qua ipſi, lingua et moribus utentes;" quam ad ξυνεστράτευσαν. Colon poſt εἶχον in comma mutavi, propterea quod non ſolum Heſtiaeenſes, ſed omnes etiam prius nominati, Athenienſium ſunt coloni. Cf. Schol.

οἳ τότε Αἴγιναν εἶχον. Erant coloni Athenienſium. Vid. 2, 27.

καὶ Τήνιοι. Recepi certiſſimam Bredovii emendationem Τήνιοι pro vulgato Τήϊοι, licet e nullo Mſſ. varietas lectionis notetur. Nam nulla Teos inſula; Tenos autem prope Andrum inter Cyclades ſita eſt. Memoratur etiam infra 8, 69, ubi cod. Moſq. rurſus Τήϊοι exhibet.

καὶ ἀνάγκῃ ὅμως, Ἴωνές τε ἐπὶ Δ. Ita interpunxi, ut et τέ poſt Ἴωνες vim ſuam retineat, et toti periodo ſua conſtet ſententia; quae haec eſt: „Cum illorum plerique omnes Iones eſſent et Athenienſium coloni, praeter Caryſtios (hi enim ſunt Dryopes), ſubiecti vero eſſent; tamen ob iſtam dominationem (licet ab Athenienſibus oriundi) vel coacti ſequebantur, et quia Iones adverſus Dorienſes erant." I. e. Neceſſitate quidem coacti ſequebantur, quia erant ſubditi; ſed ſequebantur etiam gentili odio, quod erat Ionibus in Dorienſes.

καταντικρὺ Βοιωτοὶ Βοιωτοῖς μόνοι εἰκότως κατ᾽ ἔχθος. Ῥόδιοι δὲ καὶ Κυθήριοι, Δωριεῖς ἀμφότεροι, οἱ μὲν Λακεδαιμονίων ἄποικοι Κυθήριοι, ἐπὶ Λακεδαιμονίους τοὺς ἅμα Γυλίππῳ μετὰ Ἀθηναίων ὅπλα ἔφερον· Ῥόδιοι δὲ, Ἀργεῖοι γένος, Συρακουσίοις μὲν, Δωριεῦσι, Γελώοις δὲ καὶ ἀποίκοις ἑαυτῶν οὖσι, μετὰ Συρακουσίων στρατευομένοις ἠναγκάζοντο πολεμεῖν. Τῶν τε περὶ Πελοπόννησον νησιωτῶν, Κεφαλλῆνες μὲν καὶ Ζακύνθιοι, αὐτόνομοι μὲν, κατὰ δὲ τὸ νησιωτικὸν μᾶλλον κατειργάμενοι, ὅτι θαλάσσης ἐκράτουν οἱ Ἀθηναῖοι, ξυνείποντο. Κερκυραῖοι δὲ, οὐ μόνον Δωριεῖς, ἀλλὰ καὶ Κορίνθιοι σαφῶς, ἐπὶ Κορινθίους τε καὶ Συρακουσίους, τῶν μὲν ἄποικοι ὄντες, τῶν δὲ ξυγγενεῖς, ἀνάγκῃ μὲν, ἐκ τοῦ εὐπρεποῦς, βουλήσει δὲ, κατὰ ἔχθος τὸ Κορινθίων, οὐχ ἧσσον, εἵποντο. Καὶ οἱ Μεσσήνιοι νῦν καλούμενοι ἐν Ναυπάκτῳ, καὶ ἐκ Πύλου, τότε ὑπ᾽ Ἀθηναίων ἐχομένης, ἐς τὸν πόλεμον παρελήφθησαν. Καὶ ἔτι Μεγαρέων φυγάδες οὐ πολλοὶ, Μεγαρεῦσι Σελινουντίοις οὖσι κατὰ ξυμφορὰν ἐμάχοντο. Τῶν δὲ ἄλλων ἑκούσιος μᾶλλον ἡ στρατεία ἐγίγνετο ἤδη. Ἀργεῖοι μὲν οὐ τῆς ξυμμαχίας ἕνεκα μᾶλλον, ἢ τῆς Λακεδαιμονίων τε ἔχθρας, καὶ τῆς παραυτίκα ἕκαστοι ἰδίας, Δωριεῖς ἐπὶ Δωριέας μετὰ Ἀθηναίων

Ῥόδιοι δὲ καὶ Κυθήριοι. Interpunctionem correxi. Vulgo colon ante *Ῥόδιοι*, punctum post *ἀμφότεροι*. Sed patet, Thucydidem, singulatim de singulis gentibus exponentem, ab Ionibus ad Aeolenses, ab Aeolensibus hic ad Dorienses procedere.

ὅτι θαλάσσης ἐκράτουν οἱ Ἀθηναῖοι. Articulum οἱ addunt codd. Ar. C. Dan. Cl. Reg Caff. Aug. duo Pariff. Horum codicum consensum non spreverim.

ἐκ τοῦ εὐπρεποῦς. Adiuti enim erant ab Atheniensibus in bello Corinthiaco, (vid. 1, 44 seqq.) atque tum hoc, tum aliis beneficiis Atheniensibus devincti.

Μεγαρεῦσι Σελινουντίοις οὖσι — i. e. *Σελινουντίοις, Μεγαρεῦσιν οὖσιν, ἐμάχοντο.* Selinuntem a Megarensibus, qui Megaris oriundi erant, et altera Megara in Hyblaeis condiderant, duce Pammilo conditam esse, Thucydides ipse docet 6, 4. — *κατὰ ξυμφοράν*, quia exsules erant, ab Atheniensibus recepti. Rem narrat Scriptor 4, 66 — 74.

καὶ τῆς παραυτίκα ἑκα-

Ἰώνων ἠκολούθουν· Μαντινεῖς δὲ καὶ ἄλλοι Ἀρκάδων μισθοφόροι, ἐπὶ τοὺς ἀεὶ πολεμίους σφίσιν ἀποδεικνυμένους ἰέναι εἰωθότες, καὶ τότε τοὺς μετὰ τῶν Κορινθίων ἐλθόντας Ἀρκάδας οὐδὲν ἧσσον, διὰ κέρδος, ἡγούμενοι πολεμίους· Κρῆτες δὲ καὶ Αἰτωλοὶ, μισθῷ καὶ οὗτοι πεισθέντες. Ξυνέβη δὲ τοῖς Κρησὶ, τὴν Γέλαν Ῥοδίοις ξυγκτίσαντας, μὴ ξὺν τοῖς ἀποίκοις, ἀλλ᾽ ἐπὶ τοὺς ἀποίκους, ἄκοντας μετὰ μισθοῦ ἐλθεῖν. Καὶ Ἀκαρνάνων τινὲς, ἅμα μὲν κέρδει, τὸ δὲ πλέον Δημοσθένους φιλίᾳ καὶ Ἀθηναίων εὐνοίᾳ, ξύμμαχοι ὄντες, ἐπεκούρησαν. Καὶ οἵδε μὲν τῷ Ἰονίῳ κόλπῳ ὁριζόμενοι. Ἰταλιωτῶν δὲ Θούριοι καὶ Μεταπόντιοι ἐν τοιαύταις ἀνάγκαις τότε, στασιωτικῶν καιρῶν κατειλημμένων, ξυνεστράτευον, καὶ Σικελιωτῶν Νάξιοι καὶ

στοι ἰδίας, ſubandi vel repete ex ſuperioribus ἔχθρας. Pertinet enim ad στάσεις, factiones, quibus etiam tum Argos videtur distractum eſſe. Cf. 5, 82. — Poſt ἠκολούθουν minus plene diſtinxi, quia hoc verbum etiam ad ſequentia membra repetendum eſt. — Mox articulum τῶν ante Κορινθίων novem codd. omittunt.

τὴν Γέλαν Ῥοδίοις ξυγκτίσαντας. Vid. Thucydides 6, 4 med.

ἄκοντας μετὰ μισθοῦ. Si μετὰ μισθοῦ, quomodo ἄκοντες? Et quomodo hic ἄκοντες, quorum paullo ſuperius magis voluntaria militia (ἑκούσιος μᾶλλον ἢ στρατεία) cenſebatur? Scilicet, quoad mercede conducti erant, voluntarii quidem et ſponte militabant; quatenus autem contra ſuos populares et gentiles ducebantur, inviti et praeter voluntatem ſuam hanc expeditionem faciebant.

ἐν τοιαύταις ἀνάγκαις τότε, στασιωτικῶν καιρῶν κατειλημμένων. Praeter unum codicem Par. I., qui h. l. habet κατειλημμένοι, ſed alibi interpretamentis eſt inſignis, omnes libri exhibent κατειλημμένων. Quare adhuc haeſito. Reſpicit Scriptor ad verba cap. 33. Παρέπλευσαν ἐς Θουρίαν, καὶ καταλαμβάνουσι νεωστὶ στάσει τοὺς τῶν Ἀθηναίων ἐναντίους ἐκπεπτωκότας. Si vulgata vera ſit, verterim verba: στασιωτικῶν καιρῶν κατειλημμένων, *cum ſeditionis tempora deprehenſa eſſent;* i. e. cum ipſi inter turbas et factiones civiles deprehenſi ab Athenienſibus eſſent, neque recuſare poſſent, quae illi petebant. Athenienſium enim amicitia ea factio ſe firmare volebat, quae tum ſuperior evaſerat Thuriis. Non tamen nego, aptiorem eſſe lectionem κατειλημμένοι, quam ſi recipias, comma poſt Μεταπόντιοι transponendum eſt, quod nunc eſt poſt τότε. Saepe librarii in terminationibus verborum peccarunt, ubi caſus ad remotius quoddam vocabulum referendus erat, ad proximum reſpicientes. Ita cap. 58. in verbis: καὶ πρὸς ἅπαντας αὖθις, ὡς εἰπεῖν, τοὺς ἄλλους, Συρακούσιοι

Καταναῖοι· βαρβάρων δὲ Ἐγεσταῖοι, οἵπερ ἐπηγάγοντο καὶ Σικελῶν τὸ πλέον, καὶ τῶν ἔξω Σικελίας, Τυρσηνῶν τέ τινες, κατὰ διαφορὰν Συρακουσίων, καὶ Ἰάπυγες μισθοφόροι. Τοσάδε μὲν μετὰ Ἀθηναίων ἔθνη ἐστράτευον.

58. Συρακουσίοις δὲ ἀντεβοήθησαν Καμαριναῖοι μὲν, ὅμοροι ὄντες, καὶ Γελῷοι, οἰκοῦντες μετ' αὐτούς. ἔπειτα, Ἀκραγαντίνων ἡσυχαζόντων, ἐν τῷ ἐπέκεινα ἱδρυμένοι Σελινούντιοι. Καὶ οἵδε μὲν τῆς Σικελίας τὸ πρὸς Λιβύην μέρος τετραμμένον νεμόμενοι. Ἱμεραῖοι δὲ ἀπὸ τοῦ πρὸς τὸν Τυρσηνικὸν πόντον μορίου, ἐν ᾧ καὶ μόνοι Ἕλληνες οἰκοῦσιν· οὗτοι δὲ καὶ ἐξ αὐτοῦ μόνοι ἐβοήθησαν. Καὶ Ἑλληνικὰ μὲν ἔθνη τῶν ἐν Σικελίᾳ τοσάδε, Δωριεῖς τε καὶ οἱ αὐτόνομοι πάντες, ξυνεμάχουν· βαρβάρων δὲ, Σικελοὶ μόνοι, ὅσοι μὴ ἀφέστασαν πρὸς τοὺς Ἀθηναίους. Τῶν δ' ἔξω Σικελίας Ἑλλήνων, Λακεδαιμόνιοι μὲν, ἡγεμόνα Σπαρτιάτην παρεχόμενοι, Νεοδαμώδεις δὲ τοὺς ἄλλους, καὶ

58. item Syracuſanorum.

αὐτοί, quae haud dubie vera emendatio eſt, codices omnes *Συρακουσίους αὐτοί* exhibent. Cf. 5, 80. *Οἱ δ' ὁρῶντες ὀλίγοι πρὸς πλείους ὄντας τοὺς ξυμφύλακας*, ubi legendum eſt *ὄντες*.

Τυρσηνῶν τέ τινες. Vulgo perperam plene interpungitur ante haec verba. Sed erant etiam hi populi ex barbaris, nempe iis, qui extra Siciliam habitabant. Comma igitur poſui. — Paullo ante in verbis *καὶ Σικελιωτῶν τὸ πλέον* rectiſſime Kiſtemakerus e codice Clarend. reponendum cenſet *Σικελῶν* pro *Σικελιωτῶν*. Ubique *Siculi*, qui ſunt barbari, diſtinguuntur a Graecis Siciliae incolis, qui *Siceliotae* vel Sicilienſes dicuntur. Cf. cap. 58 med. Et paullo ante horum Siceliotarum ſolos Naxios et Catanenſes inter Athenienſium ſocios retulerat.

58. *ἀντεβοήθησαν Καμαριναῖοι μέν*. Vulgo ante *Καμαριναῖοι* legitur *καί*, quod non ferendum propter ſequens *μέν*, et a codd. Cl. Gr. Reg. Caſſ. Aug. Ar. C. duobusque Pariſſ. omittitur. Particulae *μέν* reſpondet *ἔπειτα*. Cf. ad 1, 98. — *οἰκοῦντες μετ' αὐτούς*, verſus occidentem. — *ἐν τῷ ἐπέκεινα* refer ad Agrigenti ſitum. Ulterius enim et remotius a Syracuſis, quam Agrigentini, habitabant Selinuntii. — *Ἀκραγαντίνων ἡσυχαζ.*, quoniam *Agrigentini neutri ſe parti adiunxerant.*

οὗτοι δὲ καὶ μόνοι ἐξ αὐτοῦ. ἐβ. Undecim codices mu-

Εἵλωτας· (δύναται δὲ τὸ Νεοδαμῶδες, ἐλεύθερον ἤδη εἶναι·) Κορίνθιοι δέ, καὶ ναυσὶ καὶ πεζῷ μόνοι παραγενόμενοι, καὶ Λευκάδιοι, καὶ Ἀμπρακιῶται, κατὰ τὸ ξυγγενές· ἐκ δὲ Ἀρκαδίας, μισθοφόροι ὑπὸ Κορινθίων ἀποσταλέντες, καὶ Σικυώνιοι, ἀναγκαστοὶ στρατεύοντες· καὶ τῶν ἔξω Πελοποννήσου, Βοιωτοί. Πρὸς δὲ τοὺς ἐπελθόντας τούτους οἱ Σικελιῶται αὐτοὶ πλῆθος πλέον κατὰ πάντα παρέσχοντο, ἅτε μεγάλας πόλεις οἰκοῦντες. Καὶ γὰρ ὁπλῖται πολλοὶ καὶ νῆες καὶ ἵπποι, καὶ ἄλλος ὅμιλος ἄφθονος ξυνελέγη. Καὶ πρὸς ἅπαντας αὖθις, ὡς εἰπεῖν, τοὺς ἄλλους, Συρακούσιοι αὐτοὶ πλείω ἐπο-

tato ordine legunt καὶ ἐξ αὐτοῦ μόνοι. Placet.

δύναται δὲ τὸ Νεοδαμῶδες — εἶναι. Haec verba quin ex ora libri in textum irrepſerint, non dubitabat Aem. Portus. Movent ſane ſuſpicionem, cum alibi Thucydides Νεοδαμώδεις memoret, ſine eiusmodi expoſitione, ubi ſimiliter Neodamodes cum Helotibus iunguntur. Vid. 5, 34 coll. 5, 67. 7, 19. Tametſi non vana videtur diſtinctio inter Neodamodes et Helotes liberos, quam obtinuiſſe ex illis locis colligit Cragius de Rep. Laced. I, 12. Cf. Thucyd. 4, 26. ubi Helotibus libertas tamquam praemium proponitur. Fortaſſe Helotes, libertate donati, exacto tempore certo demum Neodamodes et fiebant, et nominabantur; vel etiam civitate et iure Lacedaemoniorum (τῶν περιοίκων) Neodamodes praeſtabant ceteris, qui ſimpliciter in libertatem vindicati erant, ut milites Braſidei 5, 34. Cf. Potteri Arch. I, 379. Ceterum ad verba Νεοδαμώδεις δὲ hoc exſtat Scholion: Νεοδαμώδης ὁ ἐλεύθερος παρὰ τοῖς Λακεδαιμονίοις. Si Scholiaſtes proxima verba: δύναται δὲ — εἶναι in ſuo codice legebat, ineptus erat garrulusque, qui rem ab ipſo Scriptore accuratius deſcriptam iisdem fere verbis explicaret. Auget igitur etiam hoc ſcholion ſuſpicionem a Porto motam. Attamen cum Scholiaſtae auctoritas vel quaſi praeiudicium, ex illius verbis hauſtum, non tanti aeſtimandum ſit, quanti omnium librorum fides, rem non conficiet hoc argumentum. Illud autem non negligendum, Thucydidis codices omnes in hac ſeptimi libri poſteriore parte graviſſimis vitiis inquinatos videri. Cf. Bredov. ad c. 55.

καὶ ναυσὶ καὶ πεζῷ μόνοι παραγενόμενοι. Naves quidem etiam Leucadii duas, Ambraciotae vero tres praebuerant, Corinthiis curantibus, et haud dubie remiges et claſſiarios illi ipſi in ſuas naves impoſuerunt. Vid. Thucydides 6, 104. Sed pedeſtrem quoque exercitum praeter naves ſoli Corinthii miſerant in navigiis onerariis. Cf. c. 50.

Συρακούσιοι αὐτοί. Mſſ. omnes Συρακουσίους, de qua corruptione diximus ad cap. 57. Nominativum recte repoſuit Schaeferus V. C. in edit. Tauchnitziana.

ρίσαντο διὰ μέγεθος πόλεως, καὶ ὅτι ἐν μεγίστῳ κινδύνῳ ἦσαν.

59. Καὶ αἱ μὲν ἑκατέρων ἐπικουρίαι τοσαίδε ξυνελέγησαν· καὶ τότε ἤδη πᾶσαι ἀμφοτέροις παρῆσαν, καὶ οὐκέτι οὐδὲν οὐδετέροις ἐπῆλθεν. Οἵ τε οὖν Συρακούσιοι καὶ οἱ ξύμμαχοι εἰκότως ἐνόμισαν καλὸν ἀγῶνα σφίσιν εἶναι, ἐπὶ τῇ γεγενημένῃ νίκῃ τῆς ναυμαχίας, ἑλεῖν τε τὸ στρατόπεδον ἅπαν τῶν Ἀθηναίων, τοσοῦτον ὄν, καὶ μηδὲ καθ' ἑκάτερα αὐτοὺς, μήτε διὰ θαλάσσης, μήτε τῷ πεζῷ, διαφυγεῖν. Ἔκλειον οὖν τόν τε λιμένα εὐθὺς τὸν μέγαν, ἔχοντα τὸ στόμα ὀκτὼ σταδίων μάλιστα, τριήρεσι πλαγίαις, καὶ πλοίοις, καὶ ἀκάτοις, ἐπ' ἀγκυρῶν ὁρμίζοντες, καὶ τἄλλα, ἢν ἔτι ναυμαχεῖν οἱ Ἀθηναῖοι τολμήσωσι, παρεσκευάζοντο· καὶ ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν.

59. Portum igitur obſtruunt triremibus ex obliquo ob-

καὶ ὅτι ἐν μεγίστῳ κινδύνῳ ἦσαν. Haec verba abſunt a cod. Gr. tribus Pariſ. et vett. edd.

59. οἵ τε οὖν Συρακούσιοι καὶ οἱ ξύμμαχοι. Verba καὶ οἱ ξύμμαχοι a plerisque omnibus codd. ignorantur. Quare Kiſtemakerus et Benedictus ea delenda eſſe cenſuerunt, quos non ſecutus ſum, quia ita τέ non habet, quo referatur. Neque praeter codicum teſtimonia quicquam cauſae eſt, cur haec verba damnemus. Nam quamvis Syracuſani ceteros populos ſingulos ſuperarint copiarum multitudine, tamen etiam Corinthii magnam militum partem ſuppeditarant, et omnium dux erat Gylippus Spartanus. Non immerito igitur hic ſocii cum Syracuſanis iunguntur, ut etiam alibi plerumque. Cf. c. 56 extr. Ἡγεμόνες γιγνόμενοι μετὰ Κορινθίων καὶ Λακεδαιμονίων.

καλὸν ἀγώνισμα σφίσιν εἶναι. Plurimi codices exhibent καλὸν ἀγῶνα, quod propter codicum praeſtantiſſimorum conſenſum praeferendum eſſe cenſeo. Utroque enim vocabulo eodem ſenſu utitur Thucydides cap. 56. Καὶ ἦν δὲ ἄξιος ὁ ἀγών. Et paullo ante: καλὸν σφίσιν ἐς τοὺς Ἕλληνας τὸ ἀγώνισμα φανεῖσθαι. Scholiaſta hic nihil definit, cum Scholion ἔνδοξον, συμφέρον tantummodo ad vocem καλὸν pertineat.

μήτε τῷ πεζῷ, nempe in aliam Siciliae partem amicam, veluti Catanam, cum pedeſtri exercitu et pedeſtri itinere recedentes. Cf. c. 60. — πλαγίαις, ex obliquo obiectis.

καὶ ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν. „Et nihil parvum ullam in partem animo volvebant." Similis dictio eſt 7, 87 extr. καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες.

60. Τοῖς δὲ Ἀθηναίοις, τήν τε ἀπόκλησιν ὁρῶσι, καὶ τὴν ἄλλην διάνοιαν αὐτῶν αἰσθομένοις, βουλευτέα ἐδόκει. Καὶ ξυνελθόντες οἵ τε στρατηγοὶ καὶ οἱ ταξίαρχοι, πρὸς τὴν παροῦσαν ἀπορίαν τῶν τε ἄλλων, καὶ ὅτι τὰ ἐπιτήδεια οὔτε αὐτίκα ἔτι εἶχον, (προπέμψαντες γὰρ ἐς Κατάνην, ὡς ἐκπλευσόμενοι, ἀπεῖπον, μὴ ἐπάγειν,) οὔτε τὸ λοιπὸν ἔμελλον ἕξειν, εἰ μὴ ναυκρατήσουσιν, ἐβουλεύσαντο τὰ μὲν τείχη τὰ ἄνω ἐκλιπεῖν, πρὸς δὲ αὐταῖς ταῖς ναυσὶν ἀπολαβόντες διατείχισμά τι, ὅσον οἷόν τε ἐλάχιστον τοῖς τε σκεύεσι καὶ τοῖς ἀσθενέσιν ἱκανὸν γενέσθαι, τοῦτο μὲν φρουρεῖν, ἀπὸ δὲ τοῦ ἄλλου πεζοῦ τὰς ναῦς πάσας, ὅσαι ἦσαν καὶ δυναταὶ καὶ ἀπλοώτεραι, πάντα τινὰ ἐσβιβάζοντες, πληρῶσαι, καί, διαναυμαχήσαντες, ἢν μὲν νικῶσιν, ἐς Κατάνην κομίζεσθαι, ἢν δὲ μή, ἐμπρήσαντες τὰς ναῦς, πεζῇ ξυνταξάμενοι ἀποχωρεῖν, ᾗ ἂν τάχιστα μέλλωσι τινὸς χωρίου ἢ βαρβαρικοῦ ἢ Ἑλληνικοῦ φιλίου ἀντιλήψεσθαι. Καὶ οἱ μέν, ὡς ἔδοξεν αὐτοῖς ταῦτα, καὶ ἐποίησαν. ἔκ τε γὰρ τῶν ἄνω τειχῶν ὑποκατέβησαν, καὶ τὰς ναῦς ἐπλήρωσαν πάσας, ἀναγκάσαντες ἐσβαίνειν, ὅστις καὶ ὁπωσοῦν ἐδόκει, ἡλικίας μετέχων, ἐπιτήδειος εἶναι. Καὶ ξυνεπληρώθησαν νῆες

iectis, aliisque navigiis, ancoris ea ſtabilientes. 60. Qua re animadverſa, duces Athenienſium, taxiarchis quoque in conſilium adhibitis, decernunt, muro ſuperiore relicto, prope navium ſtationem munimentum quam minimum, ad utenſilia et agrotos recipiendum, exſtruere, militesque omnes in naves imponere, ut, navalis pugnae periculo

60. *τὰ μὲν τείχη τὰ ἄνω ἐκλιπεῖν.* Codices quidam *τῶν ἄνω*, quod probat Benedictus, de regionibus arduis, τῷ διατειχίσματι ſtatim memorato oppoſitis, accipiens. Sed eumdem ſenſum, eumque facilius, vulgata fundit; niſi forte ideo ſcripturam mutare velis, quod lectio τῶν ἄνω difficilior et doctior videtur eſſe, quam altera. At infra item legitur ἐκ τῶν ἄνω τειχῶν.

καὶ ἀπλοώτεραι. Recte Kiſtemakerus hunc comparativum exponit: „minus idoneae" non plane inutiles.

ἡλικίας μετέχων. Schol. νεότητος. — *ὑποκατέβησαν*, clam deſcenderunt.

αἱ πᾶσαι δέκα μάλιστα καὶ ἑκατόν. Τοξότας τε ἐπ' αὐτὰς πολλοὺς καὶ ἀκοντιστὰς, τῶν τε Ἀκαρνάνων καὶ τῶν ἄλλων ξένων, ἐσεβίβαζον· καὶ τἄλλα, ὡς οἷόν τ' ἦν ἐξ ἀναγκαίου τε καὶ τοιαύτης διανοίας, ἐπορίσαντο. Ὁ δὲ Νικίας, ἐπειδὴ τὰ πολλὰ ἑτοῖμα ἦν, ὁρῶν καὶ τοὺς στρατιώτας τῷ τε, παρὰ τὸ εἰωθὸς, πολὺ ταῖς ναυσὶ κρατηθῆναι ἀθυμοῦντας, καὶ, διὰ τὴν τῶν ἐπιτηδείων σπάνιν, ὡς τάχιστα βουλομένους διακινδυνεύειν, ξυγκαλέσας ἅπαντας, παρεκελεύσατό τε πρῶτον, καὶ ἔλεξε τοιάδε.

61. „ἌΝΔΡΕΣ στρατιῶται Ἀθηναίων τε καὶ τῶν ἄλλων ξυμμάχων, ὁ μὲν ἀγὼν ὁ μέλλων ὁμοίως κοινὸς ἅπασιν ἔσται, περί τε σωτηρίας καὶ πατρίδος ἑκάστοις οὐχ ἧσσον, ἢ τοῖς πολεμίοις. Ἢν γὰρ κρατήσωμεν νῦν ταῖς ναυσὶν, ἔστι τῳ τὴν ὑπάρχουσάν που οἰκείαν πόλιν ἐπιδεῖν. Ἀθυμεῖν δὲ οὐ χρὴ, οὐδὲ πάσχειν, ὅπερ οἱ ἀπειρότατοι τῶν ἀνθρώπων, οἵ, τοῖς πρώτοις ἀγῶσι σφαλέντες, ἔπειτα διὰ παντὸς τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν.

facto, aut, victoriam consecuti, Catanam abirent, aut, victi, combuftis navibus, pedeftri itinere ad amicum quoddam oppidum penetrarent. Itaque decem et centum naves impleverunt. Nicias autem militum, propter inopiam pugnae discrimen accelerantium, animos 61—64. ad-

παρεκελεύσατό τε πρῶτον. Vulgo τότε πρῶτον, quod Duckerus, probante etiam Benedicto, fic correxit, ut edidi. Codices Cam. Caff. Aug. Pariff. D. E. I., et, Duckero certe auctore, etiam Reg. (Par. G.) emendationem confirmant, et praeterea locus Thucyd. 4, 94 extr. cf. 7, 65 extr. In cod. Mofq. eft παρεκέλευσα τότε, unde vitii origo patet.

61. Ἄνδρες στρατιῶται. Haec non eft oratio ea, quam Niciam, nave confcenfa, dum naves praeterveheretur, fingulis trierarchis nominatim compellatis, habuiffe tradit Diodorus 13, 15. De ea infra Thucydides cap. 69., licet unius tantum orationis mentionem Diodorus iniiciat. Sed ad pofteriorem refpexiffe eum fatis manifeftum eft ex iis, quae ibi Niciae tribuuntur, quae in hac Thucydidis oratione fruftra quaeras.

τὴν ἐλπίδα τοῦ φόβου — ἔχουσιν. Vocabulum ἐλπὶς h. l. fimpliciter *opinionis, exfpectationis* vim habet, quo fenfu

Ἀλλ', ὅσοι τε Ἀθηναίων πάρεστε, πολλῶν ἤδη πολέμων ἔμπειροι ὄντες, καὶ ὅσοι τῶν ξυμμάχων, ξυστρατευόμενοι ἀεὶ, μνήσθητε τῶν ἐν τοῖς πολέμοις παραλόγων, καὶ τὸ τῆς τύχης κἂν μεθ' ἡμῶν ἐλπίσαντες στῆναι, καὶ ὡς ἀναμαχούμενοι ἀξίως τοῦδε τοῦ πλήθους, ὅσον αὐτοὶ ὑμῶν αὐτῶν ἐφορᾶτε, παρασκευάζεσθε.

62. „Ἃ δὲ ἀρωγὰ ἐνείδομεν ἐπὶ τῇ τοῦ λιμένος στενότητι, πρὸς τὸν μέλλοντα ὄχλον τῶν νεῶν ἔσεσθαι, καὶ πρὸς τὴν ἐκείνων ἐπὶ τῶν καταστρωμάτων παρασκευὴν, οἷς πρότερον ἐβλαπτόμεθα, πάντα καὶ ἡμῖν νῦν, ἐκ τῶν παρόντων, μετὰ τῶν κυβερνητῶν ἐσκεμμένα ἡτοίμασται. Καὶ γὰρ τοξόται πολλοὶ καὶ ἀκοντισταὶ ἐπιβήσονται, καὶ ὄχλος, ᾧ, ναυμαχίαν μὲν ποιούμενοι ἐν πελάγει, οὐκ ἂν ἐχρώμεθα, διὰ τὸ βλάπτειν ἂν τὸ τῆς ἐπιστήμης τῇ βαρύτητι τῶν νεῶν· ἐν δὲ τῇ ἐνθάδε ἠναγκασμένῃ ἀπὸ τῶν νεῶν πεζομαχίᾳ πρόσφορα ἔσται. Εὕρηται δ' ἡμῖν, ὅσα χρὴ ἀντιναυπηγεῖσθαι, καὶ πρὸς τὰς τῶν ἐπωτίδων αὐτοῖς παχύτητας, ᾧπερ μάλιστα ἐβλαπτόμεθα, χειρῶν σιδηρῶν

hortatione reficere conatus eſt.

ἐλπίζειν legitur 1, 1. 2, 11. cf. Wolf. ad Demoſth. Leptin. p. 383. Schol. ad Thucyd. 1, 1. Τὸ ἐλπίσας οὐ μόνον ἐπὶ ἀγαθοῦ, ἀλλ' ἁπλῶς ἐπὶ τῇ τοῦ μέλλοντος ἐκβάσει λέγεται. Adiectum τοῦ φόβου. Bauerus per metonymiam dictum cenſet, pro τοῦ κακοῦ, δεινοῦ. Rectius fortaſſis τοῦ ἐσομένου δεινοῦ ſubaudieris ad τοῦ φόβου. Sententiam optime expedit Scholiaſtae interpretatio: προςδοκῶσιν ὁμοίως ταῖς γεγενημέναις συμφοραῖς τὰ μέλλοντα.

καὶ τὸ τῆς τύχης κἂν μεθ' ἡμῶν ἐλπίσαντες στῆναι. Τὸ τῆς τύχης eſſe h. l. τὴν εὐτυχίαν, verbo monuiſſe ſufficiat.

Alterum καὶ ante ὡς non eſt copula, ſed valet *etiam*. Sic ſupra cap. 45. ὡς ἐπενόει, [καὶ] τὴν ἐπιχείρησιν — ἐποιεῖτο. Cf. c. 66 extr.

62. οἷς πρότερον ἐβλαπτόμεθα, per ſyneſin refer ad παρασκευήν, quaſi dixerit: πρὸς τὰ ὑπ' ἐκείνων ἐπὶ τῶν καταστρωμάτων παρεσκευασμένα.

ὅσα χρὴ ἀντιναυπηγεῖσθαι. Etiam hic Scholia memorant alteram codicum lectionem ὅσα μὴ ἀντιναυπ., quae ante Waſſium in vulgatis libris erat, et manifeſto vitioſa eſt. — Mox ad ἐπιβολαὶ ex ſuperioribus ſubaudiendum eſt εὕρηντας.

ἐπιβολαὶ, αἳ σχήσουσι τὴν πάλιν ἀνάκρουσιν τῆς προςπεσούσης νεὼς, ἢν τὰ ἐπὶ τούτοις οἱ ἐπιβάται ὑπουργῶσιν. Ἐς τοῦτο γὰρ δὴ ἠναγκάσμεθα, ὥςτε πεζομαχεῖν ἀπὸ τῶν νεῶν. καὶ τὸ μήτε αὐτοὺς ἀνακρούεσθαι, μήτ᾽ ἐκείνους ἐᾷν, ὠφέλιμον φαίνεται, ἄλλως τε καὶ τῆς γῆς, πλὴν ὅσον ἂν ὁ πεζὸς ἡμῶν ἐπέχῃ, πολεμίας οὔσης.

63. „Ὧν χρὴ μεμνημένους, διαμάχεσθαι, ὅσον ἂν δύνησθε, καὶ μὴ ἐξωθεῖσθαι ἐς αὐτήν· ἀλλὰ, ξυμπεσούσης νηὶ νεὼς, μὴ πρότερον ἀξιοῦν ἀπολύεσθαι, ἢ τοὺς ἀπὸ τοῦ πολεμίου καταστρώματος ὁπλίτας ἀπαράξητε. Καὶ ταῦτα τοῖς ὁπλίταις οὐχ ἧσσον τῶν ναυτῶν παρακελεύομαι, ὅσῳ τῶν ἄνωθεν μᾶλλον τὸ ἔργον τοῦτο. ὑπάρχει δ᾽ ὑμῖν ἔτι νῦν γε τὰ πλείω τῷ πεζῷ ἐπικρατεῖν. Τοῖς δὲ ναύταις παραινῶ, καὶ ἐν τῷ αὐτῷ τῷδε καὶ δέομαι, μὴ ἐκπεπλῆχθαί τε ταῖς ξυμφοραῖς ἄγαν, τήν τε παρασκευὴν ἀπὸ τῶν καταστρωμάτων βελτίω νῦν ἔχοντας, καὶ τὰς ναῦς πλείους· ἐκείνην τε τὴν ἡδονὴν ἐνθυμεῖσθαι, ὡς ἀξία ἐστὶ διασώσασθαι, οἳ τέως, Ἀθηναῖοι νομιζόμενοι καὶ μὴ ὄντες ὑμῶν, τῆς τε φωνῆς τῇ ἐπιστήμῃ, καὶ τῶν τρόπων τῇ μιμήσει ἐθαυμάζεσθε κατὰ τὴν Ἑλλάδα, καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας οὐκ ἔλασσον κατὰ τὸ ὠφελεῖσθαι, ἔς τε τὸ φοβερὸν τοῖς ὑπηκόοις, καὶ τὸ [μὴ] ἀδικεῖσθαι, πολὺ

63. *μὴ πρότερον ἀξιοῦν ἀπολύεσθαι, ἢν μὴ τοὺς — ἀπαράξητε.* Haec eſt vulgata lectio, cui longe praeferenda videtur codd. Cam. Gr. quatuor Pariſſ. ſcriptura *ἀξιοῦν;* et deinceps legendum *ἢ*, pro *ἢν μὴ*, cum Codd. Cam. Cl. Gr. Aug. duobus Pariſſ., quibuscum faciunt duo alii codices, qui negatione *μὴ* omiſſa, *ἢν* exhibent. Apparet, infinitivum *ἀξιοῦν* concinniorem reddere ſtructuram: Eundem Valla quoque expreſſit, vertens *putare*. Et facilius ab ea lectione ad magis tritam deflectere potuiſſe librarii videntur. Alteram ſcripturam *ἢν μὴ* correctori, quem coniunctivus *ἀπαράξῃς* offendebat, deberi veriſimile eſt.

τῶν ἄνωθεν, i. e. *τῶν ἐπὶ τῶν καταστρωμάτων.*

Ἀθηναῖοι νομιζόμενοι καὶ μὴ ὄντες. Scholiaſta de *μετοίκοις* accipit, qui in claſſe maxime ſtipendia faciebant. — Ad *διασώσασθαι* ſubaudi *αὐτὴν* i. e. *ἡδονήν*, quae deinceps uberius deſcribitur, qualis ſit.

καὶ τὸ μὴ ἀδικεῖσθαι

πλεῖον μετείχετε. Ὥςτε, κοινωνοὶ μόνοι ἐλευθέρως ἡμῖν τῆς ἀρχῆς ὄντες, δικαίως ἂν αὐτὴν νῦν μὴ καταπροδιδοίητε. καταφρονήσαντες δὲ Κορινθίων τε, οὓς πολλάκις νενικήκατε, καὶ Σικελιωτῶν, ὧν οὐδ' ἀντιστῆναι οὐδεὶς, ἕως ἤκμαζε τὸ ναυτικὸν, ἡμῖν ἠξίωσεν, ἀμύνασθε αὐτοὺς, καὶ δείξατε, ὅτι καὶ μετὰ ἀσθενείας καὶ ξυμφορῶν ἡ ὑμετέρα ἐπιστήμη κρείσσων ἐστὶν ἑτέρας εὐτυχούσης ῥώμης.

64. „Τούς τε Ἀθηναίους ὑμῶν πάλιν αὖ καὶ τάδε ὑπομιμνήσκω, ὅτι οὔτε ναῦς ἐν τοῖς νεωςοίκοις ἄλλας ὁμοίας ταῖσδε, οὔτε ὁπλιτῶν ἡλικίαν, ὑπελίπετε· εἴ τε ξυμβήσεταί τι ἄλλο, ἢ τὸ κρατεῖν, ὑμῖν, τούς τε ἐνθάδε πολεμίους εὐθὺς ἐπ' ἐκεῖνα πλευσουμένους, καὶ τοὺς ἐκεῖ ὑπολοίπους ἡμῶν ἀδυνάτους ἐσομένους τούς τε αὐτοῦ καὶ τοὺς ἐπελθόντας ἀμύνασθαι. Καὶ οἱ μὲν ἂν ὑπὸ Συρακουσίοις εὐθὺς γίγνοισθε, οἷς, αὐτοὶ ἴστε, οἵᾳ γνώμῃ ἐπήλθετε· οἱ δ' ἐκεῖ, ὑπὸ Λακεδαιμονίοις. Ὥςτε, ἐν ἑνὶ τῷδε ὑπὲρ ἀμφοτέρων ἀγῶνι καθεστῶτες, καρτερήσατε, εἴπερ ποτὲ, καὶ ἐνθυμεῖσθε καθ' ἑκάστους

Plerique codices negationem μὴ ignorant; quare Bredovius eam ab interprete ortam, iudicat; neque aliter Benedictus. Nec sane quisquam credat, negationem μὴ casu excidisse in tot MSS., praesertim cum in Scholiis legatur, et quodammodo ad sententiam requiri videatur. Sententia enim est: „Vos, inquilini, non minus commodi ex nostro imperio percepistis, quam nos; quin etiam plus, quod attinet ad metum, qui apud subiectos est, et ad iniurias. Non enim iniuria affecti estis, neque a nobis, neque a subiectis nostro imperio, quod nobis tamen accidit." Vides, μὴ ita abesse posse, ut loci tamen sententia constet. Quod quia non a quovis Thucydidis lectore perspiciebatur, ab uno fortasse negatio e Scholiis in textum recepta est, quam uncis saltem notandum esse censeo.

δικαίως ἂν αὐτὴν νῦν μὴ καταπροδιδοίητε. Plerique codices καταπροδίδοτε exhibent, quod temere probat Benedictus, non videns, ita verba δικαίως ἂν stare non posse, et, licet ἂν cum tribus MSS. Pariss. deleatur, δικαίως tamen etiamnum correctioni illi obstare. Atqui vulgatam lectionem καταπροδίδοιτε corruptam esse, consentiunt omnes, qui Graece sciant. Restitui igitur iustam optativi formam, quam hic locus desiderat, sicut dudum Aem. Portus, probante Duckero, coniecerat. Facile vulgata lectio, ex καταπροδιδοίητε per corruptionem facta, in imperativum a correctoribus mutari potuit.

τε καὶ ξύμπαντες, ὅτι οἱ ἐν ταῖς ναυσὶν ὑμῶν νῦν ἐσόμενοι, καὶ πεζοὶ τοῖς Ἀθηναίοις εἰσὶ καὶ νῆες, καὶ ἡ ὑπόλοιπος πόλις, καὶ τὸ μέγα ὄνομα τῶν Ἀθηνῶν· περὶ ὧν εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμῃ, ἢ εὐψυχίᾳ, οὐκ ἂν ἐν ἄλλῳ μᾶλλον καιρῷ, ἀποδειξάμενος, αὐτός τε αὑτῷ ὠφέλιμος γένοιτο, καὶ τοῖς ξύμπασι σωτήριος."

65. Ὁ μὲν Νικίας, τοσαῦτα παρακελευσάμενος, εὐθὺς ἐκέλευε πληροῦν τὰς ναῦς. Τῷ δὲ Γυλίππῳ καὶ τοῖς Συρακουσίοις παρῆν μὲν αἰσθάνεσθαι, ὁρῶσι καὶ αὐτὴν τὴν παρασκευὴν, ὅτι ναυμαχήσουσιν οἱ Ἀθηναῖοι· προηγγέλθη δὲ αὐτοῖς καὶ ἡ ἐπιβολὴ τῶν σιδηρῶν χειρῶν. Καὶ πρός τε τἆλλα ἐξηρτύσαντο, ὡς ἕκαστα, καὶ πρὸς τοῦτο. Τὰς γὰρ πρώρας καὶ τῆς νεὼς ἄνω ἐπὶ πολὺ κατεβύρσωσαν, ὅπως ἂν ἀπολισθάνοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπιβαλλομένη. Καὶ, ἐπειδὴ πάντα ἕτοιμα ἦν, παρεκελεύσαντο ἐκείνοις οἵ τε στρατηγοὶ καὶ Γύλιππος, καὶ ἔλεξαν τοιάδε.

65. Gylippus interim et Syracuſani, cum hoſtium conſilia animadvertiſſent, parant et ipſi ſe invicem ad navalem pugnam, et cum ſinguli duces, tum maxime Gylippus

64. *περὶ ὧν — σωτήριος.* Verba ſic diſtinguenda ſunt: *περὶ ὧν εἴ τίς τι — ἢ εὐψυχίᾳ, οὐκ ἂν ἐν ἄλλῳ μᾶλλον καιρῷ, ἀποδειξάμενος, αὐτός τε —.* Ad *ἀποδειξάμενος* ſubaudiendum *τὰ τῆς ἐπιστήμης, ἢ εὐψυχίας*, neque *περὶ ὧν* aliud verbum habet quo referatur, quam *προφέρει.* Verba autem *οὐκ ἂν ἐν ἄλλῳ μᾶλλον καιρῷ* et *αὐτός τε — σωτήριος* neceſſario cohaerent.

65. *ἡ ἐπιβουλὴ τῶν σιδηρῶν χειρῶν.* Codd. Reg. Caſſ. Aug. cum nonnullis aliis exhibent *ἐπιβολή*, quod, a Duckero Scholiaſtae, Vallae et Pollucis auctoritatibus defenſum, leviſſimo argumento refellit Bauerus. Quidni *ἡ ἐπιβολὴ τῶν σιδ. χειρῶν*, tamquam futura (*ἐσομένη*), praedici potuerit? Cf. Benedict.

τῆς νεὼς ἄνω ἐπὶ πολύ. Cum genitivus *τῆς νεώς* pendeat ab *ἐπὶ πολύ*, neque *καί* abundat, ut Bauerus opinabatur, et ſingularis *τῆς νεώς* pro plurali *τῶν νεῶν* adhibetur, quaſi fuerit *ἑκάστης νεώς*, quae h. l. vis eſt articuli. Supra cap. 62 extr. *χειρῶν σιδηρῶν ἐπιβολαὶ, αἳ σχήσουσι τὴν πάλιν ἀνάκρουσιν τῆς προσπεσούσης νεώς.* — Paullo ante *πρὸς τοῦτο* int. *πρὸς τὴν τῶν σιδηρῶν χειρῶν ἐπιβολήν.*

66. „ΟΤΙ μὲν καλὰ τὰ προειργασμένα, καὶ ὑπὲρ καλῶν τῶν μελλόντων ὁ ἀγὼν ἔσται, ὦ Συρακούσιοι καὶ ξύμμαχοι, οἵ τε πολλοὶ δοκεῖτε ἡμῖν εἰδέναι· οὐδὲ γὰρ ἂν οὕτως αὐτῶν προθύμως ἀντελάβεσθε· καὶ, εἴ τις μὴ ἐπὶ ὅσον δεῖ ᾔσθηται, σημανοῦμεν. Ἀθηναίους γὰρ, ἐς τὴν χώραν τήνδε ἐλθόντας, πρῶτον μὲν ἐπὶ τῆς Σικελίας καταδουλώσει, ἔπειτ᾽, εἰ κατορθώσειαν, καὶ τῆς Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος, καὶ ἀρχὴν τὴν ἤδη μεγίστην τῶν τε πρὶν Ἑλλήνων καὶ τῶν νῦν κεκτημένους, πρῶτοι ἀνθρώπων ὑποστάντες τῷ ναυτικῷ, ᾧπερ πάντα κατέσχον, τὰς μὲν νενικήκατε ναυμαχίας, τὴν δ᾽ ἐκ τοῦ εἰκότος νῦν νικήσετε. Ἄνδρες γὰρ ἐπειδὰν, ᾧ ἀξιοῦσι προὔχειν, κολουσθῶσι, τό γ᾽ ὑπόλοιπον αὐτῶν τῆς δόξης ἀσθενέστερον αὐτὸ ἑαυτοῦ ἐστιν, ἢ εἰ μηδ᾽ ᾠήθησαν τὸ πρῶτον, καὶ, τῷ παρ᾽ ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι, καὶ παρὰ

oratione 66 — 68. utuntur, ad animos ſuorum au-

66. *ἀσθενέστερον αὐτὸ ἑαυτοῦ ἐστιν, ἢ εἰ μηδ᾽ ᾠήθ. τὸ πρῶτον.* Recte quidem Kiſtemakerus *ἑαυτοῦ* refert ad comparativum *ἀσθενέστερον*; ſed quod eundem repetendum eſſe dicit ad verba ſequentia *ἢ εἰ — τὸ πρῶτον*, in eo me non habet asſentientem. Ita enim copula deſideraretur, quae non minus deeſſet, ſi *ἢ* pro *aut* acciperes, ut haec verba tamquam explicatio praecedentis pronominis *ἑαυτοῦ* intelligerentur: „Quicquid opinionis de ſe conceptae iis reſtat, id ſemet ipſo infirmius eſt, (i. e. infirmius quam pro re), aut ſi omnino nullam de ſe opinionem habuiſſent.“ Bredovium, *ᾠήθησαν* paſſive accipientem, non audio. Nam haec omnia manifeſto ad ipſorum de ſe opinionem pertinent. Fateor, verba *ἢ εἰ μηδ᾽ ᾠήθησαν τὸ πρῶτον* mihi interpretamentum videri vocis *ἑαυτοῦ*, quod, qui Scholia inſpexerit, vix denegabit. Ibi enim ſententia explicatur ſic: *εἴς τε* (leg. *γε*) *τὰ λοιπὰ τῷ φρονήματι ταπεινοῦνται μᾶλλον, ἤπερ οὐδὲ ὅλως τι κατ᾽ ἀρχάς.* Non minus inepte, ſi, quid ſententia exigat, expenderis.

τῷ παρ᾽ ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι. Cum propter infinitivi defectum articulus *τῷ* non poſſit iungi cum participio *σφαλλόμενοι*, verba *τῷ παρ᾽ ἐλπίδα* abſolute intelligo, quaſi ſit *τῷ παραλόγῳ*. Facile enim ſubauditur *γενομένῳ*. Languidum eſt Baueri *τῷ* pro *τινί*, et locus, quem obtinet vocabulum, huic coniecturae repugnat. — Mox ad *τῆς δυνάμεως* nolim cum Scholiaſta ſubaudire *ἡμῶν*. Subaudiendum potius eſt *ἑαυτῶν*, „etiam infra vires ſuas animos demittunt.“

ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν· ὃ νῦν Ἀθηναίους εἰκὸς πεπονθέναι.

67. „Ἡμῶν δὲ τό, τε ὑπάρχον πρότερον, ᾧπερ καὶ ἀνεπιστήμονες ἔτι ὄντες ἀπετολμήσαμεν, βεβαιότερον νῦν, καί, τῆς δοκήσεως προςγεγενημένης αὐτῷ, τὸ κρατίστους εἶναι, εἰ τοὺς κρατίστους ἐνικήσαμεν, διπλασία ἑκάστου ἡ ἐλπίς. τὰ δὲ πολλὰ πρὸς τὰς ἐπιχειρήσεις ἡ μεγίστη ἐλπὶς μεγίστην καὶ τὴν προθυμίαν παρέχεται. Τά τε τῆς ἀντιμιμήσεως αὐτῶν τῆς παρασκευῆς ἡμῶν, τῷ μὲν ἡμετέρῳ τρόπῳ ξυνήθη τέ ἐστι, καὶ οὐκ ἀνάρμοστοι πρὸς τὴν ἑκάστην αὐτῶν ἐσόμεθα· οἱ δ', ἐπειδὰν πολλοὶ μὲν ὁπλῖται ἐπὶ τῶν καταστρωμάτων, παρὰ τὸ καθεστηκός, ὦσι, πολλοὶ δὲ καὶ ἀκοντισταὶ χερσαῖοι, ὡς εἰπεῖν, Ἀκαρνᾶνές τε καὶ ἄλλοι ἐπὶ ναῦς ἀναβάντες, οἱ οὐδ', ὅπως καθεζομένους χρὴ τὸ βέλος ἀφεῖναι, εὑρήσουσι, πῶς οὐ σφαλοῦσί τε τὰς ναῦς, καὶ ἐν σφίσιν αὐτοῖς πάντες, οὐκ ἐν τῷ αὐτῶν τρόπῳ κινούμενοι, ταράξονται; Ἐπεὶ καὶ τῷ πλήθει τῶν νεῶν οὐκ ὠφελήσονται· (εἴ τις καὶ τόδε ὑμῶν, ὅτι οὐκ ἴσαις ναυμαχήσει, πεφόβηται·) ἐν ὀλίγῳ γὰρ πολλαί, ἀργότεραι μὲν ἐς τὸ δρᾷν τι, ὧν βούλονται, ἔσονται, ῥᾷσται δὲ ἐς τὸ βλάπτεσθαι ἀφ' ὧν ἡμῖν παρεσκεύασται. Τὸ δ' ἀληθέστατον γνῶτε, ἐξ ὧν ἡμεῖς οἰόμεθα σαφῶς πεπύσθαι. Ὑπερβαλλόντων γὰρ αὐτοῖς τῶν κακῶν, καὶ βιαζόμενοι ὑπὸ τῆς παρούσης

gendos accommodata.

67. ἡμῶν δὲ τό, τε — ἡ ἐλπίς. Codicum plurimorum fcripturam ὑμῶν non admittit fequens ἀπετολμήσαμεν. Sed προςγεγενημένης pro vulgato προςγενομένης, libris iubentibus, recipiendum erat. Porro comma poft ἡμῶν δέ delevi, quia ille genitivus aliter non habet, unde pendeat. Pertinet autem ad τὸ ὑπάρχον πρότερον, et quodammodo etiam ad κρατίστους εἶναι, quae ad verba inde fubaudiendum eft ἡμᾶς.

πολλοὶ δὲ καὶ ἀκοντισταὶ χερσαῖοι. Cum Benedicto recepi καί e codd. Reg. Caff. Aug. Ar. C. Dan. uno Parif., quod hic aptiffimum eft. χερσαῖοι funt ἄπειροι θαλάσσης, quo pertinere puto verba ὡς εἰπεῖν, *ut verbo eloquar.*

ἀπορίας, ἐς ἀπόνοιαν καθεστήκασιν, οὐ παρασκευῆς πίστει μᾶλλον, ἢ τύχης ἀποκινδυνεύσει οὕτως, ὅπως δύνανται· ἵν' ἢ βιασάμενοι ἐκπλεύσωσιν, ἢ κατὰ γῆν μετὰ τοῦτο τὴν ἀποχώρησιν ποιῶνται, ὡς τῶν γε παρόντων οὐκ ἂν πράξοντες χεῖρον.

68. „Πρὸς οὖν ἀταξίαν τε τοιαύτην, καὶ τύχην ἀνδρῶν ἑαυτὴν παραδεδωκυῖαν πολεμιωτάτων, ὀργῇ προσμίξωμεν· καὶ νομίσωμεν, ἅμα μὲν νομιμώτατον εἶναι, πρὸς τοὺς ἐναντίους, οἳ ἂν ὡς ἐπὶ τιμωρίᾳ τοῦ προσπεσόντος δικαιώσωσιν, ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον, ἅμα δέ, ἐχθροὺς ἀμύνασθαι, ἐγγενησόμενον ἡμῖν, καὶ τὸ λεγόμενόν που ἥδιστον εἶναι. Ὡς δὲ ἐχθροὶ, καὶ ἔχθιστοι, πάντες ἴστε, οἵ γε ἐπὶ τὴν ἡμετέραν ἦλθον δουλωσόμενοι· ἐν ᾧ, εἰ κατώρθωσαν, ἀνδράσι μὲν ἂν τὰ ἄλγιστα προσέθεσαν, παισὶ δὲ καὶ γυναιξὶ τὰ ἀπρεπέστατα, πόλει δὲ τῇ πάσῃ τὴν αἰσχίστην ἐπίκλησιν. Ἀνθ' ὧν μὴ μαλακισθῆναί τινα πρέπει, μηδὲ τὸ ἀκινδύνως ἀπελθεῖν αὐτοὺς, κέρδος νο-

ἢ τῆς τύχης ἀποκινδυνεύσει. Si Duckeri coniectura ἀποκινδυνεῦσαι Scholiastae interpretatione adiuvaretur, fortasse eam praeferrem. Sed Scholiasta potius vulgatam sequi videtur, quae et ferri potest, neque suspecta esse debet propter ipsam difficiliorem rationem, qua adverbium οὕτως iungitur cum substantivo verbali. Cf. Kistem.

68. ὀργῇ προσμίξωμεν. Iram arcent a pugna prudentes duces. Sed nonnumquam etiam movent. Liv. 21, 41 med. „Itaque vos ego, milites, non eo solum animo, quo adversus alios hostes soletis, pugnare velim; sed cum indignatione quadam atque ira.“ Laudavit locum Bauerus.

οἳ ἂν ὡς ἐπὶ τιμωρίᾳ τ. πρ. δικ. Vulgo cum Aem. Porto ἐλθεῖν subaudiunt ad haec verba. Equidem scire velim, unde illud ἐλθεῖν accipiant. Et sententia laborat, si δικαιώσωσι ad ἐναντίους referas. Quid enim magis iustum licitumque, quam ulcisci eum, qui adortus fuerit? Mihi illa verba ad Syracusios videntur ita pertinere, ut ad infinitivum ἀποπλῆσαι subaudiatur τούτους, et verba ἀποπλῆσαι — τὸ θυμούμενον bis intelligantur. „Putemus, partim aequissimum esse, adversariorum suppliciis animi iracundiam exsaturare eos, quicumque ultionem oppugnantis iustam censuerint; partim vero penes nos futurum, et, quod aiunt, dulcissimum esse, inimicos ulcisci.“ Similes locos, ubi verbum bis intelligendum est, vide ad 1, 134.

τὴν αἰσχίστην ἐπίκλησιν. Schol. τὴν δουλείαν.

μίσαι. Τοῦτο μὲν γὰρ, καὶ ἐὰν κρατήσωσιν, ὁμοίως δράσουσι· τὸ δὲ, πραξάντων ἐκ τοῦ εἰκότος, ἃ βουλόμεθα, τούςδε τε κολασθῆναι, καὶ τῇ πάσῃ Σικελίᾳ, καρπουμένῃ καὶ πρὶν ἐλευθερίαν, βεβαιοτέραν παραδοῦναι, καλὸς ὁ ἀγών. καὶ κινδύνων οὗτοι σπανιώτατοι, οἳ ἂν, ἐλάχιστα ἐκ τοῦ σφαλῆναι βλάπτοντες, πλεῖστα διὰ τὸ εὐτυχῆσαι ὠφελοῦσι."

69. Καὶ οἱ μὲν τῶν Συρακουσίων στρατηγοὶ, καὶ Γύλιππος, τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις στρατιώταις παρακελευσάμενοι, ἀντεπλήρουν τὰς ναῦς εὐθὺς, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾔσθάνοντο. Ὁ δὲ Νικίας, ὑπὸ τῶν παρόντων ἐκπεπληγμένος, καὶ ὁρῶν, οἷος ὁ κίνδυνος, καὶ ὡς ἐγγὺς ἤδη ἦν, (ἐπειδὴ καὶ ὅσον οὐκ ἔμελλον ἀνάγεσθαι,) καὶ νομίσας, (ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσι,) πάντα τε ἔργῳ ἔτι σφίσιν ἐνδεᾶ εἶναι, καὶ λόγῳ αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων, καὶ αὐτοὺς ὀνομαστὶ, καὶ φυλὴν, ἀξιῶν τό, τε καθ᾽ ἑαυτὸν, ᾧ ὑπῆρχε λαμπρότητός τι, μὴ προδιδόναι τινὰ, καὶ τὰς πατρικὰς ἀρετὰς, ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι, μὴ ἀφανίζειν· πατρίδος τε τῆς ἐλευθερωτάτης ὑπομιμνήσκων, καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας· ἄλλα τε λέγων,

69. Cum vero Niciae parum ſufficere viderentur et ea, quae paraſſet, et ea, quae oratione expoſuiſſet, denuo

πραξάντων ἐκ τοῦ εἰκότος, int. ἡμῶν — *καρπουμένῃ καὶ πρὶν* iungo cum *ἐλευθερίαν*, commate poſt hoc ſubſtantivum tranſpoſito. Facilius enim in ſequentibus ſuppletur *αὐτὴν*, quam ad *καρπουμένῃ* ex ſequentibus *ἐλευθερίαν*, quae vulgaris interpretandi ratio eſt.

69. *τοὺς Ἀθηναίους ᾔσθάνοντο*, nempe *πληροῦντας τὰς ναῦς*. — *ὅπερ πάσχουσιν*, int. *οἱ ἄνθρωποι*, frequenti ellipſi.

καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας. Haec illuſtrat Pericles oratione apud Thucyd. 2, 37. *Ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν, καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ᾽ ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι᾽ ὀργῆς τὸν πέλας, εἰ καθ᾽ ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι.*

ἄλλα τε λέγων —. Kiſtemakerus *τέ* referri iubet ad verba

ὅσα ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι, οὐ πρὸς τὸ δοκεῖν τινὶ ἀρχαιολογεῖν φυλαξάμενοι, εἴποιεν ἄν, καὶ ὑπὲρ ἁπάντων παραπλήσια, ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, ἀλλ' ἐπὶ τῇ παρούσῃ ἐκπλήξει ὠφέλιμα νομίζοντες ἐπιβοῶνται. Καὶ ὁ μὲν, οὐχ ἱκανὰ μᾶλλον, ἢ ἀναγκαῖα νομίσας παρῃνῆσθαι, ἀποχωρήσας, ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν· καὶ παρέταξεν, ὡς ἐπὶ πλεῖστον ἐδύνατο, ὅπως ὅτι μεγίστη τοῖς ἐν ταῖς ναυσὶν ὠφέλεια ἐς τὸ θαρσεῖν γίγνοιτο. Ὁ δὲ Δημοσθένης καὶ Μένανδρος καὶ Εὐθύδημος (οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων στρατηγοὶ ἐπέβησαν,) ἄραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου, εὐθὺς ἔπλεον πρὸς τὸ ζεῦγμα τοῦ λιμένος καὶ τὸν παραλειφθέντα διέκπλουν, βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω.

70. Προσεξαγαγόμενοι δὲ οἱ Συρακούσιοι καὶ οἱ

conversus ad trierarchos, singulos exstimulat, partarum ab ipsis laudum, maiorum, patriae commemoratione. Tum peditatum in littore constituit ipse; Demosthenes vero, cum Menandro et Euthydemo, classem adversus claustra portus duxit. 70. Itaque confe-

καὶ ὑπὲρ ἁπάντων παραπλήσια. Sed quo minus ita iungas, vetat primum participium λέγων, quod eodem modo, quo praecedens ὑπομιμνήσκων, copula quadam annectendum est; deinde etiam illud, quod verbum ὅσα in sequentibus ad καὶ ὑπὲρ ἁπάντων — ἐπιβοῶνται repetendum est, cum alioquin ἐπιβοῶνται, quod ad idem subiectum, ἄνθρωποι, pertinet, vinculo careret, quo huic periodo annecteretur. Nam participium quidem νομίζοντες, variata structura, positum est pro νομιζόμενα, et ἀλλά respondet notioni ei, quae est in παραπλήσια: „et quaecumque, de omnibus quidem similia, sed praesenti consternationi accommodata putantes, vociferantur.“ Transitus autem ab optativo ad indicativum h. l. nihil habet difficultatis.

ἔπλεον πρὸς τὸ ζεῦγμα — ἐς τὸ ἔξω. Ζεῦγμα intelligit opus illud Syracusanorum, quod supra cap. 59. descriptum est. Erat autem pons navalis. Pro καταλειφθέντα cum Benedicto recepi aptissimam codicum bene multorum et Schol. lectionem παραλειφθέντα, et distinctionem Duckeri, unice veram, praeeunte Scholiasta, revocavi. Vulgo enim non post διέκπλουν, sed post καί et βιάσασθαι virgulis interpungitur; quae ratio extrema capitis verba ἐς τὸ ἔξω difficillima reddit. Ita enim aut abundant, aut plane contraria sunt sententiae, cum non nisi de conatu sermo sit.

ξύμμαχοι ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν, καὶ πρότερον, κατά τε τὸν ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον, καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα, ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις, καὶ ὁ πεζὸς αὐτοῖς ἅμα παραβοηθῇ, ᾗπερ καὶ αἱ νῆες κατίσχοιεν. ⁵Ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακουσίοις Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. Ἐπειδὴ δ' οἱ Ἀθηναῖοι προσέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ ἐπειρῶντο λύειν τὰς κλῄσεις. Μετὰ δὲ τοῦτο, πανταχόθεν σφίσι τῶν Συρακουσίων καὶ ξυμμάχων ἐπιφερομένων, οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἡ ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο, καὶ ἦν καρτερὰ, καὶ οἵα οὐχ ἑτέρα τῶν πρότερον. Πολλὴ μὲν

ſtim proelium ſumma utrimque alacritate commiſſum eſt,

70. *ναυσὶ παραπλησίαις τὸν ἀριθ. καὶ πρότερον.* Recte Portus verba *καὶ πρότερον* ad *ναυσὶ παραπλησίαις τὸν ἀριθμόν* refert, cum vulgo ad ſequentia referantur. Cui rationi obſtat, quod Syracuſanorum claſſis neutiquam par erat numero claſſi Athenienſium. Cf. cap. 52 et 67 med. Deinde *καὶ πρότερον*, cum ſubſequentibus iunctum, abundaret, cum eius notio iam inſit in participio *προεξαγαγόμενοι*. Ergo poſt *πρότερον* comma ponendum.

παραβοηθῇ. Cum praeceſſerit optativus *προσπίπτοιεν*, ſequitur in eadem periodo vel adeo in eodem membro coniunctivus. Hunc uſum apud noſtrum Scriptorem ſaepius obſervavi. 6, 96 extr. "Ὅπως τῶν τε Ἐπιπολῶν εἴησαν φύλακες, καὶ, ἢν ἐς ἄλλο τι δέῃ, ταχὺ ξυνεστῶτες παραγίγνωνται. 7, 17. "Ὅπως ναυμαχίας τε ἀποπειράσωσι —, καὶ — Ἀθηναῖοι κωλύοιεν ἀπαίρειν.

ἐπειδὴ δὲ οἱ Ἀθηναῖοι προσέμισγον. In codicibus non paucis legitur *οἱ ἄλλοι Ἀθηναῖοι*, in nonnullis etiam *καὶ οἱ ἄλλοι Ἀθ.* Quam lectionem ex inepti interpretis correctione ortam eſſe ſuſpicor. Nam ſupra cap. 69 extr. non una aliqua pars, ſed universa claſſis Athenienſium adverſus clauſtra portus profecta traditur. Nihil igitur reſtabat, niſi peditatus, cui praeerat illo die Nicias. Si vera eſſet illorum codicum ſcriptura *ἄλλοι*, de peditatu intelligenda eſſent verba *οἱ ἄλλοι Ἀθηναῖοι*. Thucydides autem manifeſto loquitur de claſſiariis; nam dicit *ἐπιπλέοντες*. — *πρὸς αὐτῷ*, int. *ζεύγματι*. — Mox *κλῄσεις*, quam ſupra cap. 60 init. *τὴν ἀπόκλεισιν* vocat.

τῶν πρότερον. Libri plurimi haud ſcio an corrupte *προτέρων*. Cf. Duck.

γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν, ὁπότε κελευσθείη, ἐγίγνετο, πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους. οἵ τε ἐπιβάται ἐθεράπευον, ὅτε προςπέσοι ναῦς νηῒ, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης· πᾶς τέ τις, ἐν ᾧ προςετέτακτο, αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι. Ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν, (πλεῖσται γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι·) αἱ μὲν ἐμβολαὶ, διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους, ὀλίγαι ἐγίγνοντο· αἱ δὲ προςβολαὶ, ὡς τύχοι ναῦς νηῒ προςπεσοῦσα, ἢ διὰ τὸ φεύγειν, ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. Καὶ, ὅσον μὲν χρόνον προςφέροιτο ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως ἐπ᾽ αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προςμίξειαν, οἱ ἐπιβάται, ἐς χεῖρας ἰόντες, ἐπειρῶντο ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν. Ξυνετύγχανέ τε πολλαχοῦ, διὰ τὴν στενοχωρίαν, τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ, αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ

τὰ ἀπὸ τοῦ καταστρώματος, Scholiastae sunt *αὐτοὶ οἱ ἐπιβάται*. Sed rectius cum Stephano munera *τῶν ἐπιβατῶν* intellexeris. „Operam dabant, ut ea, quae in tabulatis erant gerenda, non vincerentur arte ceterorum, veluti nautarum et gubernatorum."

αἱ μὲν ἐμβολαί. Non operae pretium est, Benedictum, alteram scripturam *ἐκβολαί* defendentem, refellere. Intelligit enim *ἐκβολάς* *navium e portu egressiones*, de quibus nemo facile praeter ipsum h. l. cogitaverit. *Ἐμβολαί* sunt incursiones adversarum frontium, cum impetu e longinquo factae, quibus in prioribus pugnis navalibus potissimum usi fuerant Syracusani. Cap. 40. *Καὶ ταῖς ναυσὶν ἀντιπρώροις χρώμενοι, ὥςπερ διενοήθησαν, τῶν ἐμβόλων τῇ παρασκευῇ ἀνεῤῥήγνυσαν τὰς τῶν Ἀθηναίων ναῦς ἐπὶ πολὺ τῆς παρεξειρεσίας.* Cap. 34. *ἀντίπρωροι ἐμβαλλόμεναι.* Cf. cap. 36 med. Contra *προςβολαί* dicuntur ceteri navium concursus, vel ut Scholiastes interpretatur, *αἱ συμπλοκαὶ τῶν νεῶν*, quibus maxime operam dabant Athenienses manuum ferrearum ope. Vid. cap. 62.

τὰ μὲν ἄλλοις ἐμβεβληκέναι. Hoc quidem loco *ἐμβάλλειν* latiore sensu accipiendum est, pro *impetum* vel *incursionem facere*. Neque hoc praecedentibus repugnat, praesertim cum *ἐμβολάς* supra non neget omnino factas, sed rarius

μίαν, καὶ ἔστιν ᾗ καὶ πλείους ναῦς, κατ᾽ ἀνάγκην ξυνηρτῆσθαι· καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακὴν, τῶν δ᾽ ἐπιβουλὴν, μὴ καθ᾽ ἓν ἕκαστον, κατὰ πολλὰ δὲ πανταχόθεν περιεστάναι, καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν [τῶν] νεῶν ξυμπιπτουσῶν, ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν τῆς ἀκοῆς, ὧν οἱ κελευσταὶ φθέγγοιντο, παρέχειν. Πολλὴ γὰρ δὴ παρακέλευσις καὶ βοὴ ἀφ᾽ ἑκατέρων τοῖς κελευσταῖς, κατὰ τὴν τέχνην, καὶ πρὸς τὴν αὐτίκα φιλονεικίαν, ἐγίγνετο· τοῖς μὲν Ἀθηναίοις, βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες, καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας νῦν, εἴποτε καὶ αὖθις, προθύμως ἀντιλαβέσθαι· τοῖς δὲ Συρακουσίοις καὶ ξυμμάχοις, καλὸν εἶναι, κωλῦσαί τε αὐτοὺς διαφυγεῖν, καὶ τὴν οἰκείαν ἑκάστους πατρίδα, νικήσαντας, ἐπαυξῆσαι. Καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν μὴ κατ᾽ ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες ὀνομαστὶ τὸν τριήραρχον, ἠρώτων, οἱ μὲν Ἀθηναῖοι, εἰ, τὴν πολεμιωτάτην γῆν οἰκειοτέραν ἤδη τῆς οὐ δι᾽ ὀλί-

accidiſſe narret. Sed melius in uniuerſum de impetu facto acceperis.

μὴ καθ᾽ ἓν ἕκαστον, i. e. non ab una qualibet parte, veluti a prora vel a puppi, vel ab alterutro latere; ſed a multis undique.

ἀπὸ πολλῶν τῶν νεῶν ξυμπιπτουσῶν. Articulum τῶν cum edd. antiquis abiiciunt codd. Cl. Gr. Caſſ. Aug. Reg. cum aliis quatuor codd. Pariſſ. Neque tamen hic otioſus, aut a Thucydidis loquendi uſu alienus eſt. Vide dicta ad 1, 71. Facilius in hac verborum ſerie excidere, quam addi potuiſſe videatur.

ἐπιβοῶντες. Debebat eſſe dativus ἐπιβοῶσι, quia pertinet ad τοῖς κελευσταῖς. Sed abstulit hanc relationem interiectus alter dativus τοῖς Ἀθηναίοις, propterea quod ita obſcurior eſſet oratio. Itaque a dativo ad nominativum tranſiit Scriptor, ut alibi. Vide ad 3, 36. Cf. ad 2, 53. — κατὰ τὴν τέχνην, Schol. τὴν κελευστικήν. Rectius ſibi videtur Bauerus intelligere ναυτικήν, et Scholiaſtam immerito obiurgat.

ἀντιλαβέσθαι, ſubaudi τῆς μάχης. — περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας, pro περὶ τοῦ ἐς τὴν πατρίδα σώζεσθαι.

τὴν οἰκείαν ἑκάστους πατρίδα. Codd. Reg. Caſſ. Aug. duo Pariſſ. Marg. et Dionyſ. Halicarn., qui hanc totam pugnae deſcriptionem, quam magnopere laudat, operi ſuo inſeruit, exhibent ἑκάστου. Sed vulgatum praefero, tamquam ſignificantius, cum, quae voci ἑκάστου notio ineſt, iam lateat in οἰκείαν.

γου κεκτημένης θαλάσσης ἡγούμενοι, ἀποχωροῦσιν· οἱ δὲ Συρακούσιοι, εἰ, οὓς σαφῶς ἴσασι προθυμουμένους Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας φεύγουσιν.

71. Ὅ, τε ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσοῤῥόπου τῆς ναυμαχίας καθεστηκυίας, πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες, μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι. Πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ὅ, τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικώς, καὶ διὰ τὸ ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν. Δι' ὀλίγου γὰρ

71. ſpectante e terra utroque peditatu, maximo cum ſtudio, nec ſine clamore et ululatu, prout ſuos aut vin-

71. ὅ, τε ἐκ τῆς γῆς πεζός — i. e. ὅ, τε πεζὸς, ἐν τῇ γῇ ἱδρυθεὶς, ἐξ αὐτῆς τὴν ἔποψιν τῆς ναυμαχίας ἔχων, πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε.' Cf. ad 5, 65. Cum autem vocabulum ξύστασιν parum aptum ſit ad ſententiam, cumque Scholiaſta in huius vocabuli interpretatione habeat συνετέταντο, Duckeri coniecturam probo, ut legendum ſit ξύντασιν, contentionem animi, *intentum ſtudium*. Si ξύστασιν retinendum putes, certamen intelligas ſententiarum ſ. opinionum, apud ſingulos quosque ipſo pugnae adſpectu motarum, prout hanc vel illam partem ſuperiorem fore arbitrarentur. Sed corruptio facilis eſt; quippe ſaepiſſime codices in verbis ex σύν compoſitis ν ante σ retinent, e. c. ξυνστρατεύσας pro ξυστρατεύσας. Ita h. l. ξύνστασιν vitioſe pro ξύντασιν ſcriptum, deinde in ξύστασιν male correctum videtur. — ὁ αὐτόθεν, Syracuſani; οἱ ἐπελθόντες, Athenienſes. — τῶν παρόντων, i. e. ἢ τὰ παρόντα.

πάντων γὰρ δὴ ἀνακειμένων — ἐς τὰς ναῦς. Schol. πάσης τῆς ἐλπίδος αὐτοῖς ἐν ταῖς ναυσὶν οὔσης. — οὐδενὶ ἐοικώς, i. e. nulli rei ſimilis, ergo maximus metus.

καὶ διὰ τὸ ἀνώμαλον — ἔχειν. Haec verba male acceperunt plerique interpretes inde a Scholiaſta, qui abſurdam iis interpretationem propinavit. Abſolute enim intelligit verba διὰ τό, pro διὰ τοῦτο, referens ad praecedentia, ἐν ναυσὶ μόναις τὰς ἐλπίδας ἔχειν. Iam alii viderunt, iungendum eſſe διὰ τὸ ἀνώμαλον et vocem ἀνώμαλον deinceps repetendam eſſe ad ἔποψιν. Sed τὸ ἀνώμαλον non intelligendum eſt de pugnae, ſed de locorum, ubi quisque conſtiterat, et unde proelium ſpectabat, inaequalitate. Senſus enim eſt: „Propter inaequalitatem lo-

οὔσης τῆς θέας, καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πῃ τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἄν, καὶ πρὸς ἀνάκλησιν θεῶν, μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας, ἐτρέποντο· οἱ δ', ἐπὶ τὸ ἡσσώμενον βλέψαντες, ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο, καὶ ἀπὸ τῶν δρωμένων τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο. Ἄλλοι δὲ καί, πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἁμίλλης, καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες, ἐν τοῖς χαλεπώτατα διῆγον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον, ἢ ἀπώλλυντο. Ἦν τε ἐν τῷ αὐτῷ στρατεύματι τῶν Ἀθηναίων, ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμὸς, βοή, νικῶντες, κρατούμενοι, ἄλλα, ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. Παραπλήσια

cere aut vinci animadverterent. Tandem claſſis Athenienſium devicta ad terram appulit, et maxima omnes

ci etiam inaequaliter proelium ex terra ſpectare cogebantur" ut totidem verbis Valla recte interpretatur. Explicat ita ipſe Thucydides in iis, quae ſtatim ſequuntur, οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων.

ἀνεθάρσησάν τε ἄν. Hoc modo ἄν a Graecis adhiberi, ut indicativo notionem τοῦ ſolere afferat, hodie res nota. Vid. Buttmann. Gr. Gr. p. 479. Olim viri docti plerumque ἄν mutabant in αὖ, maxime Brunckius in Tragicis. Vide eum ad Eurip. Hecub. v. 752. ubi Hermannus recte: ἄλγος ἂν προθείμεθ' ἄν. Eurip. Phoen. 412. Ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν, ubi non ſolum Brunckius, ſed etiam princeps Criticorum Valckenaerius repoſuit οὐκ εἶχον αὖ. At Porſonus veram lectionem ἄν reſtituit. Cf. Thucyd.

τῶν ἐν τῷ ἔργῳ, int. ὄντων, i. e. τῶν ναυμαχούντων.

καὶ τοῖς σώμασιν αὐτοῖς — ξυναπονεύοντες. Pulcherrimam hanc geſtuum deſcriptionem rectiſſime expreſſit Scholiaſtes: Ἄλλοι δὲ τὴν ἀπὸ τῆς γῆς ἰδόντες ἰσόῤῥοπόν που ναυμαχίαν, διὰ τὸ πάνυ ἀδιάκριτον εἶναι, πότεροι (vulgo πότερον) νικῶσι, συνεξομοιοῦντες τὰ σώματα τῇ περὶ τῶν γιγνομένων προσδοκίᾳ, ἀπένευον τῷ σώματι τῇδε κἀκεῖσε.

παρ' ὀλίγον ἢ διέφευγον, ἢ ἀπώλλυντο, „propemodum aut effugere, aut perire ſibi videbantur."

ἦν τε ἐν τῷ αὐτῷ στρατ. In codd. nonnullis et apud Dionyſ. αὐτῷ non legitur, quod tamen h. l. aptiſſimum eſſe arbitror.

δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον· πρίν γε δὴ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας, ἔτρεψάν τε τοὺς Ἀθηναίους, καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. Τότε δὲ ὁ μὲν ναυτικὸς στρατὸς, ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἑάλωσαν, κατενεχθέντες, ἐξέπεσον ἐς τὸ στρατόπεδον· ὁ δὲ πεζὸς, οὐκέτι διαφόρως, ἀλλ᾽ ἀπὸ μιᾶς ὁρμῆς, οἰμωγῇ τε καὶ στόνῳ πάντες, δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δὲ, πρὸς τὸ λοιπὸν τοῦ τείχους, ἐς φυλακήν· ἄλλοι δὲ καὶ οἱ πλεῖστοι ἤδη περὶ σφᾶς αὐτοὺς, καὶ, ὅπῃ σωθήσονται, διεσκόπουν. [5]Ἦν τε ἐν τῷ παραυτίκα οὐδὲ μιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις· παραπλήσιά τε ἐπεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ. Διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις, προσαπώλλυντο αὐτοῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες· καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παράλογον γίγνηται.

72. Γενομένης δ᾽ ἰσχυρᾶς τῆς ναυμαχίας, καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων,

non solum classiarios, sed etiam pedites trepidatio invasit. 72. Post haec suadenti Demostheni, ut cum satis magno navium superstitum numero claustra portus perfringere

τότε δὲ ὁ μὲν ναυτικὸς στρατός. Revocavi antiquam scripturam *τότε δέ*, cuius loco Wassius ex Dionysio temere reposuerat *τότε δή*, quod e solo Aug. enotatur, sed aperte corruptum est. Nam in apodosi Noster adhibet *τότε δή*, ut 5, 58. *τότε δ᾽ ἐξεστράτευσαν καὶ αὐτοί*; at ab initio periodi esse debet *τότε δέ*.

ἄλλοι δὲ καὶ οἱ πλεῖστοι. Cum Benedicto e MSS. recepi *καί*, quod vulgatis abest. Cap. 80 med. *τὸ [illegible] μάλιστα καὶ τὸ πλέον ἀπεσπάσθη.* — *παραπλήσια καὶ ἔδρασαν.* Haec iungenda sunt. Vide ad 5, 112. Saepe *καί* sequitur vocabula *παραπλήσιος, ἴσος, ὅμοιος.* Cf. Duck. ad h. l.

προσαπώλλυντο αὐτοῖς. Malim cum Marg. Reg. Cass. Aug. Dionys. *αὐτοῖς*, quod etiam Abreschio et Benedicto placuit. Ita etiam Scholiastes. Vulgo *αὐταῖς*, quod ad naves referendum esset, et iam inest in *προσαπώλλυντο*. Cf. Ducker. ad cap. 19 et 39.

οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ἐπικρατήσαντες, τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο, καὶ, ἀποπλεύσαντες πρὸς τὴν πόλιν, τροπαῖον ἔστησαν. Οἱ δ' Ἀθηναῖοι, ὑπὸ μεγέθους τῶν παρόντων κακῶν, νεκρῶν μὲν πέρι ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν. Δημοσθένης δὲ Νικίᾳ προσελθὼν, γνώμην ἐποιεῖτο, πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν, βιάσασθαι, ἢν δύνωνται, ἅμα ἕῳ τὸν ἔκπλουν· λέγων, ὅτι πλείους ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν, ἢ τοῖς πολεμίοις· (ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα·) καὶ, ξυγχωροῦντος Νικίου τῇ γνώμῃ, καὶ βουλομένων πληροῦν αὐτῶν, οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν, διὰ τὸ καταπεπλῆχθαι τῇ ἥσσῃ, καὶ μὴ ἂν ἔτι οἴεσθαι κρατῆσαι. Καὶ οἱ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον.

73. Ἑρμοκράτης δὲ ὁ Συρακούσιος, ὑπονοήσας αὐτῶν τὴν διάνοιαν, καὶ νομίσας, δεινὸν εἶναι, εἰ τοσαύτη στρατιὰ, κατὰ γῆν ἀποχωρήσασα, καὶ καθεζομένη ποι τῆς Σικελίας, βουλήσεται αὖθις σφίσι τὸν πόλεμον ποιεῖσθαι, ἐσηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν, ὡς οὐ

conarentur, asſenſus Nicias recuſante periculum exercitu prohibetur, quo minus per mare effugiat, et in conſilium per terram discedendi reiicitur. 73. Quod cum Hermocrates divinaſſet, nec poſſet magiſtratibus perſuadere, ut ſtatim exercitum ad vias intercipiendas educerent;

72. *καὶ βουλομένων πληροῦν αὐτῶν.* Vulgo *αὐτάς*, quod iubentibus MSſ. correxi. Nam etiam illi codices, qui afferunt *αὐτόν*, noſtram lectionem tuentur. *Αὐτάς* facile poteſt ſubintelligi, cum praeceſſerit: *πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν.*

73. *κατὰ γῆν ἀποχωρήσασα.* Octo codd. exhibent *ὑποχωρήσασα.* Sed vulgatum cum alibi ſaepe, tum inferius hoc capite bis ſine varietate legitur: *ἀποχωρῆσαι, ἀποχωρεῖν.*

ἐσηγεῖται. Ita ſcribendum eſſe e plurimis libris, iam docuit Duckerus. Vulgatum *ἐφηγεῖται* non eſt ferendum; niſi forte natum eſt ex *ὑφηγεῖται*, quod hic aptiſſimum eſſet.

χρεὼν ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιϊδεῖν, (λέγων ταῦτα, ἃ καὶ αὐτῷ ἐδόκει,) ἀλλὰ ἐξελθόντας ἤδη πάντας Συρακουσίους καὶ τοὺς ξυμμάχους, τάς τε ὁδοὺς ἀποικοδομῆσαι, καὶ τὰ στενόπορα τῶν χωρίων προφθάσαντας φυλάσσειν. Οἱ δὲ ξυνεγίγνωσκον μὲν καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα ἐκείνου, καὶ ἐδόκει ποιητέα εἶναι· τοὺς δὲ ἀνθρώπους, ἄρτι ἀσμένους ἀπὸ ναυμαχίας τε μεγάλης ἀναπεπαυμένους, καὶ ἅμα ἑορτῆς οὔσης, (ἔτυχε γὰρ αὐτοῖς Ἡράκλεια ταύτην τὴν ἡμέραν θυσία οὖσα,) οὐ δοκεῖν ἂν ῥαδίως ἐθελῆσαι ὑπακοῦσαι· ὑπὸ γὰρ τοῦ περιχαροῦς τῆς νίκης πρὸς πόσιν τετράφθαι τοὺς πολλοὺς ἐν τῇ ἑορτῇ, καὶ πάντα μᾶλλον ἐλπίζειν ἂν σφῶν πείθεσθαι αὐτοὺς, ἢ ὅπλα λαβόντας ἐν τῷ παρόντι ἐξελθεῖν. Ὡς δὲ τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα, καὶ οὐκέτι ἔπειθεν αὐτοὺς ὁ Ἑρμοκράτης, αὐτὸς ἐπὶ τούτοις τάδε μηχανᾶται· δεδιὼς, μὴ οἱ Ἀθηναῖοι καθ᾽ ἡσυχίαν προφθάσωσιν ἐν τῇ νυκτὶ διελθόντες τὰ χαλεπώτατα τῶν χωρίων, πέμπει τῶν ἑταίρων τινὰς τῶν ἑαυτοῦ μετὰ ἱππέων πρὸς τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἡνίκα

missis equitibus quibusdam ad castra Atheniensium, qui sub amicitiae specie indicarent, omnem Syracusanorum

λέγων ταῦτα, ἃ καὶ αὐτῷ ἐδόκει. Reg. Caſſ. Aug. Marg. habent *ταῦτα καὶ ἃ καὶ αὐτῷ ἐδ.* Alii duo Pariſſ. *ταῦτα καὶ ἃ ἐδόκει,* omiſſo *αὐτῷ*, quod tamen in margine adſcriptum habent. Turbatum videtur h. l. in Mſſ., et vulgata lectio praeſtat, quia Thucydides nihil aliud innuere vult, quam Hermocratis ſuſpicionem, qua Athenienſes diſceſſuros eſſe praevidebat.

ἔτυχε γὰρ αὐτοῖς Ἡράκλεια —. Novem codices praebent *Ἡρακλεῖ*, fortaſſis e correctione, cum altera lectio ſit difficilior. — *οὐ δοκεῖν ἄν,* intellige *ἔφασαν* ex praecedenti *ξυνεγίγνωσκον*, vel *ἀπὸ κοινοῦ.*

σφῶν πείθεσθαι αὐτούς. Exemplum genitivi apud verbum *πείθεσθαι* hucusque fruſtra quaeſivi. Tamen ſic codices ſine varietate. — Mox *καὶ οὐκέτι ἔπειθεν* cum Camer. Reg. Caſſ. Aug. Marg. Ar. C. Dan. Moſq. ſex codd. Pariſſ. praebent pro *οὐκ ἔπειθεν*, quae lectio apta ſatis; ſignificat enim, non deſtitiſſe quidem Hermocratem et perſeveraſſe in rogando, nec tamen ultra permoviſſe duces. — *ἐπὶ τούτοις*, ad haec efficienda.

ξυνεσκόταζεν· οἵ, προσελάσαντες, ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι, καὶ ἀνακαλεσάμενοι τινὰς, ὡς ὄντες τῶν Ἀθηναίων ἐπιτήδειοι, (ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι τῶν ἔνδοθεν,) ἐκέλευον φράζειν Νικίᾳ, μὴ ἀπάγειν τῆς νυκτὸς τὸ στράτευμα, ὡς Συρακουσίων τὰς ὁδοὺς φυλασσόντων, ἀλλὰ καθ᾽ ἡσυχίαν τῆς ἡμέρας παρασκευασάμενον ἀποχωρεῖν. Καὶ οἱ μὲν, εἰπόντες, ἀπῆλθον· καὶ οἱ ἀκούσαντες διήγγειλαν τοῖς στρατηγοῖς τῶν Ἀθηναίων.

74. Οἱ δὲ πρὸς τὸ ἄγγελμα ἐπέσχον τὴν νύκτα, νομίσαντες, οὐκ ἀπάτην εἶναι. Καὶ, ἐπειδὴ καὶ ὣς οὐκ εὐθὺς ὥρμησαν, ἔδοξεν αὐτοῖς καὶ τὴν ἐπιοῦσαν ἡμέραν περιμεῖναι, ὅπως ξυσκευάσαιντο ὡς ἐκ τῶν δυνατῶν οἱ στρατιῶται ὅτι χρησιμώτατα· καὶ τὰ μὲν ἄλλα πάντα καταλιπεῖν, ἀναλαβόντες δὲ αὐτὰ, ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν ὑπῆρχεν ἐπιτήδεια, ἀφορμᾶσθαι. Συρακούσιοι δὲ καὶ Γύλιππος τῷ μὲν πεζῷ προεξελθόντες, τάς τε ὁδοὺς τὰς κατὰ τὴν χώραν, ᾗ εἰκὸς ἦν τοὺς Ἀθηναίους ἰέναι, ἀπεφράγνυσαν, καὶ τῶν ῥείθρων καὶ τῶν ποταμῶν τὰς διαβάσεις ἐφύλασσον· καὶ ἐς ὑποδοχὴν τοῦ στρατεύματος, ὡς κωλύσον-

exercitum ad vias occludendas profectum esse, eosque monerent, ne noctu abirent. 74. Niciam decepit atque permovit, ut non solum illam noctem, sed etiam posterum diem in eodem loco maneret. Interea Gylippus et Syracusani vias intercludunt, et transitus fluviorum

προσελάσαντες. Vulgo contra plerosque libros *προσπελάσαντες.*

διάγγελοι τῶν ἔνδοθεν, int. *πραγμάτων.* Schol. cum cod. Marg. *ἔνδον* habet. Nihil opus est.

74. *ἐπειδὴ καὶ ὣς οὐκ εὐθὺς ὥρμησαν*, *etiam sic*, i. e. etiam tum, si hanc noctem quiescerent.

ἀναλαβόντες δὲ αὐτά. Ita recte emendasse nobis videtur Benedictus, licet vulgatum *ἀναλαβόντας* per se non ineptum et, ad milites relatum, huic loco aptissimum sit. Sed codicum Reg. Cl. Cass. Aug. Gr. trium Pariss. Ar. C. consensus hanc scripturam sustinet, quasi superius fuisset *ἐψηφίσαντο.* Cf. cap. 80 init., ubi locus huic non absimilis. — *αὐτά* est *μόνα.*

τες, ᾗ ἐδόκει, ἐτάσσοντο· ταῖς δὲ ναυσὶ προςπλεύσαντες, τὰς ναῦς τῶν Ἀθηναίων ἀπὸ τοῦ αἰγιαλοῦ ἀφεῖλκον· (ἐνέπρησαν δέ τινας ὀλίγας, ὥςπερ διενοήθησαν, αὐτοὶ οἱ Ἀθηναῖοι,) τὰς δ' ἄλλας καθ' ἡσυχίαν, οὐδενὸς κωλύοντος, ὡς ἑκάστην ποι ἐκπεπτωκυῖαν ἀναδησάμενοι ἐκόμιζον ἐς τὴν πόλιν.

75. Μετὰ δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημοσθένει ἱκανῶς παρεσκευάσθαι, καὶ ἡ ἀνάστασις ἤδη τοῦ στρατεύματος τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. Δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπεχώρουν, καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες· ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι. Τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τὶς ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου καθίστατο· καὶ οἱ ζῶντες καταλειπόμενοι, τραυματίαι τε καὶ ἀσθενεῖς, πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν, καὶ τῶν ἀπολω-

custodiunt; atque naves Atheniensium, nemine prohibente, in suam stationem transvehunt. 75. Tertio igitur die post pugnam navalem Atheniensium exercitus

ἐνέπρησαν δέ τινας ὀλίγας — οἱ Ἀθηναῖοι. Ex vulgata interpunctione Thucydides ait, Syracusanos naves non multas Atheniensium concremasse. At dissentit Diodorus Sic. 13, 18, qui, de Atheniensibus locutus, τῶν νεῶν τινάς, inquit, ἐνέπρησαν. Quae cum haud dubie etiam Thucydidis mens fuisse videatur, cum nulla fuerit causa, cur Syracusani igne delere maluerint naves, quam capere, nemine impediente; vulgata Thucydidis librorum distinctio laborare videtur. Pone comma post διενοήθησαν, et verba ἐνέπρησαν — Ἀθηναῖοι parenthesis signis include. Quod sequitur δέ in verbis τὰς δὲ ἄλλας, parenthesi datum, in qua latet notio τοῦ μέν. — ὡς ἑκάστην pro simplici ἑκάστην, *pro se quamque.*

75. ἱκανῶς παρεσκευάσθαι. Ita optimi libri; quare vulgato παρασκευάσασθαι praetuli.

καὶ — κινδυνεύοντες. A verbo ἀπεχώρουν pendet utrumque participium, et ἀπολωλεκότες et κινδυνεύοντες. Similiter in sequentibus ad verbum καθίστασαν plura participia subsequentia referuntur. — ἀντιβολίαν int. preces.

λοτων ἀθλιώτεροι. Πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι, ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες, καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι, εἴ τινά που τὶς ἴδοι ἢ ἑταίρων, ἢ οἰκείων· τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι, καὶ ἐπακολουθοῦντες, ὅσον δύναιντο· εἴ τῳ δὲ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι· ὥςτε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ, μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε, καὶ μείζω ἢ κατὰ δάκρυα, τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας, μή τι πάθωσι. Κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. Οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύτῃ οὐ σμικρᾷ· μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεςσάρων ἅμα ἐπορεύοντο. Καὶ τούτων οἵ τε ἄλλοι πάντες ἔφερον, ὅ, τι τὶς ἐδύνατο, κατὰ τὸ χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς, παρὰ τὸ εἰωθὸς, αὐτοί τε [καὶ] τὰ σφέτερα αὐτῶν σιτία, ὑπὸ τοῖς ὅπλοις, οἱ μὲν, ἀπορίᾳ ἀκολούθων, οἱ δὲ, ἀπιστίᾳ· (ἀπηυτομολήκεσαν

profectus, non ſine ſummo moerore caſtra cum ſauciis

οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν. Mirum ſane videtur, quod dicit *ἄνευ ὀλίγων*. Sed *ὀλίγοι* Noſtro hic videntur eſſe *τινές* ſimpliciter. Saepiſſime certe iungit *τινὲς ὀλίγοι*, e. c. cap. 74. extr. Benedictus coniicit legendum eſſe, *οὐκ ἄνευ οὐκ ὀλίγων*.

καὶ μείζω ἢ κατὰ δάκρυα. In graviſſimo moerore ne lacrimis quidem locus. Herodot. 3, 14. (laudante Waſſio) Ὦ παῖ Κύρου, τὰ μὲν οἰκήϊα ἦν μέζω κακὰ, ἢ ὥςτε ἀνακλαίειν· τὸ δὲ τοῦ ἑταίρου πένθος ἄξιον ἦν δακρύων· ὃς ἐκ πολλῶν τε καὶ εὐδαιμόνων ἐκπεσὼν, ἐς πτωχηΐην ἀπῖκται, ἐπὶ γήραος οὐδῷ.

καὶ κατάμεμψις σφῶν αὐτῶν. Male Portus vertit: „mutua inter ipſas incuſatio." Senſus eſt *ſe ipſi contemnebant, ob conditionem ſuam.* C. 77 init. *μηδὲ καταμέμψασθαι ὑμᾶς ἄγαν αὐτούς.*

αὐτοί τε [καὶ] τὰ σφέτερα αὐτῶν σιτία. Recte Bredovius indicat, non eſſe, quo *τέ* referatur. Unus Graev. cod. hanc particulam omittit; plures autem, Ar. C. Caſſ. Aug. tres Pariſſ. ignorant *καί*. Mihi quidem utraque particula delenda videtur, cum haud dubie primum *τέ*, dein *καί* ab aliena manu inſertum ſit.

γὰρ πάλαι τε, καὶ οἱ πλεῖστοι παραχρῆμα·) ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά· σῖτος γὰρ οὐκέτι ἐν τῷ στρατοπέδῳ. Καὶ μὴν ἡ ἄλλη αἰκία, καὶ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα ὅμως, τὸ μετὰ πολλῶν, κούφισιν, οὐδ᾽ ὣς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο· ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφῖκτο. Μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο τῷ Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς, ἀντὶ μὲν τοῦ ἄλλους δουλωσομένους ἥκειν, αὐτοὺς τοῦτο μᾶλλον δεδιότας μὴ πάθωσι, ξυνέβη ἀπιέναι, ἀντὶ δ᾽ εὐχῆς τε καὶ παιάνων, μεθ᾽ ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶσθαι, πεζοὺς δὲ ἀντὶ ναυβατῶν πορευομένους, καὶ ὁπλιτικῷ προσχόντας μᾶλλον, ἢ ναυτικῷ. Ὅμως δέ, ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου, πάντα ταῦτα αὐτοῖς οἰστὰ ἐφαίνετο.

76. Ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν, καὶ ἐν μεγάλῃ μεταβολῇ ὄν, ἐπιπαριὼν, ὡς ἐκ τῶν ὑπαρχόντων, ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο, βοῇ τε χρώμενος ἔτι μᾶλλον ἑκάστοις, καθ᾽ οὓς γίγνοιτο, ὑπὸ προθυμίας, καὶ βουλόμενος ὡς ἐπὶ πλεῖστον γεγωνίσκων ὠφελεῖν.

et aegrotis relinquit, ſua quisque neceſſaria portans. 76. Priusquam autem iter ingrederentur, Nicias eos con-

ἀφῖκτο. Schol. intelligit τὸ στράτευμα. Fortaſſis rectius ſubaudias τὶς, quod ſaepius eſt pro ἕκαστος, ut ad eos ſingulos referatur, qui illam viciſſitudinem cum moerore reputarent.

τῷ Ἑλληνικῷ στρατεύματι. Articulum τῷ, qui iam Scholiaſtae temporibus nonnullis displicebat, parum idonea ratione Thucydidi vindicat Bredovius. Sane, cum plures eſſent Graeci exercitus, articulus hic offendere poteſt. Sed intelligenda videtur ea pars Athenienſis exercitus, quae ex ipſis Athenienſibus et Graecis, eorum imperio ſubiectis, conſtituebatur; quibus tacite hic opponuntur ceteri ſocii, partim quidem barbari, ex Iapygia, Italia, Sicilia oriundi. Vid. cap. 57 extr. Saltem ad illos tantum deſcriptio ea, quae ſequitur, pertinet.

76. ὡς ἐκ τῶν ὑπαρχόντων, *quantum praeſens rerum ſtatus ferebat.*

77. „ΈΤΙ καὶ ἐκ τῶν παρόντων, ὦ Ἀθηναῖοι καὶ ξύμμαχοι, ἐλπίδα χρὴ ἔχειν, (ἤδη τινὲς καὶ ἐκ δεινοτέρων, ἢ τοιῶνδε, ἐσώθησαν·) μηδὲ καταμέμψασθαι ὑμᾶς ἄγαν αὐτοὺς, μήτε ταῖς ξυμφοραῖς, μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθείαις. Κἀγώ τοι, οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων, (ἀλλ' ὁρᾶτε δὴ, ὡς διάκειμαι ὑπὸ τῆς νόσου,) οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστερός του εἶναι κατὰ τὸν ἴδιον βίον, καὶ ἐς τὰ ἄλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιῄτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια καὶ ἀνεπίφθονα. Ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θαρσεῖα τοῦ μέλλοντος, αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὴ φοβοῦσι· τάχα δὲ ἂν καὶ λωφήσειαν. Ἱκανὰ γὰρ τοῖς τε πολεμίοις εὐτύχηται· καὶ, εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν, ἀποχρώντως ἤδη τετιμωρήμεθα. Ἦλθον γάρ που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους, καὶ, ἀνθρώπεια δράσαντες, ἀνεκτὰ ἔπαθον· καὶ ἡμᾶς εἰκὸς νῦν τά τε ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἠπιώ-

ſolatus eſt 77. oratione, qua ſpem melioris fortunae

77. *μήτε ταῖς ξυμφοραῖς*, i. e. *διὰ τὰς ξυμφοράς*. Cauſam enim hic ſignificat dativus vel potius ablativus, uti apud Latinos.

τοῖς φαυλοτάτοις, ſimpliciter *infimis*. — *δεδιῄτημαι*. Schol. *πολλὰ εἰς θεῶν τιμὴν ἐπετήδευσα, πεπολίτευμαι νομίμως*. Noſter ſupra 1, 132. *εἴ τί που ἐξεδεδιῄτητο τῶν καθεστώτων νομίμων*.

ἡ μὲν ἐλπὶς ὅμως θαρσεῖα. Adiectivum *θαρσεῖα* ita a *θάρσος*, ut *θρασύς* a *θράσος*, derivatur, et Thucydidi eſt pro *θαρσαλέα*. — *Ὅμως* autem poſcit, ut ſententia huiusmodi ſubaudiatur: quamvis miſera fortuna (conditione) utamur. — *οὐ κατ' ἀξίαν*, Schol. *ἀλλὰ μειζόνως*.

τά τε ἀπὸ τοῦ θεοῦ. Etiam hic abundat *τέ*, ex vulgata quidem interpunctione. At vero, ſi verba: *οἴκτου γὰρ — ἢ φθόνου* pro parentheſi accipias, referri bene poteſt ad *καὶ ὁρῶντες*. Transit enim Scriptor a ſtructura per *εἰκός* cum infinitivo ad imperativum, cum pergere debuiſſet: *καὶ ὁρῶντας ὑμᾶς αὐτοὺς, οἷοι—χωρεῖτε, μὴ καταπεπλῆχθαι ἄγαν*. Et quaeri etiamnum poſſit, an hoc ipſum Thucydides ſcripſerit. Nam in codd. Gr. Marg. ſicut in ed. Flor. legitur *καταπεπλῆχθαι*, quam ſcripturam etiam Scholiaſtes ſequitur. Quae ſi vera ſit, *ὁρῶντες* in *ὁρῶντας* mutari neceſſe eſt, ut haec omnia pendeant ab *εἰκός*. Praeterea codices fortaſſe non pauci praebent *καταπεπλῆχθε*, non *καταπέπληχθε*, et illud etiam ho-

τέρα ἕξειν· (οἴκτου γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμέν, ἢ φθόνου) καὶ ὁρῶντες ὑμᾶς αὐτούς, οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυντεταγμένοι χωρεῖτε, μὴ καταπέπληχθε ἄγαν· λογίζεσθε δέ, ὅτι αὐτοί τε πόλις εὐθὺς ἐστέ, ὅποι ἂν καθέζησθε, καὶ ἄλλη οὐδεμία ὑμᾶς τῶν ἐν Σικελίᾳ οὔτ' ἂν ἐπιόντας δέξαιτο ῥᾳδίως, οὔτ' ἂν ἱδρυθέντας που ἐξαναστήσειε. Τὴν δὲ πορείαν, ὥστ' ἀσφαλῆ καὶ εὔτακτον εἶναι, αὐτοὶ φυλάξατε, μὴ ἄλλο τι ἡγησάμενος ἕκαστος, ἤ, ἐν ᾧ ἀναγκασθῇ χωρίῳ μάχεσθαι, τοῦτο καὶ πατρίδα καὶ τεῖχος κρατήσας ἕξειν. Σπουδὴ δὲ ὁμοίως καὶ νύκτα καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ. Τὰ γὰρ ἐπιτήδεια βραχέα ἔχομεν· καί, ἢν ἀντιλαβώμεθά του φιλίου χωρίου τῶν Σικελῶν, (οὗτοι γὰρ ἡμῖν, διὰ τὸ Συρακουσίων δέος, ἔτι βέβαιοι εἰσίν·) ἤδη νομίζετε ἐν τῷ ἐχυρῷ εἶναι. Προπέπεμπται δ' ὡς αὐτούς, καὶ

eo maxime firmabat, quod graviſſima quaeque perpeſſi

die in vulgatis editionibus propagatur, licet Duckerus dudum docuerit, accentum eſſe mutandum. Denique non eſt disſimulandum, in vulgata ſcriptura, ſi cum Duckero ſcribatur καταπέπληχθε, duplicem eſſe transitum, non ſolum, ut ſupra monuimus ab infinitivo ad imperativum, ſed etiam a prima perſona ad ſecundam. Quas difficultates omnes evitaveris, ea lectione, quam Scholiaſtes habuiſſe videtur, recepta, et plena interpunctione poſt ἄγαν adhibita. Facile propter ſequentes imperativos καταπεπλῆχθαι mutari potuit in καταπεπλῆχθε, hoc autem corrigi in καταπέπληχθε, quod e ſolis Ar. C. Cl. Caſſ. Aug. enotatur. Unum obſtat participium ὁρῶντες, quod in omnibus codicibus legitur, quodque ita correctori cuidam tribuendum fuerit. Itaque acutioribus rem diiudicandam relinquo, et in corrigenda interpunctione acquieſco.

Hac urget lupus, hac canis, aiunt.

ὅποι ἂν καθέζησθε. Vulgo καθέζοισθε. Illud Mſſ. plerique omnes, et recte. — ἐπιόντας δέξαιτο ῥᾳδίως. Bene Portus: „impetum facile ſustineat."

τοῦτο καὶ πατρίδα. Ita e codicibus cum Duckero ſcribendum pro τοῦτο δέ, quod nihili eſt.

του φιλίου χωρίου τῶν Σικελῶν. Placet cum Heilmanno legere του ſine accentu. — Mox ἐχυρῷ habet Schol. et exponit ἀσφαλεῖ, cum codices fere omnes ὀχυρῷ praebeant, quod non niſi de loco munito dicitur, et recte h. l. reiicitur a Waſſio et Benedicto.

προπέπεμπται. Vulgata lectio προπέμπετε abſurda eſt, cum ea cura non ſit militum, ſed ducum. In uno Graeviano

ἀπαντᾶν, εἰρημένον; καὶ σιτία ἄλλα κομίζειν. Τὸ δὲ ξύμπαν, γνῶτε, ὦ ἄνδρες στρατιῶται, ἀναγκαῖόν τε ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι, ὡς μὴ ὄντος χωρίου ἐγγὺς, ὅποι ἂν, μαλακισθέντες, σωθείητε· καὶ, ἢν νῦν διαφύγητε τοὺς πολεμίους, οἵ τε ἄλλοι τευξόμενοι, ὧν ἐπιθυμεῖτέ που ἐπιδεῖν, καὶ οἱ Ἀθηναῖοι τὴν μεγάλην δύναμιν τῆς πόλεως, καίπερ πεπτωκυῖαν, ἐπανορθώσοντες. Ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη, οὐδὲ νῆες, ἀνδρῶν κεναί."

78. Ὁ μὲν Νικίας, τοιάδε παρακελευόμενος ἅμα, ἐπῄει τὸ στράτευμα, καὶ, εἴ πη ὁρῴη διεσπασμένον καὶ μὴ ἐν τάξει χωροῦν, ξυνάγων καὶ καθιστάς· καὶ ὁ Δημοσθένης, οὐδὲν ἧσσον τοῖς καθ' ἑαυτὸν τοιαῦτά τε καὶ παραπλήσια λέγων. Τὸ δὲ ἐχώρει ἐν πλαισίῳ τεταγμένον τοῦ Νικίου, ἐφεπόμενον δὲ τὸ Δημοσθένους· τοὺς δὲ σκευοφόρους καὶ τὸν πλεῖστον ὄχλον ἐντὸς εἶ-

deorum iram complevissent. 78. Bifariam divisus exercitus quadrato agmine procedit; priori parti Nicias, alteri Demosthenes praeest. Et apud Anapum quidem

libro, qui saepissime in depravatis locis unice veram lectionem servavit, verissima et aptissima huic loco lectio est προπέπεμπται. Ex ea vitio natum προπεπεμπται, quod est in Paris. C., inde in Barocc. et Paris. B. factum est προπέμπεται, in ceteris προπέμπετε. Cf. 8, 79. ubi in eodem verbo similis corruptio est. Perfectum utique melius est, quam praesens προπέμπεται, quia hoc haud dubie prius fecerant diligentes duces. Praefert etiam Duckerus. Cf. cap. 80. Ἤλπιζον τοὺς Σικελοὺς ταύτῃ, οὓς μετέπεμψαν, ἀπαντήσεσθαι.

εἰρημένον. Hoc ita interpretor: „cum iam prius iisdem mandatum sit, etiam cibaria alia subvehere.“ Nunc enim praeterea mittebantur, qui eos exercitui cum armis obviam venire iuberent. Nam in προπέπεμπται notio est imperii, ut in Latino *mittere* et *nuntiare*. Quod autem dico *cum armis*, id inde est, quia sequitur καὶ σιτία.

σωθείητε. Male in edit. Lips. interpunctio deest post h. v. Posui colon, quia sequens καί ad τέ referendum est, participia autem τεύξοντες — ἐπανορθώσοντες ad γνῶτε pertinent.

78. τοιάδε παρακελευόμενος ἅμα, ἐπῄει. Vulgo comma ponitur ante ἅμα. Sed quid tum facias de sequenti καί, quod cum participio ξυνάγων iungendum est? Nostram distinctionem probabit, quicumque morem Thucydidis, verbum ad duo membra pertinens priori statim subiungendi, usu compertum habuerit.

τὸ δ' ἐχώρει ἐν πλαισίῳ τεταγμένον. τοῦ Νικίου

χον οἱ ὁπλῖται. Καὶ, ἐπειδή τε ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ᾽ αὐτῷ παρατεταγμένους τῶν Συρακουσίων καὶ ξυμμάχων, καὶ, τρεψάμενοι αὐτοὺς, καὶ κρατήσαντες τοῦ πόρου, ἐχώρουν ἐς τὸ πρόσθεν. Οἱ δὲ Συρακούσιοι, παριππεύοντές τε προσέκειντο, καὶ ἐσακοντίζοντες οἱ ψιλοί. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προελθόντες σταδίους ὡς τεσσαράκοντα, ηὐλίσαντο πρὸς λόφῳ τινὶ οἱ Ἀθηναῖοι· τῇ δ᾽ ὑστεραίᾳ πρωῒ ἐπορεύοντο, καὶ προῆλθον ὡς εἴκοσι.

fluvium Syracuſanos, transitum prohibituros, propellunt et traiiciunt; ſed in ulteriore itinere ubique ab equitibus leviqne armatura hoſtium premuntur, ita ut non amplius quadraginta ſtadiorum iter conficerent, poſtridie vero viginti tantum. Interim Syracuſani transitum quendam montanum, quem ingreſſuri erant Athenienſes, obſtruunt;

Codices quidem magno numero uno ἐν πλαισίῳ afferunt ἐν διπλασίῳ, quod defendit Benedictus. Et videtur eodem pertinere Diodori locus 13, 18., ubi haec leguntur: Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ διελόμενοι τοὺς στρατιώτας εἰς δύο μέρη — προῆεσαν ἐπὶ Κατάνης· ὧν μὲν Δημοσθένους, ὧν δὲ Νικίου καθηγουμένων. Tamen illi ſcripturae totius loci conformatio adverſatur, ut ſtatim videbis ex Benedicti ratione, qui locum hoc modo conſtituendum cenſet: τὸ δὲ ἐχώρει ἐν διπλασίῳ τεταγμένον, τὸ Νικίου, ἐφεπόμενον δὲ τὸ Δημοσθένους. Ubi etiam τοῦ ante Νικίου cum paucis libris in τό mutatum eſt. Sed vix quemquam credo in his iuſtam partitionem eſſe inventurum. Saltem eſſe deberet: τὸ μὲν Νικίου, τὸ δὲ Δημ. ἐφεπόμενον. Mihi haec lectio correctoribus tribuenda videtur, et verior utique altera. Ad ἐφεπόμενον repete ἐχώρει ἐν πλαισίῳ τεταγμένον. Exercitum diviſum fuiſſe, non diſerte h. l. dicit Thucydides; ſed ſequitur iam ex praecedentibus: καὶ ὁ Δημοσθένης — λέγων, unde Diodorus ſua promere poterat. Πλαίσιον etiam ſupra 6, 67 habes ad eundem uſum, ad quem hic adhibetur, nempe ut σκευοφόροι reciperentur in medium. Atque ea militum diſpoſitione etiam in itinere uſos eſſe veteres, Benedictum docere poterat locus Xenoph. Anab. 3, 4, 19. a Duckero laudatus. Cf. ibid. 3, 2, 36. Hellen. 4, 3, 4. Inſolentioris loci conformationis haec fuiſſe cauſa videtur, quod ab initio Thucydides de agmine in univerſum narraturus, mox brevitatis ſtudio etiam hoc adderet, Niciae copias praeceſſiſſe, ſecutas eſſe eas, quibus Demoſthenes praeerat.

καὶ, ἐπειδή τε ἐγένοντο. Particula τέ etiam h. l. vera videtur. Structura variata, iungenda ſunt καὶ, ἐπειδή τε ἐγένοντο — τρεψάμενοι ἐχώρουν ἐς τὸ πρόσθεν. οἱ δὲ Συρακούσιοι. Cf. ad cap. 81. Non ſolum in transitu Anapi in Syracuſios inciderunt, ſed etiam *ulterius progredientibus* iidem Syracuſii inſtabant.

σταδίους, καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι, καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τε τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον, (ᾠκεῖτο γὰρ ὁ χῶρος,) καὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν· ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια, ᾗ ἔμελλον ἰέναι, οὐκ ἄφθονον ἦν. Οἱ δὲ Συρακούσιοι ἐν τούτῳ προελθόντες, τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον. ἦν δὲ λόφος καρτερὸς, καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης· ἐκαλεῖτο δὲ Ἀκραῖον λέπας. Τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προῄεσαν, καὶ οἱ τῶν Συρακουσίων καὶ ξυμμάχων αὐτοὺς ἱππεῖς καὶ ἀκοντισταὶ, ὄντες πολλοὶ ἑκάτεροι, ἐκώλυον, καὶ ἐσηκόντιζόν τε καὶ παρίππευον. Καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι, ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον· καὶ τὰ ἐπιτήδεια οὐκέτι ὁμοίως εἶχον· οὐ γὰρ ἔτι ἀποχωρεῖν οἷόν τ' ἦν, ὑπὸ τῶν ἱππέων.

79. Πρωῒ δὲ ἄραντες, ἐπορεύοντο αὖθις, καὶ ἐβιάσαντο πρὸς τὸν λόφον ἐλθεῖν τὸν ἀποτετειχισμένον. Καὶ εὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀποτειχίσματος τὴν πεζὴν στρατιὰν παρατεταγμένην οὐκ ἐπ' ὀλίγων ἀσπίδων· στενὸν γὰρ ἦν τὸ χωρίον. Καὶ προσβαλόντες οἱ Ἀθηναῖοι ἐτειχομάχουν, καὶ, βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου, ἐπάντους ὄντος, (διϊκνοῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν,) καὶ οὐ δυνάμενοι βιάσασθαι, ἀνεχώρουν πάλιν, καὶ ἀνεπαύοντο. Ἔτυχον δὲ καὶ

quo frustra oppugnato, in priorem stationem Athenienses tertio die redire coguntur. 79. Quarto iterum frustra tentant munitionem Syracusanorum, iam magno peditatu firmatam; tonitrua autem et imbres incidentes magis etiam

καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι, i. e. ὁμαλὸν, ὁμόπεδον vel ἰσόπεδον, ut cum Hesychio Suidas. Cf. Arrian. Exp. V, 15, 9. Schol. comparat ἄλοχος, i. e. ὁμόλεχος.

ὑπὸ τῶν ἱππέων. Sic praestantissimi libri. Vulgo ἀπό. Illud iam Duckerus praeferebat. Sed exempla ab eo allata non quadrant.

79. ἐβιάσαντο, de conatu accipiendum esse, docent sequentia: οὐ δυνάμενοι βιάσασθαι.

βρονταί τινες ἅμα γενόμεναι, καὶ ὕδωρ, οἷα, τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος, φιλεῖ γίγνεσθαι. Ἀφ᾽ ὧν οἱ Ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν, καὶ ἐνόμιζον, ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ καὶ ταῦτα πάντα γίγνεσθαι. Ἀναπαυομένων δὲ αὐτῶν, ὁ Γύλιππος καὶ οἱ Συρακούσιοι πέμπουσι μέρος τι τῆς στρατιᾶς, ἀποτειχιοῦντας ἐκ τοῦ ὄπισθεν αὐτοὺς, ᾗ προεληλύθεσαν. Ἀντιπέμψαντες δὲ κἀκεῖνοι σφῶν αὐτῶν τινὰς, διεκώλυσαν. Καὶ μετὰ ταῦτα πάσῃ τῇ στρατιᾷ ἀναχωρήσαντες πρὸς τὸ πεδίον μᾶλλον οἱ Ἀθηναῖοι, ηὐλίσαντο· τῇ δ᾽ ὑστεραίᾳ προὐχώρουν. Καὶ οἱ Συρακούσιοι προσέβαλλόν τε πανταχῇ αὐτοῖς κύκλῳ, καὶ πολλοὺς κατετραυμάτιζον· καὶ, εἰ μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ὑπεχώρουν· εἰ δ᾽ ἀναχωροῖεν, ἐπέκειντο, καὶ μάλιστα τοῖς ὑστάτοις προσπίπτοντες, εἴ πως, κατὰ βραχὺ τρεψάμενοι, πᾶν τὸ στράτευμα φοβήσειαν. Καὶ ἐπὶ πολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ Ἀθηναῖοι· ἔπειτα, προελθόντες πέντε ἢ ἓξ σταδίους, ἀνεπαύοντο ἐν τῷ πεδίῳ. Ἀνεχώρησαν δὲ καὶ οἱ Συρακούσιοι ἀπ᾽ αὐτῶν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

80. Τῆς δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, ἐπειδὴ κακῶς σφίσι τὸ στράτευμα εἶχε, τῶν τε ἐπιτηδείων πάντων ἀπορία ἤδη, καὶ κατατετραυματι-

attonitos animos perturbant. Neque multum aberat, quin Gylippus eos a tergo quoque intercluderet; ſed quinto die ab omni parte eos in itinere ita vexabat, ut non amplius ſex ſtadia pergerent. 80. Tum Niciae et Demo-

ἐπέκειντο, καὶ μάλιστα. Sequitur participium προσπίπτοντες, quod pro verbo finito accipiendum erit propter καί. Quod genus loquendi non infrequens eſt apud Noſtrum. Vid. ad 2, 68.

80. ἐπιτηδείων πάντων ἀπορία ἤδη. Sic libri et manu ſcripti et editi omnes. Facile ſubauditur ἦν. At Kiſtemakerus praeter neceſſitatem legendum coniicit ἀπορίᾳ. Qua coniectura admiſſa, ſequentia καὶ κατατετραυματισμένοι ἦσαν — non amplius pendent ab ἐπειδή, ſed tamquam parentheſis accipienda ſunt. — καύσαντες nonnulli καύσαντας. Sed vide ad cap. 74.

σμένοι ἦσαν πολλοὶ ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις, πυρὰ καύσαντες ὡς πλεῖστα ἀπάγειν τὴν στρατιὰν, μηκέτι τὴν αὐτὴν ὁδὸν, ᾗ διενοήθησαν, ἀλλὰ τοὐναντίον, ᾗ οἱ Συρακούσιοι ἐτήρουν, πρὸς τὴν θάλασσαν. Ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας, τὸ πρὸς Καμαρίναν καὶ Γέλαν, καὶ τὰς ταύτῃ πόλεις καὶ Ἑλληνίδας καὶ βαρβάρους. Καύσαντες οὖν πυρὰ πολλὰ, ἐχώρουν ἐν τῇ νυκτί. Καὶ αὐτοῖς (οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε, καὶ διὰ πολεμίας, καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν,) ἐμπίπτει ταραχή. Καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ ἡγεῖτο, ξυνέμενέ τε, καὶ προὔλαβε πολλῷ· τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ τὸ πλέον ἀπεσπάσθη τε, καὶ ἀτακτότερον ἐχώρει. Ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται ὅμως πρὸς τὴν θάλασσαν, καὶ ἐσβάντες ἐς τὴν ὁδὸν τὴν Ἑλωρινὴν καλουμένην, ἐπορεύοντο, ὅπως, ἐπειδὴ γένοιντο παρὰ τῷ ποταμῷ τῷ Κακυπάρει, παρὰ τὸν ποταμὸν ἴοιεν ἄνω διὰ μεσογείας. Ἤλπιζον γὰρ καὶ τοὺς Σικελοὺς ταύτῃ, οὓς μετέπεμψαν, ἀπαντήσεσθαι. Ἐπεὶ δ' ἐγένοντο ἐπὶ τῷ ποταμῷ, εὗρον καὶ ἐνταῦθα φυλακήν τινα τῶν Συρακουσίων, ἀποτειχίζουσαν καὶ ἀποσταυροῦσαν τὸν πόρον. Καὶ βιασάμενοι αὐτὴν, διέβησάν τε τὸν

ſtheni videbatur, non Catanam, ſed Gelam et Camarinam verſus iter dirigere, atque noctu abire, ne hoſtes ſentirent. Ignibus igitur multis accenſis, per noctem procedebant, Niciae quidem agmen compoſite, Demoſthenis vero distractius neque ſervatis ordinibus. Mane ad mare perveniunt et in Helorinam viam intrant, quam usque ad Cacyparim fluvium perſequuntur; tum per mediterranea curſum dirigentes, cuſtodia Syracuſanorum quae ad trans-

ἐς τὴν ὁδὸν τὴν Ἑλωρινήν. Vid. 7, 70. Ea via verſus meridiem a Syracuſis ducebat, et, ut hoc loco patet, non longe a mari remota erat.

ποταμὸν, καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμὸν, τὸν Ἐρινεόν· ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον.

81. Ἐν τούτῳ δ' οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ὡς ἥ τε ἡμέρα ἐγένετο, καὶ ἔγνωσαν τοὺς Ἀθηναίους ἀπεληλυθότας, ἐν αἰτίᾳ τε οἱ πολλοὶ τὸν Γύλιππον εἶχον, ἑκόντα ἀφεῖναι τοὺς Ἀθηναίους· καὶ κατὰ τάχος διώκοντες, ᾗ οὐ χαλεπῶς ᾐσθάνοντο κεχωρηκότας, καταλαμβάνουσι περὶ ἀρίστου ὥραν· καὶ, ὡς προςέμιξαν τοῖς μετὰ τοῦ Δημοσθένους, ὑστέροις τε οὖσι, καὶ σχολαίτερον καὶ ἀτακτότερον χωροῦσιν, ὡς τῆς νυκτὸς τότε ξυνεταράχθησαν, εὐθὺς προςπεσόντες ἐμάχοντο. Καὶ οἱ ἱππεῖς τῶν Συρακουσίων ἐκυκλοῦντό τε ῥᾷον αὐτοὺς, δίχα δὴ ὄντας, καὶ ξυνῆγον ἐς ταὐτό. Τὸ δὲ Νικίου στράτευμα ἀπεῖχεν ἐν τῷ πρόςθεν [ἑκατὸν] καὶ πεντήκοντα σταδίους· Θᾶσσόν τε γὰρ ὁ Νικίας ἦγε, νομίζων, οὐ τὸ ὑπομένειν ἐν τῷ τοιούτῳ

itum intercludendum ibi constituta erat, cum impetu repulsa. 81. Interim Syracusani elapsos esse Athenienses cum animadvertissent, et Gylippum incusabant, et confestim persequebantur. Ubi autem in Demosthenis turbam

81. ὡς — ξυνεταράχθησαν, „quemadmodum nocte illa tum perturbati erant.“ — δίχα ὄντας, κεχωρισμένους ἀπὸ τῶν μετὰ Νικίου. Schol.

ἑκατὸν καὶ πεντήκοντα σταδίους. Vera mihi videtur emendatio Benedicti, qui delet ἑκατόν, quia non verisimile sit, Demosthenis agmen, una cum Nicia e castris profectum, tanto spatio a priore agmine una illa nocte relictum esse. Firmat suam sententiam codicum Cl. Reg. Cass. Aug. Mosq. unius Par. auctoritate. Potuisset adiungere Scholiastam cod. Aug. qui illis verbis adscriptum habet: περιττὸς ὁ σύνδεσμος. Sed καὶ non abundat, ut recte monuit Benedictus; valet enim *vel, adeo*. Et haud dubie haec particula scripturae corrumpendae ansam dedit. Quocirca ἑκατόν uncis inclusi.

θᾶσσόν τε γὰρ ὁ Νικίας ἦγε. H. l. τέ refer ad sequens δέ Vid. ad 1, 11. Herm. ad Vig. p. 836. At mox in verbis: ὁ δὲ Δημοσθένης ἐτύγχανέ τε τὰ πλείω ἐν πόνῳ τε ξυνεχεστέρῳ ὤν, alterum τέ, quod relatione caret, Gr. et Par. E. recte omittunt. Alter huius generis hoc capite locus est inferius paullo: ἐβάλλοντό τε περισταδόν, ubi nulla varietas notata est. An forte Thucydides ita scripsit immemor participii ἀνειληθέντες, quasi ἀνειλήθησαν supra fuisset? — ἑκόντας εἶναι, vid. ad 2, 89. med.

ἑκόντας εἶναι, καὶ μάχεσθαι, σωτηρίαν, ἀλλὰ τὸ ὡς τάχιστα ὑποχωρεῖν, τοσαῦτα μαχομένους, ὅσα ἀναγκάζονται. ὁ δὲ Δημοσθένης ἐτύγχανέ τε τὰ πλείω ἐν πόνῳ [τε] ξυνεχεστέρῳ ὢν, διὰ τὸ ὑστέρῳ ἀναχωροῦντι αὐτῷ πρώτῳ ἐπικεῖσθαι τοὺς πολεμίους, καὶ τότε γνοὺς τοὺς Συρακουσίους διώκοντας, οὐ προὐχώρει μᾶλλον, ἢ ἐς μάχην ξυνετάσσετο· ἕως, ἐνδιατρίβων, κυκλοῦταί τε ὑπ' αὐτῶν, καὶ πολλῷ θορύβῳ αὐτός τε καὶ οἱ μετ' αὐτοῦ Ἀθηναῖοι ἦσαν· ἀνειληθέντες γὰρ ἔς τι χωρίον, ᾧ κύκλῳ μὲν τειχίον περιῆν, ὁδὸς δὲ ἔνθεν τε καὶ ἔνθεν, (ἐλάας δὲ οὐκ ὀλίγας εἶχεν,) ἐβάλλοντό τε περισταδόν. Τοιαύταις δὲ προσβολαῖς, καὶ οὐ ξυσταδὸν μάχαις, οἱ Συρακούσιοι εἰκότως ἐχρῶντο· τὸ γὰρ ἀποκινδυνεύειν πρὸς ἀνθρώπους ἀπονενοημένους, οὐ πρὸς ἐκείνων μᾶλλον ἦν ἔτι, ἢ πρὸς τῶν Ἀθηναίων· καὶ ἅμα φειδώ τέ τις ἐγένετο, ἐπ' εὐπραγίᾳ ἤδη σαφεῖ, μὴ προαναλωθῆναί τῳ· καὶ ἐνόμιζον καὶ ὥς, ταύτῃ τῇ ἰδέᾳ καταδαμασάμενοι, λήψεσθαι αὐτούς.

82. Ἐπειδὴ γοῦν δι' ἡμέρας βάλλοντες πανταχό-

circa prandii tempus inciderant, ſtatim aggreſſi, (abſente Niciae agmine) compulſam circumſiſtunt, et undique telis coniiciunt. 82. Denique vulneribus confectos conſpi-

αὐτῷ πρώτῳ ἐπικεῖσθαι. Addidi cum Benedicto πρώτῳ ex optimis libris, quod ad ſententiam aptiſſimum eſt.

καὶ πολλῷ θορύβῳ — ἦσαν. Vide, utrum dativus ſufficiat, an ἐν ante πολλῷ addendum ſit, ut habet Par. I.

ὁδὸς δὲ ἔνθεν — ἔνθεν. Vulgo haec verba parentheſin conſtituunt, contra loci rationem. Potius ſequentia verba: ἐλάας (ſic enim pro ἐλαίας ſcribendum eſſe, dictum eſt ad 6, 99) δὲ οὐκ ὀλίγας εἶχεν in parentheſi ponenda ſunt, cum id membrum neque ad ſummam rem pertineat, et ſuum habeant verbum. Etiam paullo poſt parentheſeos ſigna removi, quibus verba τοιαύταις δὲ προσβολαῖς — τῶν Ἀθηναίων inepte includuntur. Nam apparet, ſequentia καὶ ἅμα φειδώ τέ τις ἐγένετο — arcte cum praecedentibus cohaerere; neque ullus h. l. parentheſeos uſus eſt. — ἔνθεν τε καὶ ἔνθεν, circumcirca, πανταχόθεν, ut eſt cap. 82 init.

μὴ προαναλωθῆναί τῳ. Simpliciter intelligendum ἔργῳ, πράγματι. — ταύτῃ τῇ ἰδέᾳ, i. e. τούτῳ τῷ τρόπῳ τῆς μάχης.

θεν, τοὺς Ἀθηναίους καὶ ξυμμάχους ἑώρων ἤδη τεταλαιπωρημένους τοῖς τε τραύμασι καὶ τῇ ἄλλῃ κακώσει, κήρυγμα ποιοῦνται Γύλιππος καὶ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, πρῶτον μὲν, τῶν νησιωτῶν εἴ τις βούλεται ἐπ' ἐλευθερίᾳ ὡς σφᾶς ἀπιέναι· καὶ ἀπεχώρησάν τινες πόλεις οὐ πολλαί· ἔπειτα δ' ὕστερον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας τοὺς μετὰ Δημοσθένους ὁμολογία γίγνεται, ὥστε ὅπλα τε παραδοῦναι, καὶ μὴ ἀποθανεῖν μηδένα, μήτε βιαίως, μήτε δεσμοῖς, μήτε τῆς ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης. Καὶ παρέδοσαν οἱ πάντες σφᾶς αὐτοὺς, ἑξακισχίλιοι, καὶ τὸ ἀργύριον, ὃ εἶχον, ἅπαν κατέθεσαν, ἐσβαλόντες ἐς ἀσπίδας ὑπτίας· καὶ ἐνέπλησαν ἀσπίδας τέσσαρας. Καὶ τούτους μὲν εὐθὺς ἀπεκόμιζον ἐς τὴν πόλιν· Νικίας δὲ καὶ οἱ μετ' αὐτοῦ ἀφικνοῦνται αὐτῇ τῇ ἡμέρᾳ ἐπὶ τὸν ποταμὸν τὸν Ἐρινεόν· καὶ, διαβὰς πρὸς μετέωρόν τι, ἐκάθισε τὴν στρατιάν.

83. Οἱ δὲ Συρακούσιοι τῇ ὑστεραίᾳ καταλαβόντες αὐτὸν, ἔλεγον, ὅτι οἱ μετὰ Δημοσθένους παραδεδώ-

catus Gylippus, per praeconem rogat primum infulanos, fi quis velit ad fe transire libertatis lege; dein cum ceteris omnibus fit pactio, ut, armis traditis, vita ne priventur. Ita fex millia fe dediderunt. Nicias interim ad Erineum fluvium pervenit. 83. Poftridie, (qui dies erat feptimus ab eo, quo caftra reliquerant) etiam eum

82. *ἔπειτα δ' ὕστερον.* Vide de hoc pleonafmo ad 1, 23. 58. — Paullo ante *νησιῶται* funt focii Athenienfium, fubiecti eorum imperio.

μήτε βιαίως — διαίτης. Haec omnia refer ad *ἀποθανεῖν.* Sunt enim mortis et fupplicii genera.

καὶ τούτους μὲν εὐθὺς ἀπεκόμιζον. Ita plurimi codices pro *ἀπεκόμισαν.* Cum imperfectum faepe aorifti loco adhibeatur, atque h. l. facile propter praecedentes aoriftos in hoc tempus mutari potuerit, codicum auctoritati concedendum videbatur.

ἐκάθισε τὴν στρατιάν. Novem codices exhibent *καθεῖσε τὴν στ.*, quod Homericum eft vocabulum, et doctius Duckero videbatur, quam ut ab imperitis librariis fubftitueretur vulgari *ἐκάθισε.* Sed etiam vitio vel errore nafci potuit in tanta foni fimilitudine.

κοιεν σφᾶς αὐτοὺς, κελεύοντες κἀκεῖνον τὸ αὐτὸ δρᾶν. Ὁ δ', ἀπιστῶν, σπένδεται, ἱππέα πέμψαι σκεψόμενον. Ὡς δ' οἰχόμενος ἀπήγγειλε πάλιν παραδεδωκότας, ἐπικηρυκεύεται Γυλίππῳ καὶ Συρακουσίοις, εἶναι ἕτοιμος ὑπὲρ Ἀθηναίων ξυμβῆναι, ὅσα ἀνάλωσαν χρήματα Συρακούσιοι ἐς τὸν πόλεμον, ταῦτα ἀποδοῦναι, ὥστε τὴν μετ' αὐτοῦ στρατιὰν ἀφεῖναι αὐτούς· μέχρι οὗ δ' ἂν τὰ χρήματα ἀποδοθῇ, ἄνδρας δώσειν Ἀθηναίων ὁμήρους, ἕνα κατὰ τάλαντον. Οἱ δὲ Συρακούσιοι καὶ Γύλιππος οὐ προσεδέχοντο τοὺς λόγους, ἀλλὰ προσπεσόντες, καὶ περιστάντες πανταχόθεν, ἔβαλλον καὶ τούτους μέχρι ὀψέ. Εἶχον δὲ καὶ οὗτοι πονήρως, σίτου τε καὶ τῶν ἐπιτηδείων ἀπορίᾳ· ὅμως δὲ, τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχάζον, ἔμελλον πορεύσεσθαι. Καὶ ἀναλαμβάνουσί τε τὰ ὅπλα, καὶ οἱ Συρακούσιοι αἰσθάνονται, καὶ ἐπαιώνισαν. Γνόντες δὲ οἱ Ἀθηναῖοι, ὅτι οὐ λανθάνουσι, κατέθεντο πάλιν, πλὴν τριακοσίων μάλιστα ἀνδρῶν· οὗτοι δὲ, διὰ τῶν φυλάκων βιασάμενοι, ἐχώρουν τῆς νυκτὸς, ᾗ ἐδύναντο.

84. Νικίας δὲ, ἐπειδὴ ἡμέρα ἐγένετο, ἦγε τὴν στρατιάν· οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον πανταχόθεν βάλλοντές τε

Syracufani confecuti ad deditionem provocarunt. Sed Nicias poftulavit, ut exercitui Athenas abire liceret, Athenienfes autem omnes fumptus, quos in hoc bellum feciffent Syracufani, his reftituerent. Quibus conditionibus non acceptis, Syracufani et hos Athenienfes circumftete-runt, telis urgentes usque ad vefperam, et nocte, cum abire pararent, quo minus pergerent, prohibuerunt, exceptis trecentis, qui pervaferant cuftodiam. 84. Proficifcenti poftridie Niciae Syracufani inftant; tamen ad

83. σίτου τε καὶ τῶν ἐπιτηδείων ἀπορίᾳ. Cum omnes fere codices vocem ἄλλων ante ἐπιτηδείων omittant, eam cum Benedicto expunxi, tamquam ex interpretatione ortam.

καὶ ἐπαιώνισαν. Etfi fupra cap. 75 extr. παιάνων legitur, tamen hic et alibi παιωνίζειν tuentur Thucydidis libri. Vid. quae de his formis attulit Duckerus ad 1, 50.

καὶ κατακοντίζοντες. Καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμὸν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου, οἰόμενοι, ῥᾷόν τι σφίσιν ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμόν· ἅμα δὲ ὑπὸ τῆς ταλαιπωρίας, καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. Ὡς δὲ γίγνονται ἐπ' αὐτῷ, ἐςπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι, ἀλλὰ πᾶς τε τὶς διαβῆναι αὐτὸς πρῶτος βουλόμενος· καὶ οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη τὴν διάβασιν ἐποίουν. Ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν, ἐπέπιπτόν τε ἀλλήλοις, καὶ κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ, ἐμπαλασσόμενοι κατέῤῥεον. Ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακούσιοι, (ἦν δὲ κρημνῶδες,) ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους, καὶ ἐν κοίλῳ ὄντι τῷ ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους. Οἵ τε Πελοποννήσιοι, ἐπικαταβάντες, τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον. καὶ τὸ ὕδωρ εὐθὺς διέ-

Aſſinarum fluvium perveniunt, in quem partim ab hoſte coniecti, partim ſiti compulſi, ita ſe proripiunt, ut alius

84. **αὐτὸς πρῶτος βουλόμενος.** Recepi αὐτός ex plurimis libris. — Ceterum τέ poſt πᾶς referendum eſt ad ſequens καὶ οἱ πολέμιοι —, quae verba, mutata ſtructura, ſunt pro: καὶ πολεμίων ἐπικειμένων χαλεπὴν ἤδη τὴν διάβασιν ποιούντων. Etiam ſupra cap. 83. in verbis: ἀναλαμβάνουσί τε τὰ ὅπλα, καὶ οἱ Συρακούσιοι αἰσθάνονται relatio harum particularum obſcurior quidem, ſed a Thucydidis conſuetudine non aliena eſt.

ἐμπαλασσόμενοι κατέῤῥεον, h. e. impliciti deferebantur. Kiſtemakerus, Suidam ſecutus, haec verba iungit cum ſequentibus ἐς τὰ ἐπὶ θάτερα, *in ripam fluminis ulteriorem*, deleto τέ poſt θάτερα, et addito δέ poſt παραστάντες. Quae diſtinctio et ſcriptura cum omni codicum auctoritate deſtituta ſit, non eſt admittenda, praeſertim cum vulgata lectio aptam ſententiam fundat. Nam ἐς τὰ ἐπὶ θάτερα παραστάντες eſt: *in ulteriorem fluminis ripam transgreſſi ibique adſtantes;* neque impedit illud, quod poſtea demum narratur, Peloponneſios in flumen deſcendiſſe; propterea quod hoc etiam ab altera ripa facere poterant. Ne locus quidem, quem tenet particula τέ, huic rationi obſtat, cum ſaepiſſime Thucydides particulas δέ, μέν, τέ, alias, pluribus verbis arcte inter ſe connexis ſuffigat. Vid. ad 1, 70.

φθαρτο· ἀλλ' οὐδὲν ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ πηλῷ ᾑματωμένον, καὶ περιμάχητον ἦν τοῖς πολλοῖς.

85. *Τέλος δὲ, νεκρῶν τε πολλῶν ἐπ' ἀλλήλοις ἤδη κειμένων ἐν τῷ ποταμῷ, καὶ διεφθαρμένου τοῦ στρατεύματος, τοῦ μὲν, κατὰ τὸν ποταμὸν, τοῦ δὲ, καὶ εἴ τι διαφύγοι, ὑπὸ τῶν ἱππέων, Νικίας Γυλίππῳ ἑαυτὸν παραδίδωσι, πιστεύσας μᾶλλον αὐτῷ, ἢ τοῖς Συρακουσίοις· καὶ ἑαυτῷ μὲν χρῆσθαι ἐκέλευεν ἐκεῖνόν τε καὶ Λακεδαιμονίους, ὅ, τι βούλονται, τοὺς δὲ ἄλλους στρατιώτας παύσασθαι φονεύοντας. Καὶ ὁ Γύλιππος μετὰ τοῦτο ζωγρεῖν ἤδη ἐκέλευε· καὶ τούς τε λοιποὺς, ὅσους μὴ ἀπεκρύψαντο, (πολλοὶ δὲ οὗτοι ἐγένοντο,) ξυνεκόμισαν ζῶντας· καὶ ἐπὶ τοὺς τριακοσίους, οἳ τὴν φυλακὴν διεξῆλθον τῆς νυκτὸς, πέμψαντες τοὺς διωξομένους, ξυνέλαβον. Τὸ μὲν οὖν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν, οὐ πολὺ ἐγένετο, τὸ δὲ διακλαπὲν, πολύ. καὶ διεπλήσθη πᾶσα ἡ Σικελία αὐτῶν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως, ὥςπερ τῶν μετὰ Δημοσθένους, ληφθέντων· μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανε. Πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων*

alium conculcaret, multos hoſtis conficeret. 85. Tandem Nicias Gylippo ſe dedit, isque caedi finem imponit. Numerus captivorum exiguus; plurimi a Syracuſanis in ſervitutem abrepti furtim, plures etiam caeſi; multi eva-

85. *ὁ Νικίας.* Articulus ὁ abeſt a codd. Ar. C. Moſq. Gr. Caſſ. Aug. et ſeptem Pariſſ. Itaque eum ſuſtuli.

ὅσους μὴ ἀπεκρύψαντο, nempe Syracuſani, ut iis tamquam ſervis uterentur. Infra: *Τὸ μὲν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν, οὐ πολὺ ἐγένετο, τὸ δὲ διακλαπὲν, πολύ.* Et cap. extr. *δουλεύσαντες.* — Corrupta eſt ſcriptura eorum codicum, qui habent *ξυγκομίσας,* quod Benedictus cum defenderet, ideoque colon poſt *ἐκέλευε* deleret, non videbat, omnem ſe periodi elegantiam perdere. Nam primum tautologia exiſtit non ferenda: *ζωγρεῖν ἐκέλευε, ξυγκομίσας ζῶντας.* Deinde non video, quo *τέ*, quod eſt poſt *καὶ τούς*, referri velit Benedictus.

καὶ διεπλήσθη πᾶσα ἡ Σικελία. Plurimorum codicum ſcripturam *διεπλήσθη* vulgatae *κατεπλήσθη* cum Benedicto praetuli. Nec displicet articulus *ἡ*, quem poſt *πᾶσα* nonnulli codices inſerunt.

τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο. Καὶ ἐν ταῖς ἄλλαις προςβολαῖς, ταῖς κατὰ τὴν πορείαν συχναῖς γενομέναις, οὐκ ὀλίγοι ἐτεθνήκεσαν· πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν, καὶ παραυτίκα, οἱ δὲ, καὶ δουλεύσαντες, καὶ διαδιδράσκοντες ὕστερον. τούτοις δ' ἦν ἀναχώρησις ἐς Κατάνην.

86. Ξυναθροισθέντες δὲ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, τῶν τε αἰχμαλώτων, ὅσους ἐδύναντο πλείστους, καὶ τὰ σκῦλα ἀναλαβόντες, ἀνεχώρησαν ἐς τὴν πόλιν. Καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν ξυμμάχων, ὁπόσους ἔλαβον, κατεβίβασαν ἐς τὰς λιθοτομίας, ἀσφαλεστάτην εἶναι νομίσαντες [τὴν] τήρησιν· Νικίαν δὲ καὶ Δημοσθένην, ἄκοντος Γυλίππου, ἀπέσφαξαν. Ὁ γὰρ Γύλιππος καλὸν τὸ ἀγώνισμα ἐνόμιζέν οἱ εἶναι, ἐπὶ τοῖς ἄλλοις καὶ τοὺς ἀντιστρατήγους κομίσαι Λακεδαιμονίοις. Ξυνέβαινε δὲ, τὸν μὲν πολεμιώτατον αὐτοῖς εἶναι, Δημοσθένην, διὰ τὰ ἐν τῇ

ſerant et poſtea quoque evadebant. His ſolis Catanam reverti licuit. 86. Syracuſani in urbem reverſi cum

86. ἐς τὰς λιθοτομίας. Apud Diodorum et Plutarchum ſcribitur λατομίαι, apud Ciceronem in Verr. V, 27., ubi inſignis hic locus, poſtea carcer, deſcribitur, *lautumiae*. Cf. Aelian. V. H. 12, 44. ibique Perizon.

ἀσφαλεστάτην — τὴν τήρησιν. Articulum τήν cum Scholiaſta ignorant codices optimae notae Cl. Gr. Caſſ. Aug. Cam. Reg. et alii quatuor Pariſſ. Quapropter eum expungendum puto, cum τήρησις h. l. ſit φυλακή, et facile ſubaudiatur ex τὰς λιθοτομίας, αὐτάς.

ἄκοντος Γυλίππου. At apud Diodorum, qui in Syracuſanorum eccleſia Gylippum verba facientem inducit, hic cap. 32. etiam Niciam graviter incuſat et ſupplicio dignum cenſet. Contra Plutarchus in Nicia cum Noſtro facit.

ἀπέσφαξαν. Timaeus, Plutarcho auctore, tradidit, Niciam et Demoſthenem mortem ſibi ipſos conſciviſſe, non a Syracuſanis lapidibus necatos (καταλευσθέντας). Addit Plutarchus ὡς Φίλιστος ἔγραψε καὶ Θουκυδίδης, quaſi Thucydides h. l. ſcripſiſſet κατέλευσαν. Sed fortaſſe breviter loquens verbo καταλευσθέντας complexus eſt varia mortis *non voluntariae* genera, quorum lapidationem Philiſtus haud dubie, trucidationem Thucydides tradidit.

καλὸν τὸ ἀγώνισμα, i. e. δόξαν, ἔπαθλον. Cf. 3, 82 poſt med. ξυνέσεως ἀγώνισμα.

νήσῳ καὶ Πύλῳ, τὸν δὲ, διὰ τὰ αὐτὰ, ἐπιτηδειότατον. Τοὺς γὰρ ἐκ τῆς νήσου ἄνδρας τῶν Λακεδαιμονίων, ὁ Νικίας προὐθυμήθη, σπονδὰς πείσας τοὺς Ἀθηναίους ποιήσασθαι, ὥστε ἀφεθῆναι· ἀνθ᾽ ὧν οἵ τε Λακεδαιμόνιοι ἦσαν αὐτῷ προσφιλεῖς, κἀκεῖνος οὐχ ἥκιστα πιστεύσας ἑαυτὸν τῷ Γυλίππῳ παρέδωκεν. Ἀλλὰ τῶν Συρακουσίων τινὲς, ὡς ἐλέγετο, οἱ μὲν, δείσαντες, ὅτι πρὸς αὐτὸν ἐκεκοινολόγηντο, μὴ, βασανιζόμενος διὰ τὸ τοιοῦτον, ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ, ἄλλοι δὲ, καὶ οὐχ ἥκιστα οἱ Κορίνθιοι, μὴ, χρήμασι πείσας τινὰς, ὅτι πλούσιος ἦν, ἀποδρᾷ, καὶ αὖθις σφίσι νεώτερόν τι ἀπ᾽ αὐτοῦ γένηται, πείσαντές τε τοὺς ξυμμάχους, ἀπέκτειναν αὐτόν. Καὶ ὁ μὲν τοιαύτῃ, ἢ ὅτι ἐγγύτατα τούτων, αἰτίᾳ ἐτεθνήκει, ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ᾽ ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι διὰ τὴν νενομισμένην [ἐς τὸ θεῖον] ἐπιτήδευσιν.

87. *Τοὺς δ᾽ ἐν ταῖς λιθοτομίαις οἱ Συρακούσιοι χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείρισαν. Ἐν γὰρ*

captivis, hos omnes in lautumias includunt, Niciam vero et Demosthenem, invito Gylippo, trucidant. 87. In

ὥστε ἀφεθῆναι. Hoc et ad *προὐθυμήθη*, et ad *ποιήσασθαι* aeque pertinet.

πείσαντές τε τοὺς ξυμμάχους. Post haec verba virgula interpungendum, ut *πείσαντές τε* referri possit ad *δείσαντες*. Ceterum parentheses tres in hac periodo notatas sustuli, utpote inutiles. Mox *ὅτι ἐγγύτατα* scripsi ex codicibus pro *ὅτι ἐγγυτάτω*. Cf. 5, 74 init. *Ἡ μάχη τοιαύτη καὶ ὅτι ἐγγύτατα τούτων ἐγένετο.*

διὰ τὴν νενομισμένην — ἐπιτήδευσιν. Vulgo legitur: *διὰ τὴν νενομισμένην ἐς τὸ θεῖον ἐπιτήδευσιν.* Verba *ἐς τὸ θεῖον* absunt a codd. Ar. C. Reg. Aug. Mosq. duobus Pariss., in aliis quatuor Pariss., quibuscum conveniunt Gr. et Cass., eorum verborum loco legitur: *διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν*, quae e Scholiis desumpta esse, nemo non videt. Ipsum Scholii caput non agnoscit plura verba, quam *διὰ τὴν νενομισμένην ἐπιτήδ.* Quare nemo dubitabit, cum Bredovio et Benedicto utrumque additamentum, tamquam interpretis scholion, expungere. Qui verba *ἐς τὸ θεῖον* adscribebat, haud dubie respiciebat ad locum 7, 76. ubi Nicias de se: *Πολλὰ μὲν*, inquit, *ἐς θεοὺς νόμιμα δεδιῄτημαι*.

κοίλῳ χωρίῳ ὄντας πολλοὺς οἵ τε ἥλιοι τὸ πρῶτον καὶ τὸ πνῖγος ἔτι ἐλύπει, διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραί, τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον· πάντα τε ποιούντων αὐτῶν, διὰ στενοχωρίαν, ἐν τῷ αὐτῷ, καὶ προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, οἳ ἔκ τε τῶν τραυμάτων, καὶ διὰ τὴν μεταβολήν, καὶ τὸ τοιοῦτον, ἀπέθνησκον, καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί, καὶ λιμῷ ἅμα καὶ δίψει ἐπιέζοντο. Ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου· ἄλλα τε, ὅσα εἰκὸς ἐν τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι, οὐδέν ὅ, τι οὐκ ἐπεγένετο αὐτοῖς. Καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας οὕτω διῃτήθησαν ἀθρόοι· ἔπειτα, πλὴν Ἀθηναίων, καὶ εἴ τινες Σικελιωτῶν ἢ Ἰταλιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο. Ἐλήφθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν ἐξειπεῖν, ὅμως δὲ

lautumiis autem captivi primos ſeptuaginta ferme dies male habebantur, et loci anguſtiis, et aeſtu, intolerabilique odore. Etiam fame et ſiti urgebantur per octo menſes. Sed poſt ſeptuaginta dies ſubhaſtati ſunt omnes praeter

87. *οἵ τε ἥλιοι τὸ πρῶτον.* Pluralis *οἱ ἥλιοι* ſignificat *aeſtus*, idemque fere ſed gravius paullo eſt adiectum *τὸ πνῖγος*, *erſtickende Hitze.* — *τὸ πρῶτον* refer ad anni tempus; nam auctumni initium erat.

πάντα τε ποιούντων — ἐν τῷ αὐτῷ. Huc puto pertinere Scholion, quod ad verba *καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί* adſcriptum eſt: *Διὰ τὸ δύσφημον ἀπεσιώπησεν αὐτὰ ὀνομαστὶ εἰπεῖν. Βούλεται δὲ λέγειν τὰ ὑποχωρήματα, ἅπερ οἱ ἰατροὶ σκύβαλα καὶ ἀποπατήματα εἰώθασι καλεῖν.* — Mox poſt *ἀπέθνησκον* recte Bredovius punctum mutavit in comma. Ibi enim incipit apodoſis.

ἐν τοιούτῳ χωρίῳ. Vulgo ante *τοιούτῳ* legitur *τῷ*, uncis incluſum. Abeſt hic articulus a codd. Cl. Gr. Caſſ. Aug. Ar. C. Par. E et K. et Duckeri teſtimonio etiam a G, i. e. Reg., quamquam Gailius de hoc nihil monet. — *ἄλλα τε* eſt pro *ἄλλων τε*, propter ſequens *οὐδέν.* — *ἐμπεπτωκότας*, int. *ἐς αὐτό*, et iunge verba *ἐν τοιούτῳ χωρίῳ κακοπαθῆσαι.*

καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας. Monet Kiſtemakerus, pronomen *τὶς* indicare numerum non exacte definitum. Ita 8, 73 extr. *τριάκοντά τινας.* 8, 100 extr. *τινὲς δύο νῆες.*

οὐκ ἐλάσσους ἑπτακισχιλίων. Ξυνέβη τε, ἔργον τοῦτο Ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι, δοκεῖν δ' ἔμοιγε, καὶ ὧν ἀκοῇ Ἑλληνικῶν ἴσμεν, καὶ τοῖς τε κρατήσασι λαμπρότατον, καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον. Κατὰ πάντα γὰρ πάντως νικηθέντες καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δὴ, τὸ λεγόμενον, καὶ πεζὸς καὶ νῆες, καὶ οὐδὲν ὅ, τι οὐκ ἀπώλετο· καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν. Ταῦτα μὲν τὰ περὶ τὴν Σικελίαν γενόμενα.

Athenienſes, et ſi qui Sicilienſium et Italorum cum iis in hac expeditione fuerant. Captivorum numerus erat non minor quam ſeptem millium.

οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, „nulla in re leviter afflicti, i. e. ἐν παντὶ πράγματι μεγάλως κακοπαθήσαντες. Cf. cap. 59 extr.

ΘΟΥΚΥΔΙΔΟΥ

ὉΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ὈΓΔΟΟΝ.

Ἐς δὲ τὰς Ἀθήνας ἐπειδὴ ἠγγέλθη, ἐπὶ πολὺ μὲν ἠπίστουν καὶ τοῖς πάνυ τῶν στρατιωτῶν, ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγόσι, καὶ σαφῶς ἀγγέλλουσι, μὴ οὕτω γε ἂν πανσυδεὶ διεφθάρθαι· ἐπειδὴ δὲ ἔγνωσαν, χαλεποὶ μὲν ἦσαν τοῖς ξυμπροθυμηθεῖσι τῶν ῥητόρων τὸν ἔκπλουν, ὥςπερ οὐκ αὐτοὶ ψηφισάμενοι, ὠργίζοντο δὲ καὶ τοῖς χρησμολόγοις τε καὶ μάντεσι, καὶ ὁπόσοι τὶ τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν, ὡς λήψονται Σικελίαν. Πάντα δὲ πανταχόθεν αὐτοὺς ἐλύπει τε, καὶ περιειστήκει ἐπὶ τῷ γεγενημένῳ, φόβος τε καὶ κατάπληξις μεγίστη δή. Ἅμα μὲν γὰρ, στερόμενοι καὶ ἰδίᾳ ἕκαστος, καὶ ἡ πόλις ὁπλιτῶν τε πολλῶν καὶ ἱππέων, καὶ ἡλικίας, οἵαν οὐχ ἑτέραν ἑώρων ὑπάρχου-

1. Athenis primum fides abrogabatur nuntiis etiam certiſſimis; deinde, cum non amplius dubitationi locus relinqueretur, invidia populi in eos exarſit, qui expedi-

1. *ἐπειδὴ δὲ ἔγνωσαν.* Vett. edd. et codd. Ar. Gr. Marg. Caſſ. Aug. Reg. cum aliis quinque Pariſſ. exhibent *ἐπειδή τε*, quod non videtur ſpernendum, cum conſtet, *τέ* non raro referri ad praecedens *μέν*. Vid. ad 1, 144. coll. 4, 69.

ἐπὶ τῷ γεγενημένῳ. Poſt haec verba minorem induxi diſtinctionem *καί*. Verba *φόβος τε καὶ κατάπληξις* tanquam explicatio ſunt vocabuli *πάντα*.

στερόμενοι καὶ ἰδίᾳ ἕκαστος, καὶ ἡ πόλις ὁπλιτῶν — ἡλικίας. Immerito repre-

σαν, ἐβαρύνοντο· ἅμα δὲ, ναῦς οὐχ ὁρῶντες ἐν τοῖς νεωσοίκοις ἱκανὰς, οὐδὲ χρήματα ἐν τῷ κοινῷ, οὐδ' ὑπηρεσίας ταῖς ναυσὶν, ἀνέλπιστοι ἦσαν ἐν τῷ παρόντι σωθήσεσθαι. Τούς τε ἀπὸ τῆς Σικελίας πολεμίους εὐθὺς σφίσιν ἐνόμιζον τῷ ναυτικῷ ἐπὶ τὸν Πειραιᾶ πλευσεῖσθαι, ἄλλως τε καὶ τοσοῦτον κρατήσαντας, καὶ τοὺς αὐτόθεν πολεμίους, τότε δὴ καὶ διπλασίως πάντα παρεσκευασμένους, κατὰ κράτος ἤδη καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης ἐπικείσεσθαι, καὶ τοὺς ξυμμάχους σφῶν μετ' αὐτῶν, ἀποστάντας. Ὅμως δὲ, ὡς ἐκ τῶν ὑπαρχόντων, ἐδόκει χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ παρασκευάζεσθαι καὶ ναυτικὸν, ὅθεν ἂν δύνωνται, ξύλα ξυμπορισαμένους καὶ χρήματα, καὶ τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιεῖσθαι, καὶ μάλιστα τὴν Εὔβοιαν, τῶν τε κατὰ τὴν πόλιν τὶ ἐς εὐτέλειαν σωφρονίσαι, καὶ ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων, ὡς ἂν καιρὸς ᾖ, προβουλεύσουσι. πάντα τε πρὸς τὸ παραχρῆμα περιδεὲς (ὅπερ φιλεῖ δῆμος ποιεῖν,) ἕτοιμοι ἦσαν εὐτακτεῖν. Καὶ ὡς ἔδοξεν αὐτοῖς, καὶ ἐποίουν ταῦτα. Καὶ τὸ θέρος ἐτελεύτα.

2. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, πρὸς τὴν ἐκ τῆς Σικελίας τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν εὐθὺς οἱ

tionis auctores vel ſuaſores fuerant. Et dolor, inopia, timor undique inſtabat. Nihilo tamen ſecius, quae tempus ſuadebat, quoad per vires licebat, alacriter inſtituerunt. 2. Ceterae Graeciae civitates, adhuc neutris

hendit Bauerus hoc genus zeugmatis. Facillime enim ad *ἰδίᾳ ἕκαστος* intelligitur *ἀνδρῶν ξυγγενῶν* ex *ὁπλιτῶν, ἱππέων καὶ ἡλικίας*, quae verba proprie ad civitatem tantum pertinent; de quo poſteriore loco Thucydides dixerat. — Pro *στερόμενοι* codd. praeſtantiſſimi Cl. Reg. Caſſ. Aug. habent *στερούμενοι*.

τῶν τε κατὰ τὴν πόλιν — σωφρονίσαι. Accipe de ſumptibus, in feſta, ſacra, ſpectacula, publice factis, quos circumcidere et in uſum belli convertere volebant Athenienſes. Cf. Duck. ad h. l.

καὶ ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι. De hoc magiſtratu neque Thucydides alibi mentionem iniicit, neque aliunde mihi quicquam innotuit. Videtur ad tempus, idque breve, fuiſſe, gravibus mox ſeditionibus ingruentibus.

2. *πρὸς τὴν ἐκ τῆς Σικε-*

Ἕλληνες πάντες ἐπηρμένοι ἦσαν· οἱ μὲν μηδετέρων ὄντες ξύμμαχοι, ὡς, ἤν τις καὶ μὴ παρακαλῇ σφᾶς, οὐκ ἀποστατέον ἔτι τοῦ πολέμου εἴη, ἀλλ' ἐθελοντὶ ἰτέον ἐπὶ τοὺς Ἀθηναίους· νομίσαντες κἂν ἐπὶ σφᾶς ἕκαστοι ἐλθεῖν αὐτούς, εἰ τὰ ἐν τῇ Σικελίᾳ κατώρθωσαν· καὶ ἅμα ἡγούμενοι, βραχὺν ἔσεσθαι τὸν λοιπὸν πόλεμον· οὗ μετασχεῖν, καλὸν εἶναι· οἱ δ' αὖ τῶν Λακεδαιμονίων ξύμμαχοι, ξυμπροθυμηθέντες ἐπὶ πλέον, ἢ πρίν, ἀπαλλάξασθαι διὰ τάχους πολλῆς ταλαιπωρίας. Μάλιστα δὲ οἱ τῶν Ἀθηναίων ὑπήκοοι ἕτοιμοι ἦσαν καὶ παρὰ δύναμιν αὐτῶν ἀφίστασθαι, διὰ τὸ ὀργῶντες κρίνειν τὰ πράγματα, καὶ μηδ' ὑπολείπειν λόγον αὐτοῖς, ὡς τό γ' ἐπιὸν θέρος οἷοί τε ἔσονται περιγενέσθαι. Ἡ δὲ τῶν Λακεδαιμονίων πόλις πᾶσί τε τούτοις ἐθάρσει, καὶ μάλιστα, ὅτι οἱ ἐκ τῆς Σικελίας αὐτοῖς ξύμμαχοι πολλῇ δυνάμει, κατ' ἀνάγκην ἤδη, τοῦ ναυτικοῦ προσγεγενημένου, ἅμα τῷ ἦρι, ὡς εἰκός, παρέσεσθαι ἔμελλον. Πανταχόθεν τε εὔελπιδες ὄντες, ἀπροφασίστως ἅπτεσθαι διενοοῦντο τοῦ πολέμου· λογιζόμενοι, καλῶς τελευτήσαντος αὐτοῦ, κινδύνων τε τοιούτων ἀπηλλάχθαι ἂν τὸ λοιπόν, οἷος καὶ ὁ ἀπὸ τῶν Ἀθηναίων περιέστη ἂν αὐτούς, εἰ τὸ Σικελικὸν προσέλαβον· καί, καθελόντες ἐκείνους, αὐτοὶ τῆς πάσης Ἑλλάδος ἤδη ἀσφαλῶς ἡγήσεσθαι.

addictae, proniores nunc ad bellum contra Athenienſes capeſſendum; item Lacedaemoniorum ſocii; maxime autem pugnandi, libertatisque recuperandae cupiditate flagrabant ipſorum Athenienſium ſocii. Lacedaemonios vero ſecura iam ſpes tenebat, fore, ut Athenienſibus brevi debel-

λίας — i. e. *πρὸς τὴν ἐν τῇ Σικελίᾳ τῶν Ἀθηναίων γενομένην μεγάλην κακοπραγίαν ἐκεῖθεν ἀγγελθεῖσαν.* Vid. ad 5, 65.
καὶ παρὰ δύναμιν, int. *ἑαυτῶν*, non *τῶν Ἀθηναίων* cum Schol. — Paullo ante in verbis: *οἱ δ' αὐτῶν Λακεδαιμονίων ξύμμαχοι* egregie placet Stephani lectio, Kiſtemakero comprobata: *οἱ δ' αὖ τῶν Λακ.* Et ſic ſcripſi. Nam *αὐτῶν* friget.
μηδ' ὑπολείπειν λόγον αὐτοῖς, i. e. *μηδ' ἔτι λόγον ποιεῖσθαι αὐτῶν*, nempe *Ἀθηναίων*.

3. Εὐθὺς οὖν Ἆγις μὲν, ὁ βασιλεὺς αὐτῶν, ἐν τῷ χειμῶνι τούτῳ ὁρμηθεὶς στρατῷ τινὶ ἐκ Δεκελείας, τά τε τῶν ξυμμάχων ἠργυρολόγησεν ἐς τὸ ναυτικὸν, καὶ τραπόμενος ἐπὶ τοῦ Μηλιέως κόλπου Οἰταίων τε, κατὰ τὴν παλαιὰν ἔχθραν, τῆς λείας τὴν πολλὴν ἀπολαβὼν, χρήματα ἐπράξατο· καὶ Ἀχαιοὺς τοὺς Φθιώτας, καὶ τοὺς ἄλλους τοὺς ταύτῃ Θεσσαλῶν ὑπηκόους, μεμφομένων καὶ ἀκόντων Θεσσαλῶν, ὁμήρους τέ τινας ἠνάγκασε δοῦναι καὶ χρήματα· καὶ κατέθετο τοὺς ὁμήρους ἐς Κόρινθον, ἔς τε τὴν ξυμμαχίαν ἐπειρᾶτο προςάγειν. Λακεδαιμόνιοι δὲ τὴν πρόςταξιν ταῖς πόλεσιν ἑκατὸν νεῶν τῆς ναυπηγίας ἐποιοῦντο· καὶ ἑαυτοῖς μὲν καὶ Βοιωτοῖς πέντε καὶ εἴκοσιν ἑκατέροις ἔταξαν, Φωκεῦσι δὲ καὶ Λοκροῖς πεντεκαίδεκα, καὶ Κορινθίοις πεντεκαίδεκα· Ἀρκάσι δὲ καὶ Πελληνεῦσι καὶ Σικυωνίοις δέκα· Μεγαρεῦσι δὲ καὶ Τροιζηνίοις καὶ Ἐπιδαυρίοις καὶ Ἑρμιονεῦσι δέκα· τά τε ἄλλα παρεσκευάζοντο, ὡς εὐθὺς πρὸς τὸ ἔαρ ἑξόμενοι τοῦ πολέμου.

4. Παρεσκευάζοντο δὲ καὶ Ἀθηναῖοι, ὥςπερ διενοήθησαν, ἐν τῷ χειμῶνι τούτῳ τήν τε ναυπηγίαν, ξύλα ξυμπορισάμενοι, καὶ Σούνιον τειχίσαντες, ὅπως

latis, ipſi Graeciae principatum tuto tenerent. 3. Agidis expeditio in Oetaeos et Achaeos Theſſaliae, quos partim ſpoliat, partim obſides et pecuniam dare cogit. Lacedaemonii civitatibus centum naves imperant, quarum quinque et viginti ipſi parandas ſuscipiunt. 4. Athenienſes quoque per hiemem naves aedificant, Sunium muniunt,

Nec video, quid Bauerum et Kiſtemakerum hic loci offendere debuerit.

3. ἐπὶ τοῦ Μηλιέως κόλπου Οἰταίων τε. Diſtinctionem ante Οἰταίων ſummovi, cum genitivus ab ἐπὶ pendeat, et Oetaei ſint accolae ſinus Maliaci. De inveterata Lacedaemoniorum in hos inimicitia vid. 3, 92 coll. 5, 51. Ad χρήματα ἐπράξατο int. αὐτοὺς, i. e. Οἰταίους, et paullo plenius interpunge. — Τῆς λείας τὴν πολλὴν dictum eſt ut τὸν πλεῖστον τοῦ βίου 1, 5., pro τὸ πλεῖστον τῆς λείας.

Ἀχαιοὺς τοὺς Φθιώτας. Etiam in Theſſalia Achaei habitabant, teſte Herodoto 7, 196. 197. Incolebant Phthiotidem.

αὐτοῖς ἀσφάλεια ταῖς σιταγωγοῖς ναυσὶν εἴη τοῦ περίπλου· καὶ τό, τε ἐν τῇ Λακωνικῇ τείχισμα ἐκλιπόντες, ὃ ἐνῳκοδόμησαν παραπλέοντες ἐς Σικελίαν, καὶ τὰ ἄλλα, εἴ πού τι ἐδόκει ἀχρεῖον ἀναλίσκεσθαι, ξυστελλόμενοι ἐς εὐτέλειαν· μάλιστα δὲ τὰ τῶν ξυμμάχων διασκοποῦντες, ὅπως μὴ σφῶν ἀποστήσωνται.

5. Πρασσόντων δὲ ταῦτα ἀμφοτέρων, καὶ ὄντων οὐδὲν ἄλλο, ἢ ὥςπερ ἀρχομένων, ἐν [τῇ] κατασκευῇ τοῦ πολέμου, πρῶτοι Εὐβοεῖς ὡς Ἆγιν περὶ ἀποστάσεως τῶν Ἀθηναίων ἐπρεσβεύσαντο ἐν τῷ χειμῶνι τούτῳ. Ὁ δέ, προςδεξάμενος τοὺς λόγους αὐτῶν, μεταπέμπεται ἐκ Λακεδαίμονος Ἀλκαμένην τὸν Σθενελαΐδου, καὶ Μέλανθον, ἄρχοντας, ὡς ἐς τὴν Εὔβοιαν.

publicos ſumptus recidunt, quo maiores in bellum poſſint impendere. 5. Interea ſocii Athenienſium ubique vacillant. Primi Euboeenſes Agidem de defectione adeunt;

4. τό, τε ἐν τῇ Λακωνικῇ τείχισμα. Vid. 7, 26.

5. ἐν [τῇ] κατασκευῇ τοῦ πολέμου. Vulgo praepoſitio ἐν, quae a nullo codice abeſt, neque abeſſe debet, uncis includitur, quod contra fieri oportebat in articulo τῇ, qui abeſt a codd. optimis Cam. Caſſ. Aug. Reg. cum quinque Pariſſ. item Moſq. et abiiciendus videtur, utpote inutilis. Thucyd. 2, 17 extr. Καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν. Neque adeo hic loci relatio eſt ad ea, quae ſuperioribus capitibus de utrorumque ad bellum apparatu dixerat Scriptor, ſed ſimpliciter narratur, eos non aliter ac ſi nunc primum bellum capeſſerent, arma paraſſe. Ceterum vocabulum κατασκευή minus uſitatum eſt hac ſignificatione, cui plerumque παρασκευή inſervit. Nihil tamen moveo contra libros omnes; quod an Popponi quoque liceat, neſcio, qui negat, κατασκευὴν hoc ſenſu recte dici poſſe. Vid. Obſſ. critt. p. 234.

Ἀλκαμένην. Alii Ἀλκαμένη, quod Bauerus praefert. Sed alteram formam Thucydides cum in aliis, tum in hoc ipſo nomine (cf. cap. 8. 10) praefert. Infra quidem hoc capite, ubi corrupte ſcribitur Ἀλκαμένει, videtur facilius reſtitui poſſe Ἀλκαμένη, quam Ἀλκαμένην. Sed conſtantiae cauſa etiam ibi repoſui Ἀλκαμένην, quod ipſum in quatuor codicibus ibi reperitur.

ὡς ἐς τὴν Εὔβοιαν. Particulam ὡς, quae conſilium, quo Agis Alcamenem et Melanthum Lacedaemone arceſſiverit, denotat, ſervandam cenſeo. Nam quod ab aliis codicibus ὡς, ab aliis ἐς omittitur, id tralatitium eſt in voculis ſibi tam ſimilibus iuxtaque poſitis. Eos autem errare, qui, omiſſo ὡς, legere velint ἐς τὴν Εὐβ., facile demonſtrari poteſt. Ita enim Agis

Οἱ δ' ἦλθον, ἔχοντες τῶν Νεοδαμωδῶν ὡς τριακοσίους· καὶ παρεσκεύαζεν αὐτοῖς τὴν διάβασιν. Ἐν τούτῳ δὲ καὶ Λέσβιοι ἦλθον, βουλόμενοι καὶ αὐτοὶ ἀποστῆναι. Καὶ, ξυμπρασσόντων αὐτοῖς τῶν Βοιωτῶν, ἀναπείθεται Ἆγις, ὥστε Εὐβοίας μὲν πέρι ἐπισχεῖν· τοῖς δὲ Λεσβίοις παρεσκεύαζε τὴν ἀπόστασιν, Ἀλκαμένην τε ἁρμοστὴν διδοὺς, ὃς ἐς Εὔβοιαν πλεῖν ἔμελλε· καὶ δέκα μὲν Βοιωτοὶ ναῦς ὑπέσχοντο, δέκα δὲ Ἆγις. Καὶ ταῦτα ἄνευ τῆς Λακεδαιμονίων πόλεως ἐπράσσετο. Ὁ γὰρ Ἆγις, ὅσον χρόνον ἦν περὶ Δεκέλειαν, ἔχων τὴν μεθ' ἑαυτοῦ δύναμιν, κύριος ἦν καὶ ἀποστέλλειν, εἴ ποι τινὰ ἐβούλετο στρατιὰν, καὶ ξυναγείρειν, καὶ χρήματα πράσσειν. Καὶ πολὺ μᾶλλον, ὡς εἰπεῖν, κατὰ τοῦτον τὸν καιρὸν αὐτοῦ οἱ ξύμμαχοι ὑπήκουον ἢ τῶν ἐν τῇ πόλει Λακεδαιμονίων· δύναμιν γὰρ ἔχων αὐτὸς, ἑκασταχόσε δεινὸς παρῆν. Καὶ ὁ μὲν τοῖς Λεσβίοις ἔπρασσε. Χῖοι δὲ καὶ Ἐρυθραῖοι, ἀποστῆναι καὶ αὐτοὶ ἕτοιμοι ὄντες, πρὸς μὲν Ἆγιν οὐκ ἐτράποντο, ἐς δὲ τὴν Λακεδαίμονα. Καὶ παρὰ Τισσαφέρνους, ὃς βασιλεῖ Δαρείῳ τῷ Ἀρταξέρξου στρατηγὸς ἦν τῶν κάτω, πρεσβευτὴς ἅμα μετ' αὐτῶν παρῆν. Ἐπήγετο γὰρ καὶ

poſt eos Leſbii. Audit utrosque Agis, et auxilium iis comparat. Item Chii et Erythraei ad ipſos Lacedaemonios ſe convertunt, quibuscum etiam Tiſſaphernis legatus advenerat, qui Peloponneſios Perſarum regi conciliare

ipſe in Euboea verſari debuiſſet; erat autem in Attica ad Deceliam. Eo igitur primum viris iſtis eundum, deinde cum Agidis mandatis eiusque opera in Euboeam traiiciendum erat. Vide ad cap. 79. *ὡς πρὸς τὴν Μυκάλην.*

Ἀλκαμένην τε ἁρμ. διδοὺς — καὶ δέκα μὲν Βοιωτοὶ ναῦς ὑπέσχοντο. Particula *τέ* arguit, haec membra cohaerere. Nihil enim reſpondet verbis: *Ἀλκαμένην τε*, quibus ſubiicere fortaſſis ab initio Thucydides volebat: *καὶ εἴκοσι ναῦς.* Sed ſtatim ſe retinuit, diſtinctius deſignans et quaſi dividens, ut ſimul doceret, unde naves, numero quidem bis decem, praebitae fuerint. Atque ita in participio *διδοὺς* acquieſcere non poterat, ſed, quia aliud ſubiectum *Βοιωτοί* intercedebat, a participio ad ſtructuram per verbum finitum transiit. Poſt *ἔμελλε* igitur minus plene interpungendum eſt.

ὁ Τισσαφέρνης τοὺς Πελοποννησίους, καὶ ὑπισχνεῖτο τροφὴν παρέξειν. Ὑπὸ βασιλέως γὰρ νεωστὶ ἐτύγχανε πεπραγμένος τοὺς ἐκ τῆς ἑαυτοῦ ἀρχῆς φόρους, οὓς, δι' Ἀθηναίους, ἀπὸ τῶν Ἑλληνίδων πόλεων, οὐ δυνάμενος πράσσεσθαι, ἐπωφείλησε. Τούς τε οὖν φόρους μᾶλλον ἐνόμιζε κομιεῖσθαι, κακώσας τοὺς Ἀθηναίους, καὶ ἅμα βασιλεῖ ξυμμάχους Λακεδαιμονίους ποιήσειν, καὶ Ἀμόργην, τὸν Πισσούθνου υἱὸν νόθον, ἀφεστῶτα περὶ Καρίαν, ὥσπερ αὐτῷ προσέταξε βασιλεὺς, ἢ ζῶντα ἄξειν, ἢ ἀποκτείνειν. Οἱ μὲν οὖν Χῖοι καὶ Τισσαφέρνης κοινῇ κατὰ τὸ αὐτὸ ἔπρασσον.

6. Καλλίγειτος δὲ ὁ Λαοφῶντος, Μεγαρεὺς, καὶ Τιμαγόρας ὁ Ἀθηναγόρου, Κυζικηνὸς, φυγάδες τῆς ἑαυτῶν ἀμφότεροι, παρὰ Φαρναβάζῳ τῷ Φαρνάκου κατοικοῦντες, ἀφικνοῦνται περὶ τὸν αὐτὸν καιρὸν ἐς τὴν Λακεδαίμονα, πέμψαντος Φαρναβάζου, ὅπως ναῦς κομίσειαν ἐς τὸν Ἑλλήσποντον, καὶ αὐτὸς, εἰ δύναιτο, (ἅπερ ὁ Τισσαφέρνης προὐθυμεῖτο,) τάς τε ἐν τῇ αὑτοῦ ἀρχῇ πόλεις ἀποστήσειε τῶν Ἀθηναίων, διὰ τοὺς φόρους, καὶ ἀφ' ἑαυτοῦ βασιλεῖ τὴν ξυμμαχίαν τῶν Λακεδαιμονίων διὰ ταχέων ποιήσειε. Πρασσόντων δὲ

ſtudebat, ut eorum ope Athenienſibus Ioniae urbes eriperet. 6. Nec non Pharnabazus, qui Aſiae provincias ad Hellespontum et pontum Euxinum ſitas regebat, le-

ὑπὸ βασιλέως γὰρ νεωστὶ ἐτύγχανε πεπραγμένος —. Recte Schol. ἀπῃτημένος explicat. Senſus enim eſt: „Rex a Tiſſapherne exigebat tributa provinciae ipſius." Illuſtrat huius verbi uſum Duckerus ad h. l. Sequentia verba, valde inter ſe disiecta, ſic ordina: οὓς ἀπὸ τῶν Ἑλληνίδων πόλεων ἐπωφείλησε, δι' Ἀθηναίους οὐ δυνάμενος πράσσεσθαι. Quare poſt Ἀθηναίους et πόλεων commata poſui.

ἢ ἀποκτείνειν. Etiam hic locus exemplum eſt, praeſentis infinitivos et participia, ſicut ipſum verbum finitum, nonnumquam futuris miſceri. Diximus alibi. Vid. ad 1, 127.

6. τῷ Φαρνάκου. Correxi cum Palmerio et Duckero vulgatum Φαρναβάκου, quod propter praecedens Φαρναβάζῳ facile naſci potuit. Illud codd. Ar. C. Reg. Moſq. Caſſ. ex emend. praebent.

διὰ ταχέων. Haec verba abſunt a bonis libris Cl. Gr. Caſſ. Aug. Cam. In Marg. eſt διὰ τὰ

ταῦτα χωρὶς ἑκατέρων, τῶν τε ἀπὸ τοῦ Φαρναβάζου καὶ τῶν ἀπὸ τοῦ Τισσαφέρνους, πολλὴ ἅμιλλα ἐγίγνετο τῶν ἐν τῇ Λακεδαίμονι, ὅπως οἱ μὲν ἐς τὴν Ἰωνίαν καὶ Χίον, οἱ δ᾽ ἐς τὸν Ἑλλήσποντον, πρότερον ναῦς καὶ στρατιὰν πείσουσι πέμπειν. Οἱ μέντοι Λακεδαιμόνιοι τὰ τῶν Χίων καὶ Τισσαφέρνους παρὰ πολὺ προσεδέξαντο μᾶλλον. Ξυνέπρασσε γὰρ αὐτοῖς καὶ Ἀλκιβιάδης, Ἐνδίῳ, ἐφορεύοντι, πατρικὸς ἐς τὰ μάλιστα ξένος ὤν· ὅθεν καὶ τοὔνομα Λακωνικὸν ἡ οἰκία αὐτῶν κατὰ τὴν ξενίαν ἔσχεν· Ἔνδιος γὰρ Ἀλκιβιάδου ἐκαλεῖτο. Ὅμως δὲ οἱ Λακεδαιμόνιοι, πρῶτον κατάσκοπον ἐς τὴν Χίον πέμψαντες Φρύνιν, ἄνδρα περίοικον, εἰ αἵ τε νῆες αὐτοῖς εἰσὶν, ὅσασπερ ἔλεγον, καὶ τὰ ἄλλα ἡ πόλις ἱκανή ἐστι πρὸς τὴν λεγομένην δόξαν, ἀπαγγείλαντος αὐτοῖς, ὡς εἴη ταῦτα ἀληθῆ, ἅπερ ἤκουον, τούς

gatos Lacedaemonem eodem illo tempore miserat, ita ut magna inter Lacedaemonios contentio existeret, utri potius auxilium promitteretur. Sed Alcibiades per Endium Ephorum pervicit, ut Chiis et Tissapherni prius Lace-

τῶν Χίων, mendose. Benedictus hoc censet interpretamentum esse, unde illud διὰ ταχέων ortum sit. Quam coniecturam non possum amplecti, quia ineptissimus fuisset interpres, qui h. l. de Chiis somniasset. Ut dicam, quod sentio, verba διὰ ταχέων mihi genuina videntur, et errore in quibusdam codicibus omissa.

στρατιὰν πείσουσι πέμπειν. Ita codd. Cass. Gr. Aug. Reg. Cam. cum tribus Pariss. de more Atticorûm, quos cum Benedicto secutus sum. Vulgo πείσωσι. Etiam cap. 10. quatuor boni libri pro λήσωσι praebent λήσουσι. Sed utroque modo utitur Thucydides post ὅπως et ὅπως μή. Vid. 4, 66. 76. Cf. 3, 4 extr. Paullo ante οἱ ἐν τῇ Λακεδαίμονι, sunt οἱ Λακεδαιμόνιοι, nempe proceres et magistratus eorum.

πατρικὸς ἐς τὰ μάλιστα ξένος ὤν. Vid. 5, 43 coll. 6, 89. — τοὔνομα Λακωνικόν, est nomen *Alcibiadis*, quod iam ante Cliniam, Alcibiadis patrem, in eius familiam illatum erat. Etiam Endii patri Alcibiades nomen erat. — αὐτῶν ad Alcibiadis familiam pertinet. Γάρ demonstrat, nomen Alcibiadis Laconicum esse, quippe quod etiam Endii patri fuerit.

ἄνδρα περίοικον. Lacedaemonii aut Spartiatae erant, aut περίοικοι. Illi in ipsa urbe Lacedaemone civitatem optimo iure tenebant; hi, in agro Laconico degentes, minus honesta conditione utebantur. Distinguit eos et infra Thucydides cap.

τε Χίους καὶ τοὺς Ἐρυθραίους εὐθὺς ξυμμάχους ἐποιήσαντο· καὶ τεσσαράκοντα ναῦς ἐψηφίσαντο αὐτοῖς πέμπειν, ὡς ἐκεῖ οὐκ ἔλασσον ἢ ἑξήκοντα, ἀφ' ὧν οἱ Χῖοι ἔλεγον, ὑπαρχουσῶν. Καὶ τὸ μὲν πρῶτον δέκα τούτων αὐτοὶ ἔμελλον πέμπειν, καὶ Μελαγκρίδαν, ὃς αὐτοῖς ναύαρχος ἦν· ἔπειτα, σεισμοῦ γενομένου, ἀντὶ τοῦ Μελαγκρίδου Χαλκιδέα ἔπεμπον, καὶ ἀντὶ τῶν δέκα νεῶν πέντε παρεσκευάζοντο ἐν τῇ Λακωνικῇ. Καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἑνὸς δέον εἰκοστὸν ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

7. Τοῦ δ' ἐπιγιγνομένου θέρους, εὐθὺς ἐπειγομένων τῶν Χίων ἀποστεῖλαι τὰς ναῦς, καὶ δεδιότων, μὴ οἱ Ἀθηναῖοι τὰ πρασσόμενα αἴσθωνται, (πάντες γὰρ κρύφα αὐτῶν ἐπρεσβεύοντο,) ἀποπέμπουσιν οἱ Λακεδαιμόνιοι ἄνδρας Σπαρτιάτας ἐς Κόρινθον τρεῖς, ὅπως ἀπὸ τῆς ἑτέρας θαλάσσης ὡς τάχιστα ἐπὶ τὴν πρὸς [τὰς] Ἀθήνας ὑπερενεγκόντες τὰς ναῦς τὸν ἰσθμὸν, κελεύσωσι πλεῖν ἐς Χίον πάσας, καὶ ἃς ὁ Ἆγις παρεσκεύαζεν ἐς τὴν Λέσβον, καὶ τὰς ἄλλας. Ἦσαν δὲ αἱ ξύμπασαι τῶν ξυμμαχικῶν νῆες αὐτόθι μιᾶς δέουσαι τεσσαράκοντα.

8. Ὁ μὲν οὖν Καλλίγειτος καὶ Τιμαγόρας ὑπὲρ

daemonii opitulari decernerent, et cum Chiis Erythraeisque illico facerent ſocietatem. Finis anni undevicesimi. — 7. Illa omnia clam Athenienſibus geſta erant; et Chii maxime inſtabant Lacedaemoniis, ut opem mitterent. 8. Itaque Lacedaemonii una cum Agide naves per iſthmum

22 extr. *Περίοικος* et *Λακεδαιμόνιος* non diverſa ſunt. Vide cap. 12 extr. Cf. ad 4. 8.

ἀφ' ὧν οἱ Χῖοι ἔλεγον. Schol. ſubaudit *πόλεων* ἢ *ξυμμάχων.* Neque aliter Portus. Sed nihil opus. Intellige: *ἀπὸ τούτων, ἃ οἱ Χῖοι ἔλεγον.* — Mox cum Benedicto praefero novem codicum lectionem *αὐτοὶ* (pro *αὐτοῖς*) *ἔμελλον πέμπειν.* Nam innuit, has decem naves e toto quadraginta navium numero promiſſo, ab ipſis Spartanis, non a ſociis eorum inſtructas eſſe. Quare infra dicit: *πέντε παρεσκευάζοντο ἐν τῇ Λακωνικῇ.*

7. *πρὸς τὰς Ἀθήνας ὑπερενεγκόντες.* Articulum *τὰς* decem codices ignorant. — *τῶν ξυμμαχικῶν,* int. *πόλεων.*

τοῦ Φαρναβάζου οὐκ ἐκοινωνοῦντο τὸν στόλον ἐς τὴν Χίον, οὐδὲ τὰ χρήματα ἐδίδοσαν, ἃ ἦλθον ἔχοντες, ἐς τὴν ἀποστολὴν, πέντε καὶ εἴκοσι τάλαντα, ἀλλ' ὕστερον ἐφ' ἑαυτῶν διενοοῦντο ἄλλῳ στόλῳ πλεῖν. Ὁ δὲ Ἄγις, ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους ἐς τὴν Χίον πρῶτον ὡρμημένους, οὐδ' αὐτὸς ἄλλο τι ἐγίγνωσκεν· ἀλλὰ ξυνελθόντες ἐς Κόρινθον οἱ ξύμμαχοι ἐβουλεύοντο. Καὶ ἔδοξε, πρῶτον ἐς Χίον αὐτοὺς πλεῖν, ἄρχοντα ἔχοντας Χαλκιδέα, ὃς ἐν τῇ Λακωνικῇ τὰς πέντε ναῦς παρεσκεύασεν· ἔπειτα ἐς Λέσβον, καὶ Ἀλκαμένην ἄρχοντα, ὅνπερ καὶ Ἄγις διενοεῖτο· τὸ τελευταῖον δὲ, ἐς τὸν Ἑλλήσποντον ἀφικέσθαι· (προσετέτακτο δὲ ἐς αὐτὸν ἄρχων Κλέαρχος ὁ Ῥαμφίου·) διαφέρειν δὲ τὸν ἰσθμὸν τὰς ἡμίσεας τῶν νεῶν πρῶτον, καὶ εὐθὺς ταύτας ἀποπλεῖν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς ἀφορμωμένας μᾶλλον τὸν νοῦν ἔχωσιν, ἢ τὰς ὕστερον διαφερομένας. Καὶ γὰρ τὸν πλοῦν ταύτῃ ἐκ τοῦ προφανοῦς ἐποιοῦντο, καταφρονήσαντες τῶν Ἀθηναίων ἀδυνασίαν, ὅτι ναυτικὸν οὐδὲν αὐτῶν πολύ πω ἐφαίνετο. Ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ διεκόμισαν εὐθὺς μίαν καὶ εἴκοσι ναῦς.

9. Οἱ δὲ Κορίνθιοι, ἐπειγομένων αὐτῶν τὸν πλοῦν, οὐ προεθυμήθησαν ξυμπλεῖν, πρὶν τὰ Ἴσθμια (ἃ τότε ἦν,) διεορτάσωσιν. Ἄγις δὲ αὐτοῖς ἕτοιμος ἦν, ἐκείνους μὲν μὴ λύειν δὴ τὰς Ἰσθμιάδας σπονδὰς, ἑαυτοῦ

transvectas Corintho Chium mittere feſtinant. 9. Sed dum Corinthii ſegniores ſunt ad profectionem propter

8. διαφέρειν δὲ τὸν ἰσθμόν. Supra cap. 7. ὑπερενεγκόντες τὰς ναῦς τὸν ἰσθμόν. Cf. 3, 81.

9. τὰς Ἰσθμιάδας σπονδάς, quae pariter ac Olympia, Pythia et Iſthmia iis, qui ad ea aut certatum, aut ſpectatum, ibant, etiam belli tempore ſecuritatem atque incolumitatem praebebant. Cf. 5, 49. Ὁπλίτας ἐν ταῖς Ὀλυμπιακαῖς σπονδαῖς ἐσπέμψαι. Ex eodem loco perſpicitur, eiusmodi inducias ab eo populo, qui certamina committebat, quae in Iſthmiis Corinthiorum cura erat, indici eſſe ſolitas. Cf. 8, 10 init. ἐπηγγέλθησαν.

δὲ τὸν στόλον ἴδιον ποιήσασθαι. Οὐ ξυγχωρούντων δὲ τῶν Κορινθίων, ἀλλὰ διατριβῆς ἐγγιγνομένης, οἱ Ἀθηναῖοι ᾔσθοντο τὰ τῶν Χίων μᾶλλον, καὶ, πέμψαντες ἕνα τῶν στρατηγῶν, Ἀριστοκράτην, ἐπῃτιῶντο αὐτούς. Καὶ ἀρνουμένων τῶν Χίων, τὸ πιστὸν, ναῦς, σφίσι ξυμπέμπειν ἐκέλευον ἐς τὸ ξυμμαχικόν· οἱ δ' ἔπεμψαν ἑπτά. Αἴτιον δ' ἐγένετο τῆς ἀποστολῆς τῶν νεῶν, οἱ μὲν πολλοὶ τῶν Χίων, οὐκ εἰδότες τὰ πρασσόμενα, οἱ δὲ ὀλίγοι, ξυνειδότες, τό, τε πλῆθος οὐ βουλόμενοί πω πολέμιον ἔχειν, πρίν τι καὶ ἰσχυρὸν λάβωσι, καὶ τοὺς Πελοποννησίους οὐκέτι προσδεχόμενοι ἥξειν, ὅτι διέτριβον.

10. Ἐν δὲ τούτῳ τὰ Ἴσθμια ἐγίγνετο· καὶ οἱ Ἀθηναῖοι (ἐπηγγέλθησαν γὰρ,) ἐθεώρουν ἐς αὐτά· καὶ κατάδηλα μᾶλλον αὐτοῖς τὰ τῶν Χίων ἐφάνη. Καὶ, ἐπειδὴ ἀνεχώρησαν, παρεσκευάζοντο εὐθὺς, ὅπως μὴ λήσωσιν αὐτοὺς αἱ νῆες ἐκ τῶν Κεγχρειῶν ἀφορμηθεῖσαι. Οἱ δὲ, μετὰ τὴν ἑορτὴν, ἀνήγοντο μιᾷ καὶ εἴκοσι ναυσὶν ἐς τὴν Χίον, ἄρχοντα Ἀλκαμένην ἔχοντες. Καὶ αὐτοῖς οἱ Ἀθηναῖοι τὸ πρῶτον ἴσαις ναυσὶ προσπλεύσαντες, ἐπῆγον ἐς τὸ πέλαγος. Ὡς δ' ἐπὶ πολὺ

Isthmiorum ferias instantes, Athenienses Chiorum proditionem suspicantur, et obiurgant. Quibus licet omnem rem negantibus, et in fidem societatis septem naves mittentibus (quod etiamnum plebi, ignoranti optimatum consilia, credi non poterat); tamen Athenienses, 10. Isthmia et ipsi celebrantes, omnia Corinthi clariora perspiciunt,

ἐς τὸ ξυμμαχικόν, malim cum Bauero aliisque intelligere κατὰ τὴν ξυμμαχίαν, quam iungere cum τὸ πιστόν, licet Duckerus refragetur.

10. ἐπηγγέλθησαν γάρ. Haec, salva sententia, non possunt referri ad Athenienses. Rectissime Schol. cod. Cass. monuit, subaudiendum esse αἱ σπονδαί, quod vocabulum Thucydides certe in animo habebat, cum scriberet ἐπηγγέλθησαν, pro ἐπηγγέλθη. De quo loquendi genere cf. ad 1, 90. Ἐπαγγέλλειν proprium de hac re vocabulum est, quo Thucydides ter utitur supra 5, 49. cf. ad 8, 9. — ἐθεώρουν ἐς αὐτά, i. e. θεωροὶ ἐγίγνοντο.

ἐπῆγον ἐς τὸ πέλαγος, int. αὐτούς. Optime Scholiastes:

οὐκ ἐπηκολούθησαν οἱ Πελοποννήσιοι, ἀλλ' ἀπετράποντο, ἐπανεχώρησαν καὶ οἱ Ἀθηναῖοι. Τὰς γὰρ τῶν Χίων ἑπτὰ ναῦς ἐν τῷ ἀριθμῷ μετὰ σφῶν ἔχοντες, οὐ πιστὰς ἐνόμιζον. Ἀλλ' ὕστερον ἄλλας προσπληρώσαντες ἑπτὰ καὶ τριάκοντα, παραπλέοντας αὐτοὺς καταδιώκουσιν ἐς Πειραιὸν τῆς Κορινθίας· (ἔστι δὲ λιμὴν ἐρῆμος καὶ ἔσχατος πρὸς τὰ μεθόρια τῆς Ἐπιδαυρίας·) καὶ μίαν μὲν ναῦν ἀπολλύασι μετέωρον οἱ Πελοποννήσιοι, τὰς δὲ ἄλλας ξυναγαγόντες ὁρμίζουσι. Καὶ προσβαλόντων τῶν Ἀθηναίων καὶ κατὰ θάλασσαν ταῖς ναυσὶ, καὶ ἐς τὴν γῆν ἀποβάντων, θόρυβός τε ἐγένετο πολὺς καὶ ἄτακτος, καὶ τῶν τε νεῶν τὰς πλείους κατατραυματίζουσιν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι, καὶ τὸν ἄρχοντα Ἀλκαμένην ἀποκτείνουσι· καὶ αὐτῶν τινὲς ἀπέθανον.

11. Διακριθέντες δὲ, πρὸς μὲν τὰς πολεμίας ναῦς ἐπέταξαν ἐφορμεῖν ἱκανὰς, ταῖς δὲ λοιπαῖς ἐς τὸ νησίδιον ὁρμίζονται, ἐν ᾧ, οὐ πολὺ ἀπέχοντι, ἐστρατοπεδεύοντο, καὶ ἐς τὰς Ἀθήνας ἐπὶ βοήθειαν ἔπεμπον. Παρῆσαν γὰρ καὶ τοῖς Πελοποννησίοις τῇ ὑστεραίᾳ οἵ τε Κορίνθιοι βοηθοῦντες ἐπὶ τὰς ναῦς, καὶ οὐ πολλῷ

quae de Chiorum defectu ſuſpicati erant. Itaque cum Peloponneſiorum naves proficiſcerentur, iis occurſantes Athenienſes Piraeum compellunt, locum in confiniis Corinthici et Epidaurici agri ſitum; victasque 11. ibi

ὑπεχώρουν, ὅπως εἰς τὸ πέλαγος προκαλέσωνται. Conabantur eos in altum deducere. Illi autem non ſequebantur longius, ſed retro cedebant. — *τὸ πρῶτον* refer ad ſequens *ἀλλ' ὕστερον*, et ante haec verba plenius interpunge. Contra in fine capitis poſt verba *καὶ ἄτακτος* punctum muta in comma, ut verba *θόρυβός τε* habeant, quo referantur.

11. *βοηθοῦντες ἐπὶ τὰς ναῦς.* Bredovius Atticas naves intelligit, ut *ἐπὶ* ſit *adverſus.* Sed cum Corinthii aeque ac ceteri vicini non navibus, ſed pedeſtri itinere, advenerint, quod ex toto loco colligi poteſt: non tam hoſtibus poterant obeſſe, quam ſuis navibus propugnare. *Βοηθεῖν ἐπὶ τὰς ναῦς* igitur h. l. eſt: ſuccurrere ad navium ſuarum auxilium. Sic rurſus paullo poſt dicſt ſimpliciter *κατακαῦσαι τὰς ναῦς*, quod bene ad Peloponneſiorum naves referri poteſt, ad Athenienſium non item. Cf. Ducker. de phraſi *βοηθεῖν ἐπί τινα* diſputantem ad cap. 15.

ὕστερον καὶ οἱ ἄλλοι πρόςχωροι· καὶ, ὁρῶντες τὴν φυλακὴν ἐν χωρίῳ ἐρήμῳ ἐπίπονον οὖσαν, ἠπόρουν. Καὶ ἐπενόησαν μὲν κατακαῦσαι τὰς ναῦς· ἔπειτα δὲ ἔδοξεν αὐτοῖς ἀνελκύσαι, καὶ τῷ πεζῷ προςκαθημένους φυλακὴν ἔχειν, ἕως ἄν τις παρατύχῃ διαφυγὴ ἐπιτηδεία. Ἔπεμψε δ᾽ αὐτοῖς καὶ Ἄγις, αἰσθόμενος ταῦτα, ἄνδρα Σπαρτιάτην Θέρμωνα. Τοῖς δὲ Λακεδαιμονίοις πρῶτον μὲν ἠγγέλθη, ὅτι αἱ νῆες ἀνηγμέναι εἰσὶν ἐκ τοῦ ἰσθμοῦ· (εἴρητο γὰρ, ὅταν γένηται τοῦτο, Ἀλκαμένει ὑπὸ τῶν Ἐφόρων, ἱππέα πέμψαι·) καὶ εὐθὺς τὰς παρὰ σφῶν πέντε ναῦς καὶ Χαλκιδέα ἄρχοντα καὶ Ἀλκιβιάδην μετ᾽ αὐτοῦ ἐβούλοντο πέμπειν· ἔπειτα, ὡρμημένων αὐτῶν, τὰ περὶ τὴν ἐν τῷ Πειραιῷ τῶν νεῶν καταφυγὴν ἠγγέλθη. Καὶ ἀθυμήσαντες, ὅτι, πρῶτον ἁπτόμενοι τοῦ Ἰωνικοῦ πολέμου, ἔπταισαν, τὰς ναῦς τὰς ἐκ τῆς ἑαυτῶν οὐκέτι διενοοῦντο πέμπειν, ἀλλὰ καί τινας προανηγμένας μετακαλεῖν.

12. Γνοὺς δὲ ὁ Ἀλκιβιάδης, πείθει αὖθις Ἔνδιον καὶ τοὺς ἄλλους Ἐφόρους, μὴ ἀποκνῆσαι τὸν πλοῦν, λέγων, ὅτι φθήσονται πλεύσαντες, πρὶν τὴν τῶν νεῶν ξυμφορὰν Χίους αἰσθέσθαι, καὶ αὐτὸς, ὅταν προςβάλῃ Ἰωνίᾳ, ῥᾳδίως πείσειν τὰς πόλεις ἀφίστασθαι, τήν τε Ἀθηναίων λέγων ἀσθένειαν, καὶ τὴν τῶν Λακεδαιμονίων προθυμίαν· πιστότερος γὰρ ἄλλων φανεῖσθαι. Ἐνδίῳ τε αὐτῷ ἰδίᾳ ἔλεγε, καλὸν εἶναι, δι᾽ ἐκείνου ἀποστῆσαί τε Ἰωνίαν, καὶ βασιλέα ξυμμα-

claſſe obſident. Atque haec clades magnopere fregit animos Lacedaemoniorum. 12. Nihilo minus tamen Alcibiades Endio et ceteris Ephoris perſuadet, ut ipſum cum Chalcideo et quinque navibus confeſtim praemittant ad

12. τήν τε Ἀθηναίων λέγων ἀσθένειαν. Participium λέγων pendet a πείσειν. Oſtendit Alcibiades, ſe facile perſuaſurum civitatibus Ioniae, ut ab Athenienſibus deſciſcerent, commemoranda Athenienſium infirmitate, Lacedaemoniorum alacritate. — πιστότερον quidem in omnibus codd. reperitur. Sed legendum neceſſario πιστότερος. In Cam. eſt πιστότεροι.

χον ποιῆσαι Λακεδαιμονίοις, καὶ μὴ Ἄγιδος τὸ ἀγώνισμα τοῦτο γενέσθαι· ἐτύγχανε γὰρ τῷ Ἄγιδι αὐτὸς διάφορος ὤν. Καὶ ὁ μὲν, πείσας τούς τε ἄλλους Ἐφόρους καὶ Ἔνδιον, ἀνήγετο ταῖς πέντε ναυσὶ μετὰ Χαλκιδέως τοῦ Λακεδαιμονίου· καὶ διὰ τάχους τὸν πλοῦν ἐποιοῦντο.

13. Ἀνεκομίζοντο δὲ ὑπὸ τὸν αὐτὸν χρόνον τοῦτον καὶ αἱ ἀπὸ τῆς Σικελίας Πελοποννησίων ἑκκαίδεκα νῆες, αἱ μετὰ Γυλίππου ξυμπολεμήσασαι· καὶ περὶ τὴν Λευκαδίαν ἀποληφθεῖσαι, καὶ κοπεῖσαι ὑπὸ τῶν Ἀττικῶν ἑπτὰ καὶ εἴκοσι νεῶν, ὧν ἦρχεν Ἱπποκλῆς Μενίππου, φυλακὴν ἔχων τῶν ἀπὸ τῆς Σικελίας νεῶν, αἱ λοιπαὶ, πλὴν μιᾶς, διαφυγοῦσαι τοὺς Ἀθηναίους, κατέπλευσαν ἐς τὴν Κόρινθον.

14. Ὁ δὲ Χαλκιδεὺς καὶ ὁ Ἀλκιβιάδης, πλέοντες, ὅσοις τε ἐπιτύχοιεν, ξυνελάμβανον, τοῦ μὴ ἐξάγγελτοι γενέσθαι· καὶ προςβαλόντες πρῶτον Κωρύκῳ τῆς ἠπείρου, καὶ ἀφέντες ἐνταῦθα αὐτοὺς, αὐτοὶ μὲν προξυγγενόμενοι τῶν ξυμπρασσόντων Χίων τισὶ, καὶ κελευόντων

Chios. 13. Circa idem tempus e Sicilia redeuntes ſedecim Peloponneſiorum naves, quamvis circa Leucadiam ab Atticis, quae eas ibi opperiebantur, deprehenſae et afflictae eſſent, tamen praeter unam omnes Corinthum fuga pervenerunt. 14. Chalcideus cum Alcibiade, delatus in Aſiam, ſtudio et opera Chiorum eorum, qui conſcii erant ſocietatis factae, improviſus ad Chium appellit;

13. *αἱ λοιπαὶ, πλὴν μιᾶς, διαφυγοῦσαι* —. Codicum Caſſ. Aug. Gr. quibus aliorum fortaſſis teſtimonia conſentiunt, auctoritate delevi *γὰρ* ante *λοιπαὶ*, et interpunctionem ita mutavi, ut ſupra poſt *ξυμπολεμήσασαι* pro commate colon, poſt *Σικελίας νεῶν* pro puncto comma ponerem. Ex vulgata et diſtinctione et lectione neque *γὰρ* habet quo referatur, neque periodi ratio conſtat, quia verbum finitum deſideratur propter verba *καὶ περὶ τὴν Λευκαδ. ἀποληφθεῖσαι* —. *Γὰρ* non ex interpretatione, ſed e correctione natum eſt. Sed eo omiſſo demum haec periodus ad Thucydidis rationem conformata eſt.

14. *Κωρύκῳ τῆς ἠπείρου.* Mons erat Ioniae e regione urbis Teiorum, auctore Stephano Byz. Cf. Strabo lib. XIV. Thucyd. 8, 33. in Erythraea ſitum eſſe docet.

καταπλεῖν μὴ προειπόντας ἐς τὴν πόλιν, ἀφικνοῦνται αἰφνίδιοι τοῖς Χίοις. Καὶ οἱ μὲν πολλοὶ ἐν θαύματι ἦσαν καὶ ἐκπλήξει· τοῖς δ' ὀλίγοις παρεσκεύαστο, ὥστε βουλήν τε τυχεῖν ξυλλεγομένην, καὶ, λεγομένων λόγων ἀπό τε τοῦ Χαλκιδέως καὶ Ἀλκιβιάδου, ὡς ἄλλαι τε νῆες πολλαὶ προσπλέουσι, καὶ τὰ περὶ τῆς πολιορκίας τῶν ἐν τῷ Πειραιῷ νεῶν οὐ δηλωσάντων, ἀφίστανται Χῖοι καὶ αὖθις Ἐρυθραῖοι Ἀθηναίων· καὶ μετὰ ταῦτα, τρισὶ ναυσὶ πλεύσαντες, καὶ Κλαζομενὰς ἀφιστᾶσι. Διαβάντες δὲ οἱ Κλαζομένιοι εὐθὺς εἰς τὴν ἤπειρον, τὴν πολίχναν ἐτείχιζον, εἴ τι δέοι σφίσιν αὐτῆς ἐκ τῆς νησίδος, ἐν ᾗ οἰκοῦσι, πρὸς ἀναχώρησιν. Καὶ οἱ μὲν ἀφεστῶτες πάντες ἐν τειχισμῷ ἦσαν καὶ παρασκευῇ πολέμου.

15. *Ἐς δὲ τὰς Ἀθήνας ταχὺ ἀγγελία τῆς Χίου ἀφικνεῖται· καὶ νομίσαντες, μέγαν ἤδη καὶ σαφῆ τὸν κίνδυνον σφᾶς περιεστάναι, καὶ τοὺς λοιποὺς ξυμμάχους οὐκ ἐθελήσειν, τῆς μεγίστης πόλεως μεθεστηκυίας, ἡσυχάζειν, τά τε χίλια τάλαντα, ὧν διὰ παντὸς τοῦ*

quo facto non ſolum Chii, ſed etiam Erythraei, mox etiam Clazomenii ab Athenienſibus deficiunt. 15. Qua re comperta, Athenienſes, graviſſimum periculum imminere

ἀφικνοῦνται αἰφνίδιοι τοῖς Χίοις. Cum Optimatibus enim tantum egerant, et Lacedaemone, et in Coryco, Spartani; plebs autem haec ignorabat, (cf. cap. 9 extr.) et hoc dolo ab Optimatibus inducebatur.

εἴ τι δέοι σφίσιν αὐτῆς ἐκ τῆς νησίδος. Ita de mera coniectura repoſui pro vulgato *σφίσιν αὐτοῖς*, quod aperte corruptum eſt. Nam *αὐτοῖς* poſt *σφίσι* otioſum; genitivus autem, qui rem deſignet, ad quam *δέοι* referatur, prorſus neceſſarius h. l. eſt. Vitium ob ſoni ſimilitudinem facillime oriri potuit, atque ex eorum eſt genere, quae nulla codicum ope ad emendationem egeant. Quare non dubitavi corrigere. — Ceterum paullo ante *πολίχναν* ſcripſi pro *Πολίχναν*. Aperte enim appellativum eſt hic et infra cap. 23 extr.

15. *καὶ νομίσαντες*, int. *οἱ Ἀθηναῖοι*, ex *τὰς Ἀθήνας*. Vid. ad 1, 2.

τά τε χίλια τάλαντα. De his vide Thucydidem 2, 24. — Verborum ſtructura liberior eſt, et parum exacta, ſed grata quadam negligentia contexta. Atqui facile orationem ad amuſſim regere poterat, ſcribendo *λύσαντες* pro *ἔλυσαν*, niſi illud praetuliſſet.

πολέμου ἐγλίχοντο μὴ ἅψασθαι, εὐθὺς ἔλυσαν τὰς ἐπικειμένας ζημίας τῷ εἰπόντι ἢ ἐπιψηφίσαντι, ὑπὸ τῆς παρούσης ἐκπλήξεως, καὶ ἐψηφίσαντο κινεῖν, καὶ ναῦς πληροῦν μὴ ὀλίγας· τῶν τε ἐν τῷ Πειραιῷ ἐφορμουσῶν τὰς μὲν ὀκτὼ ἤδη πέμπειν, αἳ, ἀπολιποῦσαι τὴν φυλακὴν, τὰς μετὰ Χαλκιδέως διώξασαι καὶ οὐ καταλαβοῦσαι, ἀνακεχωρήκεσαν· (ἦρχε δὲ αὐτῶν Στρομβιχίδης Διοτίμου·) ἄλλας δὲ οὐ πολὺ ὕστερον βοηθεῖν δώδεκα μετὰ Θρασυκλέους, ἀπολιπούσας καὶ ταύτας τὴν ἐφόρμησιν. Τάς τε τῶν Χίων ἑπτὰ ναῦς, αἳ αὐτοῖς ξυνεπολιόρκουν τὰς ἐν τῷ Πειραιῷ, ἀπαγαγόντες, τοὺς μὲν δούλους ἐξ αὐτῶν ἠλευθέρωσαν, τοὺς δ' ἐλευθέρους κατέδησαν. Ἑτέρας δ' ἀντὶ πασῶν τῶν ἀπελθουσῶν νεῶν ἐς τὴν ἐφόρμησιν τῶν Πελοποννησίων, διὰ τάχους πληρώσαντες, ἀντέπεμψαν, καὶ ἄλλας διενοοῦντο τριάκοντα πληροῦν. Καὶ πολλὴ ἦν προθυμία, καὶ ὀλίγον ἐπράσσετο οὐδὲν ἐς τὴν βοήθειαν τὴν ἐπὶ τὴν Χίον.

16. Ἐν δὲ τούτῳ Στρομβιχίδης ταῖς ὀκτὼ ναυσὶν ἀφικνεῖται ἐς Σάμον, καὶ, προςλαβὼν Σαμίαν μίαν, ἔπλευσεν ἐς Τέων, καὶ ἡσυχάζειν ἠξίου αὐτούς. Ἐκ δὲ τῆς Χίου ἐς τὴν Τέων καὶ ὁ Χαλκιδεὺς μετὰ τριῶν

rati, legem abrogarunt, qua cautum erat, ne quis de mille talentis, ad ipſam urbem ab hoſtium navibus defendendam depoſitis, ad aliam rem impendendis ferret; et naves octo, duce Strombichide, nunc ipſum, alias autem duodecim paulo poſt adverſus Chium mittere conſtituerunt; Chios autem ex ſeptem illis navibus in vincula coniecerunt. 16. Interim Strombichides pervenit Samum, inde Teum.

ἑτέρας δ' ἀντὶ πασῶν τῶν ἀπελθουσῶν νεῶν. Sic ſoli codd. Caſſ. Aug. Recte. Vulgo ἐπελθουσῶν. Vidit etiam Kiſtemakerus, qui explicat: „in locum earum omnium, quae *abierant* cum Chalcideo et Stromb. (debebat dicere *poſt Chalcideum* cum Strombichide) adverſus Chium." Mox etiam eodem ſuccedebant aliae duodecim naves, duce Thraſycle. Vid. cap. 17. — ἐπελθουσῶν eſt a correctore, qui hoc verbum male cum ſequentibus ἐς τὴν ἐφόρμησιν iungebat.

16. ἐκ δὲ τῆς Χίου ἐς τὴν Τέων καὶ ὁ Χαλκιδεύς —.

καὶ εἴκοσι νεῶν ἐπέπλει, καὶ ὁ πεζὸς ἅμα καὶ ὁ Κλαζομενίων καὶ Ἐρυθραίων παρῄει. Προαισθόμενος δὲ ὁ Στρομβιχίδης, προανήγετο· καὶ μετεωρισθεὶς ἐν τῷ πελάγει, ὡς ἑώρα τὰς ναῦς πολλὰς τὰς ἀπὸ τῆς Χίου, φυγὴν ἐποιεῖτο ἐπὶ τῆς Σάμου· αἱ δὲ ἐδίωκον. Τὸν δὲ πεζὸν οἱ Τήϊοι τὸ πρῶτον οὐκ ἐςδεχόμενοι, ὡς ἔφυγον οἱ Ἀθηναῖοι, ἐςηγάγοντο. Καὶ ἐπέσχον μὲν οἱ πολλοὶ, καὶ Χαλκιδέα ἐκ τῆς διώξεως περιμένοντες· ὡς δὲ ἐχρόνιζε, καθῄρουν αὐτοὶ τὸ τεῖχος, ὃ ἀνῳκοδόμησαν οἱ Ἀθηναῖοι, τῆς Τηΐων πόλεως πρὸς ἤπειρον. Ξυγκαθῄρουν δὲ αὐτοῖς καὶ τῶν βαρβάρων ἐπελθόντες οὐ πολλοὶ, ὧν ἦρχεν ὁ Τάγης, ὕπαρχος Τισσαφέρνους.

17. Χαλκιδεὺς δὲ καὶ Ἀλκιβιάδης, ὡς κατεδίωξαν ἐς Σάμον Στρομβιχίδην, ἐκ μὲν τῶν ἐκ Πελοποννήσου νεῶν τοὺς ναύτας ὁπλίσαντες, ἐν Χίῳ καταλιμπάνουσιν· ἀντιπληρώσαντες δὲ ταύτας τε ἐκ Χίου, καὶ ἄλλας εἴκοσιν, ἔπλεον ἐς Μίλητον, ὡς ἀποστήσοντες. Ἐβούλετο γὰρ ὁ Ἀλκιβιάδης, ὢν ἐπιτήδειος τοῖς προεστῶσι τῶν Μιλησίων, φθάσαι τάς τε ἀπὸ τῆς Πελοποννήσου ναῦς προςαγαγόμενος αὐτοὺς, καὶ τοῖς Χίοις καὶ ἑαυτῷ καὶ Χαλκιδεῖ, καὶ τῷ ἀποστείλαντι Ἐνδίῳ, ὥςπερ ὑπέσχετο, τὸ ἀγώνισμα προςθεῖναι, ὅτι πλείστας τῶν πόλεων μετὰ τῆς Χίων δυνάμεως καὶ Χαλκιδέως ἀποστή-

Quo cum etiam Chalcideus cum viginti tribus navibus approperaret, Samum refugit Strombichides, et Teii, Lacedaemoniis receptis, murum destruunt, quem Athenienses versus continentem aedificaverant. 17. Quo facto Alcibiades, cum Chiorum classe Miletum profectus, Mile-

Non solum punctum post *Τέων*, ut iam alii monuerunt, tollendum, sed etiam ante haec verba plenius distinguendum est.

17. *καὶ τοῖς Χίοις*. Articulum *τοῖς*, praestantissimis libris iubentibus, recepi. In verbis *φθάσαι τάς τε ἀπὸ τῆς Πελοποννήσου* — particula *τέ* traiecta videtur, cum rectius post *φθάσαι* statim sequeretur. Nam pertinet ad *καὶ τοῖς Χίοις — προςθεῖναι*, et ad infinitivum spectat; cum non alii h. l. memorentur, quos antevertere voluerit Alcibiades Milesios sibi conciliando, nisi naves Peloponnesiorum.

σας. Λαθόντες οὖν τὸ πλεῖστον τοῦ πλοῦ, καὶ φθάσαντες οὐ πολὺ τόν τε Στρομβιχίδην καὶ τὸν Θρασυκλέα, ὃς ἔτυχεν ἐκ τῶν Ἀθηνῶν δώδεκα ναυσὶν ἄρτι παρὼν καὶ ξυνδιώκων, ἀφιστᾶσι τὴν Μίλητον. Καὶ οἱ Ἀθηναῖοι κατὰ πόδας μιᾶς δεούσαις εἴκοσι ναυσὶν ἐπιπλεύσαντες, ὡς αὐτοὺς οὐκ ἐδέχοντο οἱ Μιλήσιοι, ἐν Λάδῃ τῇ ἐπικειμένῃ νήσῳ ἐφώρμουν. Καὶ ἡ πρὸς βασιλέα ξυμμαχία Λακεδαιμονίοις ἡ πρώτη, Μιλησίων εὐθὺς ἀποστάντων, διὰ Τισσαφέρνους καὶ Χαλκιδέως ἐγένετο ἥδε.

18. „ΕΠΙ τοῖσδε ξυμμαχίαν ἐποιήσαντο πρὸς βασιλέα καὶ Τισσαφέρνην Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. Ὁπόσην χώραν καὶ πόλεις βασιλεὺς ἔχει, καὶ οἱ πατέρες οἱ βασιλέως εἶχον, βασιλέως ἔστω· καὶ ἐκ τούτων τῶν πόλεων ὁπόσα Ἀθηναίοις ἐφοίτα χρήματα, ἢ ἄλλο τι, κωλυόντων κοινῇ βασιλέως καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, ὅπως μήτε χρήματα λαμβάνωσιν Ἀθηναῖοι, μήτε ἄλλο μηδέν. Καὶ τὸν πόλεμον τὸν πρὸς Ἀθηναίους κοινῇ πολεμούντων βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι· καὶ κατάλυσιν τοῦ πολέμου πρὸς Ἀθηναίους μὴ ἐξέστω ποιεῖσθαι, ἢν μὴ ἀμφοτέροις δοκῇ, βασιλεῖ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. Ἢν δέ τινες ἀφιστῶνται ἀπὸ βασιλέως, πολέμιοι ἔστωσαν καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις· καί, ἤν τινες ἀφιστῶνται ἀπὸ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων, πολέμιοι ἔστωσαν βασιλεῖ κατὰ ταυτά.“

19. Ἡ μὲν ξυμμαχία αὕτη ἐγένετο. Μετὰ δὲ ταῦτα οἱ Χῖοι εὐθύς, δέκα ἑτέρας πληρώσαντες ναῦς,

ſios ad defectionem faciendam inducit, paullo ante adventum Thraſyclis, qui cum duodecim Atticis navibus aderat. 18. Primum Lacedaemoniorum foedus cum rege Perſarum et Tiſſapherne. 19. Interim Diomedon Athenienſis ſedecim alias naves adducebat, quibus Chiorum quatuor vacuas occupat. Tamen Chii in Ionia, poſt-

ἔπλευσαν ἐς Ἀναίαν, βουλόμενοι περί τε τῶν ἐν Μιλήτῳ πυθέσθαι, καὶ τὰς πόλεις ἅμα ἀφιστάναι. Καί, ἐλθούσης παρὰ Χαλκιδέως ἀγγελίας αὐτοῖς, ἀποπλεῖν πάλιν, καὶ ὅτι Ἀμόργης παρέσται κατὰ γῆν στρατιᾷ, ἔπλευσαν ἐς Διὸς ἱερόν· καὶ καθορῶσιν ἑκκαίδεκα ναῦς, ἃς ὕστερον ἔτι Θρασυκλέους Διομέδων ἔχων ἀπ' Ἀθηνῶν προσέπλει. Καί, ὡς εἶδον, ἔφευγον μιᾷ μὲν νηῒ ἐς Ἔφεσον, αἱ δὲ λοιπαὶ ἐπὶ τῆς Τέω. Καὶ τέσσαρας μὲν κενὰς οἱ Ἀθηναῖοι λαμβάνουσι, τῶν ἀνδρῶν ἐς τὴν γῆν φθασάντων· αἱ δ' ἄλλαι ἐς τὴν Τηΐων πόλιν καταφεύγουσι. Καὶ οἱ μὲν Ἀθηναῖοι ἐπὶ τῆς Σάμου ἀπέπλευσαν· οἱ δὲ Χῖοι, ταῖς λοιπαῖς ναυσὶν ἀναγαγόμενοι, καὶ ὁ πεζὸς μετ' αὐτῶν, Λέβεδον ἀπέστησαν, καὶ αὖθις Ἐράς. Καὶ μετὰ τοῦτο ἕκαστοι ἐπ' οἴκου ἀπεκομίσθησαν, καὶ ὁ πεζός, καὶ αἱ νῆες.

20. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους αἱ ἐν τῷ Πειραιῷ εἴκοσι νῆες τῶν Πελοποννησίων, καταδιωχθεῖσαι τότε, καὶ ἐφορμούμεναι ἴσῳ ἀριθμῷ ὑπὸ Ἀθηναίων, ἐπέκπλουν ποιησάμεναι αἰφνίδιον, καὶ κρατήσασαι ναυ-

quam Athenienſes Samum receſſerant, Lebedum et Eras ad defectionem induxerunt. 20. Eodem illo tempore Peloponneſiorum naves, in Piraeo ab Athenienſibus clauſae, impetu facto perrumpunt, et Corinthum perveniunt.

19. *ἔπλευσαν ἐς Ἀναίαν.* Caſſ. Aug. Gr. tres Pariſſ. *ἐς Ἄναια,* quomodo alibi Thucydides hoc nomen ſcribit, quod etiam h. l. tenendum videtur. Cf. Benedict. Vide notam ad 5, 32.

ὅτι Ἀμόργης παρέσται κατὰ γῆν στρατιᾷ. De eo vide ſupra cap. 5 extr. — *ἀποπλεῖν πάλιν,* pendet ab *ἀγγελίας,* quae vox partim *iuſſum,* partim *nuntium* ſignificat.

ἐς Διὸς ἱερόν. Hoc Stephanus Byzantinus vocat *πολίχνιον Ἰωνίας μεταξὺ Λεβέδου καὶ Κολοφῶνος.*

ταῖς λοιπαῖς ναυσὶν ἀναγαγόμενοι. Vocem *ναυσίν* omnes fere Mſſ. et veteres editiones ante Steph. 2. exhibent; eandemque cum Benedicto reſtitui. Nihil enim cauſae eſt, tot codicum auctoritati obſiſtere. Ellipſis enim huius vocabuli tam frequens eſt, ut vix credibile ſit, interpretem eam hic notandam eſſe cenſuiſſe, cum paullo ante ter eiusmodi nota ſuperſederit. Neque h. l. *ναυσίν* plane ſuperfluum eſt; ſed reſpicit ad ſequens *ὁ πεζός.* Et in fine capitis ſimiliter componuntur *καὶ ὁ πεζός, καὶ αἱ νῆες.*

μαχίᾳ, τέσσαράς τε ναῦς λαμβάνουσι τῶν Ἀθηναίων, καὶ ἀποπλεύσασαι ἐς Κεγχρειὰς, τὸν ἐς τὴν Χίον καὶ τὴν Ἰωνίαν πλοῦν αὖθις παρεσκευάζοντο. Καὶ ναύαρχος αὐτοῖς ἐκ Λακεδαίμονος Ἀστύοχος ἐπῆλθεν, ᾧπερ ἐγίγνετο ἤδη πᾶσα ἡ ναυαρχία. Ἀναχωρήσαντος δὲ τοῦ ἐκ τῆς Τέω πεζοῦ, καὶ Τισσαφέρνης, αὐτὸς στρατιᾷ παραγενόμενος, καὶ ἐπικαθελὼν τὸ ἐν τῇ Τέῳ τεῖχος, εἴ τι ὑπελείφθη, ἀνεχώρησε. Καὶ Διομέδων, ἀπελθόντος αὐτοῦ, οὐ πολὺ ὕστερον δέκα ναυσὶν Ἀθηναίων ἀφικόμενος, ἐσπείσατο Τηΐοις, ὥςτε δέχεσθαι καὶ σφᾶς. Καὶ παραπλεύσας ἐπὶ Ἐρὰς, καὶ προςβαλὼν, ὡς οὐκ ἐλάμβανε τὴν πόλιν, ἀπέπλευσεν.

21. Ἐγένετο δὲ κατὰ τὸν χρόνον τοῦτον καὶ ἡ ἐν Σάμῳ ἐπανάστασις ὑπὸ τοῦ δήμου τοῖς δυνατοῖς, μετὰ Ἀθηναίων, οἳ ἔτυχον ἐν τρισὶ ναυσὶ παρόντες. καὶ ὁ δῆμος ὁ Σαμίων ἐς διακοσίους μέν τινας τοὺς πάντας τῶν δυνατῶν ἀπέκτεινε· τετρακοσίους δὲ φυγῇ ζημιώσαντες, καὶ αὐτοὶ τὴν γῆν αὐτῶν καὶ οἰκίας νειμάμενοι, Ἀθηναίων τε σφίσιν αὐτονομίαν μετὰ ταῦτα, ὡς βεβαίοις ἤδη, ψηφισαμένων, τὰ λοιπὰ διῴκουν τὴν πόλιν, καὶ τοῖς γεωμόροις μετεδίδοσαν οὔτε ἄλλου οὐδενὸς, οὔτε ἐκδοῦναι, οὔτε ἀγαγέσθαι παρ᾽ ἐκείνων, οὐδ᾽ ἐς ἐκείνους, οὐδενὶ ἔτι τοῦ δήμου ἐξῆν.

Ibi ad expeditionem in Ioniam iterum ſe parant, duce Aſtyocho Spartano, ad quem ſumma rei navalis delata erat. Diomedontem Teii, ſponſione facta, recipiunt. 21. Sami optimates a populo, auxiliantibus Athenienſibus, partim occiduntur, partim eiiciuntur; agros eorum inter ſe distribuunt cives, quibus libertatem Athenienſes con-

21. *ἡ ἐν Σάμῳ ἐπανάστασις ὑπὸ τοῦ δήμου.* Codd. Cl. Caſſ. Aug. ignorant praepoſitionem *ὑπό*.

ἐς διακοσίους μέν τινας. Ita plurimi Mſſ. Vulgo *ἐς* deeſt.

τοῖς γεωμόροις. *Γεωμόροι* iidem hic ſunt, qui paullo ante *οἱ δυνατοί*, agrorum et latifundiorum poſſeſſores. Quorum cum ducentos occidiſſent, quadringentes in exſilium egiſſent, reliquis lege et muneribus publicis et connubio interdixerunt cum plebe.

22. *Μετὰ δὲ ταῦτα, τοῦ αὐτοῦ θέρους, οἱ Χῖοι, ὥςπερ ἤρξαντο, οὐδὲν ἀπολείποντες προθυμίας, ἄνευ τε Πελοποννησίων πλήθει παρόντες ἀποστῆσαι τὰς πόλεις, καὶ βουλόμενοι ἅμα ὡς πλείστους σφίσι ξυγκινδυνεύειν, στρατεύονται αὐτοί τε τρισκαίδεκα ναυσὶν ἐπὶ τὴν Λέσβον, (ὥςπερ εἴρητο ὑπὸ τῶν Λακεδαιμονίων, δεύτερον ἐπ' αὐτὴν ἰέναι, καὶ ἐκεῖθεν ἐπὶ τὸν Ἑλλήςποντον·) καὶ ὁ πεζὸς ἅμα Πελοποννησίων τε τῶν παρόντων καὶ τῶν αὐτόθεν ξυμμάχων παρῄει ἐπὶ Κλαζομενῶν τε καὶ Κύμης. Ἦρχε δ' αὐτοῦ Εὐάλας Σπαρτιάτης, τῶν δὲ νεῶν Δεινιάδας περίοικος. Καὶ αἱ μὲν νῆες, καταπλεύσασαι, Μήθυμναν πρῶτον ἀφιστᾶσιν.*

23. *Ἀστύοχος δὲ, ὁ Λακεδαιμόνιος ναύαρχος, τέσσαρσι ναυσὶν, ὥςπερ ὥρμητο, πλέων ἐκ τῶν Κεγχρειῶν, ἀφικνεῖται ἐς Χίον· καὶ τρίτην ἡμέραν αὐτοῦ ἥκοντος, αἱ Ἀττικαὶ νῆες πέντε καὶ εἴκοσιν ἔπλεον ἐς Λέσβον, ὧν ἦρχε Λέων καὶ Διομέδων. Λέων γὰρ ὕστερον δέκα ναυσὶ προςεβοήθησεν ἐκ τῶν Ἀθηνῶν.*

cedunt, quique a re publica, adeoque a connubiis ſuorum liberorum removent lege optimates. 22. Chiorum adverſus Leſbum expeditio, qua Methymnam ad defectionem inducunt. 23. Quos Aſtyochus, Lacedaemonio-

22. *ὥςπερ ἤρξαντο — ξυγκινδυνεύειν.* Impedita vero verborum iunctura! Unde enim pendent verba: *ἀποστῆσαι τὰς πόλεις?* Utrum ab *ἤρξαντο,* an a *προθυμίας?* Neutrum absque difficultate tentaveris. Obſtant enim particulae *τέ — καί,* quae h. l. vix commode inter ſe referri poſſunt. Itaque exiſtimes, infinitivum *ἀποστῆσαι* pendere a *πλήθει παρόντες,* intellecto *ὥστε.* Ita omnia bene ſe habent; particula *τέ* ad praecedentia pertinet, non ad ſequens *καὶ βουλόμενοι ἅμα,* quam rationem vel ipſum illud *ἅμα* ſuadet. Iam antea Chii ſine Peloponneſiorum auxilio urbes Ioniae ab Athenienſibus alienare conati erant. Vid. cap. 19. *Λέβεδον ἀπέστησαν, καὶ αὖθις Ἑράς.* Una ratio reſtat, ſi a *προθυμίας* infinitivum pendere malis, nempe ut Chios invidiſſe Peloponneſiis cogites, ac ſtuduiſſe, ut ſibimet ipſis potius quam aliis recuperatam libertatem deberent. Sed nihil legimus in toto libro, quod huic ſuſpicioni conveniat.

ὥςπερ εἴρητο. Vid. cap. 8. Parentheſin, quae vulgo poſt *ἰέναι* clauditur, continuandam eſſe usque ad *Ἑλλήςποντον* iam monuit Duckerus.

Ἀναγαγόμενος δὲ καὶ ὁ Ἀστύοχος τῇ αὐτῇ ἡμέρᾳ ἐς ὀψὲ, καὶ προςλαβὼν Χίαν ναῦν μίαν, ἔπλει ἐς τὴν Λέσβον, ὅπως ὠφελοίη, εἴ τι δύναιτο. Καὶ ἀφικνεῖται ἐς τὴν Πύῤῥαν, ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἐς Ἔρεσον· ἔνθα πυνθάνεται, ὅτι ἡ Μιτυλήνη ὑπὸ τῶν Ἀθηναίων αὐτοβοεὶ ἑάλωκεν. Οἱ γὰρ Ἀθηναῖοι, ὥςπερ ἔπλεον ἀπροςδόκητοι, κατασχόντες ἐς τὸν λιμένα, τῶν τε Χίων νεῶν ἐκράτησαν, καὶ ἀποβάντες, τοὺς ἀντιστάντας μάχῃ νικήσαντες, τὴν πόλιν ἔσχον. Ἃ πυνθανόμενος ὁ Ἀστύοχος τῶν τε Ἐρεσίων, καὶ τῶν ἐκ τῆς Μηθύμνης μετ' Εὐβούλου Χίων νεῶν, αἳ, τότε καταλειφθεῖσαι, καὶ, ὡς ἡ Μιτυλήνη ἑάλω, φεύγουσαι, περιέτυχον αὐτῷ τρεῖς, (μία γὰρ ἑάλω ὑπὸ τῶν Ἀθηναίων,) οὐκέτι ἐπὶ τὴν Μιτυλήνην ὥρμησεν, ἀλλὰ, τὴν Ἔρεσον ἀποστήσας καὶ ὁπλίσας, καὶ τοὺς ἀπὸ τῶν ἑαυτοῦ νεῶν ὁπλίτας πεζῇ [παρέπλει] ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν, ἄρχοντα Ἐτεόνικον προςτάξας·

rum ſtrategus cum quatuor navibus ſequitur, cum Athenienſes eodem profectos animadvertiſſet. Hi enim ex inopinato in Mitylenae portum delati, navibus Chiorum potiti erant; deinde, cum deſcendiſſent, obſiſtentesque proelio viciſſent, urbem tenebant. Quibus cognitis, primo

23. ἐς Ἔρεσον. Codices variant inter Ἔρεσσον et Ἔρεσον. Sed meliores hic et infra ubique Ἔρεσον, Ἐρεσίων, ſimplici σ. Vide ad 3, 18.

τότε καταλειφθεῖσαι. Male vulgo καταληφθεῖσαι, cum ſequatur φεύγουσαι. Correxit iam cum Duckero Bredovius, adſtipulantibus etiam libris.

καὶ ὁπλίσας, καὶ τοὺς ἀπὸ τῶν ἑαυτοῦ νεῶν — προςτάξας. Vulgo poſt ὁπλίτας interpungitur, et abſurda lectio πεζῇ παρέπλει propagatur, quam recentiores Critici, Bredovius et Benedictus, tollere conati ſunt diverſo modo. Ille enim priore loco verba παρέπλει ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν, quae bis h. l. leguntur, expungit; hic eadem verba poſteriore loco addita ab aliena manu ideoque eiicienda eſſe cenſet commate fixo poſt πεζῇ. Illud praetulerim; utrumque tamen audacius videtur. Lenius remedium ipſe propono, ut nonniſi verbum παρέπλει poſt πεζῇ tamquam interpretamentum excludatur, et cum Bredovio comma poſt ὁπλίσας ponatur. Ita illa ὁπλίτας πεζῇ non habent quidem ſuum verbum, ſed, mutata ſtructura, ad ſequens παρέπλει ita ſunt referenda, ut

καὶ αὐτὸς ταῖς τε μεθ' ἑαυτοῦ ναυσὶ καὶ ταῖς τρισὶ ταῖς Χίαις παρέπλει ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν, ἐλπίζων, τοὺς Μηθυμναίους θαρσήσειν τε, ἰδόντας σφᾶς, καὶ ἐμμενεῖν τῇ ἀποστάσει. Ὡς δὲ αὐτῷ τὰ ἐν τῇ Λέσβῳ πάντα ἠναντιοῦτο, ἀπέπλευσε, τὸν ἑαυτοῦ στρατὸν ἀναλαβὼν, ἐς τὴν Χίον. Ἀπεκομίσθη δὲ πάλιν κατὰ πόλεις καὶ ὁ ἀπὸ τῶν νεῶν πεζὸς, ὃς ἐπὶ τὸν Ἑλλήσποντον ἐμέλλησεν ἰέναι. Καὶ ἀπὸ τῶν ἐν Κεγχρειᾷ ξυμμαχίδων Πελοποννησίων νεῶν ἀφικνοῦνται αὐτοῖς ἓξ μετὰ ταῦτα ἐς τὴν Χίον. Οἱ δὲ Ἀθηναῖοι τά τε ἐν τῇ Λέσβῳ πάλιν κατεστήσαντο, καὶ, πλεύσαντες ἐξ αὐτῆς, Κλαζομενίων τὴν ἐν τῇ ἠπείρῳ Πολίχναν τειχιζομένην ἑλόντες, διεκόμισαν πάλιν αὐτοὺς ἐς τὴν ἐν τῇ νήσῳ πόλιν, πλὴν τῶν αἰτίων τῆς ἀποστάσεως· οὗτοι δὲ ἐς Δαφνοῦντα ἀπῆλθον. καὶ αὖθις Κλαζομεναὶ προσεχώρησαν Ἀθηναίοις.

24. Τοῦ δ' αὐτοῦ θέρους οἵ τ' ἐπὶ Μιλήτῳ Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν ἐν τῇ Λάδῃ ἐφορμοῦντες, ἀπό-

Antiſſam et Methymnam progredi ſtatuebat, ut eorum animos reficeret; ſed mox, cum nihil proficeret, in Chium reverſus eſt. Athenienſes, Leſbo in priſtinam conditionem reſtituta, Clazomenas quoque recipiunt. 24. Ii autem

inde mutuentur, quod ipſis aptum ſit, v. c. παρέπεμψε, ut cap. 61. Fortaſſe Thucydides ab initio ſcribere voluerat: καὶ τοὺς — ὁπλίτας πεζῇ, καὶ τὰς ναῦς κατὰ θάλασσαν ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν παρέπεμψε. Deinde, ad Aſtyochi itineris navalis ſocietatem reſpiciens, deflexit ad aliam ſtructuram, ſubiiciens: καὶ αὐτὸς ταῖς — Χίαις παρέπλει. Quód genus anacoluthorum frequens eſt apud noſtrum Scriptorem. Vid. exempla allata ad 3, 34. Interpres quidam, verbum ad πεζῇ deſiderans, adſcripſit notam παρέπλει, quae deinde in textum irrepſit.

ταῖς Χίαις παρέπλει ἐπὶ τὴν Ἄντισσαν. Articulum τὴν plerique et optimi codices addi iubent.

καὶ ὁ ἀπὸ τῶν νεῶν πεζὸς, qui navibus traiecerat in Ioniam, ut inde verſus Helleſpontum pedeſtri itinere pergeret. Cf. cap. 22. Ὁ ἀπὸ τῶν νεῶν πεζὸς „exutus navibus peditatus, qui absque navium auxilio iter facit.“

ἐς Δαφνοῦντα. In Phocaeenſium littore ponit Plinius hanc urbem, quae Strabonis tempore ſolo aequata erat. Cf. cap. 31.

βασιν ποιησάμενοι ἐς Πάνορμον τῆς Μιλησίας, Χαλκιδέα τε τὸν Λακεδαιμόνιον ἄρχοντα, μετ' ὀλίγων παραβοηθήσαντα, ἀποκτείνουσι, καὶ τροπαῖον. τρίτῃ ἡμέρᾳ ὕστερον διαπλεύσαντες, ἔστησαν, ὃ οἱ Μιλήσιοι, ὡς οὐ μετὰ κράτους τῆς γῆς σταθὲν, ἀνεῖλον· καὶ Λέων καὶ Διομέδων, ἔχοντες τὰς ἐκ Λέσβου Ἀθηναίων ναῦς, ἔκ τε Οἰνουσσῶν, τῶν πρὸ Χίου νήσων, καὶ ἐκ Σιδούσσης, καὶ ἐκ Πτελεοῦ, ἃ ἐν τῇ Ἐρυθραίᾳ εἶχον τείχη, καὶ ἐκ τῆς Λέσβου ὁρμώμενοι, τὸν πρὸς τοὺς Χίους πόλεμον ἀπὸ τῶν νεῶν ἐποιοῦντο. Εἶχον δὲ ἐπιβάτας τῶν ὁπλιτῶν ἐκ καταλόγου ἀναγκαστούς. Καὶ ἔν τε Καρδαμύλῃ ἀποβάντες, καὶ ἐν Βολίσσῳ τοὺς προσβοηθήσαντας τῶν Χίων μάχῃ νικήσαντες, καὶ πολλοὺς διαφθείραντες, ἀνάστατα ἐποίησαν τὰ ταύτῃ χωρία. Καὶ ἐν Φαναῖς αὖθις ἄλλῃ μάχῃ ἐνίκησαν, καὶ τρίτῃ ἐν Λευκωνίῳ. Καὶ μετὰ τοῦτο οἱ μὲν Χῖοι ἤδη οὐκέτι ἐπεξῄεσαν· οἱ δὲ τὴν χώραν, καλῶς κατεσκευασμένην, καὶ ἀπαθῆ οὖσαν ἀπὸ τῶν Μηδικῶν μέχρι τότε, διεπόρθησαν. Χῖοι γὰρ μόνοι μετὰ Λακεδαιμονίους, ὧν ἐγὼ ᾐσθόμην, εὐδαιμονήσαντες, ἅμα καὶ ἐσωφρόνησαν, καὶ ὅσῳ ἐπεδίδου ἡ πόλις αὐτοῖς

Athenienſes, qui in ſtatione erant apud Ladam inſulam, cum ad Panormum Mileſiae deſcendiſſent, Chalcideum proelio vincunt et occidunt. Chium autem Leon et Diomedon, Athenienſium praefecti, appellunt, et poſtquam tribus in proeliis victores evaſerant, inſulam egregie cultam et diuturna pace florentiſſimam devaſtant adeo, ut iam nonnulli Chiorum Athenienſibus urbem tradere

24. *τὸν Λακεδαιμόνιον ἄρχοντα.* Haec iungenda eſſe patet. Vulgo ante *ἄρχοντα* comma male ponitur. Cap. 23 init. *ὁ Λακεδαιμόνιος ναύαρχος*, ubi vid. Duck. Etiam in ſequentibus diſtinctionem correxi. Nam poſt *ἔστησαν* colon mutavi in comma, poſt *ἀνεῖλον* punctum in colon, propterea quod ſequens *καὶ* pertinet ad *τέ* in verbis *οἵ τε ἐπὶ Μιλήτῳ Ἀθηναῖοι*.

Καρδαμύλῃ — Βολίσσῳ. Haec oppida erant Chiorum inſulae. — *ἀνάστατα ἐποίησαν τὰ τ. χ.* i. e. vaſtarunt huius orae loca.

ἐν Φαναῖς. Alii codices, Ar. C. Cl. Caſſ. Aug. cum Steph. Byz. *Φάναις* exhibent.

ἐπὶ τὸ μεῖζον, τόσῳ καὶ ἐκοσμοῦντο ἐχυρώτερον. Καὶ οὐδ᾽ αὐτὴν τὴν ἀπόστασιν (εἰ τοῦτο δοκοῦσι παρὰ τὸ ἀσφαλέστερον πρᾶξαι,) πρότερον ἐτόλμησαν ποιήσασθαι, ἢ μετὰ πολλῶν τε καὶ ἀγαθῶν ξυμμάχων ἔμελλον κινδυνεύσειν, καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο οὐδ᾽ αὐτοὺς ἀντιλέγοντας ἔτι μετὰ τὴν Σικελικὴν ξυμφοράν, ὡς οὐ πάνυ πονηρὰ σφῶν βεβαίως τὰ πράγματα εἴη. Εἰ δέ τι ἐν τοῖς ἀνθρωπείοις τοῦ βίου παραλόγοις ἐσφάλησαν, μετὰ πολλῶν, οἷς τὰ αὐτὰ ἔδοξε τὰ τῶν Ἀθηναίων ταχὺ ξυναιρεθήσεσθαι, τὴν ἁμαρτίαν ξυνέγνωσαν. Εἰργομένοις οὖν αὐτοῖς τῆς θαλάσσης, καὶ κατὰ γῆν πορθουμένοις, ἐνεχείρησάν τινες πρὸς Ἀθηναίους ἀγαγεῖν τὴν πόλιν· οὓς αἰσθόμενοι οἱ ἄρχοντες, αὐτοὶ μὲν ἡσύχασαν, Ἀστύοχον δὲ ἐξ Ἐρυθρῶν τὸν ναύαρχον μετὰ τεσσάρων νεῶν, αἳ παρῆσαν αὐτῷ, κομίσαντες, ἐσκόπουν, ὅπως μετριώτατα, ἢ ὁμήρων λήψει, ἢ ἄλλῳ τῳ τρόπῳ, καταπαύσουσι τὴν ἐπιβουλήν. Καὶ οἱ μὲν ταῦτα ἔπρασσον.

25. Ἐκ δὲ τῶν Ἀθηνῶν, τοῦ αὐτοῦ θέρους τελευτῶντος, χίλιοι ὁπλῖται Ἀθηναίων, καὶ πεντακόσιοι καὶ χίλιοι Ἀργείων, (τοὺς γὰρ πεντακοσίους τῶν Ἀρ-

pararent; quorum conatum principes, adducto Aſtyocho, refringere ſtudebant. 25. Interim Athenis Samum ad-

πάνυ πονηρὰ σφῶν βεβαίως τὰ πρ. Scripſi πονηρὰ pro πόνηρα. Vid. Duck. βεβαίως, i. e. ἀναμφισβητήτως. Mox pro ταῦτα ἔδοξε τὰ τ. Ἀθ. dedi e melioribus libris τὰ αὐτά, i. e. τὸν αὐτὸν τρόπον. Vulgatum ταῦτα nihili hic eſt.

ἢ ἄλλῳ τῳ τρόπῳ, καταπαύσουσι. Futurum καταπαύσουσι cum Benedicto praetuli, meliores libros ſecutus. Vid. ad cap. 6. et alibi. Male vulgo legitur τῷ τρόπῳ.

25. χίλιοι ὁπλῖται Ἀθηναίων, καὶ πεντακόσιοι καὶ χίλιοι Ἀργείων. Primo articulum τῶν ante Ἀθηναίων codicum plurimorum auctoritate abiecimus. Deinde, Kiſtemakero auctore, comma, quod erat poſt πεντακόσιοι, migrare iuſſimus poſt Ἀθηναίων, ut πεντακόσιοι ad Argivos pertineant. Patet enim ſequentibus, hos quingentos primo fuiſſe ψιλούς, deinde ὁπλίτας factos eſſe ab Athenienſibus. Etiam ordini verborum haec interpunctio convenientior videtur.

γείων. ψιλοὺς ὄντας, ὥπλισαν οἱ Ἀθηναῖοι,) καὶ χίλιοι τῶν ξυμμάχων, ναυσὶ δυοῖν δεούσαις πεντήκοντα, ὧν ἦσαν καὶ ὁπλιταγωγοὶ, Φρυνίχου καὶ Ὀνομακλέους καὶ Σκιρωνίδου στρατηγούντων, κατέπλευσαν ἐς Σάμον, καὶ διαβάντες ἐς Μίλητον, ἐστρατοπεδεύσαντο. Μιλήσιοι δὲ, ἐξελθόντες, αὐτοί τε ὀκτακόσιοι ὁπλῖται, καὶ οἱ μετὰ Χαλκιδέως ἐλθόντες Πελοποννήσιοι, καὶ Τισσαφέρνους τὸ ξενικὸν ἐπικουρικὸν, καὶ αὐτὸς Τισσαφέρνης παρὼν, καὶ ἡ ἵππος αὐτοῦ, ξυνέβαλον τοῖς Ἀθηναίοις καὶ ξυμμάχοις. Καὶ οἱ μὲν Ἀργεῖοι τῷ σφετέρῳ αὐτῶν κέρα προεξάξαντες, καὶ καταφρονήσαντες, ὡς ἐπὶ Ἴωνάς τε καὶ οὐ δεξομένους, ἀτακτότερον χωροῦντες, νικῶνται ὑπὸ τῶν Μιλησίων, καὶ διαφθείρονται αὐτῶν ὀλίγῳ ἐλάσσους τριακοσίων ἀνδρῶν. Ἀθηναῖοι δὲ, τούς τε Πελοποννησίους πρώτους νικήσαντες, καὶ τοὺς βαρβάρους καὶ τὸν ἄλλον ὄχλον ὠσάμενοι, τοῖς Μιλησίοις οὐ ξυμμίξαντες, ἀλλ', ὑποχωρησάντων αὐτῶν ἀπὸ τῆς τῶν Ἀργείων τροπῆς ἐς τὴν πόλιν, ὡς ἑώρων τὸ ἄλλο σφῶν ἡσσώμενον, πρὸς αὐτὴν τὴν πόλιν τῶν Μιλησίων κρατοῦντες ἤδη,

vecta eſt claſſis duodequinquaginta navium cum militibus gravis armaturae mille Athenienſibus, quingentis et mille Argivis, ducibus Phrynicho, Onomacle et Scironida. Qui cum Miletum transiiſſent et caſtra poſuiſſent, proelio vicerunt Mileſios et Tiſſaphernis barbaros cum iis Pelopon-

προεξάξαντες. Hanc lectionem, utut minus conſuetam cum aliis Atticis, tum Thucydidi, tamen h. l. tenendam eſſe cenſeo. Eam enim ſuppeditant firmantque praeſtantiſſimi libri. Deteriores praebent *προεξάρξαντες*, quo nihil iuvamur. Ceterum *προεξάγειν* intelligendum non de tempore, ſed de loco. Cupidius et inconſideratius Argivi procedebant in altero cornu, mediam aciem et alterum cornu relinquentes.

ἀλλ' — πρὸς αὐτὴν τὴν πόλιν τῶν Μιλησίων κρατοῦντες ἤδη, τὰ ὅπλα τιθ. Niſi comma poſt *Μιλησίων* tollatur, manca eſt et debilis loci ſtructura. Nam *ἀλλά* participium flagitat, cum reſpondeat praecedenti *οὐ ξυμμίξαντες.* Neque haec noſtra diſtinctio impedit, quo minus verba *πρὸς αὐτὴν τὴν πόλιν* etiam ad *τὰ ὅπλα τίθενται* referantur, vel potius ſubintelligantur.

τὰ ὅπλα τίθενται. Καὶ ξυνέβη ἐν τῇ μάχῃ ταύτῃ τοὺς Ἴωνας ἀμφοτέρων τῶν Δωριέων κρατῆσαι. Τούς τε γὰρ κατὰ σφᾶς Πελοποννησίους οἱ Ἀθηναῖοι ἐνίκων, καὶ τοὺς Ἀργείους οἱ Μιλήσιοι. Στήσαντες δὲ τροπαῖον, τὸν περιτειχισμὸν, ἰσθμώδους ὄντος τοῦ χωρίου, οἱ Ἀθηναῖοι παρεσκευάζοντο· νομίζοντες, εἰ προσαγάγοιντο Μίλητον, ῥᾳδίως ἂν σφίσι καὶ τὰ ἄλλα προσχωρήσειν.

26. Ἐν τούτῳ δὲ, περὶ δείλην ἤδη ὀψίαν, ἀγγέλλεται αὐτοῖς, τὰς ἀπὸ Πελοποννήσου καὶ Σικελίας πέντε καὶ πεντήκοντα ναῦς ὅσον οὐ παρεῖναι. Τῶν τε γὰρ Σικελιωτῶν, Ἑρμοκράτους τοῦ Συρακουσίου μάλιστα ἐνάγοντος ξυνεπιλαβέσθαι τῆς ὑπολοίπου Ἀθηναίων καταλύσεως, εἴκοσι νῆες Συρακουσίων ἦλθον, καὶ Σελινούντιαι δύο· αἵ τε ἐκ Πελοποννήσου, ἃς παρεσκευάζοντο, ἕτοιμοι ἤδη οὖσαι· καὶ Θηραμένει τῷ Λακεδαιμονίῳ ξυναμφότεραι ὡς Ἀστύοχον τὸν ναύαρχον προσταχθεῖσαι κομίσαι, κατέπλευσαν ἐς Ἐλεὸν πρῶτον, τὴν πρὸ Μιλήτου νῆσον· ἔπειτα ἐκεῖθεν, αἰσθόμενοι ἐπὶ Μιλήτῳ ὄντας Ἀθηναίους, ἐς τὸν Ἰασικὸν κόλπον πρότερον πλεύσαντες, ἐβούλοντο εἰδέναι τὰ περὶ τῆς Μιλήτου. Ἐλθόντος δὲ Ἀλκιβιάδου ἵππῳ ἐς Τειχιοῦσσαν τῆς Μιλησίας, ἧπερ τοῦ κόλπου πλεύσαντες ηὐλίσαντο, πυνθάνονται τὰ περὶ τῆς μάχης. Παρῆν γὰρ καὶ ὁ Ἀλκιβιάδης, καὶ ξυνεμάχετο

nefiorum, qui aderant. Iamque in eo erant, ut ad Mileti circumvallationem fe pararent, cum 26. de adventu

ῥᾳδίως ἂν σφίσι καὶ τὰ ἄλλα προσχωρήσειν. Ita totidem fere verbis 2, 80 extr. Et faepe Thucydides particulam ἂν et cum futuro eleganter iungit, et cum futuri infinitivo. Vid. cap. 71 init. οὐκ ἂν ἡσυχάσειν.

26. καὶ Θηραμένει. Plenius interpungendum effe ante haec verba, docuit Kiftemakerus. Nam αἵ τε ἐκ Πελοποννήσου melius pendent ab ἦλθον, quam referuntur ad κατέπλευσαν propter interiectum ξυναμφότεραι. — κομίσαι, int. (ὥστε) αὐτάς.

παρῆν γάρ, nempe τῇ μάχῃ. — Particula καί ante ὁ Ἀλκιβιάδης abeft a Gr. Caff. Aug. et quatuor Pariff.

τοῖς Μιλησίοις καὶ Τισσαφέρνει. Καὶ αὐτοῖς παρῄνει, εἰ μὴ βούλονται τά τε ἐν Ἰωνίᾳ καὶ τὰ ξύμπαντα πράγματα διολέσαι, ὡς τάχιστα βοηθεῖν Μιλήτῳ, καὶ μὴ περιϊδεῖν ἀποτειχισθεῖσαν.

27. *Καὶ οἱ μὲν ἅμα τῇ ἕῳ ἔμελλον βοηθήσειν· Φρύνιχος δὲ, ὁ τῶν Ἀθηναίων στρατηγὸς, ὡς ἀπὸ τῆς Λέρου ἐπύθετο τὰ τῶν νεῶν σαφῶς, βουλομένων τῶν ξυναρχόντων ὑπομείναντας διαναυμαχεῖν, οὐκ ἔφη οὔτ' αὐτὸς ποιήσειν τοῦτο, οὔτ' ἐκείνοις, οὔτ' ἄλλῳ οὐδενὶ, ἐς δύναμιν ἐπιτρέψειν. Ὅπου γὰρ ἔξεστιν ἐν ὑστέρῳ, σαφῶς εἰδότας, πρὸς ὁπόσας τε ναῦς πολεμίας, καὶ ὅσαις πρὸς αὐτὰς ταῖς σφετέραις, ἱκανῶς καὶ καθ' ἡσυχίαν παρασκευασαμένοις ἔσται ἀγωνίσασθαι, οὐδέποτε, τῷ αἰσχρῷ ὀνείδει εἴξας, ἀλόγως διακινδυνεύσειν. Οὐ γὰρ αἰσχρὸν εἶναι, Ἀθηναίους ναυ-*

classis Peloponnesiorum et Siciliensium, quae quinquaginta quinque navium erat, nuntius afferretur. 27. Tum ceteris praefectis pugnae periculum facere cupientibus,

27. *ὡς ἀπὸ τῆς Λέρου — σαφῶς.* Ita soli codd. Ar. Dan. Mosq. Aug. ex correctione. Ceteri *Δέρου*, C. *Λέσβου.* Sed *Λέρου* legendum esse coniecit iam Palmerius. Haec insula ad Sporadas pertinet, vid. Herodot. 5, 125. Strabo XIV, 437. Litterae *Δ* et *Λ* propter similitudinem facile permutari potuerunt. — Mox, monentibus iam aliis, comma *post σαφῶς* fixi, quia hoc vocabulum non ad *βουλομένων* pertinet, sed ad *ἐπύθετο.*

ὅπου γὰρ ἔξεστιν ἐν ὑστέρῳ — διακινδυνεύσειν. Sententia perspicua est, non item verborum structura. Nam licet ad *ἔξεστιν* ex sequentibus subaudias *ἀγωνίσασθαι*, idque verbum bis intelligas, quod plane fiat de more Nostri; tamen molesta est casuum in *σαφῶς εἰδότας* et *παρασκευασαμένοις* diversitas. Sed ne haec quidem a Thucydidis dicendi genere aliena; et h. l. etiam minus offendere debet, cum Scriptor orationem mutaverit. Nam duae h. l. structurae in unam minus apte coaluerunt. Primum enim scribere volebat: *ὅπου γὰρ ἔξεστιν, σαφῶς εἰδότας, πρὸς ὁπ. — ταῖς σφετέραις ἀγωνιστέον ἐστὶ, ἀγωνίσασθαι.* — deinde vero mutabat consilium, atque ita continuabat periodum, quasi simpliciter incepisset: *ὅπου γὰρ* (sine *ἔξεστιν*) *ἱκανῶς καὶ καθ' ἡσυχίαν παρασκευασαμένοις ἔσται ἀγωνίσασθαι* —. Scholiastes, qui *ἔσται* abundare dicit, non cepit locum. Dativus *παρασκευασαμένοις* autem, ut eo revertamur, propter *ἔσται* necessarius est; contra accusativus *σαφῶς εἰδότας*, cum infinitivo *ἀγωνίσασθαι*, quem subaudiendum esse supra demonstravimus, coniunctus, recte se habet.

τικῷ μετὰ καιροῦ ὑποχωρῆσαι· ἀλλὰ καὶ μετὰ ὁτουοῦν τρόπου αἴσχιον ξυμβήσεσθαι, ἢν ἡσσηθῶσι· καὶ τὴν πόλιν οὐ μόνον τῷ αἰσχρῷ, ἀλλὰ καὶ τῷ μεγίστῳ κινδύνῳ περιπίπτειν· ᾗ μόγις ἐπὶ ταῖς γεγενημέναις ξυμφοραῖς ἐνδέχεσθαι μετὰ βεβαίου παρασκευῆς καθ᾽ ἑκουσίαν, ἢ πάνυ γε ἀνάγκη, προτέρᾳ ποι ἐπιχειρεῖν, ποῦ δὴ, μὴ βιαζομένη γε, πρὸς αὐθαιρέτους κινδύνους ἰέναι; Ὡς τάχιστα δὲ ἐκέλευε, τούς τε τραυματίας ἀναλαβόντας, καὶ τὸν πεζὸν, καὶ τῶν σκευῶν, ὅσα ἦλθον ἔχοντες, ἃ δ᾽ ἐκ τῆς πολεμίας εἰλήφασι, καταλιπόντας, ὅπως κοῦφαι ὦσιν αἱ νῆες, ἀποπλεῖν ἐς Σάμον· κἀκεῖθεν ἤδη ξυναγαγόντας τὰς ναῦς, τοὺς ἐπίπλους, ἤν που καιρὸς εἴη, ποιεῖσθαι. Ὡς δὲ ἔπεισε, καὶ ἔδρασε ταῦτα· καὶ ἔδοξεν οὐκ ἐν τῷ αὐτίκα μᾶλλον, ἢ ὕστερον, οὐκ ἐς τοῦτο μόνον, ἀλλὰ καὶ, ἐς ὅσα ἄλλα Φρύνιχος κατέστη, οὐκ ἀξύνετος εἶναι. Καὶ οἱ μὲν Ἀθηναῖοι ἀφ᾽ ἑσπέρας εὐθὺς τούτῳ τῷ τρόπῳ ἀτελεῖ τῇ νίκῃ ἀπὸ τῆς Μιλήτου ἀνέστησαν. καὶ οἱ Ἀργεῖοι κατὰ τάχος καὶ πρὸς ὀργὴν τῆς ξυμφορᾶς ἀπέπλευσαν ἐκ τῆς Σάμου ἐπ᾽ οἴκου.

reſtitit Phrynichus ſolus, et pervicit, ut ipſo victoriae

αἴσχιον ξυμβήσεσθαι, ἢν ἡσσ. i. e. turpius etiam fore, ſi victi fuerint, quomodocumque id contingeret. — *ᾗ μόγις — ἐνδέχεσθαι — πρὸς αὐθαιρέτους κινδύνους ἰέναι.* Haec verba in ed. Lipſ. prava interpunctione laborabant. Nam comma ante ᾗ in colon, et poſt ἰέναι in ſignum interrogandi mutandum eſt. *Μόγις* hic omnes cum Schol. Sed Scholiaſtes cod. Aug. habet *μόλις.* Vide, quae ad 7, 40 dicta ſunt. — *καθ᾽ ἑκουσίαν* verum puto, cum Benedictus e deterioribus libris commendet *καθ᾽ ἐξουσίαν.* Subintelligendum eſt *μᾶλλον,* quod ſaepe ante ἢ omittitur. — *προτέρᾳ* refer ad ᾗ, quaſi ſit *προεπιχειρεῖν,* quemadmodum haud dubie ſcribendum in Scholiis pro *προσεπιχειρεῖν.* Denique infinitivus *ἰέναι* unde pendet? Crediderim *ἐνδέχεσθαι* repetendum eſſe ex antecedentibus, vel bis intelligendum. Cuius generis ſtructurae paullo ante hoc ipſo capite exemplum illuſtravimus. De conſtructione infinitivi cum particulis et pronomine relativo dixi ad 2, 102.

καὶ ἔδρασεν. Vulgo haec uncis includuntur, incerta de cauſa; nam nihil e codicibus enotatur. Sed neceſſaria h. l. ea eſſe verba, recte iudicat Bauerus.

28. Οἱ δὲ Πελοποννήσιοι, ἅμα τῇ ἕῳ ἐκ τῆς Τειχιούσσης ἄραντες, ἐπικατάγονται, καὶ μείναντες ἡμέραν μίαν, τῇ ὑστεραίᾳ καὶ τὰς Χίας ναῦς προςλαβόντες, τὰς μετὰ Χαλκιδέως τὸ πρῶτον ξυγκαταδιωχθείσας, ἐβούλοντο πλεῦσαι ἐπὶ τὰ σκεύη, ἃ ἐξείλοντο, ἐς Τειχιοῦσσαν πάλιν. Καὶ ὡς ἦλθον, Τισσαφέρνης τῷ πεζῷ παρελθὼν, πείθει αὐτοὺς ἐπὶ Ἴασον, ἐν ᾗ Ἀμόργης, πολέμιος ὢν, κατεῖχε, πλεῦσαι. Καὶ προςβαλόντες τῇ Ἰάσῳ αἰφνίδιοι, καὶ οὐ προςδεχομένων ἀλλ' ἢ Ἀττικὰς ναῦς εἶναι, αἱροῦσι. Καὶ μάλιστα ἐν τῷ ἔργῳ οἱ Συρακούσιοι ἐπῃνέθησαν. Καὶ τόν τε Ἀμόργην ζῶντα λαβόντες, Πισσούθνου νόθον υἱὸν, ἀφεστῶτα δὲ βασιλέως, παραδιδόασιν οἱ Πελοποννήσιοι Τισσαφέρνει ἀπαγαγεῖν, εἰ βούλεται, βασιλεῖ, ὥςπερ αὐτῷ προςέταξε· καὶ τὴν Ἴασον διεπόρθησαν. Καὶ χρήματα πάνυ πολλὰ ἡ στρατιὰ ἔλαβε· παλαιόπλουτον γὰρ ἦν τὸ χωρίον. Τούς τ' ἐπικούρους τοὺς περὶ

die vefpere a Mileto Samum fe reciperent. 28. Tum Peloponnefiorum peditatus lafum urbem, qua Amorges fe continebat, vi capiunt, et Amorgen vivum Tiffapherni

28. ἐπικατάγονται, int. εἰς Μίλητον. — Mox verba τὰς μετὰ Χαλκιδέως τὸ πρῶτον ξυγκαταδιωχθείσας rectiffime Kiftemakerus refert ad ea, quae fupra cap. 17 leguntur de navibus Chiis Peloponnefiisque, quibuscum Chalcideus primo Miletum properabat, mox infequentibus Athenienfibus Strombichide et Thrafycle, qui ibi dicitur ξυνδιώκων. — Poft ἐξείλοντο virgula interpunximus, quia fequentia melius cum πλεῦσαι iunguntur. Ita iam Acacius ceperat, qui τὰ σκεύη intelligit *impedimenta*; vide cap. 27. καὶ (ἀναλαβόντας) τῶν σκευῶν, ὅσα ἦλθον ἔχοντες, ἃ δ' ἐκ τῆς πολεμίας εἰλήφασι, καταλιπόντας, ὅπως κοῦφαι ὦσιν αἱ νῆες. Cf. c. 43. τὰ — σκεύη τῶν νεῶν. Ergo funt utenfilia, quae, ne naves nimis gravarentur, ante proelium deponebantur.

ἐπὶ Ἴασον. Alii Scriptores hoc oppidum, in Mileti vicinia fitum, Ἴασσον fcribunt. — κατεῖχε, int. ἑαυτόν. — Paullo poft ἀλλ' ἤ, *nifi*, fcribendum, non ἄλλ' ἤ cum Bauero et Benedicto. Si ἄλλο intelligendum effet, defideraretur τί. Atqui hoc ipfum latius pateret. Nam *naves* quidem effe videbant; fed non opinabantur nifi *Atticas* adeffe.

καὶ τόν τε Ἀμόργην. Plene interpunxi ante haec verba, quia fubiectum loci οἱ Πελοποννήσιοι fequitur, neque haec omnia ad folos Syracufanos bene poffunt referri.

τὸν Ἀμόργην παρὰ σφᾶς αὐτοὺς κομίσαντες, καὶ οὐκ ἀδικήσαντες, ξυνέταξαν, ὅτι ἦσαν οἱ πλεῖστοι ἐκ Πελοποννήσου. Τό, τε πόλισμα Τισσαφέρνει παραδόντες, καὶ τὰ ἀνδράποδα πάντα, καὶ δοῦλα καὶ ἐλεύθερα, ὧν καθ' ἕκαστον στατῆρα Δαρεικὸν παρ' αὐτοῦ ξυνέβησαν λαβεῖν, ἔπειτα ἀνεχώρησαν ἐς τὴν Μίλητον. Καὶ Πεδάριτόν τε τὸν Λέοντος ἐς τὴν Χίον ἄρχοντα Λακεδαιμονίων πεμψάντων, ἀποστέλλουσι πεζῇ μέχρι Ἐρυθρῶν, ἔχοντα τὸ παρὰ Ἀμόργου ἐπικουρικὸν, καὶ ἐς τὴν Μίλητον αὐτοῦ Φίλιππον καθιστᾶσι. Καὶ τὸ θέρος ἐτελεύτα.

29. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, ἐπειδὴ τὴν Ἴασον κατεστήσατο ὁ Τισσαφέρνης ἐς φυλακὴν, παρῆλθεν ἐς τὴν Μίλητον, καὶ μηνὸς μὲν τροφὴν, ὥςπερ ὑπέστη ἐν τῇ Λακεδαίμονι, ἐς δραχμὴν Ἀττικὴν ἑκάστῳ πάσαις ταῖς ναυσὶ διέδωκε· τοῦ δὲ λοιποῦ χρόνου ἐβούλετο τριώβολον διδόναι, ἕως ἂν βασιλέα ἐπέρηται· ἢν δὲ κελεύῃ, ἔφη, δώσειν ἐντελῆ τὴν δραχμήν. Ἑρμοκράτους δὲ ἀντειπόντος, τοῦ Συρακουσίου στρατηγοῦ, (ὁ γὰρ Θηραμένης, οὐ ναύαρχος ὢν, ἀλλ'

tradunt. Qua expeditione grandem pecuniam milites adepti, Miletum rediere. 29. Quantum ſtipendii

ξυνέταξαν. Schol. vulg. *συνηρίθμησαν*, et Schol. Aug. cod. *κατέταξαν εἰς τὸ ἴδιον στράτευμα.* Illud rectius eſt; hoc enim eſſet *ξυνετάξαντο.* Et docent ſequentia *τὸ παρὰ Ἀμόργου ἐπικουρικόν*, hunc militem ſeorſum eſſe habitum.

τό, τε πόλισμα Τισσαφέρνει παραδόντες. Niſi diſtinctio corrigatur, haec valde offendunt. Deeſt enim verbum finitum. Tollitur difficultas mutato poſt *λαβεῖν* puncto in comma. Vocabulum *ἔπειτα* fucum fecit interpretibus; quae apodoſi bene convenit, et participiis praecedentibus nonnumquam ſubiicitur.

ἐς τὴν Μίλητον αὐτοῦ. *Αὐτοῦ* indicat, ipſos Mileti fuiſſe, cum Philippum ibi conſtituerent praefectum. Eſt igitur *in ipſo illo loco*, ubi iam erant vel verſabantur.

29. *ἐς δραχμὴν Ἀττικὴν ἑκάστῳ*, i. e. *quotidie* miles drachmam Atticam ſtipendii loco accipiebat. Triobolon eſt dimidium drachmae, quae conſtat ſex obolis, et *Francis*, Franco-gallicae monetae, pretio aequalis eſt.

οὐ ναύαρχος ὢν — ξυμπλέων. Vide cap. 26 med.

Ἀστυόχῳ παραδοῦναι τὰς ναῦς ξυμπλέων, μαλακὸς ἦν περὶ τοῦ μισθοῦ,) ὅμως δὲ παρὰ πέντε ναῦς πλέον ἀνδρὶ ἑκάστῳ, ἢ τρεῖς ὀβολοὶ, ὡμολογήθησαν. Ἐς γὰρ πέντε ναῦς [καὶ πεντήκοντα] τρία τάλαντα ἐδίδου

Tiſſaphernes ſociis Graecis vel dederit, vel promiſerit.

ὅμως δὲ παρὰ πέντε ναῦς — ὡμολογήθησαν. Plerique interpretes verba παρὰ πέντε ναῦς accipiunt „praeter quinque naves", ſcilicet quibus Chalcideus cum Alcibiade in Ioniam primum erat vectus, cap. 12. Qua interpretatione totum locum, etiam aliis de cauſis maxime intricatum, magis etiam obſcurant. Neque haec Thucydidis mens eſſe poteſt, propterea quod ita dicendum ſaltem fuiſſet παρὰ τὰς πέντε ναῦς, ac ne hoc quidem ſatis. Sed quid moror? Scriptor ipſe ſe explicat ſequentibus verbis ἐς γὰρ πέντε ναῦς καὶ πεντήκοντα τρία τάλαντα ἐδίδου τοῦ μηνός, quae tamen ſine dubio interpolatione corrupta ſunt. Mitto aliorum diſputationes de hoc impeditiſſimo loco, quam breviſſime potero expoſiturus, quid mihi ipſi videatur. Verba igitur καὶ πεντήκοντα ab interprete, qui meminerat e cap. 26., quinquaginta quinque naves Peloponneſiorum adveniſſe, adſcripta eſſe cenſeo, quam coniecturam, inter alias iam a Palmerio prolatam, probavit etiam Duckerus. Nam, ut ab initio ordiar, cap. 5. Thucydides breviter narrat, Tiſſaphernem Peloponneſiis promiſiſſe alimenta ſ. ſtipendium (τροφὴν παρέξειν). Etiamſi ibi non explicet, quantum ſingulis nautis in ſingulos dies promiſerit, tamen eum drachmam Atticam ſe daturum oſtendiſſe, recte colligimus tum ex verbis huius capitis: μηνὸς μὲν τροφὴν, ὥσπερ ὑπέστη ἐν τῇ Λακεδαίμονι, ἐς δραχμὴν Ἀττ. ἑκάστῳ πάσαις ταῖς ναυσὶ διέδωκε, tum vero ex eo, quod Hermocrates Tiſſapherni, dimidium tantum eius ſummae in poſterum offerenti, reclamabat, tamquam ille pactum non ſervaret. Qua monitione Tiſſaphernes permotus eſt, non quidem ut integrum ſtipendium, drachmam Atticam, ſolveret, ſed tamen ut in *quinas naves* ἐπίμετρον quoddam concederet. Cum enim in quinas naves tria talenta expenderet, ſinguli nautae praeter quotidianum triobolum quot menſibus octo drachmas et duos obolos accipiebant, quae epimetri ſumma in diem valet unum obolum cum beſſe; ergo ſingulis nautis quotidie quatuor oboli et bes praebebantur. Nam ſi duceni in ſingulis navibus nautae erant, (qui numerus certe efficitur ex iis, quae Xenophon Hiſt. Gr. I, 5, 5 ſq. de diurno triobolo in ſingulos nautas, vel menſtruis triginta minis in ſingulas naves a Cyro iuniore in Peloponneſiorum claſſem erogatis tradit;) quinarum navium efficiuntur mille, quibus in triginta dies triginta millia portionum ſtipendii ſolvenda erant, i. e. triginta millia triobolorum, vel quindecim millia drachmarum. Tria autem talenta aequalia ſunt octodecim millibus drachmarum. Ergo tria drachmarum millia ſuper deſtinatum triobolorum ſtipendium quot menſibus diſtribuenda erant quinarum navium mille militibus. Nec vero audimus eos, qui totam hanc rationem pertur-

τοῦ μηνός· καὶ τοῖς ἄλλοις, ὅσῳ πλείους νῆες ἦσαν τούτου τοῦ ἀριθμοῦ, κατὰ τὸν αὐτὸν λόγον τοῦτον ἐδίδοτο.

30. *Τοῦ δ' αὐτοῦ χειμῶνος τοῖς ἐν τῇ Σάμῳ Ἀθηναίοις, (προςαφιγμέναι γὰρ ἦσαν καὶ οἴκοθεν ἄλλαι*

30. Athenienſes in Samo triginta quinque aliis navibus, quae duce Charmino Athenis ſubmiſſae erant, aucti, ita

bant eo, quod contendunt, non parem omnibus portionem ſtipendii datam eſſe, credibile videri. Primum enim de tali discrimine nihil monet Thucydides, qui contra *παρὰ πέντε ναῦς πλέον ἀνδρὶ ἑκάστῳ, ἢ τρεῖς ὀβολοί, ὡμολογήθησαν* diſerte dicit. Deinde cum hoc ſtipendium *alimentorum* loco praeberetur, ne veriſimile quidem eſt, inter nautas et epibatas adeoque trierarchos discrimen eſſe factum. Quae ſi vere disputaſſe cuipiam videamur, ſequitur primum *παρὰ πέντε ναῦς* nihil aliud eſſe, quam *ἐς πέντε ναῦς*, in quinas naves; deinde verba *καὶ πεντήκοντα* delenda eſſe tamquam interpretamentum ineptum, omnem horum verborum ſententiam perturbans. Neque enim erant quinquaginta quinque Peloponneſiorum naves, ſed ſexaginta, cum quinque iam antea cum Chalcideo adveniſſent, quae licet nunc a Chiis completae eſſent (cf. cap. 17), tamen milites ex iis, relicti apud Chios, idem ſtipendium merere debebant. Confirmant interpretationem et lectionem noſtram ea, quae ſtatim ſequuntur: *καὶ τοῖς ἄλλοις, ὅσῳ πλείους νῆες ἦσαν τούτου τοῦ ἀριθμοῦ, κατὰ τὸν αὐτὸν λόγον ἐδίδοτο.* Nam ſi *πέντε ναῦς καὶ πεντήκοντα* ſcripſiſſet Thucydides, non ſolum exigua nimis ſumma in tantum numerum efficerentur tria talenta, ſed etiam non reſtarent naves, de quibus haec verba dici non abſurde poſſent. *Τούτου τοῦ ἀριθμοῦ* eſt *τῶν πέντε νεῶν*. Verba autem *καὶ πεντήκοντα* praeter alia locus quoque, quem obtinent, quodammodo ſuſpecta reddit, quod iam Duckerus ſignificavit. Neque enim Noſter numeros dividere ſolet, alio nomine interpoſito. Quare ſupra cap. 25 init. recte nobis diſtinxiſſe videmur *χίλιοι ὁπλῖται Ἀθηναίων, καὶ πεντακόσιοι καὶ χίλιοι Ἀργείων*, cum olim *καὶ πεντακόσιοι* ad *Ἀθηναίων* referretur.

30. *τοῖς ἐν τῇ Σάμῳ Ἀθηναίοις.* Cl. habet *οἱ ἐν τ. Σ.*, quemadmodum Bredovius legendum eſſe contendit. Sed mirum eſſet, ſi codices omnes a faciliore lectione ad difficiliorem declinaſſent. Vulgatam igitur non movendam puto; parentheſin vero arctioribus limitibus, quam vulgo fit, circumſcribendam. Vulgo enim prior parentheſeos nota ponitur ante *προςαφιγμέναι*, poſterior poſt *ξυναγαγόντες*. Thucydides autem de more ſuo inchoatam ſtructuram alia ratione ad finem perducit. Cum enim verba *καὶ στρατηγοὶ — Εὐκτήμων* ad parentheſin pertinerent, ab iis ſtatim, quaſi cum totius periodi verbo finito iungenda eſſent, ad ſequentia ita procedit, ut bis illa verba intelligere, aut, ſi exacte quaeras, inde *οἱ στρατηγοὶ* ſubaudire, neceſſe ſit. — *Strombichides* utrum idem ſit, qui ſupra cap. 17. et alibi inter Athenienſium duces memoratur, an diverſus ab eo, dubites, cum hic de aliis ducibus ſermo ſit.

νῆες πέντε καὶ τριάκοντα, καὶ στρατηγοὶ, Χαρμῖνος καὶ Στρομβιχίδης καὶ Εὐκτήμων·) καὶ τὰς ἀπὸ Χίου πάσας καὶ τὰς ἄλλας ξυναγαγόντες, ἐβούλοντο, διακληρωσάμενοι, ἐπὶ μὲν τῇ Μιλήτῳ τῷ ναυτικῷ ἐφορμεῖν, πρὸς δὲ τὴν Χίον καὶ ναυτικὸν καὶ πεζὸν πέμψαι καὶ ἐποίησαν οὕτω. Στρομβιχίδης μὲν γὰρ καὶ Ὀνομακλῆς καὶ Εὐκτήμων, τριάκοντα ναῦς ἔχοντες, καὶ τῶν ἐς Μίλητον ἐλθόντων χιλίων ὁπλιτῶν μέρος ἀγαγόντες ἐν ναυσὶν ὁπλιταγωγοῖς, ἐπὶ Χίον λαχόντες ἔπλεον· οἱ δ᾽ ἄλλοι, ἐν Σάμῳ μένοντες, τέσσαρσι καὶ ἑβδομήκοντα ναυσὶν ἐθαλασσοκράτουν, καὶ ἐπίπλουν τῇ Μιλήτῳ ἐποιοῦντο.

31. Ὁ δ᾽ Ἀστύοχος, ὡς τότε ἐν τῇ Χίῳ ἔτυχε διὰ τὴν προδοσίαν τοὺς ὁμήρους καταλεγόμενος, τούτου μὲν ἐπέσχεν, ἐπειδὴ ᾔσθετο τάς τε μετὰ Θηραμένους ναῦς ἡκούσας, καὶ τὰ περὶ τὴν ξυμμαχίαν βελτίω ὄντα· λαβὼν δὲ ναῦς, τάς τε Πελοποννησίων δέκα, καὶ Χίας δέκα, ἀνάγεται. Καὶ προςβαλὼν Πτελεῷ, καὶ οὐχ ἑλὼν, παρέπλευσεν ἐπὶ Κλαζομενάς· καὶ ἐκέλευεν αὐτῶν τοὺς τὰ Ἀθηναίων φρονοῦντας ἀνοικίζεσθαι ἐς τὸν Δαφνοῦντα, καὶ προςχωρεῖν σφίσι. ξυνεκέλευε δὲ καὶ Τα-

dividunt copias ſuas, ut triginta naves Chium proficiſcantur, quatuor autem et ſeptuaginta ad Samum remaneant. 31. Aſtyochi expeditio in Pteleum et Clazomenas irrita

At enim vero ille Strombichides Athenas interim rediiſſe et cum aliis navibus denuo miſſus eſſe videatur.

τῶν ἐς Μίλητον ἐλθόντων χιλ. ὁπλ. Vid. cap. 25 init.

οἱ δ᾽ ἄλλοι, Charminus, Phrynichus, Scironides; Nam Thraſycles (cap. 17 coll. 19.) videtur iam Athenas regreſſus eſſe, item Leon et Diomedon, qui infra cap. 54. narrantur ad claſſem miſſi.

31. διὰ τὴν προδοσίαν. Vid. cap. 24 extr. τὰ περὶ τὴν ξυμμαχίαν, in univerſum de ſocietatis vel ſociorum conditione intelligendum, quippe qui recens adiuti erant magna claſſe Peloponneſiorum, et ſtipendio Tiſſaphernis, neque clade ad Miletum valde afflicti erant.

ἀνοικίζεσθαι ἐς τὸν Δαφνοῦντα. De Daphnunte vide ad cap. 23. Quid ſit ἀνοικίζεσθαι, diſce ex 1, 7 extr. Mox Ταμὼς dedi pro Τάμως. Cf. Ducker ad cap. 87.

μὸς, Ἰωνίας ὕπαρχος ὤν. Ὡς δ' οὐκ ἐςήκουον, ἐςβολὴν ποιησάμενος τῇ πόλει, οὔσῃ ἀτειχίστῳ, καὶ οὐ δυνάμενος ἑλεῖν, ἀπέπλευσεν ἀνέμῳ μεγάλῳ, αὐτὸς μὲν ἐς Φώκαιαν καὶ Κύμην, αἱ δὲ ἄλλαι νῆες κατῆραν ἐς τὰς ἐπικειμένας ταῖς Κλαζομεναῖς νήσους, Μαράθουσαν καὶ Πήλην καὶ Δρυμοῦσσαν· καὶ ὅσα ὑπεξέκειτο αὐτόθι τῶν Κλαζομενίων, ἡμέρας ἐμμείναντες διὰ τοὺς ἀνέμους ὀκτὼ, τὰ μὲν διήρπασαν καὶ ἀνάλωσαν, τὰ δὲ ἐςβαλόμενοι, ἀπέπλευσαν ἐς Φώκαιαν καὶ Κύμην ὡς Ἀστύοχον.

32. Ὄντος δ' αὐτοῦ ἐνταῦθα, Λεσβίων πρέσβεις ἀφικνοῦνται, βουλόμενοι ἀποστῆναι· καὶ αὐτὸν μὲν πείθουσιν· ὡς δ' οἵ τε Κορίνθιοι καὶ οἱ ἄλλοι ξύμμαχοι ἀπρόθυμοι ἦσαν διὰ τὸ πρότερον σφάλμα, ἄρας ἔπλει ἐπὶ τῆς Χίου. Καὶ, χειμασθεισῶν τῶν νεῶν, ὕστερον ἀφικνοῦνται ἄλλαι ἄλλοθεν ἐς τὴν Χίον. Καὶ μετὰ τοῦτο Πεδάριτος, τότε παριὼν πεζῇ ἐκ τῆς Μιλήτου, γενόμενος ἐν Ἐρυθραῖς, διαπεραιοῦται αὐτός τε καὶ ἡ στρατιὰ ἐς Χίον. Ὑπῆρχον δὲ αὐτῷ καὶ ἐκ τῶν πέντε νεῶν στρατιῶται ὑπὸ Χαλκιδέως ὡς ἐς πεν-

facta. 32. Quo facto a Lefbiis in auxilium venire rogatus, Pedarito, qui tum in Chio praeerat Lace-

Μαράθουσαν καὶ Πήλην καὶ Δρίμυσσαν. Stephanus Byz. cum codd. Caff. Aug. Mofq. fcribit *Μαράθουσσαν*. Idem *Δρυμοῦσσαν* legit, Thucydidem citans. Certe codd. Cl. Gr. Caff. Aug. Mofq. *Δρύμυσσαν* exhibent. Quare viri docti h. l. *Δρυμοῦσσαν* refcribendum effe, recte cenfent. Cf. Waffe. Et fic feci.

καὶ ὅσα ὑπεξέκειτο αὐτόθι τῶν Κλαζ. i. e, quae ibi a Clazomeniis fepofita erant, veluti frumentum, pecora, alia. — *ἐςβαλόμενοι*, int. *ἐς τὰς ναῦς ἑαυτῶν.*

32. *Πεδάριτος.* Ita cap. 28 extr. fine discrimine hoc nomen fcribitur, et infra paffim, praeter hunc locum et quatuor alios in proxime fequentibus, ubi tamen codices plerique, ficuti hic, pro *Παιδάριτος* fcripturam *Πεδάριτος* tuentur. *Παιδάριτος* apud Plutarchum et Ifocratem legitur, auctore Hudfono in Var. Lectt. Nos ubique Thucydidis libros, conftanter alteram fcripturam tuentes, fecuti fumus. Cf. Bened. ad cap. 33.

ὑπὸ Χαλκιδέως. Sic legendum effe pro *Χαλκιδέων*,

τακοσίους ξὺν ὅπλοις καταλειφθέντες. Ἐπαγγελλομένων δέ τινων Λεσβίων τὴν ἀπόστασιν, προσφέρει τῷ τε Πεδαρίτῳ καὶ τοῖς Χίοις Ἀστύοχος λόγον, ὡς χρὴ παραγενομένους ταῖς ναυσὶν, ἀποστῆσαι τὴν Λέσβον· ἢ γὰρ ξυμμάχους πλείους σφᾶς ἕξειν, ἢ τοὺς Ἀθηναίους, ἤν τι σφάλλωνται, κακώσειν. Οἱ δ' οὐκ ἐσήκουον· οὐδὲ τὰς ναῦς ὁ Πεδάριτος ἔφη τῶν Χίων αὐτῷ προήσειν.

33. Κἀκεῖνος, λαβὼν τάς τε τῶν Κορινθίων πέντε, καὶ ἕκτην Μεγαρίδα, καὶ μίαν Ἑρμιονίδα, καὶ ἃς αὐτὰς Λακωνικὰς ἦλθεν ἔχων, ἔπλει ἐπὶ τῆς Μιλήτου πρὸς τὴν ναυαρχίαν, πολλὰ ἀπειλήσας τοῖς Χίοις, ἦ μὴν μὴ ἐπιβοηθήσειν, ἤν τι δέωνται. Καὶ προσβαλὼν Κωρύκῳ τῆς Ἐρυθραίας, ἐνηυλίσατο. Οἱ δ' ἀπὸ τῆς Σάμου Ἀθηναῖοι ἐπὶ τὴν Χίον πλέοντες τῇ στρατιᾷ καὶ αὐτοὶ, ἐκ τοῦ ἐπὶ θάτερα λόφου διείργοντο, καὶ καθωρμίσαντο· καὶ ἐλελήθεσαν ἀλλήλους. Ἐλθούσης δὲ παρὰ Πεδαρίτου ἐπιστολῆς, ὡς Ἐρυθραίων ἄνδρες αἰχμάλωτοι ἐκ Σάμου ἐπὶ προδοσίᾳ ἐς Ἐρυ-

daemoniorum copiis, ipſisque Chiis opem abnuentibus, 33. Miletum abiit ad claſſem illam, quam nuper ei adduxerat Theramenes (cap. 26.), quo in itinere caſu Athe-

dudum alii viderunt. Supra cap. 17. init. Thucydides narrat, Chalcideum, Lacedaemoniorum praefectum, nautas ex quinque navibus, quibuscum advectus erat, eductos, armis inſtruxiſſe et in Chio reliquiſſe, cum ipſe Miletum feſtinaret. De his igitur h. l. ſermo eſt. Eorum autem numerum Thucydides circiter quingentorum aeſtimat. Benedictum, qui ὡς h. l. delendum cenſet, tamquam ſuperfluum, et ex ultima praecedentis nominis ortum, non audimus, quia eius ſententia nulla codicum auctoritate ſuſtentatur. Saepenumero autem ὡς numeris ita adiicitur, ut illis non adferat notionem *circiter*, quae etiam h. l. vocabulo ὡς ineſt.

ἤν τι σφάλλωνται, κακώσειν, nempe vexando eos, et vires eorum distrahendo.

33. ἃς αὐτὸς Λακωνικὰς ἦλθεν ἔχων. Erant quatuor. Vide cap. 23 init. Paullo ante τάς τε τῶν Κορινθίων dictum eſt pro τάς τε τῶν Κορ. παρούσας.

καὶ ἐλελήθεσαν ἀλλήλους. Ante haec verba colo interpunxi. Cum enim διείργοντο et καθωρμίσαντο ad Athenienſes pertineat, hoc membrum ad utrosque pertinet, et Peloponneſios et

θρὰς ἤκουσιν ἀφειμένοι, ἀνάγεται ὁ Ἀστύοχος εὐθὺς ἐς τὰς Ἐρυθρὰς πάλιν. καὶ παρὰ τοσοῦτον ἐγένετο αὐτῷ, μὴ περιπεσεῖν τοῖς Ἀθηναίοις. Διαπλεύσας δὲ καὶ ὁ Πεδάριτος παρ' αὐτὸν, καὶ ἀναζητήσαντες τὰ περὶ τῶν δοκούντων προδιδόναι, ὡς εὗρον ἅπαν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐκ τῆς Σάμου προφασισθὲν, ἀπολύσαντες τῆς αἰτίας, ἀπέπλευσαν· ὁ μὲν ἐς τὴν Χίον, ὁ δὲ ἐς τὴν Μίλητον ἐκομίσθη, ὥςπερ διενοεῖτο.

34. Ἐν τούτῳ δὲ καὶ ἡ τῶν Ἀθηναίων στρατιὰ ταῖς ναυσὶν ἐκ τοῦ Κωρύκου περιπλέουσα κατ' Ἀργίνον, ἐπιτυγχάνει τρισὶ ναυσὶ τῶν Χίων μακραῖς, καὶ ὥςπερ ἰδόντες ἐπεδίωκον· καὶ χειμών τε μέγας ἐπιγίγνεται, καὶ αἱ μὲν τῶν Χίων μόγις καταφεύγουσιν ἐς

nienſium navibus evaſit, 34. quae Samo Chium petebant, et deinceps tempeſtate in diverſum actae, in Leſbum

Athenienſes, ut docet ἀλλήλους. — ἀφειμένοι, int. ὑπὸ τῶν Ἀθηναίων.

παρ' αὐτόν. Ita ſine haeſitatione reſcripſi pro παρ' αὐτῶν, quod h. l. nihili eſt, ut iam alii viderunt. Illud in ſolo Caſſ. exſtat, et quidem a correctore ex αὐτῶν factum erat. Sed ſaepe ω et ο inter ſe confunduntur in codd. Mſſ. — Paullo ante ἐγένετο vulgo uncis incluſum eſt.

34. κατ' Ἀργίνον. Hoc Erythraeae alterum promontorium (nam etiam Corycus promontorium eius terrae eſt) a Strabone, Ptolemaeo, Stephano Byzantino ſcribitur Ἄργεννον. Thucydidis codices nonnulli Ἀργῖνον exhibent.

καὶ ὥςπερ ἰδόντες ἐπεδίωκον. Hunc locum inter difficillimos huius libri refero. Neque enim ea medicina adhibenda, quam poſt Bauerum Benedictus adhibet, atque iam antea Duckerus volebat. Hi enim colon poſt ἐπεδίωκον in comma mutantes, et poſt μακραῖς plene interpungentes, verba καὶ χειμών τε — tamquam apodoſin accipiunt, nulla particularum τέ — καί ratione habita, quae iſtam rationem evertunt; ne dicam de nova illa ſignificatione, quam vocabulo ὥςπερ asſignant, ut ſit pro ὡς, ἐπειδή. Illud certo conſtat, pronomen αὐτάς, quod vulgo legitur ante ἐπεδίωκον, plurimorum codicum auctoritate eiiciendum eſſe. Natum enim eſt ex interpretatione. Cum autem ὥςπερ hic nullam ſententiam ſatis aptam admittat, locum depravatum puto, atque ita reſtituendum: μακραῖς, ἅςπερ ἰδόντες ἐπεδίωκον. Καὶ χειμών τε —. Facile ὥςπερ ex ἅςπερ naſci potuit, quo facto non ſolum pronominis accuſativus αὐτάς, ſed etiam καί, neceſſario addendum videri poterat. — Mox rurſus μόγις ſine librorum varietate.

τὸν λιμένα· αἱ δὲ τῶν Ἀθηναίων, αἱ μὲν μάλιστα ὁρμήσασαι τρεῖς διαφθείρονται, καὶ ἐκπίπτουσι πρὸς τὴν πόλιν τῶν Χίων, καὶ ἄνδρες οἱ μὲν ἁλίσκονται, οἱ δ' ἀποθνήσκουσιν· αἱ δ' ἄλλαι καταφεύγουσιν ἐς τὸν ὑπὸ τῷ Μίμαντι λιμένα, Φοινικοῦντα καλούμενον. ἐντεῦθεν δ' ὕστερον ἐς τὴν Λέσβον καθορμισάμενοι, παρεσκευάζοντο ἐς τὸν τειχισμόν.

35. Ἐκ δὲ τῆς Πελοποννήσου, τοῦ αὐτοῦ χειμῶνος, Ἱπποκράτης ὁ Λακεδαιμόνιος ἐκπλεύσας δέκα μὲν Θουρίαις ναυσὶν, ὧν ἦρχε Δωριεὺς ὁ Διαγόρου τρίτος αὐτὸς, μιᾷ δὲ Λακωνικῇ, μιᾷ δὲ Συρακουσίᾳ, καταπλεῖ ἐς Κνίδον· ἡ δ' ἀφειστήκει ἤδη ἀπὸ Τισσαφέρνους.

pleraeque pervenerunt. 35. Peloponnefiis autem Hippocrates eadem hieme adduxit duodecim naves, quarum

ὑπὸ τῷ Μίμαντι λιμένα. *Mimas* mons excelfus erat in Erythraea. Ceterum Φοινικοῦς, λιμὴν eft, atque ita apud Stephanum Byz. fcribendum, pro λίμνη.

35. δέκα μὲν Θουρίαις ναυσίν. Ergo Thurii Italici nunc Peloponnefiorum focii, qui olim tam alacri ftudio ad Athenienfes propenfi erant (Cf. 7, 33 extr.), Spartanis autem focietatem denegaverant (6, 104)? An vicerat et redierat eiecta (7, 33) ea pars, quae Lacedaemoniis favebat, (Ol. 92, 1. a. Chr. 412) et invicem ex urbe eiecerat adverfarios, qui Athenienfibus addicti erant? Videntur certe Thurii metu magis, quam amore, Athenienfibus, quorum maximam partem erant coloni, obfecuti effe, quod non obfcure fignificat Scriptor 6, 104 extr. Ὁ δὲ Νικίας, πυθόμενος αὐτὸν (Γύλιππον) πλέοντα, ὑπερεῖδε τὸ πλῆθος τῶν νεῶν· ὅπερ καὶ οἱ Θούριοι ἔπαθον.

ἡ δ' ἀφειστήκει ἤδη ἀπὸ Τισσαφ. Non a Tiffapherne deficiebant Cnidii, fed ab Athenienfibus potius ad Tiffaphernem et Lacedaemonios. Quare cum Palmerio multi legere malebant ὑπὸ Τισσαφέρνους. Contra Bredovius ἀπό defendit, cui praepofitioni hunc fenfum vindicat, ut fit *per*, auf Veranlaffung; allatis locis, ubi eadem fignificatione legatur, 1, 12. στάσεις, ἀφ' ὧν ἐκπίπτοντες. ib. 24. αἰτίαι, ἀφ' ὧν λύσαντες. et cap. 24. σταφιάσαντες ἀπὸ πολέμου τινὸς — ἐφθάρησαν. Sed horum locorum non nifi primus quodammodo fimilis eft, nec tamen ad vulgatam noftri fcripturam defendendam idoneus. Nam ἀφιστάναι τινὸς et ἀπό τινος dicunt et intelligunt eodem fenfu, qui Graece fciunt, nec pati linguae perfpicuitas videtur tantam fignificationis eiusdem vocabuli inconftantiam et difcrepantiam, ut idem vel contrarias notiones poffit indicare. Pronior igitur et ipfe fum ad emendationem Palmerii, ut legatur ὑπό. Atque haud fcio an parum lectioni vulgatae fubveneris, verba ἀπὸ Τισσαφέρνους commate a

Καὶ αὐτοὺς οἱ ἐν τῇ Μιλήτῳ, ὡς ᾔσθοντο, ἐκέλευον ταῖς μὲν ἡμισείαις τῶν νεῶν Κνίδον φυλάσσειν, ταῖς δέ, περὶ Τριόπιον οὔσαις, τὰς ἀπ' Αἰγύπτου ὁλκάδας προςβαλλούσας ξυλλαμβάνειν. ἔστι δὲ τὸ Τριόπιον ἄκρα τῆς Κνιδίας προὔχουσα, Ἀπόλλωνος ἱερόν. Πυθόμενοι δὲ οἱ Ἀθηναῖοι, καὶ πλεύσαντες ἐκ τῆς Σάμου, λαμβάνουσι τὰς ἐπὶ Τριοπίῳ φρουρούσας ἓξ ναῦς· οἱ δ' ἄνδρες ἀποφεύγουσιν ἐξ αὐτῶν. Καὶ μετὰ τοῦτο ἐς τὴν Κνίδον καταπλεύσαντες, καὶ προςβαλόντες τῇ πόλει, ἀτειχίστῳ οὔσῃ, ὀλίγου εἷλον. Τῇ δ' ὑστεραίᾳ αὖθις προςέβαλλον· καὶ ὡς, ἄμεινον φραξαμένων αὐτῶν ὑπὸ νύκτα, καὶ ἐπεισελθόντων αὐτοῖς τῶν ἀπὸ τοῦ Τριοπίου ἐκ τῶν νεῶν διαφυγόντων, οὐκέθ' ὁμοίως ἔβλαπτον ἐπελθόντες καὶ δῃώσαντες τὴν τῶν Κνιδίων γῆν, ἐς τὴν Σάμον ἀπέπλευσαν.

36. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον, Ἀστυόχου ἥκοντος ἐς τὴν Μίλητον ἐπὶ τὸ ναυτικὸν, οἱ Πελοποννήσιοι εὐπόρως ἔτι εἶχον ἅπαντα τὰ κατὰ τὸ στρατόπεδον. Καὶ γὰρ μισθὸς ἐδίδοτο ἀρκούντως, καὶ τὰ ἐκ τῆς Ἰάσου

decem Thuriae erant. Et Cnidus ab Athenienſibus defecerat; ſed non multum aberat, quin ab iis vi reciperetur. 36. Interim Aſtyochus Miletum ad claſſem venerat, ubi praeſente adhuc Theramene ictum eſt alterum foedus inter

praecedentibus ſecernendo, ut eum, quem vult Bredovius, ſenſum fundant. Multo veri ſimilius eſt, indoctos librarios opinatos eſſe, Cnidum Tiſſapherni ſubiectum oppidum fuiſſe, ab eoque defeciſſe.

ἀπ' Αἰγύπτου ὁλκάδας προςβ. Intellige Atticas naves, ex Aegypto Samum navigantes, et ad Triopium appellere ſolitas. Verba περὶ Τριόπιον οὔσαις commatibus include, quia non arcte iungenda ſunt cum ταῖς δέ. Nondum enim erant circa Triopium, ſed eo irant iturae.

καὶ ὡς, ἄμεινον φραξ. Ita diſtinguendum cenſeo hunc locum, non, ut vulgo, καὶ, ὡς ἄμεινον φραξ. Ab his enim verbis incipit protaſis, quam deinde ſequitur apodoſis: ἐς τὴν Σάμον ἀπέπλευσαν. Participia autem ἐπελθόντες καὶ δῃώσαντες arcte cum ἔβλαπτον iungenda ſunt, commatibus ſublatis.

36. Ἀστυόχου ἥκοντος ὡς τὴν Μίλητον. Ita quidem libri plurimi. Sed ἐς ſcribendum eſſe cum aliquot Pariſſ. pro ὡς, conſtans ſcriptorum uſus docet.

μεγάλα χρήματα διαρπασθέντα ὑπῆν τοῖς στρατιώταις· οἵ τε Μιλήσιοι προθύμως τὰ τοῦ πολέμου ἔφερον. Πρὸς δὲ τὸν Τισσαφέρνην ἐδόκουν ὅμως τοῖς Πελοποννησίοις αἱ πρῶται ξυνθῆκαι, αἱ πρὸς Χαλκιδέα γενόμεναι, ἐνδεεῖς εἶναι, καὶ οὐ πρὸς σφῶν μᾶλλον· καὶ ἄλλας ἐπὶ Θηραμένους παρόντος ἐποίουν· καὶ εἰσὶν αἵδε.

57. „ΞΥΝΘΗΚΑΙ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς βασιλέα Δαρεῖον, καὶ τοὺς παῖδας τοῦ βασιλέως καὶ Τισσαφέρνην, σπονδὰς εἶναι καὶ φιλίαν κατὰ τάδε· Ὁπόση χώρα καὶ πόλεις βασιλέως εἰσὶ Δαρείου, ἢ τοῦ πατρὸς ἦσαν, ἢ τῶν προγόνων, ἐπὶ ταύτας μὴ ἰέναι ἐπὶ πολέμῳ, μηδὲ κακῷ μηδενὶ, μήτε Λακεδαιμονίους, μήτε τοὺς ξυμμάχους τῶν Λακεδαιμονίων· μήτε φόρους πράσσεσθαι ἐκ τῶν πόλεων τούτων μήτε Λακεδαιμονίους, μήτε τοὺς ξυμμάχους τῶν Λακεδαιμονίων. Μηδὲ Δαρεῖον βασιλέα, μηδὲ, ὧν ὁ βασιλεὺς ἄρχει, ἐπὶ Λακεδαιμονίους μηδὲ τοὺς ξυμμάχους ἰέναι ἐπὶ πολέμῳ, μηδὲ κακῷ μηδενί. Ἢν δέ τι δέωνται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι βασιλέως, ἢ βασιλεὺς Λακεδαιμονίων ἢ τῶν ξυμμάχων, ὅ, τι ἂν πείθωσιν ἀλλήλους, τοῦτο ποιοῦσι καλῶς ἔχειν. Τὸν δὲ πόλεμον τὸν πρὸς Ἀθηναίους καὶ τοὺς ξυμμάχους κοινῇ ἀμφοτέρους πολεμεῖν· ἢν δὲ κατάλυσιν ποιῶνται, κοινῇ ἀμφοτέρους ποιεῖσθαι. Ὁπόση δ᾽ ἂν στρατιὰ ἐν τῇ χώρᾳ τῇ βασιλέως ᾖ, μεταπεμψαμένου βασιλέως, τὴν δαπάνην βασιλέα παρέχειν. Ἢν δέ τις τῶν πόλεων, ὁπόσαι ξυνέθεντο βασιλεῖ, ἐπὶ τὴν βασιλέως ἴῃ

Lacedaemonios et regem Perſarum. 57. Eius formula.

57. σπονδὰς εἶναι, int. ὥστε.

τῶν Λακεδαιμονίων. Ita optimi libri Cl. Gr. Reg. Caſſ. Aug. cum Dan. ut paullo poſt. Vulgo τούς. Contra paullo inferius cum codd. Ar. C. Cam. Moſq. Caſſ. Aug. Par. G. K. pro ἐν τῇ χώρᾳ τοῦ βασιλέως ᾖ, legendum eſt ἐν τῇ χώρᾳ τῇ βασιλέως ᾖ. Nam perraro Thucydides, de Perſarum rege loquens, articulum adhibet; et altera ſcriptura compluribus huius capitis locis defenditur.

χώραν, τοὺς ἄλλους κωλύειν, καὶ ἀμύνειν βασιλεῖ κατὰ τὸ δυνατόν. Καὶ ἤν τις τῶν ἐν τῇ βασιλέως χώρᾳ, ἢ ὅσης βασιλεὺς ἄρχει, ἐπὶ τὴν Λακεδαιμονίων ἴῃ ἢ τῶν ξυμμάχων, βασιλεὺς κωλυέτω, καὶ ἀμυνέτω κατὰ τὸ δυνατόν."

58. Μετὰ δὲ ταύτας τὰς ξυνθήκας Θηραμένης μὲν, παραδοὺς Ἀστυόχῳ τὰς ναῦς, ἀποπλέων ἐν κέλητι, ἀφανίζεται. Οἱ δ' ἐκ τῆς Λέσβου Ἀθηναῖοι ἤδη διαβεβηκότες ἐς τὴν Χίον τῇ στρατιᾷ, καὶ κρατοῦντες τῆς γῆς καὶ θαλάσσης, Δελφίνιον ἐτείχιζον, χωρίον ἄλλως τε ἐκ γῆς καρτερὸν, καὶ λιμένας ἔχον, καὶ τῆς τῶν Χίων πόλεως οὐ πολὺ ἀπέχον. Οἱ δὲ Χῖοι, ἐν πολλαῖς ταῖς πρὶν μάχαις πεπληγμένοι, καὶ ἄλλως ἐν σφίσιν αὐτοῖς οὐ πάνυ εὖ διακείμενοι, ἀλλὰ καὶ τῶν μετὰ [τοῦ] Τυδέως τοῦ Ἴωνος ἤδη ὑπὸ Πεδαρίτου ἐπ' Ἀττικισμῷ τεθνεώτων, καὶ τῆς ἄλλης πόλεως κατ' ἀνάγκην ἐς ὀλίγον κατεχομένης, ὑπόπτως διακείμενοι ἀλλήλοις, ἡσύχαζον· καὶ οὔτ' αὐτοὶ διὰ ταῦτα, οὔτε οἱ μετὰ Πεδαρίτου ἐπίκουροι, ἀξιόμαχοι αὐτοῖς

58. Athenienfes Lefbo profecti Chium transeunt, ibique Delphinium muniunt, non impedientibus Chiis, quippe qui inter fe diffidebant, diuque fruftra Aftyochum advo-

58. *διαβεβηκότες ἐς τὴν Χίον*. Ita certiffima correctione Duckerus reftituit, licet Mff. omnes et editi *ἐς* ignorent. Etiam paullo poft articulum *τῆς* ante *γῆς* nonnulli codices ignorant, licet neceffarius ibi videatur, propterea quod verba *τῆς γῆς* ad *τὴν Χίον* referenda funt. Utrobique praecedentis vocabuli ultima facile abforbere potuit voculam non abfimilis foni.

ἐν σφίσι αὐτοῖς οὐ πάνυ εὖ διακείμενοι. Vide fupra cap. 24 extr. coll. cap. 31 init.

μετὰ τοῦ Τυδέως τοῦ Ἴωνος. Articulum *τοῦ* ante *Τυδέως* cum codicibus Cl. Gr. Caff. Mofq. Aug. recte eiiciendum cenfet Benedictus. Ubi enim primo loco nomen aliquod infert Thucydides, praefertim adiecto patris nomine, non folet articulo uti. — *ἐς ὀλίγον κατεχομένης*, pro *ἐς ὀλίγους κατεχ.* Recte enim prior Scholiaftes: *ἤτοι ἀναγκαζομένης ὀλιγαρχεῖσθαι*. Thucyd. 5, 81. *Τὰ ἐν Σικυῶνι ἐς ὀλίγους μᾶλλον κατέστησαν αὐτοὶ οἱ Λακεδαιμόνιοι*. Alibi 2, 37. *διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ' ἐς πλείονας οἰκεῖν*. De Chiorum optimatibus fupra legimus huius libri cap. 9 extr. coll. cap. 14.

ἐφαίνοντο· ἐς μέντοι τὴν Μίλητον ἔπεμπον, κελεύοντες, σφίσι τὸν Ἀστύοχον βοηθεῖν. Ὡς δ᾽ οὐκ ἐσήκουεν, ἐπιστέλλει περὶ αὐτοῦ ἐς τὴν Λακεδαίμονα ὁ Πεδάριτος ὡς ἀδικοῦντος. Καὶ τὰ μὲν ἐν τῇ Χίῳ ἐς τοῦτο καθειστήκει τοῖς Ἀθηναίοις· αἱ δ᾽ ἐκ τῆς Σάμου νῆες αὐτοῖς ἐπίπλους μὲν ἐποιοῦντο ταῖς ἐν τῇ Μιλήτῳ· ἐπεὶ δὲ μὴ ἀντανάγοιεν, ἀναχωροῦντες πάλιν ἐς τὴν Σάμον, ἡσύχαζον.

39. Ἐκ δὲ τῆς Πελοποννήσου ἐν τῷ αὐτῷ χειμῶνι αἱ τῷ Φαρναβάζῳ ὑπὸ Καλλιγείτου τοῦ Μεγαρέως καὶ Τιμαγόρου τοῦ Κυζικηνοῦ πρασσόντων παρασκευασθεῖσαι ὑπὸ Λακεδαιμονίων ἑπτὰ καὶ εἴκοσι νῆες ἄρασαι ἔπλεον ἐπὶ Ἰωνίας περὶ ἡλίου τροπάς· καὶ ἄρχων ἔπλει αὐτῶν Ἀντισθένης Σπαρτιάτης. Ξυνέπεμψαν δὲ οἱ Λακεδαιμόνιοι καὶ ἕνδεκα ἄνδρας Σπαρτιατῶν ξυμβούλους Ἀστυόχῳ, ὧν εἷς ἦν Λίχας ὁ Ἀρκεσιλάου. καὶ εἴρητο αὐτοῖς, ἐς Μίλητον ἀφικομένους, τῶν τε ἄλλων ξυνεπιμελεῖσθαι, ᾗ μέλλει ἄριστα ἕξειν, καὶ τὰς ναῦς ταύτας, ἢ αὐτὰς, ἢ πλείους, ἢ καὶ ἐλάσσους, ἐς τὸν Ἑλλήσποντον ὡς Φαρνάβαζον, ἢν δοκῇ, ἀποπέμπειν, Κλέαρχον τὸν Ῥαμφίου, ὃς ξυνέπλει, ἄρχοντα προστάξαντας· καὶ Ἀστύοχον, ἢν δοκῇ τοῖς ἕνδεκα ἀνδράσι, παύειν τῆς ναυαρχίας, Ἀντισθένην δὲ καθιστάναι· πρὸς γὰρ τὰς τοῦ Πεδαρίτου ἐπιστολὰς ὑπώπτευον αὐτόν. Πλέουσαι οὖν αἱ νῆες ἀπὸ Μαλέας πελάγιαι, Μήλῳ προσέβαλον, καὶ περιτυχόντες ναυσὶ δέκα

cabant, quem eo nomine Pedaritus apud Lacedaemonios per litteras accuſavit. 39. Quare Lacedaemonii una cum illis viginti ſeptem navibus, quas Pharnabazo in Hellespontum duce Antiſthene circa brumam ſubmittebant, undecim viros Miletum miſerunt, qui de Aſtyochi culpa quaererent, eumque aut conſiliis iuvarent, aut ab im-

39. *ὑπὸ Καλλιγείτου* —. Vid. cap. 6. coll. cap. 8. — *περὶ ἡλίου τροπάς*, nempe τὰς χειμερινάς.

— *ἢ αὐτάς*, *aut ipſas* i. e. neque plures, nec pauciores, ſed numero integro relicto.

Ἀθηναίων, τὰς τρεῖς λαμβάνουσι κενὰς, καὶ κατακαίουσι. Μετὰ δὲ τοῦτο, δεδιότες, μὴ αἱ διαφυγοῦσαι τῶν Ἀθηναίων ἐκ τῆς Μήλου νῆες· (ὅπερ ἐγένετο,) μηνύσωσι τοῖς ἐν τῇ νήσῳ τὸν ἐπίπλουν αὐτῶν, πρὸς τὴν Κρήτην πλεύσαντες, καὶ πλείω τὸν πλοῦν διὰ φυλακῆς ποιησάμενοι, ἐς τὴν Καῦνον τῆς Ἀσίας κατῆραν. Ἐντεῦθεν δὴ, ὡς ἐν ἀσφαλεῖ ὄντες, ἀγγελίαν ἔπεμπον ἐπὶ τὰς ἐν τῇ Μιλήτῳ ναῦς τοῦ ξυμπαρακομισθῆναι.

40. Οἱ δὲ Χῖοι καὶ Πεδάριτος κατὰ τὸν αὐτὸν χρόνον οὐδὲν ἧσσον, καίπερ διαμέλλοντα, τὸν Ἀστύοχον, πέμποντες ἀγγέλους, ἠξίουν σφίσι πολιορκουμένοις βοηθῆσαι ἁπάσαις ταῖς ναυσὶ, καὶ μὴ περιϊδεῖν τὴν μεγίστην τῶν ἐν Ἰωνίᾳ ξυμμαχίδων πόλεων ἔκ τε θαλάσσης εἰργομένην, καὶ κατὰ γῆν λῃστείαις πορθουμένην. Οἱ γὰρ οἰκέται τοῖς Χίοις πολλοὶ ὄντες, καὶ μιᾷ γε πόλει, πλὴν Λακεδαιμονίων, πλεῖστοι γενόμενοι, καὶ ἅμα, διὰ τὸ πλῆθος, χαλεπωτέρως ἐν ταῖς ἀδικίαις κολαζόμενοι, ὡς ἡ στρατιὰ τῶν Ἀθηναίων βεβαίως ἔδοξε μετὰ τείχους ἱδρῦσθαι, εὐθὺς αὐτομολίᾳ τε ἐχρήσαντο πολλοὶ πρὸς αὐτοὺς, καὶ τὰ πλεῖστα κακὰ, ἐπιστάμενοι τὴν χώραν, οὗτοι ἔδρασαν. Ἔφασαν οὖν χρῆναι οἱ Χῖοι, ἕως ἔτι ἐλπὶς καὶ δυνατὸν κωλῦσαι, τειχιζομένου τοῦ Δελφινίου, καὶ ἀτελοῦς ὄντος, καὶ στρατοπέδῳ καὶ ναυσὶν ἐρύματος μείζονος προσπεριβαλλομένου, βοηθῆσαι σφίσιν. Ὁ δὲ Ἀστύοχος, καίπερ οὐ διανοούμενος, διὰ τὴν τότε ἀπειλὴν, ὡς ἑώρα

perio dimitterent. Hi dum Caunum in Aſia perveniunt, 40. Aſtyochus Chiis opem ferre parat;

τοῖς ἐν τῇ νήσῳ, non Meliis, ſed Athenienſibus, qui apud *Samum* erant. Cf. cap. 41 extr. — πλείω τὸν πλοῦν διὰ φυλ. ποιησ. „maiorem navigationis partem adhibita cuſtodia, i. e. caute, cum confeciſſent.“ Καῦνος, oppidum Cariae meridionalis.

40. χαλεπωτέρως — κολαζόμενοι, *ſeverius* vel *durius* plectebantur, quia alioqui tanta multitudo non videretur coerceri in officio poſſe.

καὶ στρατοπέδῳ καὶ ναυσίν, int. τῶν Ἀθηναίων. — διὰ τὴν τότε ἀπειλήν, cf. cap. 33 init.

καὶ τοὺς ξυμμάχους προθύμους ὄντας, ὥρμητο ἐς τὸ βοηθεῖν.

41. Ἐν τούτῳ δὲ ἐκ τῆς Καύνου παραγίγνεται ἀγγελία, ὅτι αἱ ἑπτὰ καὶ εἴκοσι νῆες καὶ οἱ τῶν Λακεδαιμονίων ξύμβουλοι πάρεισι. Καὶ νομίσας, πάντα ὕστερα εἶναι τὰ ἄλλα πρὸς τὸ ναῦς τε, ὅπως θαλασσοκρατοῖεν μᾶλλον, τοσαύτας ξυμπαρακομίσαι, καὶ τοὺς Λακεδαιμονίους, οἳ ἧκον κατάσκοποι αὐτοῦ, ἀσφαλῶς περαιωθῆναι, εὐθὺς, ἀφεὶς τὸ ἐς τὴν Χίον, ἔπλει ἐς τὴν Καῦνον. Καὶ ἐς Κῶν τὴν Μεροπίδα ἐν τῷ παράπλῳ ἀποβὰς, τήν τε πόλιν, ἀτείχιστον οὖσαν, καὶ ὑπὸ σεισμοῦ, ὃς αὐτοῖς ἔτυχε μέγιστός γε δὴ, ὧν μεμνήμεθα, γενόμενος, ξυμπεπτωκυῖαν, ἐκπορθεῖ, τῶν ἀνθρώπων ἐς τὰ ὄρη πεφευγότων· καὶ τὴν χώραν καταδρομαῖς λείαν ἐποιεῖτο, πλὴν τῶν ἐλευθέρων· τούτους δὲ ἀφίει. Ἐκ δὲ τῆς Κῶ ἀφικόμενος ἐς τὴν Κνίδον νυκτὸς, ἀναγκάζεται ὑπὸ τῶν Κνιδίων παραινούντων μὴ ἐκβιβάσαι τοὺς ναύτας, ἀλλ', ὥςπερ εἶχε,

41. nuntio vero de illorum adventu accepto, mutat consilium, cum classe ad eos Miletum deducendos obviam profectus, ubi in transitu Coum diripit, et, a Cnidiis permotus, Charminum Atheniensem, qui navibus Cauni

41. ἐς Κῶν τὴν Μεροπίδα. Hoc insula cognomen traxit a *Merope* eius rege, qui ex nympha Ethemea filiam *Coon* suscepit, cuius nomen insulae datum. Conf. Wassius ad h. l. τὴν πόλιν, Astypalaeam.

καὶ τὴν χώραν καταδρομαῖς λείαν ἐποιεῖτο. Durum est χώραν λείαν ποιεῖσθαι, quod alibi non nisi de rebus, quae auferri et rapi possunt, dici solet. Infra cap. 62. καὶ σκεύη καὶ ἀνδράποδα ἁρπαγὴν ποιησάμενος. Videntur igitur aliter iungenda esse verba, ut τὴν χώραν καταδρομαῖς accipiatur pro τὴν χώραν καταδρομῶν, vel τῆς χώρας καταδρομαῖς, quorum alterutrum Duckerus h. l. reponendum censebat, immemor eorum, quae supra ipse monuerat ad 5, 46. 8, 21. nempe substantiva verbalia saepe retinere casum verborum suorum, quod sane frequentissimum est apud Nostrum. Vide ad 5, 46. Itaque hoc quoque loco malim iungere τὴν χώραν καταδρομαῖς, „*agri percursionibus* praedam abegit, exceptis liberis; eos enim dimisit.“

μὴ ἐκβιβάσαι τοὺς ναύτας —. Unde haec pendent, utrum ab ἀναγκάζεται, an a παραινούντων? Ad utrumque enim

πλεῖν εὐθὺς ἐπὶ τὰς τῶν Ἀθηναίων ναῦς εἴκοσιν, ἃς ἔχων Χαρμῖνος, εἷς τῶν ἐκ Σάμου στρατηγῶν, ἐφύλασσε ταύτας τὰς ἑπτὰ καὶ εἴκοσι ναῦς, ἐκ τῆς Πελοποννήσου προσπλεούσας, ἐφ᾽ ἅσπερ καὶ ὁ Ἀστύοχος παρέπλει. Ἐπύθοντο δὲ οἱ ἐν τῇ Σάμῳ ἐκ τῆς Μήλου τὸν ἐπίπλουν αὐτῶν, καὶ ἡ φυλακὴ τῷ Χαρμίνῳ περὶ τὴν Σύμην καὶ Χάλκην καὶ Ῥόδον καὶ περὶ τὴν Λυκίαν ἦν. Ἤδη γὰρ ᾐσθάνετο καὶ ἐν τῇ Καύνῳ οὔσας αὐτάς.

42. Ἐπέπλει οὖν, ὥσπερ εἶχε, πρὸς τὴν Σύμην ὁ Ἀστύοχος, πρὶν ἔκπυστος γενέσθαι, εἴ πως περιλάβοι που μετεώρους τὰς ναῦς. Καὶ αὐτῷ ὑετός τε καὶ τὰ ἐκ τοῦ οὐρανοῦ, ξυννέφελα ὄντα, πλάνησιν τῶν νεῶν ἐν τῷ σκότει καὶ ταραχὴν παρέσχε. Καὶ ἅμα τῇ ἕῳ, διεσπασμένου τοῦ ναυτικοῦ, καὶ τοῦ μὲν φανεροῦ ἤδη ὄντος τοῖς Ἀθηναίοις τοῦ εὐωνύμου κέρως, τοῦ δὲ ἄλλου περὶ τὴν νῆσον ἔτι πλανωμένου, ἐπανάγονται κατὰ τάχος ὁ Χαρμῖνος καὶ οἱ Ἀθηναῖοι ἐλάσσοσιν

versantibus circa Rhodum insidiabatur, 42. invadere conatur. Accidit autem, ut propter nebulam naves eius dispergerentur. Itaque Charminus, altera earum parte devicta, ipse ab altera devictus, sex navibus amissis, fuga

commode referri possunt, (melius tamen ad παραινούντων) et quoquo retuleris, alterutrum verbum non habebit obiectum, quo pertineat. Itaque Thucydides ab ea constructione, quam per ἀναγκάζεται primitus inchoaverat, postea deflexisse putandus est, ut adiectis verbis: παραινούντων μὴ ἐκβιβάσαι τοὺς ναύτας, ἀλλ᾽, vel, si cetera etiam concederes, certe addito ἀλλά, periodi rationem perturbaret.

ἐκ τῆς Μιλήτου. Rectissime Kistemakerus emendat ἐκ τῆς Μήλου. Quis enim credat, ex Mileto, urbe hostibus addicta, nuntium ad Athenienses pervenisse. Et cap. 39. narratur, ex Melo insula id iis nuntiatum esse (ὅπερ ἐγένετο). Sane ob litterarum similitudinem facile Μήλου in Μιλήτου mutari potuit. Rem confirmant etiam verba ἤδη γὰρ ᾐσθάνετο καὶ ἐν τῇ Καύνῳ οὔσας αὐτάς. Nam si nuntius de Peloponnesiorum adventu ex Mileto ab amicis advenisset, haud dubie Athenienses tantundem, quantum Antiochus, statim rescivissent: nimirum Caunum usque illos penetrasse. Sed hoc postea demum compererunt, vel potius in expeditione ipsa dux animadvertit, ᾐσθάνετο Χαρμῖνος. Quare non haesitavi, veram lectionem reponere. — Χάλκη insula ab aliis *Chalcia*, etiam Χαλκεία, scribitur.

ἢ ταῖς εἴκοσι ναυσὶ, νομίσαντες, ἅσπερ ἐφύλασσον ναῦς, τὰς ἀπὸ τῆς Καύνου, ταύτας εἶναι. Καὶ προσπεσόντες, εὐθὺς κατέδυσάν τε τρεῖς, καὶ κατετραυμάτισαν ἄλλας, καὶ ἐν τῷ ἔργῳ ἐπεκράτουν, μέχρι οὗ ἐπεφάνησαν αὐτοῖς παρὰ δόξαν αἱ πλείους τῶν νεῶν, καὶ πανταχόθεν ἀπεκλείοντο. Ἔπειτα δὲ, ἐς φυγὴν καταστάντες, ἓξ μὲν ναῦς ἀπολλύασι, ταῖς δὲ λοιπαῖς καταφεύγουσιν ἐς τὴν Τεύγλουσσαν νῆσον, ἐντεῦθεν δὲ ἐς Ἁλικαρνασσόν. Μετὰ δὲ τοῦτο οἱ μὲν Πελοποννήσιοι, ἐς Κνίδον κατάραντες, καὶ ξυμμιγεισῶν τῶν ἐκ τῆς Καύνου ἑπτὰ καὶ εἴκοσι νεῶν αὐτοῖς, ξυμπάσαις πλεύσαντες, καὶ τροπαῖον ἐν τῇ Σύμῃ στήσαντες, πάλιν ἐς τὴν Κνίδον καθωρμίσαντο.

43. Οἱ δὲ Ἀθηναῖοι, ταῖς ἐκ τῆς Σάμου ναυσὶ πάσαις, ὡς ᾔσθοντο τὰ τῆς ναυμαχίας, πλεύσαντες ἐς τὴν Σύμην, καὶ ἐπὶ μὲν τὸ ἐν τῇ Κνίδῳ ναυτικὸν οὐχ ὁρμήσαντες, οὐδ᾽ ἐκεῖνοι ἐπ᾽ ἐκείνους, λαβόντες δὲ τὰ ἐν τῇ Σύμῃ σκεύη τῶν νεῶν, καὶ Λωρύμοις τοῖς ἐν τῇ ἠπείρῳ προσβαλόντες, ἀπέπλευσαν ἐς τὴν Σάμον. Ἅπασαι δ᾽ ἤδη οὖσαι ἐν τῇ Κνίδῳ αἱ τῶν Πελοποννησίων νῆες ἐπεσκευάζοντό τε, εἴ τι ἔδει, καὶ πρὸς τὸν Τισσαφέρνην (παρεγένετο γὰρ,) λόγους ἐποιοῦντο οἱ ἕνδεκα ἄνδρες τῶν Λακεδαιμονίων περί τε τῶν ἤδη πεπραγμένων, εἴ τι μὴ ἤρεσκεν αὐτοῖς, καὶ περὶ τοῦ μέλλοντος πολέμου, ὅτῳ τρόπῳ ἄριστα καὶ ξυμφορώ-

Halicarnaſſum petiit. Tum Peloponneſiorum univerſa claſſis congregata, ad Cnidum appulit. 43. Ibi cum Tiſſapherne de ſocietatis legibus agentes, quae cum aliis, tum Lichae Spartano maxime displicebant, cum alias ab eo

42. *καὶ προσπεσόντες, εὐθὺς κατέδυσαν.* Vulgo comma ponitur poſt *εὐθύς*, non ante hoc vocabulum; minus bene, praeſertim cum praeceſſerit *ἐπανάγονται κατὰ τάχος* — *ἐς τὴν Τεύγλουσσαν νῆσον.* Stephanus Byz. ſcribit *Τεύτλουσσαν*, quam ſcripturam Benedictus cum Harduino ad Plinium veriorem putat.

43. *καὶ Λωρύμοις.* Ita ad fidem librorum edidi, probantibus Duckero et Benedicto. Vulgo *Λορύμοις.*

τατα ἀμφοτέροις πολεμήσεται. Μάλιστα δὲ ὁ Λίχας ἐσκόπει τὰ ποιούμενα, καὶ τὰς σπονδὰς οὐδετέρας, οὐδὲ τὰς Θηραμένους, ἔφη, καλῶς ξυγκεῖσθαι, ἀλλὰ δεινὸν εἶναι· εἰ χώρας, ὅσης βασιλεὺς καὶ οἱ πρόγονοι ἦρξαν πρότερον, ταύτης καὶ νῦν ἀξιώσει κρατεῖν, (ἐνῆν γὰρ καὶ νήσους ἁπάσας πάλιν δουλεύειν, καὶ Θεσσαλίαν, καὶ Λοκροὺς, καὶ τὰ μέχρι Βοιωτῶν,) καὶ ἀντ' ἐλευθερίας ἂν Μηδικὴν ἀρχὴν τοῖς Ἕλλησι τοὺς Λακεδαιμονίους περιθεῖναι. Ἑτέρας οὖν ἐκέλευε βελτίους σπένδεσθαι, ἢ ταύταις γε οὐ χρήσεσθαι· οὐδὲ τῆς τροφῆς ἐπὶ τούτοις δεῖσθαι οὐδέν. Ἀγανακτῶν δὲ ὁ μὲν Τισσαφέρνης, ἀπεχώρησεν ἀπ' αὐτῶν δι' ὀργῆς καὶ ἄπρακτος.

44. Οἱ δ' ἐς τὴν Ῥόδον, ἐπικηρυκευομένων ἀπὸ τῶν δυνατωτάτων ἀνδρῶν, τὴν γνώμην εἶχον πλεῖν, ἐλπίζοντες νῆσόν τε οὐκ ἀδύνατον καὶ ναυβατῶν πλήθει καὶ πεζῷ προσάξεσθαι, καὶ ἅμα ἡγούμενοι αὐτοὶ ἀπὸ τῆς ὑπαρχούσης ξυμμαχίας δυνατοὶ ἔσεσθαι, Τισσαφέρνην μὴ αἰτοῦντες χρήματα, τρέφειν τὰς ναῦς. Πλεύσαντες οὖν εὐθὺς ἐν τῷ αὐτῷ χειμῶνι ἐκ τῆς Κνίδου, καὶ προσβαλόντες Καμείρῳ τῆς Ῥοδίας πρώτῃ ναυσὶ τέσσαρσι καὶ ἐνενήκοντα, ἐξεφόβησαν μὲν τοὺς

poſcerent conditiones, iratus ab iis diſceſſit. 44. Peloponneſii autem Rhodios, quorum principes eos per praeconem arceſſebant, impetu ex improviſo cum tota claſſe

οὔτε τὰς Θηραμένους, ἔφη —. In cod. Moſq. poſt ἔφη leguntur haec: οὔτε τὰ Χαλκιδέως. In Cl. autem legitur ſic: οὐδὲ τὰς Χαλκιδέως, οὐδὲ τὰς Θηραμένους. Interpretamentum nemo non agnoſcet. Sed etiam vulgata ſcriptura laborat. Scribendum οὐδέ pro οὔτε. Illud eſt *ne-quidem*, quod optime h. l. congruit.

44. ἐπικηρυκευομένων ἀπὸ τῶν δυν. ἀνδρῶν. Bauerus ſupplet τινῶν, praeter neceſſitatem. Iunge: ἐπικηρυκευομένων ἀνδρῶν ἀπὸ τῶν δυν. „cum ex primoribus quidam per praeconem cum iis agerent". Ἄνδρες ſaepe dici pro τινές, ſupra vidimus. Cf. ad 7, 43. Ἀπό autem h. l. eſt pro ἐκ, ut 6, 101 init. ἀπὸ τοῦ κύκλου ἐτείχιζον οἱ Ἀθηναῖοι τὸν κρημνὸν τὸν ὑπὲρ τοῦ ἕλους.

τέσσαρσι καὶ ἐνενήκοντα. Sic recte Gr. Caſſ. Aug. pro ἐννενήκοντα.]

πολλοὺς, οὐκ εἰδότας τὰ πρασσόμενα, (καὶ ἔφευγον, ἄλλως τε καὶ ἀτειχίστου οὔσης τῆς πόλεως·) εἶτα, ξυγκαλέσαντες οἱ Λακεδαιμόνιοι τούτους τε καὶ τοὺς ἐκ τοῖν δυοῖν πόλεοιν, Λίνδου τε καὶ Ἰηλυσοῦ, Ῥοδίους, ἔπεισαν ἀποστῆναι Ἀθηναίων. Καὶ προσεχώρησε Ῥόδος Πελοποννησίοις. Οἱ δὲ Ἀθηναῖοι κατὰ τὸν καιρὸν τοῦτον ταῖς ἐκ τῆς Σάμου ναυσὶν, αἰσθόμενοι, ἔπλευσαν μὲν, βουλόμενοι φθάσαι, καὶ ἐφάνησαν πελάγιοι· ὑστερήσαντες δὲ οὐ πολλῷ, τὸ μὲν παραχρῆμα ἀπέπλευσαν ἐς Χάλκην, ἐντεῦθεν δ' ἐς Σάμον· ὕστερον δὲ ἐκ τῆς Χάλκης καὶ ἐκ τῆς Κῶ καὶ ἐκ τῆς Σάμου τοὺς ἐπίπλους ποιούμενοι ἐπὶ τὴν Ῥόδον, ἐπολέμουν. Οἱ δὲ χρήματα μὲν ἐξέλεξαν ἐς δύο καὶ τριάκοντα τάλαντα οἱ Πελοποννήσιοι παρὰ τῶν Ῥοδίων, τὰ δ' ἄλλα ἡσύχαζον ἡμέρας ὀγδοήκοντα, ἀνελκύσαντες τὰς ναῦς.

45. Ἐν δὲ τούτῳ, καὶ ἔτι πρότερον, πρὶν ἐς τὴν Ῥόδον αὐτοὺς ἀναστῆναι, τάδε ἐπράσσετο. Ἀλκιβιάδης, μετὰ τὸν Χαλκιδέως θάνατον, καὶ τὴν ἐν Μιλήτῳ μάχην, τοῖς Πελοποννησίοις ὕποπτος ὢν, καὶ ἀπ' αὐτῶν ἀφικομένης ἐπιστολῆς πρὸς Ἀστύοχον ἐκ Λακεδαίμονος, ὥστ' ἀποκτεῖναι, (ἦν γὰρ τῷ Ἄγιδι ἐχθρὸς, καὶ ἄλλως ἄπιστος ἐφαίνετο·) πρῶτον μὲν ὑποχωρεῖ,

in Camirum facto, atque tum convocatis omnibus, et qui perterriti fugerant, et qui ceteras urbes incolebant, ab Athenienfibus ad fuam focietatem traduxerunt. Nam Athenienfes, qui impedire volebant, paullo ferius venerunt. Qua re poftea, quamquam fruftra, ab infulis fuis incurfiones in Rhodum faciebant. 45. Inter haec Alcibia-

καὶ ἔφευγον — πόλεως. Haec parenthefi includenda curavi, cum ad praecedentem fyntaxin non quadrent. — Mox cum feptem libris fcripfi: *ἐκ τοῖν δυοῖν πόλεοιν*, pro *ἐκ τῶν*.

ὑστερήσαντες δὲ οὐ πολλῷ. Sic undecim Thucydidis codices fcribi hic volunt pro *ὑστερίσαντες*. Utroque promifcue utitur Scriptor. 6, 69. *ὑστέριζον μέν*. 7, 29 init. *τοὺς τῷ Δημοσθένει ὑστερήσαντας*. Cf. 1, 134.

45. *Χαλκιδέως θάνατον.* Vid. cap. 24. — *τὴν ἐν Μιλήτῳ μάχην*, cap. 27. — *ἀπ' αὐτῶν*, i. e. *Πελοποννησίων*, quod deinde magis definite *ἐκ Λακεδαίμονος*.

δείσας, παρὰ Τισσαφέρνην, ἔπειτα ἐκάκου πρὸς αὐτὸν, ὅσον ἐδύνατο μάλιστα, τῶν Πελοποννησίων τὰ πράγματα. Καὶ διδάσκαλος πάντων γιγνόμενος, τήν τε μισθοφορὰν ξυνέτεμεν, ἀντὶ δραχμῆς Ἀττικῆς ὥςτε τριώβολον (καὶ τοῦτο μὴ ξυνεχῶς,) δίδοσθαι· λέγειν κελεύων τὸν Τισσαφέρνην πρὸς αὐτοὺς, ὡς Ἀθηναῖοι, ἐκ πλείονος χρόνου ἐπιστήμονες ὄντες τοῦ ναυτικοῦ, τριώβολον τοῖς ἑαυτῶν διδόασιν· οὐ τοσοῦτον πενίᾳ, ὅσον ἵνα αὐτῶν μὴ οἱ ναῦται, ἐκ περιουσίας ὑβρίζοντες, οἱ μὲν τὰ σώματα χείρω ἔχωσι, δαπανῶντες ἐς τοιαῦτα, ἀφ' ὧν ἡ ἀσθένεια ξυμβαίνει, οἱ δὲ, τὰς ναῦς ἀπολιπόντες, ἐς ὁμηρείαν τὸν προσοφειλόμενον μισθόν. Καὶ, τοὺς τριηράρχους καὶ τοὺς στρατηγοὺς τῶν πό-

des, Peloponnesiis iam ante adeo ſuſpectus, ut Aſtyochus eum interficere iuberetur, conceſſit metu ad Tiſſaphernem,

οἱ δὲ, τὰς ναῦς ἀπολιπόντες, ἐς ὁμηρείαν τὸν προσοφ. μισθόν. Difficillimum hunc locum Duckerus mutilum eſſe cenſet, cuius ſententiae asſentiri videtur Kiſtemakerus, qui legendum eſſe opinatur aut: τὰς ναῦς ἀπολίπωσι, ἐς ὁμηρείαν τοῦ προσοφειλομένου μισθοῦ, aut: τὰς ναῦς ἀπολίπωσι, ὑπολιπόντες ἐς ὁμ. τὸν προσοφ. μισθόν. Neutram equidem amplectar, ſed locum integrum, certe non mancum eſſe exiſtimem. Iam Stephanus participium ἀπολιπόντες iunxit cum ſequentibus, quem ſequitur Benedictus. Ita comma poſt τὰς ναῦς ponendum, poſt ἀπολιπόντες tollendum fuerit. Quod qui ſequuntur, ad verba τὰς ναῦς non inepte ſubaudiunt ex praecedentibus χείρους ἔχωσι. Neque omnino haec ratio repudianda eſt: „neve alii navibus utantur parum inſtructis, mercedem ipſis debitam pignoris loco relinquentes.“ Neque tamen disſimulari poteſt, ἀπολιπόντες multo aptius referri ad τὰς ναῦς, quam ad μισθόν, quem h. l. dicit προσοφειλόμενον, quatenus nautae non integrum ſtipendium, ſed partem tantum ſtipendii, ad victum ſufficientem, expendi ſibi iuberent, ut reſtaret, quod pignoris loco, ſi commeatum peterent, adhiberent, vel apud trierarchos relinquerent. Itaque, ſervata lectione et diſtinctione vulgata, ad τὸν προσοφειλόμενον μισθὸν ex praecedentibus, repete ἔχωσι: „ne mercedem ipſis debitam pignoris loco habeant, ſi deſeruerint naves, i. e. a navibus paullulum receſſerint.“ Nam ἀπολείπειν τὰς ναῦς non intelligo λειποταξίαν vel αὐτομολίαν, ſed minus diligentem officiorum militarium curam, liberiorem diſciplinam, quam ſive ultro data pecunia, ſive pignore ſibi redimere poſſent. Cf. Tacit. Annal. 1, 17. „Enimvero militiam ipſam gravem, *infructuoſam*: denis in diem aſſibus animam et corpus aeſti-

λεων, ἐδίδασκεν, ὥςτε δόντα χρήματα αὐτὸν πεῖσαι, ὥςτε ξυγχωρῆσαι ταῦτα ἑαυτῷ, πλὴν τῶν Συρακουσίων· (τούτων δὲ Ἑρμοκράτης τε ἠναντιοῦτο μόνος ὑπὲρ τοῦ ξύμπαντος ξυμμαχικοῦ). Τάς τε πόλεις δεομένας χρημάτων ἀπήλασεν αὐτὸς, ἀντιλέγων ὑπὲρ τοῦ Τισσαφέρνους, ὡς οἱ μὲν Χῖοι ἀναίσχυντοι εἶεν, πλουσιώτατοι ὄντες τῶν Ἑλλήνων, ἐπικουρίᾳ δὲ ὅμως σωζόμενοι, ἀξιοῦσι, καὶ τοῖς σώμασι καὶ τοῖς χρήμασιν ἄλλους ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας κινδυνεύειν. τὰς δ' ἄλλας πόλεις, ἔφη, ἀδικεῖν, αἳ ἐς Ἀθηναίους, πρότερον ἢ

quem deinde a Peloponnesiis abduxit, omninoque eorum

mari, hinc vestem, arma, tentoria, *hinc saevitiam centurionum, et vacationes munerum redimi.*" Itaque ὑμηρεία eiusmodi licentiae, delictorum impunitatem afferat, atque militarem disciplinam evertat.

ὥςτε δόντα χρήματα αὐτὸν πεῖσαι. Comma post χρήματα sustuli, propterea quod ὥςτε ad πεῖσαι pertinet, αὐτὸν vero non pendet ab ἐδίδασκεν, sed ab infinitivo πεῖσαι. Sensus enim est: ,, *Docendo perfecit* Alcibiades, ut Tissaphernes data pecunia trierarchis et praefectis persuaderet, ut sibi concederent stipendii deminutionem, (ταῦτα)." — Paullo post verba: τούτων δὲ — ξυμμαχικοῦ melius parenthesi secernuntur, certe post ea plene interpungendum est. Quo minus ferendum esse patet illud τέ, quod nomini Ἑρμοκράτης adhaeret, et haud dubie in γέ mutandum est.

ὡς οἱ μὲν Χῖοι ἀναίσχυντοι εἶεν. Cum sequens verbum ἀξιοῦσι non habeat, unde pendeat, verisimile est, εἶεν corruptum esse ex εἰ. Ita in sequentibus: τὰς δ' ἄλλας πόλεις, ἔφη, ἀδικεῖν, — εἰ μὴ καὶ νῦν — ἐθελήσουσιν ἐσφέρειν. Saepissime verbum substantivum a librariis vel interpretibus additur. Vid. ad 2, 13. In cod. Regio deest εἶεν, et inter versus recenti manu adscriptum est; quod facile fieri poterat, si εἰ a librario scribendum erat, propter soni in ultima praecedentis vocabuli similitudinem. Benedictus quidem servat hoc verbum, sed alio modo succurrit loco, post σωζόμενοι inserens οἵ. Idem recte e codicibus septem Pariss. et tribus aliis Ar. C. Mosq. recepit τῆς ante ἐκείνων.

πρότερον ἢ ἀποστῆναι. Iam Duckerus coniecerat, sic legendum esse. Vulgo enim ἢ abest, contra Thucydidis et omnium scriptorum usum. Coniecturam istam firmat Par. I. Cf. cap. 55. μᾶλλον ἢ ἐκ τῆς Κῶ. Quare non dubitavi eam recipere. Sunt enim loci, quorum lectio unius codicis auctoritate satis constet, si omnia eodem faciant, et linguae usus iubeat. Ita cap. seq. corrupta lectio μελλήσει, cuius loco reponendum est ἢ Ἕλλησι, uno codice Par. D., qui non est ex praestantioribus, firmatur; ubi tamen cod. I. quodammodo subsidio est, exhibens ἢ μελλήσει,

ἀποστῆναι, ἀνάλουν, εἰ μὴ καὶ νῦν καὶ τοσαῦτα καὶ ἔτι πλείω ὑπὲρ σφῶν αὐτῶν ἐθελήσουσιν ἐςφέρειν. Τόν τε Τισσαφέρνην ἀπέφαινε νῦν μέν, τοῖς ἰδίοις χρήμασι πολεμοῦντα, εἰκότως φειδόμενον· ἢν δέ ποτε τροφὴ καταβῇ παρὰ βασιλέως, ἐντελῆ αὐτοῖς ἀποδώσειν τὸν μισθὸν, καὶ τὰς πόλεις τὰ εἰκότα ὠφελήσειν.

46. Παρῄνει δὲ καὶ τῷ Τισσαφέρνει, μὴ ἄγαν ἐπείγεσθαι τὸν πόλεμον διαλῦσαι, μηδὲ βουληθῆναι, κομίσαντα ἢ ναῦς Φοινίσσας, ἅςπερ παρεσκευάζετο, ἢ Ἕλλησι πλείοσι μισθὸν πορίζοντα, τοῖς αὐτοῖς τῆς τε γῆς καὶ τῆς θαλάσσης τὸ κράτος δοῦναι, ἔχειν δ' ἀμφοτέρους ἐᾷν δίχα τὴν ἀρχὴν, καὶ βασιλεῖ ἐξεῖναι ἐπὶ τοὺς αὐτῷ λυπηροὺς τοὺς ἑτέρους ἐπάγειν. Γενομένης

rebus, quam poterat maxime, nocuit. 46. Nam Tiſſaphernem monebat, ne adductis Phoeniſſis navibus Peloponneſiorum opes nimis augeret, ſed, parvo ſumptu im-

quod ἢ in codd. Reg. Caſſ. recenti manu adſcriptum eſt inter verſus.

εἰ μὴ καὶ νῦν τοσαῦτα. Sex codices non male: εἰ μὴ καὶ νῦν καὶ τοσαῦτα καὶ ἔτι πλείω·

ἐντελῆ — τὸν μισθόν, i. e. drachmam Atticam. Vide ad cap. 29.

46. ἢ Ἕλλησι. Vulgo μελλήσει. Vide ad cap. 45. Structura autem minus concinna eſt: κομίσαντα ἢ ναῦς φ., ἢ Ἕλλησι πλείοσι μισθὸν πορίζοντα, cum prius ἢ non pertineat ad κομίσαντα, ut poſterius ad πορίζοντα, ſed ad ναῦς.

ἐπὶ τοὺς αὐτοὺς λυπηροὺς τοὺς ἑτέρους ἐπάγειν. Haec corrupta eſſe, facile perſpicies. Quinam enim hic ſunt οἱ αὐτοί? Utrum, a quibus offenderetur, ut Portus vertit? At hoc non poterat ſolo verbo λυπηροὺς enuntiari, neque per ſe ſatis aptam ſententiam fundit. An intelligendum: contra eosdem Peloponneſios, quos nunc ſocietate ſua auget? At hoc multo minus e verbis Thucydidis erui poteſt. Sententia patiatur, pro τοὺς αὐτοὺς legi τοὺς ἑτέρους, quia ſequitur τοὺς ἑτέρους. Sed haec ratio neque a libris adiuvatur, et nimium recedit a vulgatae lectionis veſtigiis. Codices quidem Caſſ. Aug. Dan. Par. I. pro αὐτοὺς praebent αὐτοῦ, quod, memor, quoties caſus verborum in Mſſ. asſimilentur proximis vocabulis (cf. 5, 46), ſine haeſitatione reciperem, niſi genitivus ab adiectivo λυπηρός alienior videretur. Thucyd. 6, 18 init. τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν λυπηροὶ ὄντες. Suſpicor igitur, olim fuiſſe τοὺς αὐτῷ λυπηρούς, deinde in aliis libris αὐτοὺς ortum, propter τοὺς et λυπηρούς, in aliis αὐτοῦ, vel errore, vel ex correctione vulgati αὐτούς. — Ad ἐξεῖναι repete ἐᾷν.

δ' ἂν καθ' ἓν τῆς ἐς γῆν καὶ θάλασσαν ἀρχῆς, ἀπορεῖν ἂν αὐτὸν, οἷς τοὺς κρατοῦντας ξυγκαθαιρήσει, ἢν μὴ αὐτὸς βούληται μεγάλῃ δαπάνῃ καὶ κινδύνῳ ἀναστάς ποτε διαγωνίσασθαι. Εὐτελέστερα δὲ τὰ δεινὰ, βραχεῖ μορίῳ τῆς δαπάνης, καὶ ἅμα μετὰ τῆς ἑαυτοῦ ἀσφαλείας αὐτοὺς περὶ ἑαυτοὺς τοὺς Ἕλληνας κατατρίψαι. Ἐπιτηδειοτέρους τε, ἔφη, τοὺς Ἀθηναίους εἶναι κοινωνοὺς αὐτῷ τῆς ἀρχῆς· ἧσσον γὰρ τῶν κατὰ γῆν ἐφίεσθαι, τὸν λόγον τε ξυμφορώτατον καὶ τὸ ἔργον ἔχοντας πολεμεῖν· τοὺς μὲν γὰρ ξυγκαταδουλοῦν ἂν σφίσι τε αὐτοῖς τὸ τῆς θαλάσσης μέρος, καὶ ἐκείνῳ, ὅσοι ἐν τῇ βασιλέως Ἕλληνες οἰκοῦσι· τοὺς δὲ, τοὐναντίον, ἐλευθερώσοντας ἥκειν. Καὶ οὐκ εἰκὸς εἶναι,

penſo, Graecos ſe invicem conterere pateretur; et cum Athenienſibus potius ſe iungeret, minus regis imperio obtrectantibus, quod navales tantummodo opes quaererent. Lacedaemonios vero, manifeſtum eſſe, id agere, ut Graecos, quos nunc a Graecis liberaſſent, deinde a barbaris

εὐτελέστερα δὲ τὰ δεινά, ſubaudi εἶναι. Εὐτελέστερα, i. e. ἀδαπανώτερα. Poſt δεινὰ comma poſui, ut verba βραχεῖ μορίῳ τῆς δαπάνης cum infinitivo κατατρίψαι iungantur. Porti verſio: „Illa autem pericula, quae parvo ſumptu ſubeuntur, leviora eſſe dicebat", ut e Thucydidis verbis erui non poteſt, ita ne veram quidem ſententiam fundit.

καὶ οὐκ εἰκὸς εἶναι, — μὴ ἐλευθερῶσαι. Hic locus ex difficillimis huius libri eſſet, ſi verba ἢν μή ποτε αὐτοὺς μὴ ἐξέλωσι vertenda eſſent aut cum Porto: „ſi aliquando ipſos Athenienſes everterint", aut cum Kiſtemakero: „modo non aliquando eos (barbaros) ſubverſuri ſint." In neutra enim harum interpretationum ratio habita eſt particulae μὴ bis poſitae, quae pleroſque interpretes diligentiores (ceteri enim non curant) maxime vexavit. Ea autem utroque loco optime habet, et ſenſum Alcibiadis conſilio aptiſſimum fundit huncce: „Conſentaneum eſt, Lacedaemonios non ſolum Graecos a Graecis (i. e. Athenienſibus), ſed etiam a barbaris eſſe liberaturos, niſi ſi quando eos (Athenienſes) non everterint." Nam, florentibus Athenienſibus, aut ſaltem non prorſus debellatis, Lacedaemonii non valebant Graecos liberare a barbaris, quod ſatis ſuperque iis cum Athenienſibus negotii eſſet. At ſi regnarent ſoli in Graecia, etiam Perſarum regi Graecas civitates, nullo prohibente, erepturi eſſe videbantur. Pronomen αὐτούς, quod ad barbaros refert Kiſtemakerus, Bredovio probante, cum Scholiaſta et ceteris interpretibus ad Athenienſes retuli, ſententia neceſſario id flagitante.

Λακεδαιμονίους ἀπὸ μὲν σφῶν τῶν Ἑλλήνων ἐλευθεροῦν νῦν τοὺς Ἕλληνας, ἀπὸ δ' ἐκείνων τῶν βαρβάρων, ἢν μή ποτε αὐτοὺς μὴ ἐξέλωσι, μὴ ἐλευθερῶσαι. Τρίβειν οὖν ἐκέλευε πρῶτον ἀμφοτέρους, καὶ ἀποτεμόμενον ὡς μέγιστα ἀπὸ τῶν Ἀθηναίων, ἔπειτ' ἤδη τοὺς Πελοποννησίους ἀπαλλάξαι ἐκ τῆς χώρας. Καὶ διενοεῖτο τὸ πλέον οὕτως ὁ Τισσαφέρνης, ὅσα γε ἀπὸ τῶν ποιουμένων ἦν εἰκάσαι. Τῷ γὰρ Ἀλκιβιάδῃ διὰ ταῦτα, ὡς εὖ περὶ τούτων παραινοῦντι, προςθεὶς ἑαυτὸν ἐς πίστιν, τήν τε τροφὴν κακῶς ἐπόριζε τοῖς Πελοποννησίοις, καὶ ναυμαχεῖν οὐκ εἴα· ἀλλὰ καὶ τὰς Φοινίσσας ναῦς φάσκων ἥξειν, καὶ ἐκ περιόντος ἀγωνιεῖσθαι, ἔφθειρε τὰ πράγματα· καὶ τὴν ἀκμὴν τοῦ ναυτικοῦ αὐτῶν ἀφείλετο, γενομένην καὶ πάνυ ἰσχυρὰν, τά τε ἄλλα καταφανέστερον, ἢ ὥςτε λανθάνειν, οὐ προθύμως.

47. Ὁ δὲ Ἀλκιβιάδης ταῦτα, ἅμα μὲν τῷ Τισσαφέρνει καὶ τῷ βασιλεῖ, ὢν παρ' ἐκείνοις, ἄριστα εἶναι νομίζων, παρῄνει, ἅμα δὲ τὴν ἑαυτοῦ κάθοδον ἐς

vindicarent. Quibus confiliis cum fidem fuam adiunxiffet Tiffaphernes, maligne ftipendium Peloponnefiis folvit, et a proelio navali cohibuit, donec Phoeniffas naves adduceret; quam fpem usque fefellit. 47. Alcibiades vero

ἀποτεμόμενον, ad Tiffaphernem pertinet. Schol. μεγίστων αὐτοὺς στερήσαντα. — τρίβειν, vide ad 7, 48.

καὶ ἐκ τοῦ περιόντος ἀγωνιεῖσθαι. Praeltantiffimi codices Cam. Cl. Gr. Caff. Aug. ignorant articulum τοῦ cum duobus Pariff., probante Benedicto. Thucyd. 5, 103. Τοὺς ἀπὸ περιουσίας χρωμένους αὐτῇ. Quare voculam, iam fuperioribus editoribus fufpectam, eieci.

οὐ προθύμως. Bredovio placet οὐ πρόθυμος. Sed quo referas πρόθυμος? Utrum ad καταφανέστερον, an ad λανθάνειν? Si cum καταφανέστερον iungas, videtur deeffe verbum finitum; fi cum λανθάνειν, participium. Fortaffis excidit ἦν poft λανθάνειν propter fimilem fonum, ut fcribendum fit: τά τε ἄλλα καταφανέστερον, ἢ ὥςτε λανθάνειν, ἦν οὐ πρόθυμος.

47. ἅμα μὲν τῷ Τισσαφέρνει — νομίζων. Comma pofui ante ἅμα μέν, quia ἅμα δέ adiectum habet participium ἐπιθεραπεύων, non verbum finitum ἐπεθεράπευε. — παρ' ἐκείνοις, i. e. in earum ditione et terra.

τὴν πατρίδα ἐπιθεραπεύων, εἰδὼς, εἰ μὴ διαφθερεῖ αὐτὴν, ὅτι ἔσται ποτὲ αὐτῷ πείσαντι κατελθεῖν. Πεῖσαι δ' ἂν ἐνόμιζε μάλιστα ἐκ τοῦ τοιούτου, εἰ Τισσαφέρνης φαίνοιτο αὐτῷ ἐπιτήδειος ὤν. Ὅπερ καὶ ἐγένετο. Ἐπειδὴ γὰρ ᾔσθοντο αὐτὸν ἰσχύοντα παρ' αὐτῷ οἱ ἐν τῇ Σάμῳ Ἀθηναίων στρατιῶται, τὰ μὲν καὶ Ἀλκιβιάδου προσπέμψαντος λόγους ἐς τοὺς δυνατωτάτους αὐτῶν ἄνδρας, ὥστε μνησθῆναι περὶ αὐτοῦ ἐς τοὺς βελτίστους τῶν ἀνθρώπων, ὅτι ἐπ' ὀλιγαρχίᾳ βούλεται, καὶ οὐ πονηρίᾳ, οὐδὲ δημοκρατίᾳ, τῇ ἑαυτὸν ἐκβαλούσῃ, κατελθὼν, καὶ παρασχὼν Τισσαφέρνην φίλον αὐτοῖς, ξυμπολιτεύειν, τὸ δὲ πλέον, καὶ ἀπὸ σφῶν αὐτῶν οἱ ἐν τῇ Σάμῳ τριήραρχοί τε τῶν Ἀθηναίων, καὶ δυνατώτατοι, ὥρμηντο ἐς τὸ καταλῦσαι τὴν δημοκρατίαν.

48. Καὶ ἐκινήθη πρότερον ἐν τῷ στρατοπέδῳ τοῦτο, καὶ ἐς τὴν πόλιν ἐντεῦθεν ὕστερον. Τῷ τε Ἀλκιβιάδῃ διαβάντες τινὲς ἐκ τῆς Σάμου ἐς λόγους ἦλθον, καὶ, ὑποτείνοντος αὐτοῦ καὶ Τισσαφέρνην μὲν πρῶτον, ἔπειτα δὲ καὶ βασιλέα φίλον ποιήσειν, εἰ μὴ δημοκρατοῖντο, (οὕτω γὰρ ἂν πιστεῦσαι μᾶλλον βα-

haec Tiſſapherni ſuadebat, ut patriae ſuae conſuleret, in quam ſe reſtitutum iri ſperabat, niſi eam perderet, ac ſi Tiſſapherni amicus eſſe videretur. Itaque cum primores Athenienſium, qui apud exercitum in Samo erant, in eam ſpem induxiſſet, fore, ut, ſi ipſe in patriam, oligarchia conſtituta, reſtitueretur, Tiſſaphernem Athenienſibus amicum redderet: 48. haec res primum in caſtris, deinde etiam in urbe iactata eſt. Proceres enim ſpem concipiebant, ſimul rei publicae adminiſtrationem ad ipſos per-

τὰ μὲν καὶ Ἀλκιβιάδου προσπέμψαντος —. Ab his verbis incipit apodoſis, cuius ſubiectum eſt οἱ ἐν τῇ Σάμῳ τριήραρχοι. Ergo στρατιώτας ne intellexeris gregarios milites, ſed στρατόπεδον, στράτευμα. Ita nulla remanet difficultas. Nam in ſequentibus ſtructuram modo variavit contractione duorum membrorum (τῶν τριηράρχων καὶ δυνατωτάτων βουλομένων, ὥρμηντο).

48. καὶ ὑποτείνοντος αὐτοῦ. Schol. ſupplet ἐλπίδας.

σιλέα) πολλὰς ἐλπίδας εἶχον, αὐτοί τε αὑτοῖς οἱ δυνατοὶ τῶν πολιτῶν τὰ πράγματα, (οἵπερ καὶ ταλαιπωροῦνται μάλιστα,) ἐς ἑαυτοὺς περιποιήσειν, καὶ τῶν πολεμίων ἐπικρατήσειν. Ἔς τε τὴν Σάμον ἐλθόντες, ξυνίστασάν τε τῶν ἀνθρώπων τοὺς ἐπιτηδείους ἐς ξυνωμοσίαν, καὶ ἐς τοὺς πολλοὺς φανερῶς ἔλεγον, ὅτι βασιλεὺς σφίσι φίλος ἔσοιτο, καὶ χρήματα παρέξοι, Ἀλκιβιάδου τε κατελθόντος, καὶ μὴ δημοκρατουμένων. Καὶ ὁ μὲν ὄχλος, εἰ καί τι παραυτίκα ἤχθετο τοῖς πρασσομένοις, διὰ τὸ εὔπορον τῆς ἐλπίδος τοῦ βασιλέως μισθοῦ, ἡσύχαζεν. Οἱ δὲ ξυνιστάντες τὴν ὀλιγαρχίαν, ἐπειδὴ τῷ πλήθει ἐκοίνωσαν, αὖθις καὶ σφίσιν αὐτοῖς καὶ τοῦ ἑταιρικοῦ τῷ πλέονι τὰ ἀπὸ τοῦ Ἀλκιβιάδου ἐσκόπουν. Καὶ τοῖς μὲν ἄλλοις ἐφαίνετο εὔπορα καὶ πιστὰ, Φρυνίχῳ δὲ, στρατηγῷ ἔτι ὄντι, οὐδὲν ἤρεσκεν· ἀλλ' ὅ, τε Ἀλκιβιάδης (ὅπερ καὶ ἦν,) οὐδὲν μᾶλλον ὀλιγαρχίας, ἢ δημοκρατίας, δεῖσθαι ἐδόκει αὐτῷ, ἢ ἄλλο τι σκοπεῖσθαι, ἤ, ὅτῳ τρόπῳ, ἐκ τοῦ παρόντος κόσμου τὴν πόλιν μεταστήσας, ὑπὸ τῶν ἑταίρων παρακληθεὶς, κάτεισι· σφίσι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα, ὅπως

venturam, et hoſtes ſuos devictum iri. Adiunctis igitur ad coniurationem, qui idonei viderentur, de regis auxilio, ſi Alcibiades reſtitueretur et democratia tolleretur, ad vulgus verba fecerunt. Cumque ob ſpem regii ſtipendii vul-

αὐτοί τε αὐτοῖς — ἐς ἑαυτοὺς περιποιήσειν. Ante haec verba, monente etiam Bredovio, colon in comma mutandum eſt; pendent enim a πολλὰς ἐλπίδας εἶχον. Item comma ante τὰ πράγματα delendum. Senſus eſt: „magnam ſpem conceperunt, fore, ut et ipſi per ſe principes civitatis, qui malis (democratiae) maxime premerentur, reipublicae adminiſtrationem ad ſe transferrent, et hoſtes ſuperarent.“ Pro αὐτοῖς igitur cum cod. Reg. ſcribendum videtur αὑτοῖς.

ἐπειδὴ τῷ πλήθει ἐκοίνωσαν. Codd. Cl. Gr. Reg. Caſſ. Aug. ἐκοινώνησαν. Sed haec lectio et obſtat dativo τῷ πλήθει, et loci ſententiae. Iidem codices paullo inferius cum aliis male inferunt καὶ ante οὐδὲν μᾶλλον, quod fortaſſe a correctore eſt, ad praecedens τέ reſpiciente, et ignorante, eo referendum eſſe et referri poſſe ſequens σφίσι δέ. Vid. ad 1, 11.

ἢ ἄλλο τι σκοπεῖσθαι. Hoc loco ἤ valet *aut*, neque ad comparativum μᾶλλον ſpectat.

μὴ στασιάσωσι. Τῷ βασιλεῖ τε οὐκ εὔπορον εἶναι, καὶ Πελοποννησίων ἤδη ὁμοίως ἐν τῇ θαλάσσῃ ὄντων, καὶ πόλεις ἐχόντων ἐν τῇ αὐτοῦ ἀρχῇ οὐκ ἐλαχίστας, Ἀθηναίοις προσθέμενον, οἷς οὐ πιστεύει, πράγματα ἔχειν, ἐξὸν, Πελοποννησίους, ὑφ' ὧν κακὸν οὐδὲν πέπονθε, φίλους ποιήσασθαι. Τάς τε ξυμμαχίδας πόλεις, αἷς ὑπεσχῆσθαι δὴ σφᾶς ὀλιγαρχίαν, ὅτι δὴ καὶ αὐτοὶ οὐ δημοκρατήσονται, εὖ εἰδέναι ἔφη, ὅτι οὐδὲν μᾶλλον σφίσιν οὔθ' αἱ ἀφεστηκυῖαι προσχωρήσονται, οὔθ' αἱ ὑπάρχουσαι βεβαιότεραι ἔσονται. Οὐ γὰρ βουλήσεσθαι αὐτοὺς μετ' ὀλιγαρχίας ἢ δημοκρατίας δουλεύειν μᾶλλον, ἢ, μεθ' ὁποτέρου ἂν τύχωσι τούτου, ἐλευθέρους εἶναι.

gus, quamvis aegre ferens, quae gerebantur, tamen quiesceret: Phrynichus solus exstitit, qui rem dissuaderet, et

τῷ βασιλεῖ τε οὐκ εὔπορον εἶναι. Vulgo legitur et interpungitur: ὅπως μὴ στασιάσωσι τῷ βασιλεῖ· οὐκ εὐπόρου εἶναι [λέγων], καὶ Πελοποννησίων [ἤδη] ὁμοίως ἐν τῇ θαλάσσῃ ὄντων. A verbo ἤδη, quod in omnibus, quos novimus libris comparet, et per se ad sententiam aptissimum est, uncos removimus; λέγων autem, praeeuntibus aliis, et iubentibus plurimis libris, expunximus. Deinde iam alii monuerunt, verba ὅπως μὴ στασιάσωσι cohaerere non posse cum τῷ βασιλεῖ. Nam a rege Persarum Athenienses, qui nunc ipsum demum eius socii fieri volebant, non poterant dici desciscere, vel contra eum seditionem facere. Sed Atheniensibus maxime cavendae erant, ex Phrynichi quidem, et vera illa quidem, sententia, intestinae seditiones. Praeterea Bauerus recte monet, verba εὔπορον εἶναι, si vulgatam distinctionem sequaris, non habere, ad quem referantur, et obscuriora esse; Duckerus autem horum verborum advertit ἀσύνδετον. Neque sequens αὐτοῦ satis commode ad regem referri potest, quo tamen pertinet, nisi verba τῷ βασιλεῖ ad sequentem periodum trahantur. At vero novum ita ἀσύνδετον exsistit, cui medentur Mss. quidam, Mosq. Paris. F., exhibentes τῷ βασιλεῖ τέ, pro quo Reg. e correctione, ut videtur, τῷ τε βασιλεῖ. Hoc igitur recepimus, cum Thucydidis manum in aliis codicum lectionibus non agnosceremus.

τύχωσι τούτου, int. τοῦ ἐλευθέρους εἶναι. — Paullo post ex codd. Cass. Aug. Gr. Mosq. Reg. et aliis duobus Pariss. scripsit Bredovius νομίζειν pro νομίσειν. Refert enim ad Phrynichum hunc infinitivum. Sed vulgata lectio vera est, et infinitivus νομίσειν pertinet ad αὐτούς, i. e. *cives sociarum urbium*, de quibus etiamnum sermonem esse, sequentia demonstrant. Quare verba αὐτοὺς νομίσειν commatibus seclusi. — τούς τε καλοὺς κἀγαθοὺς ὀνομαζομένους int. Optimates. — εἶναι post τὸ μὲν ἐπ' ἐκείνοις abundat Atticorum more.

Τούς τε καλοὺς κἀγαθοὺς ὀνομαζομένους οὐκ ἐλάσσω, αὐτοὺς νομίσειν, σφίσι πράγματα παρέξειν τοῦ δήμου, ποριστὰς ὄντας καὶ ἐσηγητὰς τῶν κακῶν τῷ δήμῳ, ἐξ ὧν τὰ πλείω αὐτοὺς ὠφελεῖσθαι· καὶ τὸ μὲν ἐπ᾽ ἐκείνοις εἶναι, καὶ ἄκριτοι ἂν καὶ βιαιότερον ἀποθνήσκειν· τὸν δὲ δῆμον σφῶν τε καταφυγὴν εἶναι καὶ ἐκείνων σωφρονιστήν. Καὶ ταῦτα παρ᾽ αὐτῶν γε τῶν ἔργων ἐπισταμένας τὰς πόλεις σαφῶς αὐτὸς εἰδέναι, ὅτι οὕτω νομίζουσιν. Οὔκουν ἑαυτῷ γε τῶν ἀπὸ Ἀλκιβιάδου καὶ ἐν τῷ παρόντι πρασσομένων ἀρέσκειν οὐδέν.

49. Οἱ δὲ ξυλλεγέντες τῶν ἐν τῇ ξυμμαχίᾳ, ὥσπερ καὶ τὸ πρῶτον αὐτοῖς ἐδόκει, τά τε παρόντα ἐδέχοντο, καὶ ἐς τὰς Ἀθήνας πρέσβεις Πείσανδρον καὶ ἄλλους παρεσκευάζοντο πέμπειν, ὅπως περί τε τῆς τοῦ Ἀλκιβιάδου καθόδου πράσσοιεν καὶ τῆς τοῦ ἐκεῖ δήμου καταλύσεως, καὶ τὸν Τισσαφέρνην φίλον τοῖς Ἀθηναίοις ποιήσειαν.

50. Γνοὺς δὲ ὁ Φρύνιχος, ὅτι ἔσοιτο περὶ τῆς τοῦ Ἀλκιβιάδου καθόδου λόγος, καὶ ὅτι Ἀθηναῖοι ἐνδέ-

vera Alcibiadis consilia aperiret. 49. Neque tamen coniuratis persuasit, qui misso Athenas Pisandro consilia sua persequebantur. 50. Qua re motus Phrynichus, ne, si Alcibiades Athenas reverteretur, ipsi, qui restitisset,

τὰς πόλεις σαφῶς αὐτὸς εἰδέναι. Comma post πόλεις sustuli propter syntaxin loci, quae similis est illi: τὰς ξυμμαχίδας πόλεις — εὖ εἰδέναι, ὅτι οὐδὲν μᾶλλον προσχωρήσονται, pro εὖ εἰδέναι, ὅτι αἱ πόλεις ξυμμ. — προσχωρήσονται. — Particulam γέ ante τῶν ἔργων Benedictus cum pluribus codd. expungit. Sed in aliis excidit γε τῶν, nec satis constat de librorum scriptura. Ceterum cum non inepta sit h. l. particula, eam adhuc servavi.

49. Οἱ δὲ ξυλλεγέντες τῶν ἐν τῇ ξυμμαχίᾳ. Quaenam hic ξυμμαχία intelligenda est? Cum Tissapherne et rege nondum facta erat societas; neque de praefectorum et trierarchorum coniuratione, quam supra c. 48. ξυνωμοσίαν vocaverat Thucydides, vocabulo ξυμμαχία uti potest. Suspicor igitur, etiam hic fuisse ἐν τῇ ξυνωμοσίᾳ, quod librariorum errore facile corrumpi potuit in notissimum vocabulum ξυμμαχία.

ξονται αὐτὴν, δείσας πρὸς τὴν ἐναντίωσιν τῶν λεχθέντων ὑφ᾽ αὐτοῦ, μὴ, ἢν κατέλθῃ, ὡς κωλυτὴν ὄντα, κακῶς δρᾷ, τρέπεται ἐπὶ τοιόνδε τι. Πέμπει ὡς τὸν Ἀστύοχον, τῶν Λακεδαιμονίων ναύαρχον, ἔτι ὄντα τότε περὶ τὴν Μίλητον, κρύφα ἐπιστείλας, ὅτι Ἀλκιβιάδης αὐτῶν τὰ πράγματα φθείρει, Τισσαφέρνην Ἀθηναίοις φίλον ποιῶν, καὶ τἄλλα σαφῶς ἐγγράψας. ξυγγνώμην δὲ εἶναι ἑαυτῷ, περὶ ἀνδρὸς πολεμίου, καὶ μετὰ τοῦ τῆς πόλεως ἀξυμφόρου, κακόν τι βουλεύειν. Ὁ δὲ Ἀστύοχος τὸν μὲν Ἀλκιβιάδην, ἄλλως τε καὶ οὐκέτι ὁμοίως ἐς χεῖρας ἰόντα, οὐδὲ διενοεῖτο τιμωρεῖσθαι. ἀπελθὼν δὲ παρ᾽ αὐτὸν ἐς Μαγνησίαν, καὶ παρὰ Τισσαφέρνην, ἅμα λέγει τε αὐτοῖς τὰ ἐπισταλέντα ἐκ τῆς Σάμου, καὶ γίγνεται αὐτοῖς μηνυτής· προςέθηκέ τε, ὡς ἐλέγετο, ἐπὶ ἰδίοις κέρδεσι Τισσαφέρνει ἑαυτὸν, καὶ περὶ τούτου, καὶ περὶ τῶν ἄλλων. διόπερ καὶ περὶ τῆς μισθοφορᾶς οὐκ ἐντελοῦς οὔσης μαλακωτέρως ἀνθήπτετο. Ὁ δὲ Ἀλκιβιάδης πέμπει εὐθὺς κατὰ Φρυνίχου γράμματα ἐς τὴν Σάμον πρὸς τοὺς ἐν τέλει ὄντας, οἷα δέδρακε, καὶ ἀξιῶν αὐτὸν ἀποθνήσκειν. Θορυβούμενος δὲ ὁ Φρύνιχος, καὶ πάνυ ἐν τῷ μεγίστῳ κινδύνῳ ὢν διὰ τὸ μήνυμα, ἀποστέλλει αὖθις πρὸς τὸν Ἀστύοχον, τά τε πρότερα, μεμφόμενος, ὅτι οὐ καλῶς ἐκρύφθη, καὶ νῦν, ὅτι ὅλον τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἕτοιμος εἴη τὸ ἐν τῇ Σάμῳ παρασχεῖν αὐτοῖς διαφθεῖραι, γράψας καθ᾽ ἕκαστα, ἀτειχίστου οὔσης Σάμου, ᾧ ἂν τρόπῳ αὐτὰ πράξειε, καὶ ὅτι ἀνεπί-

infeſtus eſſet, omnem rem Aſtyocho, Lacedaemoniorum claſſis praefecto, clam per litteras aperuit, odio ſuo in Alcibiadem facinus excuſans. Cum autem Alcibiades, ab Aſtyocho de Phrynichi litteris certior factus, ad Athenienſium praefectos, qui Sami erant, rem detuliſſet, iterum Phrynichus miſit epiſtolam ad Aſtyochum, obiurgans, quod non celaſſet commiſſa, et ſimul docens, quomodo Athenienſium exercitus apud Samum, nondum munitam, facile poſſet confici. Etiam haec Aſtyochus cum Alcibiade com-

φθονόν οἱ ἤδη εἴη, περὶ τῆς ψυχῆς δι' ἐκείνους κινδυνεύοντι, καὶ τοῦτο καὶ ἄλλο τι ἂν δρᾶσαι μᾶλλον, ἢ ὑπὸ τῶν ἐχθίστων αὐτὸν διαφθαρῆναι. Ὁ δὲ Ἀστύοχος μηνύει καὶ ταῦτα τῷ Ἀλκιβιάδῃ.

51. Καὶ ὡς προῄσθετο αὐτὸν ὁ Φρύνιχος ἀδικοῦντα, καὶ ὅσον οὐ παροῦσαν ἀπὸ τοῦ Ἀλκιβιάδου περὶ τούτων ἐπιστολήν, αὐτὸς προφθάσας τῷ στρατεύματι ἐξάγγελος γίγνεται, ὡς οἱ πολέμιοι μέλλουσιν, ἀτειχίστου οὔσης τῆς Σάμου, καὶ ἅμα τῶν νεῶν οὐ πασῶν ἔνδον ὁρμουσῶν, ἐπιθήσεσθαι τῷ στρατοπέδῳ· καὶ ταῦτα σαφῶς πεπυσμένος εἴη, καὶ χρῆναι τειχίζειν τε Σάμον ὡς τάχιστα, καὶ τἄλλα ἐν φυλακῇ ἔχειν. Ἐστρατήγει δέ, καὶ κύριος ἦν αὐτὸς πράσσων ταῦτα. Καὶ οἱ μὲν τὸν τειχισμόν τε παρεσκευάζοντο, καὶ ἐκ τοῦ τοιούτου, καὶ ὡς μέλλουσα Σάμος, θᾶσσον ἐτει-

municavit. 51. Quod cum praevidiſſet Phrynichus, ipſe, priusquam litterae ab Alcibiade hac de re perveniſſent, Athenienſibus nuntiat, hoſtes id agere, ut, cum non munita eſſet Samos, exercitum propediem invaderent.

50. *δι' ἐκείνους*, int. Aſtyochum, Alcibiadem et Tiſſaphernem. In Par. C. et D. eſt *δι' ἐκεῖνον*, quod ad Aſtyochum ſolum pertineret. Sed vulgatum praefero, quia opprobium magis in Alcibiadem, quam in Aſtyochum convenit, cui etiamnum fidem habet Phrynichus, et quem ſupra leviter taxaverat, quod non ſatis bene occultaſſet commiſſa.

καὶ τοῦτο καὶ ἄλλο τι ἂν δρᾶσαι. In codicibus varie ſcribitur, modo *ἄλλο τι πᾶν ἂν δρ.*, modo *ἄλλο τι πᾶν δρᾶσαι*, omiſſo *ἄν*, modo *ἄλλο πᾶν δρᾶσαι*, ſine *τί* et *ἄν*, ut eſt in Caſſ. et Aug. In Gr. eſt *Καὶ ἄλλο τι δρᾶσαι ἄν.* Itaque vera huius loci lectio ſatis incerta. *Ἄν* non neceſſarium eſt, et fortaſſe ortum, ſicut *τί*, ex *πᾶν*, negligentia librariorum, ut genuinam lectionem nobis ſervarint codd. Caſſ. et Aug. Saepe enim a correctoribus codicum variae librorum ſcripturae iunguntur. Ita hic *πᾶν* et *τὶ ἂν* vel ſolum *τί* in nonnullis codicibus congeſta e diverſis libris, et male connexa videntur.

51. *καὶ ἅμα.* Haec verba abſunt quidem a Cl. Caſſ. Aug. et vulgo uncis includuntur. Sed videntur ſervanda, quia ſine iis ſequentia copula aegre carent, et quod propter praecedens nomen *Σάμου* facile dictata excipientis librarii aures effugere potuerunt.

καὶ ὡς. Cap. 56. *ἐπειδὴ ἑώρα ἐκεῖνον καὶ ὡς οὐ ξυμβασείοντα.* Vulgo *ὡς* ſine accentu. Correxit iam Bauerus.

γίσθη. Αἱ δὲ παρὰ τοῦ Ἀλκιβιάδου ἐπιστολαὶ οὐ πολὺ ὕστερον ἧκον, ὅτι παραδίδοταί τε τὸ στράτευμα ὑπὸ Φρυνίχου, καὶ οἱ πολέμιοι μέλλουσιν ἐπιθήσεσθαι. Δόξας δὲ ὁ Ἀλκιβιάδης οὐ πιστὸς εἶναι, ἀλλὰ, τὰ ἀπὸ τῶν πολεμίων προειδὼς, τῷ Φρυνίχῳ ὡς ξυνειδότι κατ' ἔχθραν ἀνατιθέναι, οὐδὲν ἔβλαψεν αὐτὸν, ἀλλὰ καὶ ξυνεμαρτύρησε μᾶλλον, ταῦτα ἐξαγγείλας.

52. Μετὰ δὲ τοῦτο Ἀλκιβιάδης μὲν Τισσαφέρνην παρεσκεύαζε καὶ ἀνέπειθεν, ὅπως φίλος ἔσται τοῖς Ἀθηναίοις, δεδιότα μὲν τοὺς Πελοποννησίους, ὅτι πλείοσι ναυσὶ τῶν Ἀθηναίων παρῆσαν, βουλόμενον δὲ ὅμως, εἰ δύναιτό πως, πεισθῆναι, ἄλλως τε καὶ ἐπειδὴ τὴν ἐν τῇ Κνίδῳ διαφορὰν περὶ τῶν Θηραμένους σπονδῶν ἤσθετο τῶν Πελοποννησίων· (ἤδη γὰρ, κατὰ τοῦτον τὸν καιρὸν ἐν τῇ Ῥόδῳ ὄντων αὐτῶν, ἐγεγένητο·)

Neceſſe igitur eſſe, quam primum Samum munire, et omnia diligenter cuſtodire. Atque ita ſtatim et Sami munitio ſuſcepta eſt, et Alcibiadis litterarum fides concidit. 52. Interim Alcibiades Tiſſapherni, adhuc haeſitanti et Peloponneſiorum maiores opes metuenti, perſuadere co-

52. πεισθῆναι. Multi codices Marg. Ar. C. Dan. Gr. ſeptem Pariſſ. habent πιστευθῆναι, quam lectionem Duckerus ita commendabat, ut alteram plane reiiceret. Eum ſequitur etiam Benedictus. Mihi vero vulgata lectio praeferenda videtur, quam praeter codices praeſtantiſſimos Cl. Cam. Caſſ. Aug. etiam Scholiaſtes tuetur. Tiſſaphernis inconſtantiae non disconvenit, quod cum Peloponneſiis poſt illam altercationem demuo foedus pangit; et verba βουλόμενον, εἰ δύναιτό πως, πεισθῆναι non tam oſtendunt, revera iam alienatum eſſe Tiſſaphernem a Peloponneſiis, ſed tantum cupiviſſe, ut de ſocietatis cum Athenienſibus faciendae commodis ipſi, ſi fieri poſſet, perſuaderetur. Huic certe ſententiae unice conveniunt ſequentia, ἄλλως τε καὶ — ἢ οἱ πατέρες ἦρχον, quae quomodo Duckerus cum ſua expoſitione conciliaverit, equidem non video. Senſiſſe hoc etiam Bredovius videtur, qui tamen ut πιστευθῆναι legatur concedit, modo ὑπ' Ἀλκιβιάδου ſeu Ἀθηναίων ſubaudiatur, neve ad Peloponneſios referatur. Quae non magis concoquere poſſum. Num difficile erat, iis fidem facere, qui cupide ſocietatem eius amplectebantur?

ἤδη γὰρ, κατὰ τοῦτον — ἐγεγένητο. Haec verba cum Kiſtemakero parentheſi incluſi, propterea quod et ſequentia ἐν ᾗ (ita enim ex plerisque libris legendum eſt pro ἐν τῇ) referen-

ἐν ᾗ τὸν τοῦ Ἀλκιβιάδου λόγον, πρότερον εἰρημένον, περὶ τοῦ ἐλευθεροῦν τοὺς Λακεδαιμονίους τὰς ἁπάσας πόλεις, ἐπηλήθευσεν ὁ Λίχας, οὐ φάσκων ἀνεκτὸν εἶναι, ξυγκεῖσθαι, κρατεῖν βασιλέα τῶν πόλεων, ὧν ποτε καὶ πρότερον ἢ αὐτὸς ἢ οἱ πατέρες ἦρχον. Καὶ ὁ μὲν Ἀλκιβιάδης, ἅτε περὶ μεγάλων ἀγωνιζόμενος, προθύμως τῷ Τισσαφέρνει θεραπεύων προσέκειτο.

53. Οἱ δὲ μετὰ τοῦ Πεισάνδρου πρέσβεις τῶν Ἀθηναίων ἀποσταλέντες ἐκ τῆς Σάμου, ἀφικόμενοι ἐς τὰς Ἀθήνας, λόγους ἐποιοῦντο ἐν τῷ δήμῳ, κεφα-

natur, ut cum Athenienſibus ineat ſocietatem. 53. Piſander autem, cum perveniſſet Athenas, multis obniten-

da ſunt ad *διαφοράν*, et ipſa non niſi tempus deſignant, quo ea altercatio, ſupra cap. 43 memorata, acciderit. Sed cur ea obſervatione hic opus videbatur? Scilicet propter verba cap. 45 init. *ἐν δὲ τούτῳ καὶ ἔτι πρότερον, πρὶν ἐς τὴν Ῥόδον αὐτοὺς ἀναστῆναι, τάδε ἐπράσσετο.* Nam quae inde a cap. 45. Thucydides narraverat, iam ante expeditionem in Rhodum facta erant. Aſtyochus enim adhuc apud Miletum erat, cum Alcibiadem et Tiſſaphernem conveniret, et poſtea eos, per litteras fortaſſe, de Phrynichi epiſtola certiores faceret, cap. 50. At etiam nunc, cum Peloponneſii in Rhodo iam eſſent, Alcibiades non deſtitit, ut iam antea fecerat (quo pertinet mox *τὸν λόγον πρότερον εἰρημένον*) Tiſſaphernem Athenienſibus comparare; qui tum, cum iam diſſenſio ſupra demonſtrata interceſſiſſet, (quippe quae iam apud *Cnidum* verſantibus acciderat) propenſior ad has partes videbatur. *Ἐγεγένητο* ergo refer ad *διαφοράν*, et poſt *γάρ* et *αὐτῶν* virgulis diſtingue. *Αὐτῷ* pro *αὐτῶν* vitium eſt librariorum. — Mox articulum *τοὺς* ante *Λακεδαιμονίους*, auctoritate codd. Cl. Caſſ. Aug. Reg. A. C. Moſq. recepi, cum *τοὺς Λακεδαιμονίους* h. l. ſubiectum ſit.

Καὶ ὁ μὲν Ἀλκιβιάδης. Ita cum Benedicto repoſui ex quinque codd. Pariſſ., quibus conſentiunt Caſſ. Aug. Ar. C. Dan. Vulgo legitur *καὶ μὲν δὴ ὁ Ἀλκ.* Marg. habet: *καὶ ὁ μὲν δὴ Ἀλκ.*

53. *ἀφικόμενοι ἐς τὰς Ἀθήνας.* Male codices quidam addunt *καί*, ante haec verba. Copula hic nullum habet locum, cum participium *ἀποσταλέντες* arcte cohaereat cum ſubiecto *οἱ μετὰ τοῦ Πεισάνδρου πρέσβεις*. Particula *καί* igitur interpretem vel correctorem male ſedulum redolet. — Mox pro *κατάγουσι* Cl. Moſq. Par. F. habent *καταγάγουσι*, Marg. Caſſ. Aug. et Gregor. Corinth. h. l. laudans, *καταγαγοῦσι*, quod Benedictus cum Waſſio recte praetulit. Etiam cap. 61. pro *ἀναγομένων* e codd. Caſſ. Aug. videtur reſcribendum *ἀναγαγομένων*, propter aoriſtos praecedentes. Cf. ad c. 95.

λαιοῦντες ἐκ πολλῶν, μάλιστα δὲ, ὡς ἐξείη αὐτοῖς, Ἀλκιβιάδην καταγαγοῦσι, καὶ μὴ τὸν αὐτὸν τρόπον δημοκρατουμένοις, βασιλέα τε ξύμμαχον ἔχειν, καὶ Πελοποννησίων περιγενέσθαι. Ἀντιλεγόντων δὲ πολλῶν καὶ ἄλλων περὶ τῆς δημοκρατίας, καὶ τῶν Ἀλκιβιάδου ἅμα ἐχθρῶν διαβοώντων, ὡς δεινὸν εἴη, εἰ τοὺς νόμους βιασάμενος κάτεισι, καὶ Εὐμολπιδῶν καὶ Κηρύκων, περὶ τῶν μυστικῶν, δι' ἅπερ ἔφυγε, μαρτυρομένων καὶ ἐπιθειαζόντων, μὴ κατάγειν, ὁ Πείσανδρος παρελθὼν, πρὸς πολλὴν ἀντιλογίαν καὶ σχετλιασμὸν ἠρώτα ἕνα ἕκαστον παράγων τῶν ἀντιλεγόντων, ἥντινα ἐλπίδα ἔχει σωτηρίας τῇ πόλει, Πελοποννησίων ναῦς τε οὐκ ἐλάσσους σφῶν ἐν τῇ θαλάσσῃ ἀντιπρώρους ἐχόντων, καὶ πόλεις ξυμμαχίδας πλείους, βασιλέως τε αὐτοῖς καὶ Τισσαφέρνους χρήματα παρεχόντων, σφίσι τε οὐκέτι ὄντων, εἰ μή τις πείσει βασιλέα μεταστῆναι παρὰ σφᾶς. Ὁπότε δὲ μὴ φαίησαν ἐρωτώμενοι, ἐνταῦθα δὴ σαφῶς ἐλέγετο αὐτοῖς, ὅτι τοῦτο τοίνυν οὐκ ἔστιν ἡμῖν γενέσθαι,

tentibus, cum aliis, tum imprimis Alcibiadis inimicis, edocuit, unam civitati ſalutis ſpem reliquam eſſe, ſi rex Perſarum ipſi conciliaretur et a Peloponneſiis ad Athenienſes transiret. Hunc autem ipſis fidem non habiturum, niſi moderatius rempublicam gererent, et paucis rei pu-

καὶ Εὐμολπιδῶν καὶ Κηρύκων. Erant hae celeberrimae Athenis familiae, ab Eumolpo et Ceryce oriundae, e quibus in ſacris Eleuſiniis ἱεροφάντης et ἱεροκήρυξ cum aliis κήρυξι eligebantur.

μαρτυρομένων. Ita correxit Duckerus, propter ſequens ἐπιθειαζόντων, vulgatum μαρτυρουμένων. Praeter codd. Reg. Caſſ. Aug., ſex Pariſſ. emendationem confirmant. Thucyd. 6, 80. Δεόμεθα δὲ, καὶ μαρτυρόμεθα ἅμα.

ἥντινα ἐλπίδα ἔχει. Vulgo vitioſe ἔχῃ. Poſt ἕκαστον paullo ante nonnulli codices inſerunt αὐτῶν, quo facile caremus, cum ſequatur τῶν ἀντιλεγόντων.

σαφῶς ἐλέγετο αὐτοῖς. Multi libri, Marg. Ar. C. Dan. Moſq. Cl. Caſſ. duo Pariſſ. exhibent ἔλεγεν αὐτοῖς, unus Pariſ. ἔλεγε. Sed vulgatum etiam ferri poteſt; nec video cauſam, quare a faciliore lectione ἔλεγε tot codices ad minus conſuetam ἐλέγετο abierint. Veriſimilius eſt, hanc in illam eſſe mutatam. — Mox pro ὑμῖν Cl. habet ἡμῖν, quod iam Duckerus recte praetulit, ut in eadem perſona maneat oratio.

εἰ μὴ πολιτεύσομέν τε σωφρονέστερον, καὶ ἐς ὀλίγους μᾶλλον [τὰς ἀρχὰς ποιήσαιμεν,] ἵνα πιστεύῃ ἡμῖν βασιλεὺς, καὶ μὴ περὶ πολιτείας τὸ πλέον βουλεύωμεν ἐν τῷ παρόντι, ἢ περὶ σωτηρίας, (ὕστερον γὰρ ἐξέσται ἡμῖν καὶ μεταθέσθαι, ἢν μή τι ἀρέσκῃ·) Ἀλκιβιάδην τε κατάξομεν, ὃς μόνος τῶν νῦν οἷός τε τοῦτο κατεργάσασθαι.

54. Ὁ δὲ δῆμος τὸ μὲν πρῶτον ἀκούων χαλεπῶς ἔφερε τὸ περὶ τῆς ὀλιγαρχίας· σαφῶς δὲ διδασκόμενος ὑπὸ τοῦ Πεισάνδρου, μὴ εἶναι ἄλλην σωτηρίαν, δείσας, καὶ ἅμα ἐλπίζων, ὡς καὶ μεταβαλεῖται, ἐνέδωκε. Καὶ ἐψηφίσαντο, πλεύσαντα τὸν Πείσανδρον καὶ δέκα ἄνδρας μετ' αὐτοῦ, πράσσειν, ὅπῃ ἂν αὐτοῖς δοκοίη ἄριστα ἕξειν, τά τε πρὸς τὸν Τισσαφέρνην καὶ τὸν Ἀλκι-

blicae administrationem committerent. 54. Tandem hac formidine populus devictus est, ut Pisandrum cum decem

εἰ μὴ πολιτεύσομεν — κατάξομεν. Hoc in loco mira est lectionum varietas et scripturae vulgatae inconstantia, quam ab interpretibus neglectam esse miror. Primum enim πολιτεύσομεν neque congruit sequenti ποιήσαιμεν, neque paullo remotiori βουλεύωμεν. Codices quidem C. Cass. Aug. cum ed. Flor. exhibent πολιτεύσωμεν, Ar. πολιτεύσαιμεν. Pro βουλεύωμεν autem Marg. Cass. Aug. ἐβουλεύσαμεν praebent, mutato praecedente μὴ in μήν. Haec omnia satis demonstrant, hunc locum a correctoribus valde esse vexatum. Necesse autem est, aliquid insolens adfuisse, quod lectores offenderit. Suspicor igitur coniunctivum πολιτεύσωμεν — βουλεύωμεν — κατάξωμεν a Thucydide adhibitum fuisse, cuius rariorem usum post εἰ et εἰ μὴ cum ignorarent veteres interpretes, (vid. ad 5, 77.) variis correctionum conatibus locum depravarunt, alii futurum πολιτεύσομεν, κατάξομεν, alii optativum πολιτεύσαιμεν, κατάξαιμεν scribentes. Verba autem τὰς ἀρχὰς ποιήσαιμεν, quae vulgo uncis includuntur, nec tamen a codicibus abesse videntur; tamquam interpretamentum abiicienda esse censeo. Nam primum αἱ ἀρχαὶ et omni tempore paucis (ἐς ὀλίγους) contingunt, et in omni reipublicae statu. Deinde locutio τὰς ἀρχὰς ποιεῖν ἔς τινα interpretem potius, quam elegantissimum scriptorem sapit. Tum Thucydides etiam alibi hac dictione usus est, 2, 37. διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν. Denique etiam optativus non convenit reliquis, ut iam supra vidimus. Neque deest καί, quod ad πολιτεύσωμέν τε referatur. Eo enim pertinet sequens καὶ μὴ περὶ πολιτείας —.

βιάδην. Ἅμα τε, διαβαλόντος καὶ Φρύνιχον τοῦ Πεισάνδρου, παρέλυσε τῆς ἀρχῆς, καὶ τὸν ξυνάρχοντα Σκιρωνίδην· ἀντέπεμψαν δὲ στρατηγοὺς ἐπὶ τὰς ναῦς Διομέδοντα καὶ Λέοντα. Τὸν δὲ Φρύνιχον ὁ Πείσανδρος, φάσκων Ἴασον προδοῦναι καὶ Ἀμόργην, διέβαλεν, οὐ νομίζων ἐπιτήδειον εἶναι τοῖς πρὸς τὸν Ἀλκιβιάδην πρασσομένοις. Καὶ ὁ μὲν Πείσανδρος τάς τε ξυνωμοσίας, αἵπερ ἐτύγχανον πρότερον ἐν τῇ πόλει οὖσαι ἐπὶ δίκαις καὶ ἀρχαῖς, ἁπάσας ἐπελθὼν, καὶ παρακελευσάμενος, ὅπως, ξυστραφέντες καὶ κοινῇ βουλευσάμενοι, καταλύσουσι τὸν δῆμον, καὶ τἄλλα παρασκευάσας ἐπὶ τοῖς παροῦσιν, ὥστε μηκέτι διαμέλλεσθαι, αὐτὸς μετὰ τῶν δέκα ἀνδρῶν τὸν πλοῦν ὡς τὸν Τισσαφέρνην ποιεῖται.

55. Ὁ δὲ Λέων καὶ ὁ Διομέδων ἐν τῷ αὐτῷ χειμῶνι, ἀφιγμένοι ἤδη ἐπὶ τὰς τῶν Ἀθηναίων ναῦς, ἐπίπλουν τῇ Ῥόδῳ ἐποιήσαντο. Καὶ τὰς μὲν ναῦς καταλαμβάνουσιν ἀνειλκυσμένας τῶν Πελοποννησίων· ἐς δὲ τὴν γῆν ἀπόβασίν τινα ποιησάμενοι, καὶ τοὺς προςβοηθήσαντας Ῥοδίων νικήσαντες μάχῃ, ἀπεχώ-

viris ad Tiſſaphernem et Alcibiadem mitteret, qui cum iis agerent et decernerent, quod ipſis videretur utiliſſimum civitati; Phrynichum autem, quem Piſander calumniatus erat, et Scironidem ab imperio revocaret, Diomedonte et Leonte in eorum locum ſubmiſſis. 55. Qui

54. *ἅμα τε, διαβαλόντος — παρέλυσε τῆς ἀρχῆς.* Duodecim codices ante *τῆς ἀρχῆς* inſerunt *ὁ δῆμος*, quod recepit Benedictus. Mihi haec verba, tamquam interpretamentum, ſuſpecta ſunt. Poſt *ἅμα τε* virgula interpunxi. Ad *παρέλυσε* ſubaudi *αὐτόν*.

Ἴασον προδοῦναι. Vid. 8, 28.

τάς τε ξυνωμοσίας, αἵπερ — ἀρχαῖς. De his ſive ſocietatibus ſive collegiis non aliunde nobis innotuit. Scholiaſta ſcribit: *ὅσαι ἦσαν ξυνωμοσίαι κατά τε τῶν ἀρχῶν καὶ τῶν δικῶν.* — Mox *καταλύσουσι* cum Benedicto recepi pro *καταλύσωσι*, librorum auctoritate, licet Schol. vulgatum teneat.

55. *καὶ τοὺς προςβοηθήσαντας.* Hoc repoſui cum Benedicto, undecim librorum auctoritate. Vulgo *βοηθήσαντας.* Illud iam Waſſius praeferebat. — *Χάλκην*, vid. ad cap. 41.

ρησαν ἐς τὴν Χάλκην· καὶ τὸν πόλεμον ἐντεῦθεν μᾶλλον ἢ ἐκ τῆς Κῶ ἐποιοῦντο. εὐφυλακτότερα γὰρ αὐτοῖς ἐγίγνετο, εἴ ποι ἀπαίροι τὸ τῶν Πελοποννησίων ναυτικόν. [5] Ἦλθε δὲ ἐς τὴν Ῥόδον καὶ Ξενοφαντίδας Λάκων παρὰ Πεδαρίτου ἐκ Χίου, λέγων, ὅτι τὸ τεῖχος τῶν Ἀθηναίων ἤδη ἐπιτετέλεσται, καὶ, εἰ μὴ βοηθήσουσι πάσαις ταῖς ναυσὶν, ἀπολεῖται τὰ ἐν Χίῳ πράγματα. Οἱ δὲ διενοοῦντο βοηθήσειν. Ἐν τούτῳ δὲ ὁ Πεδάριτος αὐτός τε, καὶ τὸ περὶ αὐτὸν ἐπικουρικὸν ἔχων, καὶ τοὺς Χίους, πανστρατιᾷ προσβαλὼν τῶν Ἀθηναίων τῷ περὶ τὰς ναῦς ἐρύματι, αἱρεῖ τέ τι αὐτοῦ, καὶ νεῶν τινῶν ἀνειλκυσμένων ἐκράτησεν. Ἐπεκβοηθησάντων δὲ τῶν Ἀθηναίων, καὶ τρεψαμένων τοὺς Χίους πρώτους, νικᾶται καὶ τὸ ἄλλο τὸ περὶ τὸν Πεδάριτον· καὶ αὐτὸς ἀποθνήσκει, καὶ τῶν Χίων πολλοὶ, καὶ ὅπλα ἐλήφθη πολλά.

cum ad Athenienſium claſſem perveniſſent, in Rhodum incurſione facta, Rhodiisque proelio victis, ad Chalcen inſulam ſe transtulerunt, quod commodius ibi claſſis Peloponneſiorum obſervari poſſet. Interea Chii, perfecta Athenienſium munitione, impetum in eam, duce Pedarito, facientes, ab Athenienſibus profligantur, et ipſe Pedaritus

ἐντεῦθεν μᾶλλον ἢ ἐκ τῆς Κῶ. Recepi Hudſoni coniecturam *μᾶλλον ἢ*, quod *ἢ* facile excidere potuit propter praecedentis litterae *N* ſimilitudinem, cuius rei exemplum ſuppeditat cap. 45 in verbis *πρότερον ἢ ἀποστῆναι*, ubi ſimiliter *ἢ* abſorptum erat. Kiſtemakerum, qui verba *ἐκ τῆς Κῶ* tamquam explicationem *τοῦ ἐντεῦθεν* accipit, quaſi ante *ex Samo tantum* bellum geſſiſſent, redarguit, ut alia omittam, locus cap. 44 extr. Ὕστερον δὲ ἐκ τῆς Χάλκης καὶ ἐκ τῆς Κῶ καὶ ἐκ τῆς Σάμου τοὺς ἐπίπλους ποιούμενοι ἐπὶ τὴν Ῥόδον, ἐπολέμουν. — Mox cum Duckero accentum mutavi in *εὐφυλακτοτέρα*, ſcribens *εὐφυλακτότερα*, ut ad claſſem Peloponneſiorum obſervandam ibi referatur, quod poſtulant ſequentia. Nam de inſulae cuſtodia non ſermo videtur eſſe. Amat Thucydides pluralia neutrorum, ut in *ἀδύνατα*, pro *ἀδύνατον*. Senſum Stephanus reddit: „commodius inde obſervabatur.“

εἴ ποι ἀπαίροι — ναυτικόν. Poſt haec verba plene interpungendum eſt. Pro *ἀπάροι* dedi *ἀπαίροι*, praeeuntibus libris et Benedicto. Eosdem ſecuti paullo poſt recepimus pronomen *αὐτός*, quod vulgo poſt *Πεδάριτος* abeſt, et facile intercipi potuit. Cod. Cl. prae-

56. Μετὰ δὲ ταῦτα οἱ μὲν Χῖοι ἔκ τε γῆς καὶ θαλάσσης ἔτι μᾶλλον, ἢ πρότερον, ἐπολιορκοῦντο, καὶ ὁ λιμὸς αὐτόθι ἦν μέγας. Οἱ δὲ περὶ τὸν Πείσανδρον Ἀθηναίων πρέσβεις, ἀφικόμενοι ὡς τὸν Τισσαφέρνην, λόγους ποιοῦνται περὶ τῆς ὁμολογίας. Ἀλκιβιάδης δὲ (οὐ γὰρ αὐτῷ πάνυ τὰ ἀπὸ Τισσαφέρνους βέβαια ἦν, φοβουμένου τοὺς Πελοποννησίους μᾶλλον, καὶ ἔτι βουλομένου, καθάπερ καὶ ὑπ' ἐκείνου ἐδιδάσκετο, τρίβειν ἀμφοτέρους,) τρέπεται ἐπὶ τοιόνδε εἶδος, ὥστε τὸν Τισσαφέρνην, ὡς μέγιστα αἰτοῦντα παρὰ τῶν Ἀθηναίων, μὴ ξυμβῆναι. Δοκεῖ δέ μοι καὶ Τισσαφέρνης τὸ αὐτὸ βουληθῆναι, αὐτὸς μὲν, διὰ τὸ δέος, ὁ δὲ Ἀλκιβιάδης, ἐπειδὴ ἑώρα ἐκεῖνον καὶ ὣς οὐ ξυμβασείοντα, δοκεῖν τοῖς Ἀθηναίοις ἐβούλετο μὴ ἀδύνατος εἶναι πεῖσαι, ἀλλ' ὡς πεπεισμένῳ Τισσαφέρνει καὶ βουλομένῳ προσχωρῆσαι τοὺς Ἀθηναίους μὴ ἱκανὰ διδό-

occiditur. 56. Ex quo tempore moleſtior fiebat obſidio, et fames ingens. Piſander autem et legati Athenienſium poſtquam ad Tiſſaphernem venerant, Alcibiades, qui Tiſſaphernem adhuc Peloponneſiis addictum eſſe ſcie-

terea addit ἐξελθών, ex interpretamento. Nec minus certa emendatio eſt verborum αἱρεῖταί τι αὐτοῦ, quae in optimis libris ſic leguntur: αἱρεῖ τέ τι αὐτοῦ, quod τέ ſequenti καί bene reſpondet, cum medium αἱρεῖται plane a ſententia huius loci abhorreat.

56. μετὰ δὲ ταῦτα οἱ μὲν Χῖοι —. Cum verba οἱ μὲν Χῖοι in codd. Caſſ. Aug. Moſq. poſt θαλάσσης legantur, in prioribus quidem ſine μέν, videndum eſt, an forte ex interpretatione nata ſint. Cum enim mox ad Athenienſes et Alcibiadem transeat, atque illa verba, a quibus incipit hoc caput, arcte cum praecedenti capite cohaereant, facile repetito ſubiecto caremus, quod magis etiam eluceret, ſi haec particula ad proximum caput, quo melius pertinet, fuiſſet retracta. Mihi certe verba οἱ μὲν Χῖοι ſuſpecta ſunt.

φοβουμένου — βουλομένου. Vulgo dativi φοβουμένῳ — βουλομένῳ contra interpretum plerorumque omnium ſententias ſervantur. Noſtram lectionem φοβουμένου exhibent codd. Ar. C. Marg. Pariſſ. C. K. et Valla. Sed βουλομένου quatuor habent Pariſſ. et ceterorum plerique.

καὶ ὣς οὐ ξυμβασείοντα. Καὶ ὣς intelligo: „etiam ſi timoris expers eſſet, ſi timorem abieciſſet, vel ſi omnino non timeret Lacedaemonios." Cf. cap. 51. καὶ ὣς μέλλουσα Σάμος.

ναι. Ἤιτει γὰρ τοσαῦτα ὑπερβάλλων ὁ Ἀλκιβιάδης, λέγων αὐτὸς ὑπὲρ παρόντος τοῦ Τισσαφέρνους, ὥςτε τῶν Ἀθηναίων, καίπερ ἐπὶ πολὺ, ὅ, τι αἰτοίη, ξυγχωρούντων, ὅμως αἴτιον γενέσθαι. Ἰωνίαν τε γὰρ πᾶσαν ἠξίουν δίδοσθαι, καὶ αὖθις νήσους τε τὰς ἐπικειμένας, καὶ ἄλλα. Οἷς οὐκ ἐναντιουμένων τῶν Ἀθηναίων, τέλος ἐν τῇ τρίτῃ ἤδη ξυνόδῳ, δείσας, μὴ πάνυ φωραθῇ ἀδύνατος ὢν, ναῦς ἠξίου ἐᾷν βασιλέα ποιεῖσθαι, καὶ παραπλεῖν τὴν ἑαυτῶν γῆν, ὅποι ἂν καὶ

bat, Athenienfibus tamen apud illum valere plurimum videri volebat, adeo focietatis conditiones exaggeravit, ut, quamvis incredibile quantum concelliffent Athenienfes, tandem, cum ille pofceret, ut regi terram ipforum navibus praetervehi liceret, infecta re, cum indignatione Sa-

τῶν Ἀθηναίων — αἴτιον γενέσθαι, nempe tamquam iniqua et nimia poftulantem. Αἴτιος eft, qui argui et accufari poteft. Inferius paullo: ὑπὸ τοῦ Ἀλκιβιάδου ἐξαπατῆσθαι fe, queruntur Athenienfes. — ἠξίουν, Alcibiades et Tiffaphernes.

καὶ ἄλλα. Undecim codices legi volunt καὶ τἄλλα, quod praefert Benedictus. Mihi vulgatum magis placet. Sed quocumque modo fcribatur, ante οἷς plenius interpungendum eft. Oratio enim tranfit ad Alcibiadem folum.

καὶ παραπλεῖν τὴν ἑαυτῶν γῆν. Manufcripti variant inter ἑαυτῶν et ἑαυτοῦ, quod Benedictus defendit, provocans primum ad Diodori narrationem (12, 4) de pace inter Athenienfes et regem facta ante Chr. 449, qua inter alia cautum fuerit: μηδὲ ναῦν μακρὰν πλεῖν ἐντὸς Φασηλίδος καὶ Κυανέων; deinde ad ipfum pronomen ἑαυτῶν, cuius loco fcribendum Thucydidi fuiffe αὐτῶν; denique ad fententiam, infolentia, fuperbia et impudentia Alcibiadis tam infignem, ut ei vix umquam ab eius civibus ignofci potuerit. Nobis tamen nondum perfuafit, ut a vulgata lectione abeundum effe cenferemus. Nam quod primo loco argumentum pofuit, id facile refelli poteft; quo facto corruit etiam tertium; medium autem per fe leviffimum eft. Pacem illam, de qua Diodorus Sic. l. l. tradit, Thucydides, ubi de iftis rebus agit libro 1, cap. 112., ignorat. Itaque iam a pluribus dubitatum eft, an vera fit illius pacis, illarumque conditionum apud Diodorum relatio. Vide dicta ad 1, 112. Sed quamvis fit vera, hoc quidem loco ea non abutendum eft. Utrum enim, quaefo, Athenienfibus moleftius, Ioniam et infulas regi concedere, an libertatem circum easdem regiones navigandi? Aut cur hanc ipfam legem olim fanxerunt Athenienfes, nifi ut ab Ioniae civitatibus hoftem arcerent? Quas cum in Perfarum manus traderent, non amplius de navigatione eorum circa ea loca verendum erat. Patet igitur,

ὅσαις ἂν βούληται. Ἐνταῦθα δὴ οὐκέτι, ἀλλ' ἄπορα νομίσαντες οἱ Ἀθηναῖοι, καὶ ὑπὸ τοῦ Ἀλκιβιάδου ἐξηπατῆσθαι, δι' ὀργῆς ἀπελθόντες, κομίζονται ἐς τὴν Σάμον.

57. Τισσαφέρνης δὲ εὐθὺς μετὰ ταῦτα, καὶ ἐν τῷ αὐτῷ χειμῶνι, παρέρχεται ἐς τὴν Καῦνον, βουλόμενος τοὺς Πελοποννησίους πάλιν τε κομίσαι ἐς τὴν Μίλητον, καὶ, ξυνθήκας ἔτι ἄλλας ποιησάμενος, ἃς ἂν δύνηται, τροφήν τε παρέχειν, καὶ μὴ παντάπασιν ἐκπεπολεμῆσθαι· δεδιὼς, μὴ, ἢν ἀπορῶσι πολλαῖς ναυσὶ τῆς τροφῆς, ἢ, τοῖς Ἀθηναίοις ἀναγκασθέντες ναυμαχεῖν, ἡσσηθῶσιν, ἢ, κενωθεισῶν τῶν νεῶν, ἄνευ ἑαυτοῦ γένηται τοῖς Ἀθηναίοις, ἃ βούλονται. Ἔτι δὲ ἐφοβεῖτο μάλιστα, μὴ τῆς τροφῆς ζητήσει πορθῶσι τὴν ἤπειρον. Πάντων οὖν τούτων λογισμῷ καὶ προνοίᾳ, ὥσπερ ἐβούλετο ἐπανισοῦν τοὺς Ἕλληνας πρὸς ἀλλήλους, μεταπεμψάμενος οὖν τοὺς Πελοποννησίους, τροφήν τε αὐτοῖς δίδωσι, καὶ σπονδὰς τρίτας τάσδε σπένδεται.

mum reverterentur. 57. Statim Tiſſaphernes Caunum

cum cetera Athenienſes conceſſiſſent, quae navigatione Perſarum circa Aſiam minorem iniquiora erant, Alcibiadem, ut confeſtim illi cum indignatione diſceſſerint, niſi multo gravioribus et iniquioribus poſtulationibus, efficere non potuiſſe. Ergo veram puto vulgatam lectionem, quae cum toti narrationi, tum Alcibiadis levitati inſolentiaeque egregie convenit.

ἐνταῦθα δὴ οὐκέτι. Nonnulli codices addunt τι poſt οὐκέτι. Subaudiendum videtur ξυγχωροῦντες vel ξυγχωρήσαντες, ex praecedenti οὐκ ἐναντιουμένων.

57. *ἐκπεπολεμῆσθαι*, int. αὐτοῖς. Ἐκπολεμέω Thucydides et Demoſthenes uſurpant eo ſenſu, quo alias iidem ἐκπολεμόω. Cf. Waſſius. Schol. εἰς τελείαν ἔχθραν ἐλθεῖν τοῖς Πελοποννησίοις. — *Καῦνος.* Vid. ad 8, 39.

κενωθεισῶν τῶν νεῶν. Schol. ἀπολιπόντων αὐτὰς τῶν στρατιωτῶν, διὰ τὸ μὴ λαμβάνειν μισθόν.

ἃ βούλονται, nempe Peloponneſios ſuperare.

ὥσπερ ἐβούλετο ἐπανισοῦν. Infinitivus ἐπανισοῦν pendet ab ἐβούλετο. Quare comma inter haec verba ſuſtuli. Particulam οὖν bis poſitam non tento, quod Benedictus fecit, qui altero loco αὖ legendum cenſet. Saepe ſcriptores eiusmodi particulos una in periodo bis uſurpant, ut particulam ἄν, quae vel ter nonnumquam legitur.

καὶ σπονδὰς τρίτας τάσδε. Sic Cl. Caſſ. Aug. Alii co-

58. „ΤΡΙΤΩι καὶ δεκάτῳ ἔτει Δαρείου βασιλεύοντος, ἐφορεύοντος δὲ Ἀλεξιππίδα ἐν Λακεδαίμονι, ξυνθῆκαι ἐγένοντο ἐν Μαιάνδρου πεδίῳ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς Τισσαφέρνην καὶ Ἱεραμένην, καὶ τοὺς Φαρνάκου παῖδας, περὶ τῶν βασιλέως πραγμάτων καὶ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων· χώραν τὴν βασιλέως, ὅση τῆς Ἀσίας ἐστὶ, βασιλέως εἶναι. Καὶ περὶ τῆς χώρας τῆς ἑαυτοῦ βουλευέτω βασιλεὺς, ὅπως βούλεται. Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους μὴ ἰέναι ἐπὶ χώραν τὴν βασιλέως ἐπὶ κακῷ μηδενὶ, μηδὲ βασιλέα ἐπὶ τὴν Λακεδαιμονίων μηδὲ τῶν ξυμμάχων ἐπὶ κακῷ μηδενί. Ἦν δέ τις Λακεδαιμονίων ἢ τῶν ξυμμάχων ἐπὶ κακῷ ἴῃ ἐπὶ τὴν βασιλέως χώραν, τοὺς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κωλύειν· καὶ ἤν τις ἐκ τῆς βασιλέως ἴῃ ἐπὶ κακῷ ἐπὶ Λακεδαιμονίους ἢ τοὺς ξυμμάχους, βασιλεὺς κωλυέτω. Τροφὴν δὲ ταῖς ναυσὶ ταῖς νῦν παρούσαις Τισσαφέρνην παρέχειν κατὰ τὰ ξυγκείμενα, μέχρι ἂν αἱ νῆες αἱ βασιλέως ἔλθωσι· Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους, ἐπὴν αἱ βασιλέως νῆες ἀφίκωνται, τὰς ἑαυτῶν ναῦς ἢν βούλωνται τρέφειν, ἐφ' ἑαυτοῖς εἶναι· ἢν δὲ παρὰ Τισσαφέρνους λαμβάνειν ἐθέλωσι τὴν τροφὴν, Τισσαφέρνην παρέχειν. Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους, τελευτῶντος τοῦ πολέμου, τὰ χρήματα Τισσαφέρνει ἀποδοῦναι, ὁπόσα ἂν λάβωσιν. Ἐπὴν δὲ αἱ βασιλέως νῆες ἀφίκωνται, αἵ τε Λακεδαιμονίων νῆες καὶ αἱ τῶν ξυμμάχων καὶ αἱ βασιλέως κοινῇ τὸν πόλεμον πολεμούντων, καθ' ὅ, τι ἂν Τισσαφέρνει δοκῇ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. Ἦν δὲ καταλύειν βούλωνται πρὸς Ἀθηναίους, ἐν ὁμοίῳ καταλύεσθαι.“

ſe confert, Peloponneſiis ſtipendium ſolvit, et 58. ter-

dices Marg. Ar. C. quatuor Pariſſ. τάσδε τρίτας. Vulgo τρὶς τάσδε.

58. καὶ τοὺς Φαρνάκου παῖδας. Horum fortaſſis erat Pharnabazus. Vid. ad cap. 6.

59. Αἱ μὲν σπονδαὶ αὗται ἐγένοντο. καὶ μετὰ ταῦτα παρεσκευάζετο Τισσαφέρνης τάς τε Φοινίσσας ναῦς ἄξων, ὥσπερ εἴρητο, καὶ τἄλλα, ὅσαπερ ὑπέσχετο. καὶ ἐβούλετο παρασκευαζόμενος γοῦν δῆλος εἶναι.

60. Βοιωτοὶ δὲ, τελευτῶντος ἤδη τοῦ χειμῶνος, Ὠρωπὸν εἷλον προδοσίᾳ, Ἀθηναίων ἐμφρουρούντων. Ξυνέπραξαν δὲ Ἐρετριέων τε ἄνδρες καὶ αὐτῶν Ὠρωπίων, ἐπιβουλεύοντες ἀπόστασιν τῆς Εὐβοίας. Ἐπὶ γὰρ τῇ Ἐρετρίᾳ τὸ χωρίον ὂν, ἀδύνατα ἦν, Ἀθηναίων ἐχόντων, μὴ οὐ μεγάλα βλάπτειν καὶ Ἐρετρίαν καὶ τὴν ἄλλην Εὔβοιαν. Ἔχοντες οὖν ἤδη τὸν Ὠρωπὸν, ἀφικνοῦνται ἐς Ῥόδον οἱ Ἐρετριεῖς, ἐπικαλούμενοι ἐς τὴν Εὔβοιαν τοὺς Πελοποννησίους. Οἱ δὲ πρὸς τὴν τῆς Χίου κακουμένης βοήθειαν μᾶλλον ὥρμηντο, καὶ ἄραντες πάσαις ταῖς ναυσὶν ἐκ τῆς Ῥόδου ἔπλεον. Καὶ γενόμενοι περὶ τὸ Τριόπιον, καθορῶσι τὰς τῶν Ἀθηναίων ναῦς πελαγίας ἀπὸ τῆς Χάλκης πλεούσας· καὶ, ὡς οὐδέτεροι ἀλλήλοις ἐπέπλεον, ἀφικνοῦνται οἱ μὲν ἐς τὴν Σάμον οἱ δὲ ἐς τὴν Μίλητον· καὶ ἑώρων, οὐκέτι ἄνευ ναυμαχίας οἷόν τε εἶναι ἐς τὴν Χίον βοηθῆσαι. Καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ εἰκοστὸν ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

61. Τοῦ δ' ἐπιγιγνομένου θέρους, ἅμα τῷ ἦρι εὐθὺς ἀρχομένῳ, Δερκυλίδας τε, ἀνὴρ Σπαρτιάτης, στρατιὰν ἔχων οὐ πολλὴν, παρεπέμφθη πεζῇ ἐφ' Ἑλλήσποντον, Ἄβυδον ἀποστήσων· (εἰσὶ δὲ Μιλησίων

tium cum iis foedus pangit, 59. ex quo Phoeniſſas naves adducturus videri volebat. 60. Sub finem hiemis Boeoti Oropum proditione capiunt, Eretrienſium ope, qui Euboeae defectionem parabant, et Rhodum profecti, Peloponneſios in auxilium vocabant. Hi autem potius habebant Chiis, obſidione preſſis, ſuccurrere, quod ſine pugna navali per Athenienſium claſſem fieri non poſſe videbant. Finis viceſimi anni belli Pelop. 61. Ineunte vere

60. περὶ τὸ Τριόπιον. Vide ſupra cap. 35.

ἄποικοι*) καὶ οἱ Χῖοι, ἐν ὅσῳ αὐτοῖς ὁ Ἀστύοχος ἠπόρει, ὅπως βοηθήσοι, ναυμαχῆσαι, πιεζόμενοι τῇ πολιορκίᾳ, ἠναγκάσθησαν. Ἔτυχον δὲ, ἔτι ἐν Ῥόδῳ ὄντος Ἀστυόχου, ἐκ τῆς Μιλήτου Λέοντά τε, ἄνδρα Σπαρτιάτην, ὃς Ἀντισθένει ἐπιβάτης ξυνεξῆλθε, κεκομισμένοι μετὰ τὸν Πεδαρίτου θάνατον, ἄρχοντα, καὶ ναῦς δώδεκα, αἳ ἔτυχον φύλακες Μιλήτου οὖσαι, ὧν ἦσαν Θούριαι πέντε, καὶ Συρακούσιαι τέσσαρες, καὶ μία Ἀναιῖτις, καὶ μία Μιλησία, καὶ Λέοντος μία. Ἐπεξελθόντων δὲ τῶν Χίων πανδημεὶ, καὶ καταλαβόντων τι ἐρυμνὸν χωρίον, καὶ τῶν νεῶν αὐτοῖς ἅμα ἓξ καὶ τριάκοντα ἐπὶ τὰς τῶν Ἀθηναίων δύο καὶ τριάκοντα ἀναγαγομένων, ἐναυμάχησαν. Καὶ καρτερᾶς γενομένης ναυμαχίας, οὐκ ἔλασσον ἔχοντες ἐν τῷ ἔργῳ οἱ Χῖοι καὶ οἱ ξύμμαχοι, (ἤδη γὰρ καὶ ὀψὲ ἦν,) ἀνεχώρησαν ἐς τὴν πόλιν.

62. Μετὰ δὲ τοῦτο εὐθὺς τοῦ Δερκυλίδου πεζῇ ἐκ τῆς Μιλήτου παρεξελθόντος, Ἄβυδος ἐν τῷ Ἑλλησπόντῳ ἀφίσταται πρὸς Δερκυλίδαν καὶ Φαρνάβαζον, καὶ Λάμψακος δυοῖν ἡμέραιν ὕστερον. Στρομβιχίδης δ' ἐκ τῆς Χίου, πυθόμενος, κατὰ τάχος βοηθήσας ναυσὶν Ἀθηναίων τέσσαρσι καὶ εἴκοσιν, ὧν καὶ στρατιώτιδες ἦσαν, ὁπλίτας ἄγουσαι, ἐπεξελθόντων τῶν Λαμψακηνῶν, μάχῃ κρατήσας, καὶ αὐτοβοεὶ Λάμψακον,

Dercylidas Spartiates inde a Mileto in Hellespontum mittitur cum exercitu pedeſtri itinere; Chii vero proelio navali certant non infeliciter cum Athenienſibus. 62. Abydus deficit ad Dercylidam, et biduo poſt Lampſacus quoque; quam tamen Strombichides, Chio ad praeſidium harum civitatum approperans, cum proelio viciſſet, mox recepit; Abydum autem cum capere non poſſet, Se-

61. ἐν ὅσῳ — ἠπόρει. Cf. cap. 60 extr.

Ἀντισθένει. De hoc vide ſupra cap. 39. — μετὰ τὸν Πεδαρίτου θάνατον, qui cap. 55. narratur. Ἀναιῖτις, cf. ad 3, 32.

ἀναγαγομένων. Ita e Caſſ. Aug. reſtitui pro ἀναγομένων. Vide dicta ad cap. 53.

ἀτείχιστον οὖσαν, ἑλὼν, καὶ σκεύη μὲν καὶ ἀνδράποδα ἁρπαγὴν ποιησάμενος, τοὺς δὲ ἐλευθέρους πάλιν κατοικίσας, ἐπ' Ἄβυδον ἦλθε. Καὶ ὡς οὔτε προσεχώρουν, οὔτε, προσβαλὼν, ἐδύνατο ἑλεῖν, ἐς τὸ ἀντιπέρας τῆς Ἀβύδου ἀποπλεύσας, Σηστὸν πόλιν τῆς Χερσονήσου, ἥν ποτὲ οἱ Μῆδοι εἶχον, καθίστατο φρούριον καὶ φυλακὴν τοῦ παντὸς Ἑλλησπόντου.

63. Ἐν τούτῳ δὲ οἱ Χῖοί τε θαλασσοκράτορες μᾶλλον ἐγένοντο, καὶ οἱ ἐν τῇ Μιλήτῳ, καὶ ὁ Ἀστύοχος, πυθόμενος τὰ περὶ τὴν ναυμαχίαν, καὶ τὸν Στρομβιχίδην καὶ τὰς ναῦς ἀπεληλυθότα, ἐθάρσησε. Καὶ παραπλεύσας δυοῖν νεοῖν Ἀστύοχος ἐς Χίον, κομίζει αὐτόθεν τὰς ναῦς, καὶ ξυμπάσαις ἤδη ἐπίπλουν ποιεῖται ἐπὶ τὴν Σάμον. Καὶ ὡς αὐτῷ, διὰ τὸ ἀλλήλοις ὑπόπτως ἔχειν, οὐκ ἀντανήγοντο, ἀπέπλευσε πάλιν ἐς τὴν Μίλητον. Ὑπὸ γὰρ τοῦτον τὸν χρόνον, καὶ ἔτι πρότερον, ἡ ἐν ταῖς Ἀθήναις δημοκρατία κατελέλυτο. Ἐπειδὴ γὰρ οἱ περὶ τὸν Πείσανδρον πρέσβεις παρὰ τοῦ Τισσαφέρνους ἐς τὴν Σάμον ἦλθον, τά τε ἐν αὐτῷ τῷ στρατεύματι ἔτι βεβαιότερον κατέλαβον, καὶ αὐτῶν τῶν

ſtum transiit, idque oppidum totius Hellesponti praeſidium inſtituit. 63. Inter haec Aſtyochus, poſtquam Chiorum naves ſecum coniunxiſſet, iam fretus viribus, adverſus Samum cum tota claſſe profectus eſt. Sed abnuentibus proelium Athenienſibus, quod propter ſublatam illo tempore democratiam ſibi invicem diffiderent, rurſus Mi-

63. τὰ περὶ τὴν ναυμαχίαν. Cap. 61 extr. — ἀπεληλυθότα ad Strombichidem ſolum relatum eſt, quaſi σὺν ταῖς ναυσὶν fuerit.

διὰ τὸ ἀλλήλοις ὑπόπτως ἔχειν, int. τοὺς Ἀθηναίους. Nam Athenienſes inter ſe disſidebant eo tempore, propter res novas in republica motas, aliis ad oligarchiam, plerisque ad democratiam inclinantibus.

δημοκρατία κατελέλυτο. Hoc praetuli, praeeunte Benedicto, vulgato κατελύετο, non ſine codicum auctoritate.

τά τε ἐν τῷ στρατεύματι ἔτι βεβ. κατελ. Καταλαμβάνειν h. l. eſt *adſtringere, obligare.* Thucyd. 4, 86. Ὅρκοις Λακεδαιμονίων καταλαβὼν τὰ τέλη τοῖς μεγίστοις. Cf. 1, 9. ὅρκοις κατειλημμένους. 5, 21. κατειλημμένας τὰς σπονδάς. — Ἔτι tantum a Cam. et Gr. ab-

Σαμίων προτρεψάντων τοὺς δυνατοὺς, ὥςτε πειρᾶσθαι μετὰ σφῶν ὀλιγαρχηθῆναι, καίπερ ἐπαναστάντας αὐτοὺς ἀλλήλοις, ἵνα μὴ ὀλιγαρχῶνται. Καὶ ἐν σφίσιν αὐτοῖς ἅμα οἱ ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων κοινολογούμενοι, ἐσκέψαντο, Ἀλκιβιάδην μὲν, ἐπειδήπερ οὐ βούλεται, ἐᾷν· (καὶ γὰρ οὐκ ἐπιτήδειον αὐτὸν εἶναι ἐς ὀλιγαρχίαν ἐλθεῖν·) αὐτοὺς δὲ ἐπὶ σφῶν αὐτῶν, ὡς ἤδη καὶ κινδυνεύοντας, ὁρᾷν, ὅτῳ τρόπῳ μὴ ἀνεθήσεται τὰ πράγματα, καὶ τὰ τοῦ πολέμου ἅμα ἀντέχειν, καὶ ἐςφέρειν αὐτοὺς ἐκ τῶν ἰδίων οἴκων προθύμως χρήματα, καὶ ἤν τι ἄλλο δέῃ, ὡς οὐκέτι ἄλλοις, ἢ σφίσιν αὐτοῖς, ταλαιπωροῦντας.

64. Παρακελευσάμενοι οὖν τοιαῦτα, τὸν μὲν Πείσανδρον εὐθὺς τότε καὶ τῶν πρέσβεων τοὺς ἡμίσεας ἀπέστελλον ἐπ' οἴκου, πράξοντας τἀκεῖ, καὶ εἴρητο αὐτοῖς, τῶν ὑπηκόων πόλεων αἷς ἂν προςίσχωσιν, ὀλιγαρχίαν καθιστάναι· τοὺς δ' ἡμίσεας ἐς τἄλλα τὰ ὑπή-

letum abiit. Pifander enim et ceteri coniurati etiam absque Alcibiade oligarchiam conftituere decreverant. 64. Pifandro igitur cum dimidio numero legatorum Athenas miffo, ceteros circa civitates fubiectas dimiferunt, ut ubi-

eft, facili errore poft *στρατεύματι*. — In fequentibus verbis: *καὶ αὐτῶν τῶν Σαμίων προτρεψάντων τοὺς δυνατοὺς, ὥςτε πειρᾶσθαι* — non video, quomodo Duckerus et Kiftemakerus tam facili negotio fe expedire potuerint, nihil defiderantes, nifi ut poft *ὀλιγαρχῶνται* minus plene interpungatur. Cui rationi non folum obftat bis pofitum *καί*, fed etiam illud, quod Samii tum temporis non oligarchia, fed democratia utebantur (cf. cap. 21), neque adhortatio ifta, ut fecum oligarchia uti tentarent, commode ad Samios pertineat, fed potius in Athenienfes, hoc ipfum fummo ftudio molientes, cadat. Sufpicor aliquid vitii effe in lectione huius loci, et fcribendum effe *προὔτρεψαντο* pro *προτρεψάντων*. Proximi genitivi fortaffe corruptioni anfam dederunt, quod faepiffime factum vidimus. Simile vitium eft 5, 80. cf. ad 6, 7. *οἱ Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων πανστρατιᾷ ἐξελθόντων*. Ita verba: *καίπερ ἐπαναστάντας αὐτοὺς ἀλλήλοις*, ad Samios referenda, optime congruunt iis, quae infra cap. 73 init. leguntur, ubi Duckerus, vulgatam hic lectionem fecutus, in vocabulo *τότε* merito haerebat.

ἀνεθήσεται. Ἀνιέναι τι eft *remittere aliquid, negligere.*

κοα χωρία ἄλλους ἄλλῃ διέπεμπον. Καὶ Διοτρέφην, ὄντα περὶ Χίον, ᾑρημένον δὲ ἐς τὰ ἐπὶ Θρᾴκης ἄρχειν, ἀπέστελλον ἐπὶ τὴν ἀρχήν. Καὶ ἀφικόμενος ἐς τὴν Θάσον, τὸν δῆμον κατέλυσε. Καὶ ἀπελθόντος αὐτοῦ, οἱ Θάσιοι δευτέρῳ μηνὶ μάλιστα τὴν πόλιν ἐτείχιζον, ὡς τῆς μὲν μετ' Ἀθηναίων ἀριστοκρατίας οὐδὲν ἔτι προςδεόμενοι, τὴν δὲ ἀπὸ Λακεδαιμονίων ἐλευθερίαν ὅσαι ἡμέραι προςδεχόμενοι. Καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν Ἀθηναίων παρὰ τοῖς Πελοποννησίοις· καὶ αὕτη μετὰ τῶν ἐν τῇ πόλει ἐπιτηδείων κατὰ κράτος ἔπρασσε, ναῦς τε κομίσαι, καὶ τὴν Θάσον ἀποστῆσαι. Ξυνέβη οὖν αὐτοῖς μάλιστα, ἃ ἐβούλοντο, τὴν πόλιν τε ἀκινδύνως ὀρθοῦσθαι, καὶ τὸν ἐναντιωσόμενον δῆμον καταλελύσθαι. Περὶ μὲν οὖν τὴν Θάσον τἀναντία τοῖς τὴν ὀλιγαρχίαν καθιστᾶσι τῶν Ἀθηναίων ἐγένετο, δοκεῖ δέ μοι, καὶ ἐν ἄλλοις πολλοῖς τῶν ὑπηκόων. Σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις, καὶ ἄδειαν τῶν πρασσομένων, ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τὴν ὑπὸ τῶν Ἀθηναίων ὕπουλον εὐνομίαν οὐ προτιμήσαντες.

que oligarchiam conſtituerent. Quod poſtquam etiam in Thaſo inſula a Diotrephe factum erat, poſt eius diſceſſum

64. ὡς τῆς μὲν μετ' Ἀθηναίων ἀριστοκρατ. Male vulgo μετὰ uncis incluſum eſt. Supra cap. 63. ὥςτε πειρᾶσθαι μετὰ σφῶν ὀλιγαρχηθῆναι. Neque codices diſcrepant.

φυγὴ αὐτῶν. abſtractum pro concreto φυγάδες, ut ſequentibus patet. Et cum dicatur φεύγειν ὑπό τινος, eodem modo etiam vocabulum φυγὴ h. l. cum praepoſitione ὑπό iunctum eſt.

τὴν ὑπὸ τῶν Ἀθ. ὕπουλον εὐνομίαν οὐ προτιμήσαντες. Multi et boni libri pro εὐνομίαν praebent αὐτονομίαν, quae, ſi vera ſit lectio, quomodo ab altera εὐνομίαν, quam etiam Scholiaſtes cum codicibus non paucis ſequitur, expelli potuerit, equidem non video. Iam quid interſit inter αὐτονομίαν et ἐλευθερίαν, non magis intelligo; nec ſocios Athenienſium, ſi autonomia uſi fuiſſent, ab illis defecturos fuiſſe credo. Itaque vulgatam lectionem praefero, quae ariſtocratiam tamquam ſtatum reipublicae ab Athenienſibus tum temporis, propter legum auctoritatis ſpeciem quandam, commendatum, a ſociis autem ſpretum,

65. Οἱ δὲ ἀμφὶ τὸν Πείσανδρον, παραπλέοντές τε, ὥςπερ ἐδέδοκτο, τοὺς δήμους ἐν ταῖς πόλεσι κατέλυον, καὶ ἅμα ἔστιν ἀφ' ὧν χωρίων καὶ ὁπλίτας ἔχοντες σφίσιν αὐτοῖς ξυμμάχους, ἦλθον ἐς τὰς Ἀθήνας. Καὶ καταλαμβάνουσι τὰ πλεῖστα τοῖς ἑταίροις προειργασμένα. Καὶ γὰρ Ἀνδροκλέα τέ τινα, τοῦ δήμου μάλιστα προεστῶτα, ξυστάντες τινὲς τῶν νεωτέρων, κρύφα ἀποκτείνουσιν, ὅςπερ καὶ τὸν Ἀλκιβιάδην οὐχ ἥκιστα ἐξήλασε· καὶ αὐτὸν κατ' ἀμφότερα, τῆς τε δημαγωγίας ἕνεκα, καὶ οἰόμενοι τῷ Ἀλκιβιάδῃ, ὡς κατιόντι, καὶ τὸν Τισσαφέρνην φίλον ποιήσοντι, χαριεῖσθαι, μᾶλλόν τι διέφθειραν. Καὶ ἄλλους τινὰς ἀνεπιτηδείους τῷ αὐτῷ τρόπῳ κρύφα ἀνάλωσαν. Λόγος τε ἐκ τοῦ φανεροῦ προείργαστο αὐτοῖς, ὡς οὔτε μισθοφορητέον εἴη ἄλλους, ἢ τοὺς στρατευομένους, οὔτε μεθεκτέον τῶν πραγμάτων πλείοσιν, ἢ πεντακιςχιλίοις, καὶ τούτοις, οἳ ἂν μάλιστα τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν ὠφελεῖν οἷοί τε ὦσιν.

Thaſii in libertatem ſe vindicarunt. 65. Piſander, ubique in tranſitu democratia e civitatibus ſublata, Athenas venit, ubi Androclem quendam demagogum et alios nonnullos ab iis, qui a parte eius ſtabant, occiſos, et cetera bene praeparata ſentit. Iamque propalam ex conſulto dixerant, mercedem poſthac nullam ſolutum iri, niſi militibus, neque pluribus quam quinque millibus civium, iisque locupletioribus, rei publicae gerendae ius fore.

ſignificat. — ὑπὸ τῶν Ἀθηναίων ſubaudi κατασταθεῖσαν, πεποιημένην. — προτιμήσαντες, i. e. προτιμήσασαι. Tranſit enim de more ſuo ab civitatibus ad cives.

65. ὅςπερ καὶ τὸν Ἀλκιβιάδην —. Ita e melioribus libris iam emendaverat Duckerus vulgatum ὥςπερ.

ὡς οὔτε μισθοφορητέον εἴη ἄλλους —. Rarioris huius ſtructurae, qua verbalibus in τέον pro dativo ſubiecti accuſativus iungitur, non aliud praeter hoc exemplum apud Thucydidem inveni. Eſt tamen apud Atticos non infrequens. Cf. Buttmann Gr. Gr. p. 454. — Quod a mercede excludit omnes, praeter milites, recte Acacius ad varia μισθοῦ genera traxit, quae Senatores, iudices et populus Athenienſis de reipublicae adminiſtratione, iudiciis et concionibus ferebant, (μισθὸς βουλευτικός cf. cap. 69., δικαστικός, ἐκκλησιαστικός).

66. Ἦν δὲ τοῦτο εὐπρεπὲς πρὸς τοὺς πλείους ἐπεὶ ἕξειν γε τὴν πόλιν, οἵπερ καὶ μεθιστάναι ἔμελλον. Δῆμος μέντοι ὅμως ἔτι καὶ βουλὴ ἡ ἀπὸ τοῦ κυάμου ξυνελέγετο, ἐβούλευον δὲ οὐδὲν, ὅ, τι μὴ τοῖς ξυνεστῶσι δοκοίη· ἀλλὰ καὶ οἱ λέγοντες ἐκ τούτων ἦσαν, καὶ τὰ ῥηθησόμενα πρότερον αὐτοῖς προὐσκέπτετο. ἀντέλεγέ τε οὐδεὶς ἔτι τῶν ἄλλων, δεδιὼς καὶ ὁρῶν πολὺ τὸ ξυνεστηκός· εἰ δέ τις καὶ ἀντείποι, εὐθὺς ἐκ τρόπου τινὸς ἐπιτηδείου ἐτεθνήκει. Καὶ τῶν δρασάντων οὔτε ζήτησις, οὔτ', εἰ ὑποπτεύοιντο, δικαίωσις ἐγίγνετο· ἀλλ' ἡσυχίαν εἶχεν ὁ δῆμος, καὶ κατάπληξιν τοιαύτην, ὥστε κέρδος ὁ μὴ πάσχων τὶ βίαιον, εἰ καὶ σιγῴη, ἐνόμιζε. Καὶ, τὸ ξυνεστηκὸς πολὺ πλέον ἡγούμενοι εἶναι, ἢ ἐτύγχανεν ὂν, ἡσσῶντο ταῖς γνώμαις· καὶ ἐξευρεῖν αὐτὸ,

66. Populus quidem etiam tum, et ſenatus ſorte lectus congregabatur, ſed in utroque coniurati regnabant, nemine contra dicente, ac ſi quis forte contra diceret, libertate morte

66. εὐπρεπές, i. e. πιθανόν. — ἐπεὶ ἕξειν γε τὴν πόλιν —. „Ita enim, (nempe ſi quinque millia civium reipublicae curam gererent) eos ſaltem urbem in poteſtate ſua habituros, qui quandoque mutaturi erant publicum ſtatum." Infinitivus cum particulis in oratione obliqua frequens eſt. Vid. ad 2, 102. Hoc loco ex εὐπρεπές ſubaudire poſſis: ἐνόμιζον, ἤλπιζον.

καὶ βουλὴ ἡ ἀπὸ τοῦ κυάμου. Conſtat, non ſolum ſenatores, ſed etiam magiſtratus plerosque Athenis ſorte, et quidem per fabas lectos eſſe. Infra cap. 69 extr. οἱ ἀπὸ τοῦ κυάμου βουλευταί vocantur ſenatores. Cf. Xenoph. Mem. I, 2, 9. ibique interpretes. Ceterum cum Benedicto recepi ἡ, quod poſt βουλή facile excidere potuit, codicum Ar. C. Cl. Caſſ. Aug. trium Pariſſ. auctoritate. Nam verba ἀπὸ τοῦ κυάμου ad βουλὴν ſolam, non item ad δῆμον pertinent. Poſt ξυνελέγετο minorem diſtinctionem poſui.

πρότερον αὐτοῖς προὐσκέπτετο. De hoc pleonaſmo vide ad 1, 23.

εἰ ὑποπτεύοιντο, δικαίωσις ἐγίγνετο. Optativum ὑποπτεύοιντο recte praetulit Benedictus vulgato ὑπωπτεύοντο. Ita antea erat: εἴ τις καὶ ἀντείποι, et mox εἰ καὶ σιγῴη. Octo codices emendationem confirmant. — δικαίωσις, i. e. κόλασις. Horat. Serm. 2, 1, 82. „Si mala condiderit in quem quis carmina, ius eſt iudiciumque. — ὥστε κέρδος — ἐνόμιζε, int. τὸ μὴ πάσχειν τι βίαιον.

ἢ ἐτύγχανεν, ὃ ἦν. Haec eſt vulgata lectio, quam corruptam eſſe, nemo non videt. Sed medicina nondum parata eſt. Co-

ἀδύνατοι ὄντες διὰ τὸ μέγεθος τῆς πόλεως καὶ τὴν ἀλλήλων ἀγνωσίαν, οὐκ εἶχον. Κατὰ δὲ τὸ αὐτὸ τοῦτο καὶ προσολοφύρασθαι τινὶ ἀγανακτήσαντα, ὥςτε ἀμύνασθαι ἐπιβουλεύσαντα, ἀδύνατον ἦν. ἢ γὰρ ἀγνῶτα ἂν εὗρεν, ᾧ ἐρεῖ, ἢ γνώριμον, ἄπιστον. Ἀλλήλοις γὰρ ἅπαντες ὑπόπτως προςῄεσαν οἱ τοῦ δήμου, ὥς μετέχοντά τινα τῶν γιγνομένων. Ἐνῆσαν γὰρ καὶ οὓς οὐκ ἄν ποτέ τις ᾤετο ἐς ὀλιγαρχίαν τραπέσθαι· καὶ τὸ ἄπιστον οὗτοι μέγιστον πρὸς τοὺς πολλοὺς ἐποίησαν, καὶ πλεῖστα ἐς τὴν τῶν ὀλίγων ἀσφάλειαν ὠφέλησαν, βέβαιον τὴν ἀπιστίαν τῷ δήμῳ πρὸς ἑαυτὸν καταστήσαντες.

punita. Neque caedis auctor aut inquirebatur, aut plectebatur; omnesque metu continebantur, cum coniuratorum numerum ignorarent, maioremque crederent, quam

dices Ar. C. Dan. Marg. Cl. Reg. Caff. Aug. ante ἐτύγχανεν inferunt ὅσον, quod propter Scholiaftae interpretationem: ἤπερ ὅσοι ἦσαν, non reiiciendum cenfet Duckerus. Unus Parif. confirmat Porti coniecturam: ἢ ἐτύγχανεν ὄν. Si ἐτύγχανεν eft a Thucydidis manu, non videtur abeffe poffe participium ὄν. Sed ex Scholiaftae verbis non difficilius probaveris, eum in fuo exemplari inveniffe: ὃ ἦν, quam: ὅσον ἐτύγχανεν ὄν, quod Duckerus amplectebatur. Cum tamen ἐτύγχανεν, ὃ ἦν omnium librorum fcriptura fit, ὅσον in octo tantum Mff. inveniatur, et in Caff. quidem punctis undique circumfcriptum fit illud ὃ ἦν, maxime probamus Porti lectionem ἢ ἐτύγχανεν ὄν, quam ab interpretibus ita interpolatam effe putamus, ut alius cum Scholiafta explicaret ὅσον ἦν, alius ὃ ἦν, quo pofteriore, in textum cum irrepfiffet, illud ὄν, quod h. l. neceffarium eft, facile potuit oblitterari.

καὶ ἐξευρεῖν αὐτὸ ἀδύνατοι ὄντες — οὐκ εἶχον. Haec pleonafmum fapiunt ex vulgari interpunctione. Pone comma ante ἀδύνατοι et ante οὐκ εἶχον, ut infinitivus ἐξευρεῖν potius iungatur cum verbo εἶχον, licet ad participium fubaudiendus fit. Hoc etiam volebant interpretes, qui poft εἶχον repetebant αὐτὸ ἐξευρεῖν. — Alterum διὰ quod a cod. Gr. et fex Pariff. nec non edd. vett. abeft, ex interpretamento ortum effe, recte iudicat Bredovius, quare vocem vulgo uncis inclufam expunximus.

ὡς μετέχοντά τινα. Accufativum pro genitivo μετέχοντός τινος ideo pofitum effe puto, quia ex ὑπόπτως facile fubintelligitur ὑποπτεύοντες, quod fortaffis animo Thucydidis obverfabatur.

67. Ἐν τούτῳ οὖν τῷ καιρῷ οἱ περὶ τὸν Πείσανδρον ἐλθόντες, εὐθὺς τῶν λοιπῶν εἴχοντο. Καὶ πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες, εἶπον γνώμην, δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας· τούτους δὲ ξυγγράψαντας γνώμην ἐσενεγκεῖν ἐς τὸν δῆμον ἐς ἡμέραν ῥητὴν, καθ᾽ ὅ, τι ἄριστα ἡ πόλις οἰκήσεται· ἔπειτα, ἐπειδὴ ἡ ἡμέρα ἐφῆκε, ξυνέλεξαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνόν· (ἔστι δὲ ἱερὸν Ποσειδῶνος ἔξω τῆς πόλεως, ἀπέχον σταδίους μάλιστα δέκα·) καὶ ἐσήνεγκαν οἱ ξυγγραφεῖς ἄλλο μὲν οὐδὲν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν Ἀθηναίων ἀνατρέπειν γνώμην, ἣν ἄν τις βούλη-

erat, et alius alium ſuſpectum haberet. 67. Itaque cum Piſander adveniſſet, ſtatim reliqua attigit; delectisque decem viris mandatum eſt negotium, ut de republica optime conſtituenda dicta die ad populum ferrent. Qui, concione in Colonum convocata, nihil praeterea populum rogarunt, niſi licere in praeſens cuique refellere, quicquid vellet,

67. *ξυγγραφέας αὐτοκράτορας.* Hi decemviri legibus ſcribundis πρόβουλοι dicebantur (un Comité). Mandatum enim iis erat, ut de re publica conſtituenda leges ferrent ad populum, eaque meditarentur et praepararent, quae, populi ſuffragiis ſancita, novae reipublicae formae fundamentum eſſent.

ἀπέχον σταδίους μάλιστα δέκα. Cum Cicero de Fin. 5, 1. doceat, a Dipylo, ſive porta Ceramici, ad Academiam ſex duntaxat ſtadia eſſe, eodemque loco patere videatur, Colonum inter Dipylum et Academiam fuiſſe: Hudſonus corruptum putat locum noſtrum, et legendum coniicit δ΄, vel *τέσσαρας*, pro *δέκα*. Quam coniecturam equidem minus procli-vi animo amplector, quam Benedictus. Nam e Ciceronis verbis: „Me ipſum huc modo venientem convertebat ad ſeſe Coloneus ille locus" non ſequitur, Colonum ab Athenis minore ſpatio diſtare, quam Academiam, ſed hoc tantum efficitur, Colonum iis, qui Athenis ad Academiam irent, conſpicuum fuiſſe; quod mirum nemini videbitur, ſi hic collis non amplius decem ſtadia ab urbe diſtabat. Nam decem ſtadia non exſuperant quartam noſtri milliarii partem, cuius ſpatii dimidium fortaſſe iam emenſi erant, qui non procul ante oculos, vel a latere, templum in Coloneo proſpiciebant. — Ceterum extraordinarias conciones populi (*ἐκκλησίας*) nonnumquam extra urbem, in Piraeeo, in Munychia, et in Colono habitas eſſe, verbo monuiſſe ſuffecerit.

ἀνατρέπειν — ἣν ἄν τις βούληται. Vulgo mendoſe *βούλεται*, et pro *ἀνατρέπειν* legitur *ἀνειπεῖν*. Illud *ἀνατρέπειν* eſt in praeſtantiſſimis libris Cl. Cam. Gr. Caſſ. Aug. pluribus Pariſſ. et apud Suidam in *ξυγγραφεῖς*, ſed ab om-

ται· ἢν δέ τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων, ἢ ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. Ἐνταῦθα δὴ λαμπρῶς ἐλέγετο ἤδη, μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἔτι ἐκ τοῦ αὐτοῦ κόσμου, μήτε μισθοφορεῖν· προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τούτους δὲ ἑλέσθαι ἑκατὸν, καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτῷ τρεῖς. Ἐλθόντας δὲ αὐτοὺς, τετρακοσίους ὄντας, ἐς τὸ βουλευτήριον, ἄρχειν, ὅπῃ ἂν ἄριστα γιγνώσκωσιν, αὐτοκράτορας· καὶ τοὺς πεντακιςχιλίους δὲ ξυλλέγειν, ὁπόταν αὐτοῖς δοκῇ.

poſtmodo autem *παρανόμων* actionem intendere graviſſimis poenis coërceri. Tum lectis quinque proedris, *quadringenti* cooptati ſunt, qui rempublicam adminiſtrarent, et quoties viſum eſſet, illos quinquies mille cives in con-

nibus Criticis ſpernitur. Nemo tamen docuit, quomodo, ſi *ἀντειπεῖν* vera fuerit Thucydidis manus, inde in ſpectatiſſimis libris tanto conſenſu oriri potuerit *ἀνατρέπειν*, quod vocabulum neque interpreti, neque librario oſcitanti tribui cum veritatis ſpecie poteſt. Contra, cum *ἀνατρέπειν* h. l. ſit *refutare*, *refellere*, facile ab interpretibus exponi potuit per *ἀντειπεῖν*, unde, cum dativum requirat, correctione factum videtur, mutata ſententia, *ἀνειπεῖν*, *pronuntiare*, quod interpretamentum mox deteriores codices inquinavit. Thucydidis mens eſt: „in praeſens refellere licuiſſe, quicquid cuique libuerit; ſed poſtea legis latori actionem intendere, graviſſimis poenis interdictum eſſe.“ — Ad *Ἀθηναίων* ſubaudiendum *τινί* ex ſequenti *τίς*.

ἢ γράψηται παρανόμων. Apud Athenienſes *παράνομα* rogaſſe arguebatur non ſolum is, qui legem legi veteri, necdum ſublatae, repugnantem tulerat, ſed etiam is, qui vel in parte aut capite novae legis quidquam poſuerat contra ea, quae veterem auctoritatem haberent. Nam ſi quid horum neglexerat legis lator, aut ſi quid proprii ſui paucorumve commodi cauſa, quod rei publicae indecorum vel noxium eſſet, poſuerat, eum intra anni ſpatium accuſare poterat, quisquis vellet. Cauſa erat publica, *γραφὴ παρανόμων*. Vid. Wolf. Prolegg. in Demoſth. Lept. p. CXXXII ſeqq. Hoc igitur periculo, quod alias non depulerat populi ſuffragium, quo rogatio perlata erat, rogatorem nunc liberabant decemviri illi, ſuae ipſorum ſecuritati et ſaluti maxime proſpicientes. — *ἐκ τοῦ αὐτοῦ κόσμου*, i. e. *παλαιοῦ*. — *μισθοφορεῖν.* Vid. ad cap. 65.

καὶ τοὺς πεντακιςχιλίους δὲ ξυλλέγειν. Καί — δέ, *Et etiam*, *et vero*, interpoſito aliquo verbo, cum alii ſcriptores (Lucian. *πῶς δεῖ ἱστ. συγγ.* §. 22) tum vero Thucydides uſurpat. Ita 1, 132. *Καὶ ἦν δὲ οὕτως.* 4, 24. *καὶ αὐτοὶ δέ.* 6, 71. *Καὶ χρήματα δὲ ἅμα —*. 7, 56. *Καὶ ἦν δὲ ἄξιος.* Cf. Buttmann.

68. Ἦν δὲ ὁ μὲν τὴν γνώμην ταύτην εἰπὼν Πείσανδρος, καὶ τἆλλα ἐκ τοῦ προφανοῦς προθυμότατα ξυγκαταλύσας τὸν δῆμον· ὁ μέντοι ἅπαν τὸ πρᾶγμα ξυνθεὶς, ὅτῳ τρόπῳ κατέστη ἐς τοῦτο, καὶ ἐκ πλείστου ἐπιμεληθεὶς, Ἀντιφῶν ἦν, ἀνὴρ Ἀθηναίων τῶν καθ᾽ ἑαυτὸν ἀρετῇ τε οὐδενὸς ὕστερος, καὶ κράτιστος ἐνθυμηθῆναι γενόμενος, καὶ ἃ ἂν γνοίη, εἰπεῖν· καὶ ἐς μὲν δῆμον οὐ παριὼν, οὐδ᾽ ἐς ἄλλον ἀγῶνα ἑκούσιος οὐδένα, ἀλλ᾽ ὑπόπτως τῷ πλήθει διὰ δόξαν δεινότητος διακείμενος, τοὺς μέντοι ἀγωνιζομένους καὶ ἐν δικαστηρίῳ καὶ ἐν δήμῳ πλεῖστα. εἷς ἀνὴρ, ὅστις ξυμβουλεύσαιτό τι, δυνάμενος ὠφελεῖν. Καὶ αὐτός τε, ἐπειδὴ τὰ τῶν τετρακοσίων ἐν ὑστέρῳ μεταπεσόντα ὑπὸ τοῦ δήμου ἐκακοῦτο, ἄριστα φαίνεται τῶν μέχρι ἐμοῦ ὑπὲρ αὐτῶν τούτων αἰτίας. ὡς ξυγκατέστησε, θανάτου δίκην ἀπολογησάμενος. Παρέσχε δὲ καὶ Φρύνιχος ἑαυτὸν

cionem advocarent. 68. Haec omnia per Pifandrum palam gerebantur; Antiphon autem, vir eius aetatis fa-

Gr. Gr. p. 519. Et inde fortaffe emendatio petenda eft cap. 68. vulgati *καὶ αὐτός τε*, ut *τέ*, quod nihil habet, quo referatur, in *δέ* mutetur. „Et ipfe quoque optime videtur capitis caufam dixiffe.“ Nihil certe aptius fententiae praecedentibusque, nihil veri fimilius, cum faepe hae particulae in codicibus confundantur. Cf. cap. 68. in verbis *πολύ τε πρὸς τὰ δεινά* —. et cap. 76. *Καὶ δι᾽ ἑαυτούς τε.*

68. *ἀρετῇ τε οὐδενὸς ὕστερος.* Alii codices Ar. C. Dan. Caff. Aug. Reg. et Pariff. tres praebent *ἀρετῇ γε*. Sed vulgatum pra[illegible]. Ineptum enim effet *γέ*, *quidem*, *certe*, cum non folum virtute, fed etiam fagacitate et eloquentia nemini aequalium cederet Antiphon.

καὶ ἐς μὲν δῆμον οὐ παριών. Hoc participium et fequentia non habent verbum finitum, quo referantur atque unde pendeant, nifi in praecedentibus *ἦν*. Quare mutanda eft diftinctio, quae vulgo obtinet, ut plene poft *εἰπεῖν* interrungatur. Colon repofui. — *διὰ δόξαν δεινότητος*, „ob famam fummae in orando efficacitatis.“ — *ἀγῶνα* paullo ante quodvis concilium intellige, maxime ubi publice certabatur, veluti in iudiciis. — *ὅστις ξυμβουλεύσαιτό τι*, ad *ἀγωνιζομένους* pertinet, pro *εἴ τις ξυμβ.* vel *οἵτινες ξυμβουλεύσαιντό τι*, quicumque eum confulebant.

καὶ αὐτός τε. Vid. ad cap. 67.

ὑπὲρ αὐτῶν τούτων αἰτίας, ὡς ξυγκατέστησε, θανάτου δίκην ἀπολογησ. Hunc locum non intelligebat Bauerus, quare verba *ὡς ξυγ-*

πάντων διαφερόντως προθυμότατον ἐς τὴν ὀλιγαρχίαν, δεδιὼς τὸν Ἀλκιβιάδην, καὶ ἐπιστάμενος εἰδότα αὐτὸν, ὅσα ἐν τῇ Σάμῳ πρὸς τὸν Ἀστύοχον ἔπραξε· νομίζων οὐκ ἄν ποτε αὐτὸν κατὰ τὸ εἰκὸς ὑπ' ὀλιγαρχίας κατελθεῖν. πολύ τε πρὸς τὰ δεινὰ, ἐπειδήπερ ὑπέστη, φερεγγυώτατος ἐφάνη. Καὶ Θηραμένης, ὁ τοῦ Ἄγνωνος, ἐν τοῖς ξυγκαταλύουσι τὸν δῆμον πρῶτος ἦν, ἀνὴρ οὔτε εἰπεῖν οὔτε γνῶναι ἀδύνατος. Ὥςτε ὑπ' ἀνδρῶν πολλῶν καὶ ξυνετῶν πραχθὲν τὸ ἔργον, οὐκ ἀπεικότως, καίπερ μέγα ὂν, προὐχώρησε. Χαλεπὸν γὰρ ἦν, τὸν Ἀθηναίων δῆμον ἔτει ἑκατοστῷ μάλιστα, ἐπειδὴ

gacissimus et eloquentissimus, atque ob ingentem ingenii orationisque vim populo adeo suspectus, ut non auderet in publico verba facere, omnem rem commentus erat. Etiam Phrynichus transiit ad has partes, sperans, ita facillime Alcibiadem arceri a reditu posse; et Theramenes

κατέστησε non ad Antiphontem, sed ad δῆμον referebat, quo nihil potest excogitari alienius ab h. l. Nihilo tamen secius Benedictum habet sibi obsequentem. Ne Bredovius quidem, quantum ex paucis eius verbis colligi potest, hunc locum recte cepit, iubens comma poni ante θανάτου δίκην, atque haec verba iungi cum αἰτιαθεὶς (ita enim cum decem codicibus legi vult). Equidem verba sic iungo: ἄριστα φαίνεται τῶν μέχρι ἐμοῦ ἀπολογησάμενος θανάτου δίκην, ὑπὲρ αἰτίας αὐτῶν τούτων, ὡς ξυγκατέστησε, i. e. „propter criminationem eius ipsius rei, quod cum ceteris paucorum dominatum constituisset." Αἰτία est criminatio, accusatio, ut saepe apud Nostrum. Αἰτιαθεὶς est e correctione, ut indicare etiam scriptura nonnullorum manuscriptorum et editorum αἰτιασθεὶς videtur. Scholiasta certe legit αἰτίας. Exponit enim: ὑπὲρ τῆς αἰτίας τῆς τούτων. Ceterum huius loci meminit Cicero in Bruto cap. 12. „Huic (Gorgiae) Antiphontem Rhamnusium similia quaedam (nempe locos communes) habuisse conscripta: quo neminem umquam melius ullam oravisse capitis caussam, cum se ipse defenderet, se audiente, locuples auctor scripsit Thucydides."

πολύ τε πρὸς τὰ δεινά. Sic rescripsi e consensu librorum Cl. Gr. Cam. Cass. Aug. Mosq., cum vulgo πολὺ δὲ legatur. Aptius per copulam τέ haec verba praecedentibus subiunguntur, quam per adversativam δέ. — ἐπειδήπερ ὑπέστη, postquam semel susceperat. — ὥςτε ὑπ' ἀνδρῶν πολλῶν, pro vulgato ἀπ' ἀνδρῶν reposui, licet ex uno cod. Dan. haec lectio enotetur. Suspicor operarum vitium ex superioribus editionibus propagari. Certe grammaticae leges ὑπό postulant.

ἔτει ἑκατοστῷ μάλιστα, anno belli Pelopon. 21, Olymp. 92, 1. aerae Romanae 453, ante

οἱ τύραννοι κατελύθησαν, ἐλευθερίας παῦσαι, καὶ οὐ μόνον μὴ ὑπήκοον ὄντα, ἀλλὰ καὶ ὑπὲρ ἥμισυ τοῦ χρόνου τούτου αὐτὸν ἄλλων ἄρχειν εἰωθότα.

69. Ἐπειδὴ δὲ ἡ ἐκκλησία, οὐδενὸς ἀντειπόντος, ἀλλὰ κυρώσασα ταῦτα, διελύθη, τοὺς τετρακοσίους τρόπῳ τοιῷδε ὕστερον ἤδη ἐς τὸ βουλευτήριον ἐσήγαγον. Ἦσαν δ' Ἀθηναῖοι πάντες ἀεὶ οἱ μὲν ἐπὶ τείχει, οἱ δ' ἐν τάξει, τῶν ἐν Δεκελείᾳ πολεμίων ἕνεκα, ἐφ' ὅπλοις. Τῇ οὖν ἡμέρᾳ ἐκείνῃ τοὺς μὲν μὴ ξυνειδότας εἴασαν, ὥσπερ εἰώθεσαν, ἀπελθεῖν, τοῖς δ' ἐν τῇ ξυνωμοσίᾳ εἴρητο ἡσυχῇ, μὴ ἐπ' αὐτοῖς τοῖς ὅπλοις, ἀλλ' ἄπωθεν, περιμένειν, καί, ἤν τις ἐνίστηται τοῖς ποιουμένοις, λαβόντας τὰ ὅπλα, μὴ ἐπιτρέπειν. Ἦσαν δὲ καὶ Ἄνδριοι, καὶ Τήνιοι, καὶ Καρυστίων τριακόσιοι, καὶ Αἰγινητῶν τῶν ἐποίκων, οὓς οἱ Ἀθηναῖοι ἔπεμψαν οἰκήσοντας, ἐπ' αὐτὸ τοῦτο ἥκοντες ἐν τοῖς ἑαυτῶν

ex iisdem partibus erat. Atque ita factum est, ut, cum prudentissimi viri in coniuratione essent, difficillima res ab iis perficeretur. 69. Introducti ergo quadringenti in curiam, provisis omnibus, quae necessaria viderentur,

Chr. 411. Pisistratidae Athenis eiecti 510 ante Chr.

69. ἦσαν δ' Ἀθηναῖοι πάντες. Ita iam Benedictus e plurimis libris legendum esse docuit pro ἦσαν δ' Ἀθηναίων πάντες.

εἴρητο ἡσυχῇ, μὴ ἐπ' αὐτοῖς τοῖς ὅπλοις, ἀλλ' ἄπωθεν, περιμένειν. Recte Scholiastes iungit εἴρητο ἡσυχῇ, et exponit κρύφα, cum vulgo commate distrahantur haec verba, quasi ἡσυχῇ ad περιμένειν pertineat. Quodsi verum esset, pro μὴ scribendum esset μηδέ. Pro ἐπ' αὐτοῖς τοῖς ὅπλοις, i. e. *in ipsa statione* vel *in praesidiis*, vulgo contra plerosque codices legitur ὑπ' αὐτοῖς τ. ὅπλ., quod primus Stephanus induxit. Recte Kistemakerus codicum lectionem revocavit. Nugatur Wassius, ὑπό, tamquam Nostro usitatius hanc in rem, defendens. Ὑφ' ὅπλοις, *sub armis* aliud quid significat, quam ἐφ' ὅπλοις, quod paullo ante hoc ipso capite legimus. Quomodo autem ὑπὸ τοῖς ὅπλοις dicantur ii, quos mox dicit Scriptor λαβόντας τὰ ὅπλα? — ἄπωθεν, ἀπὸ τῶν ὅπλων, i. e. a statione armatorum, ab eo loco, ubi ceteri armati constitissent. Schol. μηδ' ἐν τῇ εἰθισμένῃ χώρᾳ, ἔνθα ἐφύλαττον, μένειν.

οὓς οἱ Ἀθηναῖοι ἔπεμψαν οἰκησ. Vid. 2, 27. *Carystus*, urbs Euboeae.

ὅπλοις, οἷς ταῦτα προείρητο. Τούτων δὲ διατεταγμένων οὕτως, ἐλθόντες οἱ τετρακόσιοι, μετὰ ξιφιδίου ἀφανοῦς ἕκαστος, καὶ οἱ εἴκοσι καὶ ἑκατὸν μετ' αὐτῶν Ἕλληνες νεανίσκοι, οἷς ἐχρῶντο, εἴ τί που δέοι χειρουργεῖν ἐπέστησαν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς, οὖσιν ἐν τῷ βουλευτηρίῳ· καὶ εἶπον αὐτοῖς ἐξιέναι, λαβοῦσι τὸν μισθόν. Ἔφερον δὲ αὐτοῖς τοῦ ὑπολοίπου χρόνου παντὸς αὐτοὶ, καὶ ἐξιοῦσιν ἐδίδοσαν.

70. Ὡς δὲ τούτῳ τῷ τρόπῳ ἥ τε βουλὴ, οὐδὲν ἀντειποῦσα, ὑπεξῆλθε, καὶ οἱ ἄλλοι πολῖται οὐδὲν ἐνεωτέριζον, ἀλλ' ἡσύχαζον, οἱ δὲ τετρακόσιοι, ἐσελ-

evocatis egreſſisque ſenatoribus ſorte lectis integram mercedem ſolverunt. 70. Deinde Prytanes ex ſuorum numero ſorte legerunt diisque ſacrificia ſolemnia fecerunt; mox tamen violentius civitatem tenuerunt, nonnullos oc-

Ἕλληνες νεανίσκοι. Vocem Ἕλληνες ignorant Cl. Gr. Reg. Cam. Sed Waſſius eam additam ab Auctore putat, quia Scythae fere erant ſervi publici. — *χειρουργεῖν* Schol. *διαχειρίσασθαί τινα καὶ ἀναιρεῖν.* — *ἐπέστησαν τοῖς — βουλευταῖς*, Senatores adierunt. Cf. cap. 66. *βουλὴ ἡ ἀπὸ τοῦ κυάμου.*

τοῦ ὑπολοίπου χρόνου. Nondum enim annus, in quem ſenatores ſorte lecti erant, elapſus erat. Nihilominus integra ſolvebatur merces in plenum annum.

70. *οἱ δὲ τετρακόσιοι.* Ab his verbis apodoſis incipiat neceſſe eſt, quicquid contra dicant Duckerus et Bredovius, qui quomodo aliter expediverint praecedens *τέ*, quod ad *καί* pertinet, non docuerunt. Ita vero alia exiſtit difficultas, quam ipſam illi viri docti vitare volebant, nempe quod *δέ* eſt in apodoſi, quod perraro a Thucydide admiſſum invenias, nec niſi poſt parentheſin longiorem. Quare Portus conüciebat: *οἵδε οἱ τετρακόσιοι.* Mihi videtur, omiſſo *δὲ* ſcribendum *οἱ τετρακ.* *illi quadringenti*, nempe de quibus modo. Plures enim codices ante haec verba *στιγμὴν τελείαν* habent. Aut igitur *δέ*, errore natum propter proximae vocis primae ſyllabae non abſimilem ſonum, pravae interpunctioni anſam dedit, aut haec ipſa, vitio nata, correctores induxit, ut *ἀσύνδετον* falſo creditum addenda particula *δὲ* tollerent. Nam ab Auctore ipſo proximum periculum: *Ὡς δὲ — ἀλλ' ἡσύχαζον* relictam eſſe *ἀναπόδοτον*, ut aliquid ſubaudiendum ſit, veluti *εἶεν, καλῶς ἔχει*, nunquam mihi perſuadeam. Eiusmodi enim *ἀνανταπόδοτα* non cadunt in rerum geſtarum ſimplicem expoſitionem, ſed ad orationes potius, vel etiam deliberationes et dialogos pertinent, ubi animus commotior eſt, et exſuperat. Cf. ad 7, 28.

θόντες ἐς τὸ βουλευτήριον, τότε μὲν Πρυτάνεις τε σφῶν αὐτῶν ἀπεκλήρωσαν, καὶ, ὅσα πρὸς τοὺς θεοὺς, εὐχαῖς καὶ θυσίαις, καθιστάμενοι ἐς τὴν ἀρχὴν, ἐχρήσαντο· ὕστερον δὲ πολὺ μεταλλάξαντες τῆς τοῦ δήμου διοικήσεως, πλὴν τοὺς φεύγοντας οὐ κατῆγον, τοῦ Ἀλκιβιάδου ἕνεκα· τὰ δὲ ἄλλα, ἔνεμον κατὰ κράτος τὴν πόλιν. Καὶ ἄνδρας τέ τινας ἀπέκτειναν οὐ πολλοὺς, οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι ὑπεξαιρεθῆναι, καὶ ἄλλους ἔδησαν, τοὺς δὲ καὶ μετεστήσαντο. Πρός τε Ἆγιν, τὸν Λακεδαιμονίων βασιλέα, ὄντα ἐν τῇ Δεκελείᾳ, ἐπεκηρυκεύοντο, λέγοντες διαλλαγῆναι βούλεσθαι, καὶ εἰκὸς εἶναι, αὐτὸν σφίσι, καὶ οὐκέτι τῷ ἀπίστῳ δήμῳ, μᾶλλον ξυγχωρεῖν.

71. Ὁ δὲ, νομίζων τὴν πόλιν οὐχ ἡσυχάζειν, οὐδὲ εὐθὺς οὕτω τὸν δῆμον τὴν παλαιὰν ἐλευθερίαν παραδώσειν, εἴ τε στρατιὰν πολλὴν ἴδοι σφῶν, οὐκ ἂν ἡσυ-

ciderunt, alios in vincula coniecerunt, alios vero in ſuas partes traxerunt. Et cum Agide, qui ad Deceliam erat, de pace agebant. 71. Is vero minus ipſorum concordiae confiſus, copias maiores ex Peloponneſo arceſſivit,

εὐχαῖς καὶ θυσ. — ἐχρήσαντο. Haec ſacra vocabantur εἰσιτήρια. Solenne erat ſacrificium, cum primo anni die, menſe Hecatombaeone, in ſenatum venirent, qui ſenatorum munus ſuscipiebant.

πλὴν τοὺς φεύγοντας οὐ κατῆγον, „praeterquam (quod) exſules non reſtituebant." Etiam Latini *quod* poſt *praeterquam* interdum omittunt. Plin. H. N. 20, 10. „Urinam cient utiliſſime, *praeterquam* veſicam exulcerant." Poſt ἕνεκα minus plene interpunxi. — Mox pro μετέστησαν, *relegarunt*, octo codd. habent μετεστήσαντο, *ad ſuas partes traxerunt*. Placet.

αὐτὸν σφίσι, καὶ οὐκέτι τῷ ἀπ. δ. Undecim codices αὐτοῖς σφίσι exhibent. Male. Saepe caſus nominum proximis vocabulis asſimilantur, ut paſſim docuimus. Vid. ad cap. 63.

71. εἴτε στρατιὰν πολλὴν ἴδοι σφῶν. Portus σφῶν ad Lacedaemonios refert, contra Thucydidis mentem. Neque enim magnus erat Lacedaemoniorum apud Deceliam exercitus, quippe quem Agis, priusquam Athenis appropinquaret, arceſſendis ex Peloponneſo magnis copiis (προσμεταπεμψάμενος — στρατιὰν πολλὴν) augendum eſſe duxerit; neque ſuperiores hoſtium copiae animos ad reſiſtendum turbandumve excitant et intendunt, ſed contra potius remiſſiores reddunt. Quare σφῶν ad Athenienſium exercitum, multo maiorem, quam

χάσειν, οὐδὲ ἐν τῷ παρόντι πάνυ τι πιστεύων μὴ οὐκέτι ταράττεσθαι αὐτοὺς, τοῖς μὲν ἀπὸ τῶν τετρακοσίων ἐλθοῦσιν οὐδὲν ξυμβατικὸν ἀπεκρίνατο, προσμεταπεμψάμενος δὲ ἐκ Πελοποννήσου στρατιὰν πολλὴν, οὐ πολλῷ ὕστερον καὶ αὐτὸς τῇ ἐκ τῆς Δεκελείας φρουρᾷ μετὰ τῶν ἐλθόντων κατέβη πρὸς αὐτὰ τὰ τείχη τῶν Ἀθηναίων· ἐλπίσας ἢ ταραχθέντας αὐτοὺς μᾶλλον ἂν χειρωθῆναι σφίσιν, ᾗ βούλονται, ἢ καὶ αὐτοβοεὶ ἂν, διὰ τὸν ἔνδοθέν τε καὶ ἔξωθεν κατὰ τὸ εἰκὸς γενησόμενον θόρυβον· τῶν γὰρ μακρῶν τειχῶν, διὰ τὴν κατ' αὐτὰ ἐρημίαν, λήψεως οὐκ ἂν ἁμαρτεῖν. Ὡς δὲ προσέμιξέ τε ἐγγὺς, καὶ οἱ Ἀθηναῖοι τὰ μὲν ἔνδοθεν οὐδ' ὁπωστιοῦν ἐκίνησαν, τοὺς δὲ ἱππέας ἐκπέμψαντες, καὶ μέρος τι τῶν ὁπλιτῶν καὶ ψιλῶν καὶ τοξοτῶν, ἄνδρας κατέβαλον αὐτῶν, διὰ τὸ ἐγγὺς προσελθεῖν, καὶ ὅπλων τινῶν καὶ νεκρῶν ἐκράτησαν, οὕτω δὴ γνοὺς, ἀπήγαγε πάλιν τὴν στρατιάν. Καὶ αὐτὸς μὲν καὶ οἱ μετ' αὐτοῦ κατὰ χώραν ἐν τῇ Δεκελείᾳ ἔμενον· τοὺς δ' ἐπελθόντας, ὀλίγας τινὰς ἡμέρας ἐν τῇ γῇ μείναντας, ἀπέπεμψεν ἐπ' οἴκου. Μετὰ δὲ τοῦτο, παρά τε τὸν Ἆγιν ἐπρεσβεύοντο οἱ τετρακόσιοι οὐδὲν ἧσσον, καὶ, ἐκείνου μᾶλλον ἤδη προσδεχομένου καὶ παραι-

ut aut perturbatas, quo vellet, perduceret, aut impetu facto urbem parum cuſtoditam ſubigeret. Cum vero accedenti ad urbem Athenienſes non trepidantes reſiſterent et obviam irent, exercitum reduxit. Et denuo quadrin-

ut a paucis optimatibus hoſti commoda concedi ſinat, referendum eſt. — Poſt *παραδώσειν* non colo, ſed commate diſtinguendum eſt. — Mox inter *πάνυ* et *πιστεύων* cum Duckero ex nonnullis libris recepi *τι*, quam ſcripturam vel gratior verborum ſonus commendat.

ᾗ βούλονται, i. e. *ὡς αὐτοὶ βούλονται οἱ Πελοποννήσιοι*. Sic iam Schol. At Benedictus varia tentat, quae afferre non eſt operae pretium.

ἀπέπεμψεν ἐπ' οἴκου. Vulgo *ἀπέπεμψαν*. Sed in Caſſ. Aug. Reg. et aliis duobus Pariſſ. legitur *ἀπέπεμψεν*, quod cum ad Agidem ſolum pertineat, aptius h. l. eſſe recte iudicavit Benedictus. Librarii verbum ad *οἱ μετ' αὐτοῦ* ſimul referendum eſſe opinati ſunt.

νοῦντος, ἐκπέμπουσι καὶ ἐς τὴν Λακεδαίμονα περὶ ξυμβάσεως πρέσβεις, βουλόμενοι διαλλαγῆναι

72. Πέμπουσι δὲ καὶ ἐς τὴν Σάμον δέκα ἄνδρας, παραμυθησομένους τὸ στρατόπεδον, καὶ διδάξοντας, ὡς οὐκ ἐπὶ βλάβῃ τῆς πόλεως καὶ τῶν πολιτῶν ἡ ὀλιγαρχία κατέστη, ἀλλ' ἐπὶ σωτηρίᾳ τῶν ξυμπάντων πραγμάτων· πεντακισχίλιοί τε ὅτι εἶεν, καὶ οὐ τετρακόσιοι μόνον, οἵ πράσσοντες· καίτοι οὐ πώποτε Ἀθηναίους, διὰ τὰς στρατείας καὶ τὴν ὑπερόριον ἀσχολίαν, ἐς οὐδὲν πρᾶγμα οὕτω μέγα ἐλθεῖν βουλεύσοντας, ἐν ᾧ πεντακισχιλίους ξυνελθεῖν. Καὶ τἄλλα ἐπιστείλαντες τὰ πρέποντα εἰπεῖν, ἀπέπεμψαν αὐτοὺς εὐθὺς μετὰ τὴν αὐτῶν κατάστασιν, δείσαντες, μὴ (ὅπερ ἐγένετο) ναυτικὸς ὄχλος οὔτε αὐτὸς μένειν ἐν τῷ ὀλιγαρχικῷ κόσμῳ ἐθέλῃ, σφᾶς τε μὴ, ἐκεῖθεν ἀρξαμένου τοῦ κακοῦ, μεταστήσωσιν.

genti et ad Agidem, et Lacedaemonem de pace miſerunt. 72. Samum quoque decem viros, de his omnibus nuntiantes, miſerunt, qui oligarchiam ſpecioſe commendarent, ne navalis grex eam exoſus contra tenderet, ipſorumque

72. ἐς οὐδὲν πρᾶγμα — ξυνελθεῖν. Commendant oligarchiam ſpecie democratiae. Negant enim, propter expeditiones in exteris regionibus de ulla re quamvis gravi quinquies mille cives ad conſultationem conveniſſe. ἐν ᾧ ξυνελθεῖν eſt pro ὥςτε ἐν αὐτῷ ξυνελθεῖν. — ἐπιστείλαντες, modo pro ἐντειλάμενοι, cum ἐπιστέλλειν proprie de ſcripto mandato dicatur.

ἀπέπεμψαν αὐτοὺς εὐθὺς μετὰ τὴν αὐτῶν κατάστασιν. Cum Duckero recepi αὐτούς, quod vulgo abeſt, in libris Marg. Ar. C. pro εὐθὺς legitur, in Cl. Caſſ. Aug. una cum εὐθὺς exhibetur. Facile fieri potuit, ut ſcriba, qui haec alio dictante excipiebat, propter ſimilitudinem ſoni utriusque vocis alteram earum omitteret; quod cap. 74. in verbis καὶ καταπλευσάντων αὐτῶν, εὐθέως iterum factum videmus. Ibi enim praeter codd. Cl. Caſſ. Aug. Moſq. ceteri omnes omittunt εὐθέως, quod cum Duckero ibi repono. Veriſimilius enim eſt, haec a Thucydide profecta eſſe, quam librariis deberi. — Etiam κατάστασιν cum Duckero ſcripſi pro μετάστασιν. Illud praeter eosdem egregios codices Caſſ. Aug. Marg. praebent etiam tres ex Pariſſ., et ſententia deſiderat. Recte monet Benedictus, vulgatum μετάστασιν haud dubie ex ſequenti μεταστήσωσι corruptum eſſe. Cap. 70. καθιστάμενοι ἐς τὴν ἀρχήν.

73. Ἐν γὰρ τῇ Σάμῳ ἐνεωτερίζετο ἤδη τὰ περὶ τὴν ὀλιγαρχίαν· καὶ ξυνέβη τοιάδε γενέσθαι ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον, ὄνπερ οἱ τετρακόσιοι ξυνίσταντο. Οἱ γὰρ τότε τῶν Σαμίων ἐπαναστάντες τοῖς δυνατοῖς, καὶ ὄντες δῆμος, μεταβαλλόμενοι αὖθις, καὶ πεισθέντες ὑπό τε τοῦ Πεισάνδρου, ὅτε ἦλθε, καὶ τῶν ἐν τῇ Σάμῳ ξυνεστώτων Ἀθηναίων, ἐγένοντό τε ἐς τριακοσίους ξυνωμόται, καὶ ἔμελλον τοῖς ἄλλοις, ὡς δήμῳ ὄντι, ἐπιθήσεσθαι. Καὶ Ὑπέρβολόν τέ τινα τῶν Ἀθηναίων, μοχθηρὸν ἄνθρωπον, ὠστρακισμένον οὐ διὰ δυνάμεως καὶ ἀξιώματος φόβον, ἀλλὰ διὰ πονηρίαν, καὶ αἰσχύνην τῆς πόλεως, ἀποκτείνουσι, μετὰ Χαρμίνου τε, ἑνὸς τῶν στρατηγῶν, καί τινων τῶν παρὰ σφίσιν Ἀθηναίων, πίστιν διδόντες αὐτοῖς· καὶ ἄλλα μετ' αὐτῶν τοιαῦτα ξυνέπραξαν· τοῖς τε πλείοσιν ὥρμηντο ἐπιτίθεσθαι. Οἱ δέ, αἰσθόμενοι, τῶν τε στρατηγῶν Λέοντι καὶ Διομέδοντι (οὗτοι γὰρ οὐχ ἑκόντες, διὰ τὸ τιμᾶσθαι ὑπὸ τοῦ δήμου, ἔφερον τὴν ὀλιγαρχίαν,) τὸ μέλλον σημαίνουσι, καὶ Θρασυβούλῳ καὶ Θρασύλλῳ, τῷ μέν, τριηραρχοῦντι, τῷ δέ, ὁπλιτεύοντι, καὶ ἄλλοις, οἳ ἐδόκουν ἀεὶ μάλιστα ἐναντιοῦσθαι τοῖς ξυνεστῶσι· καὶ οὐκ ἠξίουν περιϊδεῖν αὐτοὺς σφᾶς τε διαφθαρέντας, καὶ Σάμον, Ἀθηναίοις ἀλλοτριωθεῖσαν,

imperium everteret. 73. Atque ita ferme evenit, cum Samii nobiles iterum fruſtra Samiorum plebi inſidiati fuiſſent. Nam Leon et Diomedon, Athenienſium praefecti, qui oligarchiae non favebant, quia a populo colebantur; item Thraſybulus et Thraſyllus et alii Athenienſes,

73. ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον. Pronomen τοῦτον, codicibus plerisque iubentibus, addidi. Et ſic alibi fere Thucydides.

οἱ γὰρ τότε τῶν Σαμίων ἐπαναστάντες —. Vid. ad cap. 63. cf. c. 21.

Ὑπέρβολον. Homo erat plebeius, λυχνοποιός et λυχνοπώλης, ſed turbulentiſſimus demagogus, eoque nomine ab Ariſtophane aliisque comicis ſaepe notatus. Vide Perizon. ad Aelian. V. H. 12, 43. — μετὰ Χαρμίνου, auctoritate et auxilio Charmini. Cf. Duckerus, qui exempla attulit.

δι' ἣν μόνον [μέχρι νῦν] ἡ ἀρχὴ αὐτοῖς ἐς τοῦτο ξυνέμεινεν. Οἱ δὲ, ἀκούσαντες, τῶν τε στρατιωτῶν ἕνα ἕκαστον μετῄεσαν, μὴ ἐπιτρέπειν, καὶ οὐχ ἥκιστα τοὺς Παράλους, ἄνδρας Ἀθηναίους τε καὶ ἐλευθέρους πάντας ἐν τῇ νηῒ πλέοντας, καὶ ἀεὶ δήποτε ὀλιγαρχίᾳ, καὶ μὴ παρούσῃ, ἐπικειμένους· ὅ, τε Λέων καὶ ὁ Διομέδων αὐτοῖς ναῦς τινας, ὁπότε ποι πλέοιεν, κατέλειπον φύλακας. Ὥςτε, ἐπειδὴ αὐτοῖς ἐπετίθεντο οἱ τριακόσιοι, βοηθησάντων πάντων τούτων, μάλιστα δὲ τῶν Παράλων, περιεγένοντο οἱ τῶν Σαμίων πλείονες. Καὶ τριάκοντα μέν τινας ἀπέκτειναν τῶν τριακοσίων, τρεῖς δὲ τοὺς αἰτιωτάτους φυγῇ ἐζημίωσαν· τοῖς δ' ἄλλοις οὐ μνησικακοῦντες, δημοκρατούμενοι τὸ λοιπὸν ξυνεπολίτευον.

74. Τὴν δὲ Πάραλον ναῦν, καὶ Χαιρέαν ἐπ' αὐτῆς, τὸν Ἀρχεστράτου, ἄνδρα Ἀθηναῖον, γενόμενον ἐς τὴν μετάστασιν πρόθυμον, ἀποπέμπουσιν οἵ τε Σάμιοι καὶ οἱ στρατιῶται κατὰ τάχος ἐς τὰς Ἀθήνας,

maxime Parali, Samiis consilio et auxilio praesto fuere. 74. Cuius rei nuntiandae causa cum Paralum navem Athenas misissent Samii et Atheniensium in illa insula exercitus, (nondum enim compererant, quadringentos re-

δι' ἣν μόνον μέχρι νῦν — ἐς τοῦτο ξυν. Verba μέχρι νῦν iam Wassius pro interpretamento sequentis ἐς τοῦτο habuit. Hoc enim exstat scholion: ἐς τοῦτο ξυνέμεινεν] ἤτοι, μέχρι δεῦρο μεμένηκεν. Praeterea codices Cl. Cass. Aug. illa verba ignorant. Subiungitur quidem aliud scholion, verba ἐς τοῦτο exponens ἐν τούτῳ τύχης. Cf. Kistem. Sed et recentius hoc videtur, et minus congruit verbo ξυνέμεινεν. Ferrem, si esset aut ἐν τούτῳ, s. τοσαύτῃ, ξυνέμεινεν, aut ἐς τοῦτο ξυνέστη. Nunc Wassii iudicium probo, et verba μέχρι νῦν uncis includo.

τῶν τε στρατιωτῶν. Sic Mss. plerique. Vulgo τέ abest. — ἐν τῇ νηΐ, τῇ Παράλῳ. Eius enim vectores Πάραλοι vel Παραλῖται dicebantur. Cf. Hudson. et supra ad 3, 33.

74. ἐς τὴν μετάστασιν, i. e. εἰς τὸ καταλῦσαι τὴν ὀλιγαρχίαν. Schol. Mox ἀπαγγελοῦντα, pro ἀγγελοῦντα, cum Wassio et Benedicto rescripsi e codd. Marg. Cl. Cass. Aug. In Par. D. I. K. est ἀπαγγελλοῦντας, sicut in Mosq. ἀπαγγελοῦντες, quae scripturae, licet corruptae, tamen nostram lectionem confirmant.

ἀπαγγελοῦντα τὰ γεγενημένα· οὐ γὰρ ᾔδεσάν πω τοὺς τετρακοσίους ἄρχοντας. Καὶ καταπλευσάντων αὐτῶν, εὐθέως τῶν μὲν Παράλων τινὰς οἱ τετρακόσιοι, δύο ἢ τρεῖς, ἔδησαν, τοὺς δὲ ἄλλους, ἀφελόμενοι τὴν ναῦν, καὶ μετεμβιβάσαντες ἐς ἄλλην στρατιῶτιν ναῦν, ἔταξαν φρουρεῖν περὶ Εὔβοιαν. Ὁ δὲ Χαιρέας, εὐθὺς διαλαθών πως, ὡς εἶδε τὰ παρόντα, πάλιν ἐς τὴν Σάμον ἐλθὼν, ἀγγέλλει τοῖς στρατιώταις, ἐπὶ τὸ μεῖζον πάντα δεινώσας, τὰ ἐκ τῶν Ἀθηναίων. ὡς πληγαῖς τε πάντας ζημιοῦσι, καὶ ἀντειπεῖν ἐστιν οὐδὲν πρὸς τοὺς ἔχοντας τὴν πολιτείαν, καὶ ὅτι αὐτῶν καὶ γυναῖκες καὶ παῖδες ὑβρίζονται, καὶ διανοοῦνται, ὁπόσοι τε ἐν Σάμῳ στρατεύονται μὴ ὄντες τῆς σφετέρας γνώμης, τούτων πάν-

gnare), hi quidem Paralos nonnullos vinculis conſtringunt, ceteros in aliam navem coniectos circa Euboeam in ſtatione retinent; Chaereas autem, qui in Paralo legatus advectus erat, ſimulac praeſentem ſtatum ſentiebat, ſtatim clandeſtina quadam ratione ſe ſubduxit, atque Samum reverſus, omnia quae Athenis viderat retulit atque exaggeravit,

εὐθέως τῶν μὲν Παράλων τινάς. Vide ad cap. 72.

καὶ μετεμβιβάσαντες ἐς ἄλλην στρ. ναῦν. A vulgata lectione μετεκβιβάσαντες, quae propter praecedens ἀφελόμενοι τὴν ναῦν minus apta eſt, codices plerique recedunt, alii μεταβιβάσαντες, alii μετεμβιβάσαντες exhibentes. Hoc praetuli codd. Marg. Cam. Caſſ. Aug. auctoritate. — ναῦς στρατιῶτις eſt, quae milites vehit. Vide ad 6, 43. cf. 8, 62.

εὐθὺς διαλαθών πως. Male Bauerus poſt εὐθὺς comma poſuit, ut a διαλαθὼν disiungeret hoc vocabulum; quod non pertinet ad ἐλθὼν vel ἀγγέλλει, ſed ad verba ὡς εἶδε τὰ παρόντα. Quare vulgatam antea diſtinctionem revocavi.

τὰ ἐκ τῶν Ἀθηναίων. Duckerus cum cod. Marg. mallt legere Ἀθηνῶν, cui illud a librariis ſubſtitutum putat, quod magis convenire cum ζημιοῦσι putaſſent. Mihi vulgata lectio et difficilior et verior videtur, aliisque Thucydidis locis defendenda. Confuſio eſt duarum locutionum, τὰ τῶν Ἀθηναίων et τὰ ἐξ Ἀθηνῶν.

καὶ διανοοῦνται, ὁπόσοι τε ἐν Σάμῳ —. Hic aliquid vitii latet. Nam primum verbum διανοοῦνται ad optimates Athenienſium referendum eſt, cum ab iis iam ad aliud ſubiectum oratio transierit, quod a Thucydide non alienum quidem (vid. ad 1, 39), hoc autem contextu nimis durum eſt. Sed ut hoc concedamus, alia difficultas ſubnaſcitur in verbis ὁπόσοι τε, quod τέ non habet quo re-

των τοὺς προσήκοντας λαβόντες εἴρξειν, ἵνα, ἢν μὴ ὑπακούσωσι, τεθνήκωσι· καὶ ἄλλα πολλὰ ἐπικαταψευδόμενος ἔλεγεν.

75. Οἱ δ', ἀκούσαντες, ἐπὶ τοὺς τὴν ὀλιγαρχίαν μάλιστα ποιήσαντας, καὶ ἐπὶ τῶν ἄλλων τοὺς μετασχόντας τὸ μὲν πρῶτον ὥρμησαν βάλλειν· ἔπειτα μέντοι, ὑπὸ τῶν διὰ μέσου κωλυθέντες, καὶ διδαχθέντες, μὴ, τῶν πολεμίων ἀντιπρώρων ἐγγὺς ἐφορμούντων, ἀπολέσωσι τὰ πράγματα, ἐπαύσαντο. Μετὰ δὲ τοῦτο, λαμπρῶς ἤδη ἐς δημοκρατίαν βουλόμενοι μεταστῆσαι τὰ ἐν τῇ Σάμῳ ὅ, τε Θρασύβουλος ὁ τοῦ Λύκου καὶ Θράσυλλος, (οὗτοι γὰρ μάλιστα προειστήκεισαν τῆς

multaque mentiens adiecit. 75. Quibus auditis, milites tanta ira exarſerunt, ut primum tela coniicere in oligarchiae auctores et participes conarentur; prohibiti vero ab aliis, monitique, ne, hoſtibus in propinquo ſtationem habentibus, rem perderent, quieverunt. Tum vero Thra-

feratur. Itaque verba *καὶ διανοοῦνται* ab aliena manu Scriptoris orationi addita puto, cum aliquis tranſitum a conſtructione per ὅτι ad infinitivum, Noſtro familiariſſimum (vid. ad cap. 78.), ita explanandum eſſe duceret. Ita autem in ſequentibus legendum fuerit *λαβόντας* pro λαβόντες, codicum Marg. Ar. C. Reg. et haud dubie aliorum quoque, qui non nominati ſunt, auctoritate.

75. *οἱ δὲ, ἀκούσαντες.* Ita pro ἀκούοντες codd. Marg. Cl. Caſſ. Aug. Moſq., quod praeferendum videbatur. Cf. c. 82. Etiam mox cum codd. Caſſ. Aug. pro καὶ *ἐπὶ τῶν ἄλλων* legerim *ἔτι*. Nam non ſolet Thucydides praepoſitiones repetere. *Τῶν ἄλλων*, non πραγμάτων, ſed ἀνδρῶν. — *Τοὺς μετασχόντας*, int. τῆς ὀλιγαρχίας. Mox *βάλλειν* utrum de telis, an de lapidibus intelligendum ſit, ambiguum eſt.

ὑπὸ τῶν διὰ μέσου. Non aſſentior Kiſtemakero, haec interpretanti: „ab illis, qui medii erant ſeu a ſtudio partium alieni." A talibus enim, ſi qui tum in exercitu Athenienſium fuerint (de quo dubito), non facile reprimuntur ſeditioſi. *Οἱ διὰ μέσου* potius ſunt ii, *qui in medio* i. e. *praeſto* vel ad manum erant.

βουλόμενοι μεταστῆσαι. Sic codd. Cl. Reg. Caſſ. Aug. cum aliis quinque, pro *καταστῆσαι;* quae lectio h. l. propter mutationis notionem magis convenit. Ita etiam mox μεταβολὴν dicit hanc ab oligarchia ad democratiam tranſitum. Praepoſitiones κατά et μετά ſaepe confunduntur. Vid. ad 72. Et cap. 74 init. pro μετάστασιν in cod. Moſq. ſcriptum eſt κατάστασιν. — Paullo poſt *τοὺς* ante Πελοποννησίους cum plurimis libris eieci.

μεταβολῆς,) ὥρκωσαν πάντας τοὺς στρατιώτας τοὺς μεγίστους ὅρκους, καὶ αὐτοὺς τοὺς ἐκ τῆς ὀλιγαρχίας μάλιστα, ἦ μὴν δημοκρατήσεσθαί τε καὶ ὁμονοήσειν, καὶ τὸν πρὸς Πελοποννησίους πόλεμον προθύμως διοίσειν, καὶ τοῖς τετρακοσίοις πολέμιοί τε ἔσεσθαι, καὶ οὐδὲν ἐπικηρυκεύσεσθαι. Ξυνώμνυσαν δὲ καὶ Σαμίων πάντες τὸν αὐτὸν ὅρκον οἱ ἐν τῇ ἡλικίᾳ· καὶ τὰ πράγματα πάντα καὶ τὰ ἀποβησόμενα ἐκ τῶν κινδύνων ξυνεκοινώσαντο οἱ στρατιῶται τοῖς Σαμίοις, νομίζοντες, οὔτε ἐκείνοις ἀποστροφὴν σωτηρίας, οὔτε σφίσιν εἶναι, ἀλλ', ἐάν τε οἱ τετρακόσιοι κρατήσωσιν, ἄν τε οἱ ἐκ Μιλήτου πολέμιοι, διαφθαρήσεσθαι.

76. Ἐς φιλονεικίαν τε καθέστασαν τὸν χρόνον τοῦτον, οἱ μέν, τὴν πόλιν ἀναγκάζοντες δημοκρατεῖσθαι, οἱ δέ, τὸ στρατόπεδον ὀλιγαρχεῖσθαι. Ἐποίησαν δὲ καὶ ἐκκλησίαν εὐθὺς οἱ στρατιῶται, ἐν ᾗ τοὺς μὲν προτέρους στρατηγούς, καὶ εἴ τινα τῶν τριηράρχων ὑπώπτευον, ἔπαυσαν, ἄλλους δὲ ἀνθείλοντο καὶ τριηράρχους καὶ στρατηγούς, ὧν Θρασύβουλός τε καὶ Θράσυλλος ὑπῆρχον· καὶ παραινέσεις ἄλλας τε ἐποιοῦντο ἐν σφίσιν αὐτοῖς ἀνιστάμενοι, καὶ, ὡς οὐ δεῖ ἀθυμεῖν, ὅτι ἡ πόλις αὐτῶν ἀφέστηκε· τοὺς γὰρ ἐλάσσους ἀπὸ σφῶν, τῶν πλεόνων καὶ ἐς πάντα ποριμωτέ-

ſybulus et Thraſyllus, huius mutationis auctores, omnes milites et ipſos oligarchiae addictos maxime ſacramento adegerunt, democratia ſe uſuros et concordes futuros, et contra hoſtem et adverſus quadringentos. Et cum Samiis res omnes et pericula communicarunt. 76. Qua in

ἀλλ' ἐάν τε — διαφθαρήσεσθαι. Verba ἐάν τε — πολέμιοι continent conditionem, proprie iam praecedentibus: οὔτε ἐκείνοις ἀποστροφὴν σωτηρίας, οὔτε σφίσιν εἶναι ſubiiciendam. Sed Scriptor ea inferuit eorum contrario: ἀλλὰ διαφθαρήσεσθαι. — ἄν τε, fortaſſe ſcribendum ἐάν τε, quomodo ſemper fere Thucydides. Vid. ad 4, 46.

76. ἐν σφίσιν αὐτοῖς ἀνιστάμενοι. Revocavi e codd. plurimis pronomen αὐτοῖς, a Stephano in edit. ſec. omiſſum. Etiam paullo ſuperius μὲν ante προτέρους, codicibus praeeuntibus, re-

ρων, μεθεστάναι. Ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικὸν, τὰς ἄλλας πόλεις, ὧν ἄρχουσιν, ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι, καὶ εἰ ἐκεῖθεν ὥρμηντο. Πόλιν τε γὰρ σφίσιν ὑπάρχειν Σάμον οὐκ ἀσθενῆ, ἀλλ᾽ ἣ παρ᾽ ἐλάχιστον δὴ ἦλθε τὸ τῶν Ἀθηναίων κράτος τῆς θαλάσσης, ὅτε ἐπολέμησεν, ἀφελέσθαι, τούς τε πολεμίους ἐκ τοῦ αὐτοῦ χωρίου ἀμύνεσθαι, οὗπερ καὶ πρότερον. Καὶ δυνατώτεροι εἶναι σφεῖς, ἔχοντες τὰς ναῦς, πορίζεσθαι τὰ ἐπιτήδεια τῶν ἐν τῇ πόλει. Καὶ δι᾽ ἑαυτούς τε ἐν τῇ Σάμῳ προκαθημένους, καὶ πρότερον αὐτοὺς κρατεῖν τοῦ ἐς τὸν Πειραιᾶ ἔσπλου, καὶ νῦν ἐς τοσοῦτο καταστήσονται, μὴ βουλόμενοι σφίσι πάλιν τὴν πολιτείαν ἀποδοῦναι, ὥστε αὐτοὶ καὶ δυνα-

contentione praefectos novos, quorum erat Thrafybulus et Thrafyllus, in locum veterum, quos ab imperio remo-

cepi. *Ἀνιστάμενοι*, nempe ad orandum. — *ἡ πόλις*, *Ἀθῆναι*.

μεθεστάναι. Vulgo *μεθιστάναι*. Perfectum aptius eft, ficut paullo ante *ἀφέστηκε*. Confirmant codd. Gr. Baf. Reg. cum aliis quatuor Pariff. — *ὁμοίως διδόναι, καὶ εἰ ἐκεῖθεν*, i. e. Athenis. *καί* poft *ὁμοίως* valet *ὡς*. 2, 60 extr. ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη. 3, 14. ἴσα καὶ ἱκέται ἐσμέν. — In verbis *τὰς ἄλλας πόλεις* plurimi codices *τέ* poft *τάς* inferunt, quod cum probaret Benedictus, docere debuiffet, fequentem particulam *γάρ* huic rationi non obftare.

παρ᾽ ἐλάχιστον δὴ ἦλθε. Ita e codd. Cl. Gr. Duckerus recte fcribendum effe coniecit. Ceteri enim codices magno numero exhibent *διῆλθε*, quod etiam Scholiafta pro varia lectione affert. Saepiffime Thucydides voculam *δή* fuperlativis annectit. Praeterea ante *Ἀθηναίων*, plerisque codicibus iubentibus, articulus *τῶν* reponendus eft. — *ὅτε ἐπολέμησεν*, refpicit bellum fupra narratum 1, 115 feqq.

καὶ δι᾽ ἑαυτούς τε ἐν τῇ Σάμῳ προκαθημένους. Cum particula *τέ* non habeat, quo referatur, legendum coniicio *δι᾽ ἑαυτοὺς δέ*, quae voculae non raro permutantur in codicibus. Vid. ad cap. 67. Deinde *προκαθημένους* dedi e codicibus Cam. Cl. Gr. Caff. Aug. pro vulgato *προσκαθημένους*. Gloriantur enim milites, fe iis, qui Athenis effent, *praefidio* apud Samum fuiffe, et hoftem ibi tenuiffe, ut Athenienfibus usque liceret Piraeeo uti. Itaque illud *πρό* in *προκαθημένους* ad Athenienfes referendum, qui Athenis remanferant. Iidem indicantur pronomine *αὐτούς*, ut recte docuit Duckerus. In fequentibus autem ab oratione obliqua transit ad rectam Thucydides: *ἐς τοσοῦτο καταστήσονται*, quod alibi faepiffime per *ὅτι* facit. Vid. cap. 78.

τώτεροι εἶναι εἴργειν ἐκείνους τῆς θαλάσσης, ἢ ὑπ' ἐκείνων εἴργεσθαι. Βραχύ τέ τι εἶναι καὶ οὐδενὸς ἄξιον, ὃ πρὸς τὸ περιγίγνεσθαι τῶν πολεμίων ἡ πόλις σφίσι χρήσιμος ἦν καὶ οὐδὲν ἀπολωλεκέναι, οἵ γε μήτε ἀργύριον ἔτι εἶχον πέμπειν, ἀλλ' αὐτοὶ ἐπορίζοντο οἱ στρατιῶται, μήτε βούλευμα χρηστὸν, οὗπερ ἕνεκα πόλις στρατοπέδων κρατεῖ. Ἀλλὰ καὶ ἐν τούτοις τοὺς μὲν ἡμαρτηκέναι, τοὺς πατρίους νόμους καταλύσαντας· αὐτοὺς δὲ σώζειν καὶ ἐκείνους πειράσεσθαι προςαναγκάζειν. ὥςτε οὐδὲ τούτους, οἵπερ ἂν βουλεύοιέν τι χρηστὸν παρὰ σφίσι, χείρους εἶναι. Ἀλκιβιάδην τε, ἢν αὐτῷ ἄδειάν τε καὶ κάθοδον ποιήσωσιν, ἄσμενον τὴν παρὰ βασιλέως ξυμμαχίαν παρέξειν. Τό, τε μέγιστον, ἢν ἁπάντων σφάλλωνται, εἶναι αὐτοῖς, τοσοῦτον ἔχουσι ναυτικὸν, πολλὰς τὰς ἀποχωρήσεις, ἐν αἷς καὶ πόλεις καὶ γῆν εὑρήσουσι.

77. Τοιαῦτα ἐν ἀλλήλοις ἐκκλησιάσαντες, καὶ παραθαρσύναντες σφᾶς αὐτοὺς, καὶ τὰ τοῦ πολέμου παρεσκευάζοντο οὐδὲν ἧσσον. Οἱ δὲ ἀπὸ τῶν τετρακοσίων πεμφθέντες ἐς τὴν Σάμον, οἱ δέκα πρεσβευταὶ, ὡς ταῦτα, ἐν τῇ Δήλῳ ἤδη ὄντες, ᾐσθάνοντο, ἡσύχαζον.

verant, eligunt, et ipſi viciſſim ſe conſolantur de conditione ſua, et commoda ſua docent. 77. Haec ubi reſciverunt decem legati, Athenis miſſi, qui tum Deli erant,

ἀλλ' αὐτοὶ ἐπορίζοντο οἱ στρατιῶται. Praefero novem codicum lectionem *αὐτοί* cum Benedicto vulgato *αὐτοῖς.* Non enim milites *iis, qui in urbe erant*, pecuniam paraverant, quod ſignificat *αὐτοῖς*, ſed *ipſi ſibi*, *αὐτοὶ ἐπορίζοντο.*

τοὺς πατρίους νόμους. Alii libri *πατρῴους*, quam ſcripturam ſpernit Duckerus, Grammaticorum auctoritate.

αὐτοὺς δὲ σώζειν —. Grammaticae leges legi iubent: *αὐτοὶ δὲ —.* Sic ſupra: *Καὶ δυνατώτεροι εἶναι σφεῖς.* Itaque hoc reponendum eſſe cenſeo. Facile enim inter tot accuſativos vocabulum *αὐτοί* in *αὐτούς* corrumpi potuit. Vid. ad 6, 7. *ὥςτε οὐδὲ — χείρους εἶναι*, licet iuſtam eccleſiam non conſtituant. — Mox pro *ξυμμαχίαν* Caſſ. et Aug. praebent *ξύμβασιν.*

77. *οἱ δέκα πρεσβευταί.* Articulus *οἱ* Hudſono videbatur *πλεονάζειν*, et ſane h. l. offendit. Sed alia quoque difficultas

78. Ὑπὸ δὲ τὸν χρόνον τοῦτον καὶ οἱ ἐν τῇ Μιλήτῳ τῶν Πελοποννησίων ἐν τῷ ναυτικῷ στρατιῶται κατὰ σφᾶς αὐτοὺς διεβόων, ὡς ὑπὸ Ἀστυόχου καὶ Τισσαφέρνους φθείρεται τὰ πράγματα· τοῦ μὲν οὐκ ἐθέλοντος οὔτε πρότερον ναυμαχεῖν, ἕως ἔτι αὐτοί τε ἔῤῥωντο μᾶλλον, καὶ τὸ ναυτικὸν τῶν Ἀθηναίων ὀλίγον ἦν, οὔτε νῦν, ὅτε στασιάζειν τε λέγονται, καὶ αἱ νῆες αὐτῶν οὐδέπω ἐν τῷ αὐτῷ εἰσὶν, ἀλλὰ τὰς παρὰ Τισσαφέρνους Φοινίσσας ναῦς μένοντες ἄλλως ὄνομα, καὶ οὐκ ἔργον, κινδυνεύειν διατριβῆναι· τὸν δ' αὖ Τισσαφέρνην τάς τε ναῦς ταύτας οὐ κομίζειν, καὶ τροφὴν ὅτι οὐ ξυνεχῶς οὐδ' ἐντελῆ διδοὺς κακοῖ τὸ ναυτικόν. Οὔκουν ἔφασαν χρῆναι μέλλειν ἔτι, ἀλλὰ διαναυμαχεῖν. Καὶ μάλιστα οἱ Συρακούσιοι ἐνῆγον.

ibi remanſerunt. 78. Sub idem tempus etiam Peloponneſii incuſant et Aſtyochum, quod occaſionem navalis proelii committendi opportunam neglexerit, et Tiſſaphernem, quod naves Phoeniſſas non adducat, et ſtipendia

hic deprehenditur. Cum enim Grammatici veteres doceant, vocabulum πρεσβευτής non nisi ſingulari numero ab Atticis uſurpari, plurali autem πρέσβεις dicendum eſſe, (cf. Duck. ad Thucyd. 5, 4) quam rationem plurimi Thucydidis loci defendunt: πρεσβευταί h. l. et infra de iisdem legatis cap. 86 legitur. Recte igitur Duckerus de veritate illius Grammaticorum praecepti dubitabat. Supra cap. 72., quo haec pertinent, legitur: Πέμπουσι δὲ καὶ ἐς τὴν Σάμον δέκα ἄνδρας.

78. οὐδέπω ἐν τῷ αὐτῷ εἰσίν. Male Scholiaſtes: οὐχ ὁμονοοῦσι interpretatur. Auctor ſeq. cap. explicat: Προσεδέχοντο καὶ τὸν Στρομβιχίδην ἐκ τοῦ Ἑλλησπόντου σφίσι ταῖς ἐκ τῆς Χίου ναυσὶν ἐπ' Ἄβυδον ἀφικομέναις προσβοηθήσειν. Vide ibi etiam ſequentia. — Ante ἄλλως, quod h. l. eſt *fruſtra*, (ut ſupra 7, 42. 47.) comma videtur tollendum, ut facilius haec cum participio μένοντες, (fortaſſis legendum μένοντος, maxime propter ἀλλά, quod reſpondet praecedenti οὐκ ante ἐθέλοντος) iungi poſſint. — ὄνομα eſt *ſpecie*, et κινδυνεύειν διατριβῆναι interpretor: *ſe periculum ſubire, ne attererentur.* Schol. recte διαφθαρῆναι. cf. c. 87. ἵνα διατρίβῃ — τὰ τῶν Πελοπ.

καὶ τροφὴν ὅτι — κακοῖ τ. ν. Tranſitus a ſtructura per accuſativum cum infinitivo ad ὅτι cum indicativo. Commata poſt καί et διδούς ſuſtuli, ne cui lectori accidat, quod Benedicto, ut ὅτι iungat cum participio διδούς, quale ſtructurae genus mihi adhuc inauditum erat. Diverſum enim eſt ab illo, quod habes 4, 37. ὅτι — διαφθαρησο-

79. Αἰσθόμενοι δὲ οἱ ξύμμαχοι καὶ ὁ Ἀστύοχος τὸν θροῦν, καὶ δόξαν αὐτοῖς ἀπὸ ξυνόδου, ὥστε διαναυμαχεῖν, ἐπειδὴ καὶ ἐσηγγέλλετο αὐτοῖς ἡ ἐν τῇ Σάμῳ ταραχὴ, ἄραντες ταῖς ναυσὶ πάσαις, οὔσαις δώδεκα καὶ ἑκατὸν, καὶ τοὺς Μιλησίους πεζῇ κελεύσαντες ἐπὶ τῆς Μυκάλης παριέναι, ἔπλεον ὡς πρὸς τὴν Μυκάλην. Οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ Σάμου ναυσὶ δυοῖν καὶ ὀγδοήκοντα, αἳ ἔτυχον ἐν Γλαύκῃ τῆς Μυκάλης ὁρμοῦσαι; (διέχει δὲ ὀλίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου πρὸς τὴν Μυκάλην,) ὡς εἶδον τὰς τῶν Πελοποννησίων ναῦς ἐπιπλεούσας, ὑπεχώρησαν ἐς τὴν Σάμον, οὐ νομίσαντες τῷ πλήθει διακινδυνεῦσαι περὶ τοῦ παντὸς ἱκανοὶ εἶναι. Καὶ ἅμα (προῄσθοντο γὰρ αὐτοὺς ἐκ τῆς Μιλήτου ναυμαχησείοντας,) προσεδέχοντο καὶ τὸν Στρομβιχίδην ἐκ τοῦ Ἑλλησπόντου σφίσι ταῖς ἐκ τῆς Χίου ναυσὶν ἐπ' Ἄβυδον ἀφικομέναις προσβοηθήσειν· προὐπέπεμπτο γὰρ αὐτῷ ἄγγελος. Καὶ οἱ μὲν οὕτως ἐπὶ τῆς Σάμου

neque continua, neque integra pendat. 79. Itaque cum Astyocho vifum effet, pugnam committere, cum tota claffe, quae erat centum duodecim navium, verfus Mycalen, quod promontorium non longe abeft a Samo, profectus eft, eodemque pedeftri itinere Milefios aliosque ire iuffit.

μένους αὐτούς, ubi participium eft pro infinitivo.

79. ὡς πρὸς τὴν Μυκάλην. Codd. Marg. Ar. C. Mofq. Reg. cum tribus aliis Pariff. ὡς addunt ante πρός. Eodem ducit fcriptura Caff. ἐς πρός. Saepe ἐς et ὡς permutantur in libris. Et ab ὡς nonnumquam ἐς vel πρός extrufum, cum alterum fufficere librariis videretur. Cf. ad cap. 5. Hoc loco Thucydidem addidiffe ὡς, etiam fequentia demonftrant, ubi narrat, Athenienfium claffem tum temporis apud Mycalen ftationem habuiffe; quae nifi inde Peloponnefiis fponte ceffiffet, non fine vi et pugna illi Mycalen pervenire potuiffent. Ergo non Mycalen, fed verfus Mycalen Peloponnefii tendebant.

ὡς εἶδον τὰς τῶν Πελ. Plerique libri addunt καί ante ὡς, quod haud dubie ab interprete eft. Item mox poft προσεδέχοντο nonnulli libri adiiciunt δέ, eadem de caufa. Utrumque tamen probat Benedictus.

ἐπ' Ἄβυδον. Hoc praefero vulgato ἐπ' Ἀβύδου cum Benedicto, quia adverfus, non verfus Abydum, quae defecerat ad hoftes, contenderat Strombichides. Vid. cap. 62. Addicunt codd. Cl. Marg. Caff. Aug. — Mox vulgo vitiofe legitur προὔπεμπτο, et in Ar. C. Reg. Par. K. προὐπέμπετο.

ἀνεχώρησαν· οἱ δὲ Πελοποννήσιοι, καταπλεύσαντες ἐπὶ Μυκάλης, ἐστρατοπεδεύοντο, καὶ τῶν Μιλησίων καὶ τῶν πλησιοχώρων ὁ πεζός. Καὶ τῇ ὑστεραίᾳ, μελλόντων αὐτῶν ἐπιπλεῖν τῇ Σάμῳ, ἀγγέλλεται ὁ Στρομβιχίδης ταῖς ἀπὸ τοῦ Ἑλλησπόντου ναυσὶν ἀφιγμένος. Καὶ εὐθὺς ἀπέπλεον πάλιν ἐπὶ τῆς Μιλήτου. Οἱ δὲ Ἀθηναῖοι, προσγενομένων σφίσι τῶν νεῶν, ἐπίπλουν αὐτοὶ ποιοῦνται τῇ Μιλήτῳ ναυσὶν ὀκτὼ καὶ ἑκατὸν, βουλόμενοι διαναυμαχῆσαι· καὶ, ὡς οὐδεὶς αὐτοῖς ἀντανήγετο, ἀπέπλευσαν πάλιν ἐς τὴν Σάμον.

80. Ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τοῦτο εὐθὺς οἱ Πελοποννήσιοι, ἐπειδὴ, ἀθρόαις ταῖς ναυσὶν οὐκ ἀξιόμαχοι νομίσαντες εἶναι, οὐκ ἀντανήγοντο, ἀπορήσαντες, ὁπόθεν τοσαύταις ναυσὶ χρήματα ἕξουσιν, ἄλλως τε καὶ Τισσαφέρνους κακῶς διδόντος, ἀποστέλλουσιν ὡς τὸν Φαρνάβαζον (ὥσπερ καὶ τὸ πρῶτον ἐκ τῆς Πελοποννήσου προσετάχθη,) Κλέαρχον τὸν Ῥαμφίου, ἔχοντα ναῦς τεσσαράκοντα. Ἐπεκαλεῖτο γὰρ αὐτοὺς ὁ Φαρνάβαζος, καὶ τροφὴν ἕτοιμος ἦν παρέχειν. Καὶ ἅμα καὶ τὸ Βυζάντιον ἐπεκηρυκεύετο αὐτοῖς ἀποστῆναι. Καὶ αἱ μὲν τῶν Πελοποννησίων αὗται νῆες, ἀπάρασαι ἐς τὸ πέλαγος, ὅπως λάθοιεν ἐν τῷ πλῷ τοὺς Ἀθηναίους, χειμασθεῖσαι, καὶ αἱ μὲν Δῆλον λαβόμεναι αἱ πλείους μετὰ Κλεάρχου, καὶ ὕστερον πάλιν ἐλθοῦσαι

Athenienſes autem, adventum eius cum praevidiſſent, Strombichidamque ex Hellesponto, nuntio arceſſitum, cum navibus exſpectarent, a Mycale Samum ſe receperunt, pugnam detrectantes. Et poſtridie Strombichides adeſt, Peloponneſii vero confeſtim Miletum revertuntur, neque cum Athenienſibus ibi confligere audent. 80. Paullo poſt Clearchus cum quadraginta navibus ad Pharnabazum miſſus, ac tempeſtate Delum cum plerisque navibus ab-

ge προὐπέπεμπτο. Plusquamperfectum enim deſideratur. Simile vitium in eodem vocabulo erat 7, 77.

80. ἐς τὸ πέλαγος. Ita enim minus verendum erat, ne ab Athenienſibus conſpicerentur.

ἐς Μίλητον· (Κλέαρχος δὲ, κατὰ γῆν αὖθις ἐς τὸν Ἑλλήσποντον κομισθεὶς, ἦρχεν·) αἱ δὲ μετὰ Ἑλίξου τοῦ Μεγαρέως στρατηγοῦ δέκα, ἐς τὸν Ἑλλήσποντον διασωθεῖσαι, Βυζάντιον ἀφιστᾶσι. Καὶ μετὰ ταῦτα οἱ ἐκ τῆς Σάμου πέμπουσιν, αἰσθόμενοι, νεῶν βοήθειαν καὶ φυλακὴν ἐς τὸν Ἑλλήσποντον. Καί τις καὶ ναυμαχία βραχεῖα γίγνεται πρὸ τοῦ Βυζαντίου, ναυσὶν ὀκτὼ πρὸς ὀκτώ.

81. Οἱ δὲ προεστῶτες ἐν τῇ Σάμῳ, καὶ μάλιστα Θρασύβουλος, καὶ ἀεί τε τῆς αὐτοῦ γνώμης ἐχόμενος; ἐπειδὴ μετέστησε τὰ πράγματα; ὥστε κατάγειν Ἀλκιβιάδην, καὶ τέλος ἀπ' ἐκκλησίας, ἔπεισε τὸ πλῆθος τῶν

reptus, Miletum revertitur, et denuo inde terra iter in Hellespontum facit, quo ceterae eius naves ex illa tempeſtate devenerant, ibique Byzantium ad defectionem perduxerant. Quare permoti Athenienſes praeſidium in Hellespontum mittunt. 81. Interim Thraſybulus ex decreto exercitus Alcibiadem a Tiſſapherne Samum deducit.

Κλέαρχος — Ἑλλήσποντον κομισθεὶς, ἦρχεν. Comma non poſt γῆν, ſed ante κατὰ ponendum eſt: „Clearchus autem, terreſtri itinere in Hellespontum reverſus, imperium obtinebat.“ Δῆλον λαβόμεναι, Delum aſſecutae. Ceterum huic periodo non abſimilis eſt locus 5, 81. Καὶ Λακεδαιμόνιοι καὶ Ἀργεῖοι, χίλιοι ἑκάτεροι. ξυστρατεύσαντες, τά τ' ἐν Σικυῶνι ἐς ὀλίγους μᾶλλον κατέστησαν αὐτοὶ οἱ Λακεδαιμόνιοι ἐλθόντες, καὶ μετ' ἐκεῖνα ξυναμφότερα ἤδη καὶ τὸν ἐν Ἄργει δῆμον κατέλυσαν. Vide ibi plura. Etiam noſtro loco non omnes quadraginta naves, quod ab initio periodi ſubiectum proponebatur, ſed decem tantum eae, quae cum Elixo in Hellespontum pervenerant, Byzantium ad defectionem adegerunt. — In ſequentibus καὶ μετὰ ταῦτα particula καὶ eſt pro δὲ, quod referatur primo μὲν in verbis: καὶ αἱ μὲν τῶν Πελοποννησίων αὗται νῆες. Vide ad 4, 73.

81. καὶ ἀεί τε τῆς αὐτοῦ —. Recepi καὶ, quod non ſolum editiones antiquae, ſed etiam codd. Cl. Gr. praebent, et ex veſtigiis ſcripturae codd. Ar. C. Dan. Reg. Caſſ. Aug., qui exhibent καὶ εἴτε, tamquam vera lectio huius loci erui poteſt. Reſpondet enim hoc καὶ, ad verbum finitum ἔπεισε referendum, ſequenti καὶ — κατῆγεν, ſicut ἀεί τε reſpondet ſequenti καὶ τέλος. Verba ὥστε κατάγειν Ἀλκιβιάδην ita pendent a τῆς αὐτοῦ γνώμης ἐχόμενος, ut ἐπειδὴ μετέστησε τὰ πράγματα interiectum ſit membrum, nihil niſi temporis notionem afferens. — Verba ἀπ' ἐκκλησίας, licet aliis co-

στρατιωτῶν, καὶ, ψηφισαμένων αὐτῶν Ἀλκιβιάδῃ κάθοδον καὶ ἄδειαν, πλεύσας ὡς τὸν Τισσαφέρνην, κατῆγεν ἐς τὴν Σάμον τὸν Ἀλκιβιάδην· νομίζων μόνην σωτηρίαν, εἰ Τισσαφέρνην αὐτοῖς μεταστήσειεν ἀπὸ Πελοποννησίων. Γενομένης δὲ ἐκκλησίας, τήν τε ἰδίαν ξυμφορὰν τῆς φυγῆς ἐπῃτιάσατο καὶ ἀνωλοφύρατο ὁ Ἀλκιβιάδης· καὶ περὶ τῶν πολιτικῶν πολλὰ εἰπὼν, ἐς ἐλπίδας τε αὐτοὺς οὐ μικρὰς τῶν μελλόντων καθίστη, καὶ ὑπερβάλλων ἐμεγάλυνε τὴν ἑαυτοῦ δύναμιν παρὰ τῷ Τισσαφέρνει, ἵνα οἵ τε οἴκοι τὴν ὀλιγαρχίαν ἔχοντες φοβοῖντο αὐτὸν, καὶ μᾶλλον αἱ ξυνωμοσίαι διαλυθεῖεν, καὶ οἱ ἐν τῇ Σάμῳ τιμιώτερόν τε αὐτὸν ἄγοιεν, καὶ αὐτοὶ ἐπὶ πλεῖον θαρσοῖεν, οἵ τε πολέμιοι τῷ Τισσαφέρνει ὡς μάλιστα διαβάλλοιντο, καὶ τῶν ὑπαρχουσῶν ἐλπίδων ἐκπίπτοιεν. Ὑπισχνεῖτο δ᾽ οὖν τάδε μέγιστα ἐπικομπῶν ὁ Ἀλκιβιάδης, ὡς Τισσαφέρνης αὐτῷ ὑπεδέξατο, ἦ μὴν, ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἢν

Qui quidem in concione Athenienſium conſtitutus, deplorata ipſius fortuna, orationem habet non minus ad ſui admirationem, quam ad ſpem militum augendam compo-

dicibus *ἐπ᾽ ἐκκλησίας* exhibentibus, defendo ſimili loco cap. 79 init. *καὶ δόξαν* (i. e. *δόξαντος*) *αὐτοῖς ἀπὸ ξυνόδου.* Eſt igitur, ut Scholiaſtes interpretatur, pro *ἐν ἐκκλησίᾳ.*

ἐπῃτιάσατο. Ita iam Duckerus vulgatum *ἐπῃτίασε*, quod activum non ſolum Noſtro, ſed etiam ceteris Graecis inuſitatum eſt, codicibus praeeuntibus, correxerat. Sic etiam Scholiaſtes haud dubie legebat. — Mox ante *πολιτικῶν* articulum *τῶν* omittunt Cl. Gr. Caſſ. Aug. Ald. Flor. Baſ. et nonnulli e Pariſſ., quorum auctoritatem non ſequar; contra *περὶ*, iubentibus plurimis libris, ante *τῶν μελλόντων* delevi cum Duckero. Cf. c. 82. *τὴν ἐλπίδα τῆς τε σωτηρίας καὶ τῆς τῶν τετρακοσίων τιμωρίας.*

οἵ τε πολέμιοι τῷ Τισσαφέρνει ὡς μ. διαβάλλοιντο. Kiſtemakerus exponit: „Et ut hoſtes maxime contra Tiſſaphernem in invidiam adducerentur, ſ. maximam in Tiſſaphernem invidiam conciperent.“ Quam ſignificationem firmari poſſe putat cap. 83 et 109. Poſteriore quidem loco libri variant. Sed certe verba cap. 83. huc quadrant: *πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο.* Cf. Schneid. in Lex. voc. *διαβάλλω.* Medium *διαβάλλομαί τινι* ſignificat *ſaepe odiſſe aliquem, odio habere.* Thomas Mag. in *διαβέβλημαι* locum cap. 83 exponit: *διαβεβλημένως εἶχον πρὸς αὐτὸν, κακὸν*

Ἀθηναίοις πιστεύῃ, μὴ ἀπορήσειν αὐτοὺς τροφῆς, οὐδ᾽ ἢν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι, τάς τε ἐν Ἀσπένδῳ ἤδη οὔσας Φοινίκων ναῦς κομιεῖν Ἀθηναίοις, καὶ οὐ Πελοποννησίοις· πιστεῦσαι δ᾽ ἂν μόνως Ἀθηναίοις, εἰ σῶς αὐτὸς κατελθὼν αὐτῷ ἀναδέξαιτο.

82. Οἱ δὲ, ἀκούσαντες ταῦτά τε καὶ ἄλλα πολλὰ, στρατηγόν τε αὐτὸν εὐθὺς εἵλοντο μετὰ τῶν προτέρων, καὶ τὰ πράγματα πάντα ἀνετίθεσαν. Τήν τε παραυτίκα ἐλπίδα ἕκαστος τῆς τε σωτηρίας καὶ τῆς τῶν τετρακοσίων τιμωρίας, οὐδενὸς ἂν ἠλλάξαντο· καὶ ἕτοιμοι ἤδη ἦσαν κατὰ τὸ αὐτίκα τούς τε παρόντας πολεμίους ἐκ τῶν λεχθέντων καταφρονεῖν, πλεῖν τε ἐπὶ τὸν Πειραιᾶ. Ὁ δὲ, τὸ μὲν ἐπὶ τὸν Πειραιᾶ πλεῖν, τοὺς ἐγγυτέρω πολεμίους ὑπολιπόντας, καὶ πάνυ διεκώλυσε, πολλῶν ἐπειγομένων· τὰ δὲ τοῦ πολέμου πρῶτον ἔφη, ἐπειδὴ καὶ στρατηγὸς ᾕρητο, πλεύσας ὡς Τισσαφέρνην πράξειν. Καὶ ἀπὸ ταύτης τῆς ἐκκλησίας εὐθὺς ᾤχετο, ἵνα δοκῇ πάντα μετ᾽ ἐκείνου κοινοῦσθαι, καὶ ἅμα βουλόμενος αὐτῷ τιμιώτερός τε εἶναι καὶ ἐνδείκνυσθαι, ὅτι

fitam. 82. Qua audita, ftatim ab exercitu praefectus creatur. Et tantus eo tempore ardor omnes invafit, ut neque de fua falute, neque de quadringentorum ultione defperarent, et vel adverfus Piraeeum proficifci parati effent. Alcibiades autem animos feroces delinivit periculi ab hofte propinquo inftantis commemoratione, et ipfe ftatim ad Tiffaphernem profectus eft, partim ut omnia cum

αὐτὸν ἡγοῦντο. Vid. Duck. ad cap. 85. et 109.

εἰ σῶς αὐτὸς — αὐτῷ ἀναδέξαιτο. Non folum codices bene multi σῶς, quod vulgo abeft, addi iubent, fed etiam Scholiaftae interpretatio docet, eum hoc vocabulum haud dubie in fuo exemplari legiffe. Dicit enim: ἀνασωθεὶς Ἀλκιβιάδης ὀπίσω, ἀνάδοχος γένοιτο. — ἀναδέχεσθαι etiam apud Herodotum eft pro ὑπισχνεῖσθαι. — αὐτῷ, Τισσαφέρνει.

82. ἀκούσαντες. Sic plerique Mff. recte. Idem vitium fupra cap. 75 correximus.

οὐδενὸς ἀντηλλάξαντο. Cum vett. edd. et Codd. Marg. Gr. Par. C. malim legere: ἂν ἠλλάξαντο. Nam ἂν h. l. requiri, recte vidit Duckerus.

καὶ στρατηγὸς ἤδη ᾕρηται, καὶ εὖ καὶ κακῶς οἷός τε ἐστὶν αὐτὸν ποιεῖν. Ξυνέβαινε δὲ τῷ Ἀλκιβιάδῃ, τῷ μὲν Τισσαφέρνει τοὺς Ἀθηναίους φοβεῖν, ἐκείνοις δὲ τὸν Τισσαφέρνην.

83. Οἱ δὲ Πελοποννήσιοι, ἐν τῇ Μιλήτῳ πυνθανόμενοι τὴν Ἀλκιβιάδου κάθοδον, καὶ πρότερον τῷ Τισσαφέρνει ἀπιστοῦντες, πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο. Ξυνηνέχθη γὰρ αὐτοῖς, καὶ τὸν ἐπὶ τὴν Μίλητον Ἀθηναίων ἐπίπλουν, ὡς οὐκ ἠθέλησαν ἀνταναγαγόντες ναυμαχῆσαι, πολλῷ ἐς τὴν μισθοδοσίαν τὸν Τισσαφέρνην ἀῤῥωστότερον γενόμενον καὶ ἐς τὸ μισεῖσθαι ὑπ' αὐτῶν, πρότερον ἔτι τούτων, διὰ τὸν Ἀλκιβιάδην, ἐπιδεδωκέναι. Καὶ ξυνιστάμενοι πρὸς ἀλλήλους, οἷάπερ καὶ πρότερον, οἱ στρατιῶται ἀνελογίζοντο, καί τινες καὶ τῶν ἄλλων τῶν ἀξίων λόγου ἀνθρώπων,

illo communicare videretur, partim ut dignitatem acceptam oſtentaret. 83. Peloponneſii autem inde ab eo tempore multo magis Tiſſapherni erant infenſi; neque milites ſoli, ſed etiam qui ampliore dignitate erant, de

στρατηγὸς ἤδη ᾕρηται — ποιεῖν. Vocabulum ἤδη plurimi libri Ar. C. Marg. Aug. Par. D. I. K., poſt στρατηγός ignorant, et ante ποιεῖν collocant. Nonnulli utroque loco ἤδη exhibent, ut Caſſ. Dan. Par. F. G. Videtur priore loco, ubi etiam in aliis libris, ut Gr. Cam. Cl. et vulgo, legitur, non delendum, poſteriore vero recipiendum. Facile enim excidere potuit, quia modo ſcriptum erat.

83. *καὶ τὸν ἐπὶ τὴν Μίλητον — ἐπιδεδωκέναι.* Rectius, quam Kiſtemakerus haec ordinavit, ſic iunxeris: ξυνηνέχθη αὐτοῖς, καὶ τὸν ἐπὶ τ. Μ. ναυμαχῆσαι, ἐπιδεδωκέναι καὶ ἐς τὸ μισεῖσθαι ὑπ' αὐτῶν τὸν Τισσαφέρνην, πολλῷ ἀῤῥωστότερον γενόμενον ἐς τὴν μισθοδοσίαν, πρότερον ἔτι τούτων, διὰ τὸν Ἀλκιβιάδην. Bredovius cum Kiſtemakero iungit verba πρότερον ἔτι τούτων διὰ τὸν Ἀλκιβ., vertens: „antequam haec *ab Alcibiade gererentur*" (vel: noch eh dies *mit Alcibiades vorſiel*). Sed ſenſus eſt: „Iam antea quam Alcibiades ad Athenienſes rediiſſet, Alcibiadis opera factum erat, ut vel ipſa Athenienſium adverſus Miletum incurſio, cum Peloponneſii pugnam detrectaviſſent, Tiſſaphernem, multo ad ſtipendium praebendum languidiorem, in odium eorum vocaret." Itaque ante verba πρότερον ἔτι τούτων, et διὰ τὸν Ἀλκιβιάδην commatibus diſtinxi; poſt γενόμενον autem interpunctionem ſuſtuli.

καί τινες καὶ τῶν ἄλλων. Alterum *καί*, probante Duckero, recepi ex codd. Caſſ. Aug.

καὶ οὐ μόνον τὸ στρατιωτικὸν, ὡς οὔτε μισθὸν ἐντελῆ πώποτε λάβοιεν, τό, τε διδόμενον βραχὺ, καὶ οὐδὲ τοῦτο ξυνεχῶς· καὶ, εἰ μή τις ἢ διαναυμαχήσει, ἢ ἀπαλλάξεται ὅθεν τροφὴν ἕξει, ἀπολείψειν τοὺς ἀνθρώπους τὰς ναῦς. Πάντων τε Ἀστύοχον εἶναι αἴτιον, ἐπιφέροντα ὀργὰς Τισσαφέρνει διὰ ἴδια κέρδη.

84. Ὄντων δ' αὐτῶν ἐν τοιούτῳ ἀναλογισμῷ, ξυνηνέχθη καὶ τοιόςδε τις θόρυβος περὶ τὸν Ἀστύοχον. Τῶν γὰρ Συρακουσίων καὶ Θουρίων, ὅσῳ μάλιστα καὶ ἐλεύθεροι ἦσαν, τὸ πλῆθος [οἱ ναῦται,] τοσούτῳ καὶ θρασύτατα προςπεσόντες, τὸν μισθὸν ἀπῄτουν. Ὁ δὲ αὐθαδέστερόν τε τὶ ἀπεκρίνατο, καὶ ἠπείλησε καὶ τῷ γε Δωριεῖ ξυναγορεύοντι τοῖς ἑαυτοῦ ναύταις, καὶ ἐπανήρατο τὴν βακτηρίαν. Τὸ δὲ πλῆθος τῶν στρατιωτῶν, ὡς εἶδον, οἷα δὴ ναῦται, ὥρμησαν ἐγκραγόντες ἐπὶ τὸν Ἀστύοχον, ὥστε βάλλειν. Ὁ δέ, προϊδὼν,

ſtipendio male praebito conqueſti, Aſtyochum incuſabant, qui ſui commodi cauſa Tiſſapherni morem gereret. 84. Accidit etiam, ut nautae, confidentius ab Aſtyocho ſtipendium flagitantes, cum ille arrogantius reſponderet et vel ſcipionem tolleret, impetu in eum magna cum vociferatione facto, tela coniicerent; quo ex tumultu Aſtyochus ad aram quandam fugiens aegre evaſit. Et Mileſii

Par. F., et ſic fortaſſe etiam in Cl. legitur.

ἢ ἀπαλλάξεται ὅθεν τροφὴν ἕξει. Schol. ἀποστήσεται εἰς τόπον ὅθεν. In Caſſ. et Aug. legitur ἕξειν, quod non diſplicet. Saepe enim infinitivus particulis et pronomini relativo iungitur in oratione obliqua. Vide ad 2, 102.

ἐπιφέροντα ὀργὰς Τισσαφέρνει, i. e. χαριζόμενον καὶ συγχωροῦντα Τισσαφέρνει. Vid. Scholiaſtes, qui Cratini affert locum: Τὴν μουσικὴν ἀκορέστους ἐπιφέρειν ὀργὰς βροτοῖς σώφροσι. Cf. Riemer. in Lex. Gr. voc. ὀργή, ubi comparat Homericum ἐπιφέρειν ἦρά τινι.

84. τὸ πλῆθος οἱ ναῦται. Ita ſine varietate quidem codices. Vix tamen crediderim, utrumque a Thucydide eſſe, ſed alterum οἱ ναῦται ex interpretatione ortum mihi videtur, et ante τὸ πλῆθος commate diſtinguendum.

οἷα δὴ ναῦται. Recte ad ſententiam expreſſit Acacius: „Qualiter homines nautici facere ſolent.“ Brevius verteris: *utpote nautae cum eſſent.*

καταφεύγει ἐπὶ βωμόν τινα. Οὐ μέντοι ἐβλήθη γε, ἀλλὰ διελύθησαν ἀπ' ἀλλήλων. Ἔλαβον δὲ καὶ τὸ ἐν Μιλήτῳ ἐνῳκοδομημένον τοῦ Τισσαφέρνους φρούριον οἱ Μιλήσιοι, λάθρα ἐπιπεσόντες, καὶ τοὺς ἐνόντας φύλακας αὐτοῦ ἐκβάλλουσι. Ξυνεδόκει δὲ καὶ τοῖς ἄλλοις ξυμμάχοις ταῦτα, καὶ οὐχ ἥκιστα τοῖς Συρακουσίοις. Ὁ μέντοι Λίχας οὔτε ἠρέσκετο αὐτοῖς, ἔφη τε, χρῆναι Τισσαφέρνει καὶ δουλεύειν Μιλησίους καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ βασιλέως τὰ μέτρια, καὶ ἐπιθεραπεύειν, ἕως ἂν τὸν πόλεμον εὖ θῶνται. Οἱ δὲ Μιλήσιοι ὠργίζοντό τε αὐτῷ, καὶ διὰ ταῦτα, καὶ δι' ἄλλα τοιουτότροπα, νόσῳ ὕστερον ἀποθανόντα αὐτὸν οὐκ εἴασαν θάψαι, οὗ ἐβούλοντο οἱ παρόντες τῶν Λακεδαιμονίων.

85. Κατὰ δὴ τοιαύτην διαφορὰν ὄντων αὐτοῖς τῶν πραγμάτων πρός τε τὸν Ἀστύοχον καὶ τὸν Τισσαφέρνην, Μίνδαρος διάδοχος τῆς Ἀστυόχου ναυαρχίας ἐκ Λακεδαίμονος ἐπῆλθε, καὶ παραλαμβάνει τὴν ἀρχήν. ὁ δὲ Ἀστύοχος ἀπέπλει. Ξυνέπεμψε δὲ καὶ Τισσαφέρνης αὐτῷ πρεσβευτὴν τῶν παρ' ἑαυτοῦ, Γαυλείτην ὄνομα, Κᾶρα, δίγλωσσον, κατηγορήσοντα τῶν τε Μιλησίων περὶ τοῦ φρουρίου, καὶ περὶ αὐτοῦ ἅμα ἀπολογησόμενον· εἰδὼς, τούς τε Μιλησίους πορευομένους ἐπὶ καταβοῇ τῇ αὐτοῦ μάλιστα, καὶ τὸν Ἑρμοκράτην μετ' αὐτῶν, ὃς ἔμελλε τὸν Τισσαφέρνην ἀποφαίνειν φθείροντα τῶν Πελοποννησίων τὰ πράγματα μετὰ Ἀλκιβιάδου, καὶ ἐπαμφοτερίζοντα. Ἔχθρα δὲ πρὸς αὐτὸν

caſtellum, quod Mileti Tiſſaphernes habebat, capiunt, non invitis Peloponneſiis, Licha excepto, qui ideo in Mileſiorum odia incurrebat. 85. Inter has turbas Mindarus, Lacedaemone miſſus, advenit et Aſtyochi imperium ſuscipit; ille autem decedit, et una cum eo Tiſſaphernis

85. ἐπὶ καταβοῇ τῇ αὐτοῦ. Ita ſcripſi pro αὐτοῦ. In Reg. eſt ἑαυτοῦ.
ἔχθρα δὲ πρὸς αὐτὸν, nempe Hermocratem. ἦν αὐτῷ, Τισσαφέρνει. Vid. ſupra cap. 29. cf. cap. 45 med.

ἦν αὐτῷ ἀεί ποτε περὶ τοῦ μισθοῦ τῆς ἀποδόσεως. Καὶ τὰ τελευταῖα, φυγόντος ἐκ Συρακουσῶν τοῦ Ἑρμοκράτους, καὶ ἑτέρων ἡκόντων ἐπὶ τὰς ναῦς τῶν Συρακουσίων ἐς τὴν Μίλητον στρατηγῶν, Ποτάμιδος καὶ Μύσκωνος καὶ Δημάρχου, ἐνέκειτο ὁ Τισσαφέρνης φυγάδι ὄντι ἤδη τῷ Ἑρμοκράτει πολλῷ ἔτι μᾶλλον, καὶ κατηγόρει ἄλλα τε, καὶ ὡς, χρήματα ποτὲ αἰτήσας αὐτὸν καὶ οὐ τυχὼν, τὴν ἔχθραν οἱ προθεῖτο. Ὁ μὲν οὖν Ἀστύοχος καὶ οἱ Μιλήσιοι καὶ ὁ Ἑρμοκράτης ἀπέπλευσαν ἐς τὴν Λακεδαίμονα· ὁ δὲ Ἀλκιβιάδης διεβεβήκει πάλιν ἤδη παρὰ τοῦ Τισσαφέρνους ἐς τὴν Σάμον.

86. Καὶ οἱ ἐκ τῆς Δήλου ἀπὸ τῶν τετρακοσίων πρεσβευταὶ, οὓς τότε ἔπεμψαν παραμυθησομένους καὶ ἀναδιδάξοντας τοὺς ἐν τῇ Σάμῳ, ἀφικνοῦνται, παρόντος τοῦ Ἀλκιβιάδου, καὶ, ἐκκλησίας γενομένης, λέγειν ἐπεχείρουν. Οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον οὐκ ἤθελον ἀκούειν, ἀλλ' ἀποκτείνειν ἐβόων τοὺς τὸν δῆμον καταλύοντας· ἔπειτα μέντοι, μόλις ἡσυχάσαντες, ἤκουσαν. Οἱ δ' ἀπήγγελον, ὡς οὔτε ἐπὶ διαφθορᾷ τῆς πόλεως ἡ μετάστασις γένοιτο, ἀλλ' ἐπὶ σωτηρίᾳ, οὐθ', ἵνα

legatus, Car natione, utriusque linguae gnarus, qui Milesios de recepto castello accusaret, ipsumque Tissaphernem purgaret, cum is Milesios et maxime Hermocratem in sui calumniam Lacedaemonem abire cognovisset. 86. Reverso Samum Alcibiade, eodem perveniunt ex Delo legati quadringentorum, quos, in concionem productos, primo ne audire quidem milites volebant et ad necem poscebant; deinde, cum verba fecissent, non minus exacerbati, adversus Piraeeum navigare statuebant. Sed ab incepto rei-

φυγάδι ὄντι ἤδη. Reg. ἤδη ὄντι, Par. B. C. E. φυγάδι ὄντι τῷ Ἑρμοκράτει ἤδη. Vulgatum verum puto, sicut mox προθεῖτο.

διεβεβήκει πάλιν ἤδη. Vocem πάλιν, huic loco aptissimam, quam praeter codices plurimos etiam Vallae versio agnoscit, cum Benedicto recepi. Praeterea septem exhibent διαβεβήκει sine augmento; ut 7, 4. ἀναβεβήκεσαν. 7, 44. ἀναβεβήκει. Vid. ibi Duck. Cf. Buttmann. Gr. Gr. §. 76. 6.

86. πρεσβευταί. Vide ad cap. 77.

τοῖς πολεμίοις παραδοθῇ· ἐξεῖναι γὰρ, ὅτε ἐςέβαλον, ἤδη σφῶν ἀρχόντων, τοῦτο ποιῆσαι· τῶν τε πεντακιςχιλίων ὅτι πάντες ἐν τῷ μέρει μεθέξουσιν, οἵ τε οἰκεῖοι αὐτῶν οὔθ' ὑβρίζονται, (ὥςπερ Χαιρέας διαβάλλων ἀπήγγελεν,) οὔτε κακὸν ἔχουσιν οὐδέν, ἀλλ' ἐπὶ τοῖς σφετέροις αὐτῶν ἕκαστοι κατὰ χώραν μένουσιν. Ἄλλα τε πολλὰ εἰπόντων, οὐδὲν μᾶλλον ἐςήκουον, ἀλλ' ἐχαλέπαινον· καὶ γνώμας ἄλλοι ἄλλας ἔλεγον, μάλιστα δέ, ἐπὶ τὸν Πειραιᾶ πλεῖν. Καὶ ἐδόκει Ἀλκιβιάδης πρῶτος τότε καὶ οὐδενὸς ἔλασσον τὴν πόλιν ὠφελῆσαι· ὡρμημένων γὰρ τῶν ἐν Σάμῳ Ἀθηναίων πλεῖν ἐπὶ σφᾶς αὐτοὺς, (ἐν ᾧ σαφέστατα Ἰωνίαν καὶ Ἑλλήςποντον εὐθὺς εἶχον οἱ πολέμιοι,) κωλυτὴς γενέσθαι. Καὶ ἐν τῷ τότε ἄλλος μὲν οὐδ' ἂν εἷς ἱκανὸς ἐγένετο κατασχεῖν τὸν ὄχλον· ἐκεῖνος δὲ τοῦ τ' ἐπίπλου ἔπαυσε, καὶ τοὺς ἰδίᾳ τοῖς πρέσβεσιν ὀργιζομένους λοιδορῶν ἀπέτρεπεν· αὐτὸς δέ, ἀποκρινάμενος αὐτοῖς, ἀπέπεμπεν, ὅτι τοὺς μὲν πεντακιςχιλίους οὐ κωλύει ἄρχειν, τοὺς μέντοι τετρακοσίους ἐκέλευεν ἀπαλλάσσειν αὐτοὺς, καὶ καθιστάναι τὴν βουλὴν, ὥςπερ καὶ πρότερον, τοὺς πεντακοσίους. Εἰ δὲ ἐς εὐτέλειάν τι ξυντέτμηται, ὥςτε τοὺς στρατευομένους μᾶλλον ἔχειν τροφὴν,

publicae periculoſo eos retinuit, Alcibiades, et ipſe cum hoc reſponſo legatos dimiſit: ut, ſublato quadringentorum imperio, quinque millia rempublicam gubernarent, atque ex iis ſenatus quingentorum, ut antea, deligeretur. Ceterum eos hortabatur, ut quam maxime hoſtibus reſiſten-

ὅτε ἐςέβαλον, ἤδη σφῶν ἀρχόντων. Vid. ſupra cap. 71.

τῶν τε πεντακιςχιλίων — μετέξουσιν. Οἱ πεντακιςχίλιοι h. l. dignitatem et honorem, quem ex nova rei publicae forma quinque millia obtinebant, deſignant. — ἐν τῷ μέρει, per vices. Sic infra cap. 93. Καὶ ἐκ τούτων ἐν μέρει — τοὺς τετρακοσίους ἔσεσθαι.

ἐν ᾧ σαφέστατα. Ἐν ᾧ, int. ἔργῳ, nempe τῷ πλῷ ἐπὶ σφᾶς αὐτούς.

κωλύει. Vulgo κωλύοι. Illud praeter Caſſ. Aug. Moſq. etiam quinque Pariſſ. praebent. Vid. ad 5, 35. — ἀπαλλάσσειν αὐτούς, i. e. τοὺς πρέσβεις.

πάνυ ἐπαινεῖν. Καὶ τἄλλα ἐκέλευεν ἀντέχειν, καὶ μηδὲν ἐνδιδόναι τοῖς πολεμίοις. Πρὸς μὲν γὰρ σφᾶς αὐτοὺς, σωζομένης τῆς πόλεως, πολλὴν ἐλπίδα εἶναι καὶ ξυμβῆναι· εἰ δὲ ἅπαξ τὸ ἕτερον σφαλήσεται, ἢ τὸ ἐν Σάμῳ, ἢ ἐκεῖνοι, οὐδὲ, ὅτῳ διαλλαγήσεταί τις, ἔτι ἔσεσθαι. Παρῆσαν δὲ καὶ Ἀργείων πρέσβεις, ἐπαγγελλόμενοι τῷ ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων δήμῳ, ὥστε βοηθεῖν. Ὁ δὲ Ἀλκιβιάδης, ἐπαινέσας αὐτοὺς, καὶ εἰπὼν, ὅταν τις καλῇ, παρεῖναι, οὕτως ἀπέπεμψεν. Ἀφίκοντο δὲ οἱ Ἀργεῖοι μετὰ τῶν Παράλων, οἳ τότε ἐτάχθησαν ἐν τῇ στρατιώτιδι νηῒ ὑπὸ τῶν τετρακοσίων, περιπλεῖν Εὔβοιαν, καὶ ἄγοντες Ἀθηναίων ἐς Λακεδαίμονα ἀπὸ τῶν τετρακοσίων πεμπτοὺς πρέσβεις, Λαισποδίαν καὶ Ἀριστοφῶντα καὶ Μελησίαν· οἳ, ἐπειδὴ ἐγένοντο πλέοντες κατ' Ἄργος, τοὺς μὲν πρέσβεις ξυλλαβόντες τοῖς Ἀργείοις παρέδοσαν, ὡς τῶν οὐχ ἥκιστα καταλυσάντων τὸν δῆμον ὄντας· αὐτοὶ δὲ οὐκέτι ἐς τὰς Ἀθήνας ἀφίκοντο, ἀλλ', ἄγοντες ἐκ τοῦ Ἄργους ἐς τὴν Σάμον τοὺς πρέσβεις, ἀφικνοῦνται ἧπερ εἶχον τριήρει.

87. Τοῦ δ' αὐτοῦ θέρους Τισσαφέρνης, κατὰ τὸν καιρὸν τοῦτον, ἐν ᾧ μάλιστα διά τε τἄλλα καὶ τὴν Ἀλκιβιάδου κάθοδον ἤχθοντο αὐτῷ οἱ Πελοποννήσιοι, ὡς φανερῶς ἤδη ἀττικίζοντι, βουλόμενος, ὡς ἐδόκει δὴ, ἀπολύεσθαι πρὸς αὐτοὺς τὰς διαβολὰς, παρεσκευάζετο

tes, urbem servarent. Aderant Sami eodem tempore Argivorum legati, auxilium Athenienſium exercitui publice promittentes, cum Paralis eo delati. 87. Circa id tempus Tiſſaphernes iter parat ad naves Phoeniſſas, quae

ἢ ἐκεῖνο. Placet lectio codd. Caſſ. Aug. trium Pariſſ. ἢ ἐκεῖνοι.
οἳ τότε ἐτάχθησαν — Εὔβοιαν. Vid. ſupra cap. 74.
πεμπτοὺς πρέσβεις. Plerique codices habent πέμπουσι, quod male defendit Benedictus. — καὶ ἄγοντες pro καὶ ἦγον, transitus a verbo finito ad participium. Vid. ad 2, 68. 4. 40.
ἐς τὴν Σάμον τοὺς πρέσβεις, non Athenienſes legatos, quos Argivis tradiderant, ſed Argivos illos, de quibus paullo ante: παρῆσαν δὲ καὶ Ἀργείων πρέσβεις.

πορεύεσθαι ἐπὶ τὰς Φοινίσσας ναῦς ἐς Ἄσπενδον, καὶ τὸν Λίχαν ξυμπορεύεσθαι ἐκέλευε· τῇ δὲ στρατιᾷ προστάξειν ἔφη Ταμῶν ἑαυτοῦ ὕπαρχον, ὥστε τροφὴν, ἐν ὅσῳ ἂν αὐτὸς ἀπῇ, διδόναι. Λέγεται δὲ οὐ κατὰ ταυτὸ, οὐδὲ ῥᾴδιον εἰδέναι, τίνι γνώμῃ παρῆλθεν ἐς τὴν Ἄσπενδον, καὶ παρελθὼν οὐκ ἦγε τὰς ναῦς. Ὅτι μὲν γὰρ αἱ Φοίνισσαι νῆες ἑπτὰ καὶ τεσσαράκοντα καὶ ἑκατὸν μέχρι Ἀσπένδου ἀφίκοντο, σαφές ἐστι· διότι δὲ οὐκ ἦλθον, πολλαχῇ εἰκάζεται. Οἱ μὲν γὰρ, ἵνα διατρίβῃ ἀπελθὼν (ὥςπερ καὶ διενοήθη,) τὰ τῶν Πελοποννησίων· (τροφὴν γοῦν οὐδὲν βέλτιον, ἀλλὰ καὶ χεῖρον ὁ Ταμὼς, ᾧ προςετάχθη, παρεῖχεν·) οἱ δὲ, ἵνα, τοὺς Φοίνικας προαγαγὼν ἐς τὴν Ἄσπενδον, ἐκχρηματίσαιτο ἀφεὶς· καὶ γὰρ ὡς αὐτοῖς οὐδὲν ἔμελλε χρήσεσθαι· ἄλλοι δ᾽, ὡς καταβοῆς ἕνεκα τῆς ἐς Λακεδαίμονα, τὸ λέγεσθαι, ὡς οὐκ ἀδικεῖ, ἀλλὰ καὶ σαφῶς

Aſpendum usque devenerant; de cuius itineris conſilio, cum naves non adduxerit poſtea, alii aliter coniectant.

87. *ὥςπερ καὶ διενοήθη.* Supra cap. 46. *Τρίβειν οὖν ἐκέλευε πρῶτον ἀμφοτέρους (ὁ Ἀλκιβιάδης), καὶ ἀποτεμόμενον ὡς μέγιστα, ἀπὸ τῶν Ἀθηναίων, ἔπειτ᾽ ἤδη τοὺς Πελοποννησίους ἀπαλλάξαι ἐκ τῆς χώρας. Καὶ διενοεῖτο τὸ πλέον οὕτως ὁ Τισσαφέρνης, ὅσα γε ἀπὸ τῶν ποιουμένων ἦν εἰκάσαι.* — Ad *οἱ μὲν γὰρ* ſubaudi *εἰκάζουσι*, ex *εἰκάζεται*.

ἐκχρηματίσαιτο ἀφεὶς, int. *αὐτοὺς*, i. e. *τοὺς Φοίνικας*. *Ἐκχρηματίζεσθαι* eſt *ἀργύριον πράσσεσθαι.* — Mox *ὥς* cum accentu ſcribendum eſſe, recte cenſet Benedictus. Vid. ad cap. 51. Sed negatione in talibus nihil opus eſt, ubi *καὶ* praeceſſerit. Sive enim negatur ſententia, id enuntiandum eſt per *οὐδὲ ὥς*, ſive affirmatur, per *καὶ ὥς*.

ὡς καταβοῆς ἕνεκα τῆς ἐς Λακεδαιμ. ſubaudiendum eſt *ἀπὸ κοινοῦ*: *παρῆλθεν ἐς τὴν Ἄσπενδον.* Nam etſi Thucydides paullo ſuperius oſtendat, ſe demonſtraturum cauſas, non quidem cur Tiſſaphernes Aſpendum profectus ſit, ſed cur, licet eo abierit, naves inde non advenerint (*διότι οὐκ ἦλθον*): tamen etiam ea affert, quae alii de ipſius conſilio, quod in illo itinere ſuſcipiendo ſecutus ſit, coniecerint. Tum demum ſuam ipſius ſententiam de vero Tiſſaphernis conſilio, cur claſſem non adduxerit, proponit. *Καταβοὴ* pertinet ad ea, quae legimus cap. 85. *Εἰδὼς, τούς τε Μιλησίους πορευομένους ἐπὶ καταβοῇ τῇ αὑτοῦ μάλιστα, καὶ τὸν Ἑρμοκράτην μετ᾽ αὐτῶν.*

τὰ λέγεσθαι, pro *ὥςτε λέγεσθαι.* Frequentius cum par-

οἴχεται ἐπὶ τὰς ναῦς, ἀληθῶς πεπληρωμένας. Ἐμοὶ μέντοι δοκεῖ σαφέστατον εἶναι, τριβῆς ἕνεκα καὶ ἀνακωχῆς τῶν Ἑλληνικῶν τὸ ναυτικὸν οὐκ ἀγαγεῖν· φθορᾶς μέν, ἐν ὅσῳ παρῄει ἐκεῖσε καὶ διέμελλεν· ἀνισώσεως δέ, ὅπως μηδετέρους προσθέμενος ἰσχυροτέρους ποιήσῃ· ἐπεί, εἴγε ἐβουλήθη διαπολεμῆσαι, ἐπιφανές δήπου, οὐκ ἐνδοιαστῶς. Κομίσας γὰρ ἂν Λακεδαιμονίοις τὴν νίκην κατὰ τὸ εἰκὸς ἔδωκεν, οἵ γε καὶ ἐν τῷ παρόντι ἀντιπάλως μᾶλλον ἢ ὑποδεεστέρως τῷ ναυτικῷ ἀνθώρμουν. Καταφωρᾷ δὲ μάλιστα, καὶ ἣν εἶπε πρόφασιν, οὐ κομίσας τὰς ναῦς. ἔφη γάρ, αὐτὰς ἐλάσσους, ἢ ὅσας βασιλεὺς ἔταξε, ξυλλεγῆναι. Ὁ δὲ χάριν ἂν δήπου ἐν

Sed maxime ad Peloponnefiorum vires frangendas, et

ticula μή hic articulus apud infinitivum reperitur. 3, 1. Τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον, τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. Cf. Buttmann. Gr. p. 526.

τριβῆς ἕνεκα. Vid. ad 7, 48 extr. φθορά non eft eiusdem fignificationis, fed confequens eft τῆς τριβῆς, et pendet item ab ἕνεκα. — Mox ad προσθέμενος int. αὐτοῖς, μηδετέροις.

ἐπεί, εἴγε ἐβουλήθη διαπολεμῆσαι — οὐκ ἐνδοιαστῶς. Bredovius infinitivum διαπολεμῆσαι repetit ad ἐπιφανές. Rectius ad οὐκ ἐνδοιαστῶς fubaudias διαπολεμῆσαι ἂν αὐτόν, quemadmodum etiam Portus accepit. Nam hic eft ordo verborum conftituendus: ἐπεὶ ἐπιφανὲς δήπου, εἴγε ἐβουλήθη διαπολεμῆσαι, οὐκ ἐνδοιαστῶς (αὐτὸν διαπολεμῆσαι ἄν).

καταφθορὰ δὲ μάλιστα, καὶ ἣν εἶπε πρόφασιν. Si vera effet haec plurimorum codicum lectio, fubaudiendum effet verbum fubftantivum ἦν. Sed ita fententia laborat. Quomodo enim praetextus dici poteft res atterere? Quidni potius illud ipfum, quod naves non adducebat, οὐ κομίσας τὰς ναῦς? In codd. Cl. Par. C. F. eft κατάφωρος, in Ar. καταφορά, in Caff. Aug. καταφωρᾶν. Inde Benedictus eruit hanc lectionem: κατάφωρα δὲ μάλιστα —, quam interpretatur: maxime autem manifeftum eft (fc. Tiffaphernem retinendo navium auxilio atterere Graecorum vires voluiffe) ex praetextu, quem propter claffem non miffam protulit." Pluralem enim vult effe pro fingulari κατάφωρον. Sed is pluralis minus congruit fequentibus: καὶ ἣν εἶπε πρόφασιν, quae refolvenda funt in καὶ ἡ πρόφασις, ἣν εἶπε. Itaque cum Heilmanno legendum cenfeo καταφωρᾷ. quod non folum fcripturae Caff. et Aug. proxime accedit, fed etiam in vulgatam ΚΑΤΑΦΘΟΡΑ propter fimilitudinem litterarum facile corrumpi potuit. „Arguit autem eum maxime praetextus, quem dicebat, cum claffem non adduxiffet."

ἢ ὅσας βασιλεὺς ἔταξε. Articulum ὁ ante βασιλεύς un-

τούτῳ μείζω ἔτι ἔσχεν, οὔτε ἀναλώσας πολλὰ τῶν βασιλέως, τά τε αὐτὰ ἀπ' ἐλασσόνων πράξας. — Ἐς δ' οὖν τὴν Ἄσπενδον, ἥτινι δὴ γνώμῃ, ὁ Τισσαφέρνης ἀφικνεῖται, καὶ τοῖς Φοίνιξι ξυγγίγνεται· καὶ οἱ Πελοποννήσιοι ἔπεμψαν, ὡς ἐπὶ τὰς ναῦς, κελεύσαντος αὐτοῦ, Φίλιππον, ἄνδρα Λακεδαιμόνιον, δύο τριήρεσιν.

88. Ἀλκιβιάδης δὲ, ἐπειδὴ καὶ τὸν Τισσαφέρνην ᾔσθετο παριόντα ἐπὶ τῆς Ἀσπένδου, ἔπλει καὶ αὐτὸς, λαβὼν τρισκαίδεκα ναῦς, ὑποσχόμενος τοῖς ἐν Σάμῳ ἀσφαλῆ καὶ μεγάλην χάριν. ἢ γὰρ αὐτὸς ἄξειν Ἀθηναίοις τὰς Φοινίσσας ναῦς, ἢ Πελοποννησίοις γε κωλύσειν ἐλθεῖν· εἰδὼς, ὡς εἰκὸς, ἐκ πλείονος τὴν Τισσαφέρνους γνώμην, ὅτι οὐκ ἄξειν ἔμελλε, καὶ βουλόμενος αὐτὸν τοῖς Πελοποννησίοις ἐς τὴν αὐτοῦ καὶ Ἀθηναίων φιλίαν ὡς μάλιστα διαβάλλειν, ὅπως μᾶλλον δι' αὐτὸ σφίσιν ἀναγκάζοιτο προσχωρεῖν. Καὶ ὁ μέν, ἄρας, εὐθὺ τῆς Φασήλιδος καὶ Καύνου ἄνω τὸν πλοῦν ἐποιεῖτο.

Graecos inter ſe exaequandos, videtur et iter feciſſe; et naves domum remiſiſſe. 88. Tiſſaphernem Aſpendum ſequitur Alcibiades, promittens Athenienſibus, aut ipſis Phoeniſſas naves ſe adducturum, aut certe impediturum eſſe, quo minus Peloponneſiis adducerentur.

decim libri ignorant, et plerumque, ſi de rege Perſarum ſermo eſt, omittitur. Vid. 1, 110. 128 quater, 138 ter. cf. 8, 37.

88. *ἐς τὴν αὐτοῦ — φιλίαν.* Ἐς h. l. eſt *de, nomine, propter.* Thucyd. 5, 75. Τὴν ὑπὸ τῶν Ἑλλήνων τότε ἐπιφερομένην αἰτίαν, ἔς τε *μαλακίαν, — καὶ ἐς τὴν ἄλλην ἀβουλίαν* τε καὶ βραδύτητα. Cf. 1, 2. *ἐς τὰ ἄλλα* μὴ ὁμοίως αὐξηθῆναι. Pro *αὐτοῦ* fortaſſe ſcribendum eſt *αὑτοῦ*. Melius certe pronomen ad Alcibiadem, quam ad Tiſſaphernem refertur.

ἄρας εὐθὺ τῆς Φασήλιδος. Vulgo male *εὐθύς*, quod iam Duckerus e codd. plurimis correxerat. *Aſpendus* urbs eſt Pamphyliae, *Phaſelis* Lyciae, *Caunus* Cariae. Alcibiadem igitur, Aſpendum cum tenderet, primo Caunum, deinde Phaſelidem praeternavigaſſe neceſſe eſt. — *ἄνω* Bredovius intelligit *in altum*; ſed hoc Thucydidi eſt διὰ θαλάσσης, vel ἐς τὸ πέλαγος, ut ſupra cap. 80 med., ſive πελάγιαι cap. 101. Neque ἄρας bene iungitur cum εὐθὺ τῆς — Καύνου; quare poſt ἄρας virgula interpungendum, et poſt *Καύνου* comma tollendum eſt. Nam ἄνω eſt *in ſuperiores Aſiae partes.*

89. Οἱ δὲ ἐκ τῆς Σάμου ἀπὸ τῶν τετρακοσίων πεμφθέντες πρέσβεις, ἐπειδὴ, ἀφικόμενοι ἐς τὰς Ἀθήνας, ἀπήγγειλαν τὰ παρὰ τοῦ Ἀλκιβιάδου, ὡς κελεύει τε ἀντέχειν καὶ μηδὲν ἐνδιδόναι τοῖς πολεμίοις, ἐλπίδας τε ὅτι πολλὰς ἔχει κἀκείνοις τὸ στράτευμα διαλλάξειν, καὶ Πελοποννησίων περιέσεσθαι, ἀχθομένους καὶ πρότερον τοὺς πολλοὺς τῶν μετεχόντων τῆς ὀλιγαρχίας, καὶ ἡδέως ἂν ἀπαλλαγέντας πῃ ἀσφαλῶς τοῦ πράγματος, πολλῷ δὴ μᾶλλον ἐπέῤῥωσαν. Καὶ ξυνίσταντό τε ἤδη, καὶ τὰ πράγματα διεμέμφοντο, ἔχοντες ἡγέμόνας τῶν πάνυ στρατηγῶν τῶν ἐν τῇ ὀλιγαρχίᾳ καὶ ἐν ἀρχαῖς ὄντων, οἷον Θηραμένην τε τὸν Ἅγνωνος καὶ Ἀριστοκράτην τὸν Σκελλίου, καὶ ἄλλους, οἳ μετέσχον μὲν ἐν πρώτοις τῶν πραγμάτων, φοβούμενοι δέ,

89. Quadringentorum legati Athenis renuntiant Alcibiadis mandata. Et ſtatim nova factio exiſtit, cuius duces The-

89. *Οἱ δὲ ἐκ τῆς Σάμου — πρέσβεις.* Verba *ἐκ τῆς Σάμου* ne offendant. Non enim Sami erant illi quadringenti, a quibus profecti erant legati, ſed Athenis. Frequens apud Thucydidem loquendi genus. Cap. 86. *Καὶ οἱ ἐκ τῆς Δήλου ἀπὸ τῶν τετρακοσίων πρεσβευταὶ — ἀφικνοῦνται*, i. e. *οἱ ἐν τῇ Δήλῳ ὄντες ἀπὸ τ. τ. π. ἀφικνοῦνται ἐκεῖθεν* ſ. *ἐξ αὐτῆς*. Ita etiam h. l. *ἐκ τῆς Σάμου* cum *ἀφικόμενοι* iungendum atque ita accipiendum eſt, ac ſi latius dixiſſet: *οἱ δὲ ἐν τῇ Σάμῳ τότε ὄντες ἀπὸ τῶν τετρ. π. πρ., ἐπειδὴ, ἀφικόμενοι ἐξ αὐτῆς* (ſ. *ἐκεῖθεν*) *ἐς τὰς Ἀθήνας, ἀπήγγειλαν*. Cf. ad 5, 65. Praepoſitio *ἀπό* apud verbum *πεμφθῆναι* ſolennis eſt. Cap. 8. *Ἄγοντες Ἀθηναίων ἐς Λακεδαίμονα ἀπὸ τῶν τετρακοσίων πεμπτοὺς πρέσβεις.*

τὸν Σκελλίου. Ita pro *Σικελίου* legendum eſſe, iam Hudſonus docuerat. Hoc enim nomen non ſolum apud Demoſthenem legitur: *Ἀριστοκράτης ὁ Σκελλίου*, ſed etiam Aug. clare *Σκελλίου* exhibet; alii codices *Σκελίου* ſimplici *λ*, aut *Σικελλίου*.

οἳ μετέσχον μὲν — — ἐλθεῖν. Hunc locum inter difficillimos Thucydidis referendum eſſe, omnes interpretes conſentiunt. Prae ceteris tamen Scholiaſtae interpretatio digna eſt, quae h. l. apponatur: *Οἱ περὶ τὸν Θηραμένην ἄρχοντες τότε τῆς ὀλιγαρχίας, καὶ μετασχόντες αὐτῆς ἐν πρώτοις, ὀρεγόμενοι δὲ δημοκρατίαν, ἔλεγον, οὐχ, ὅτι ἀπαλλακτικῶς ἔχουσι τῆς ὀλιγαρχίας, (ὅπερ ἦν ἀληθές) ἀλλ' ὅτι φοβοῦνται τοὺς ἐν Σάμῳ, καὶ Ἀλκιβιάδην καὶ τοὺς ἀπιόντας εἰς Λακεδαίμονα πρέσβεις, μήτι οὗτοι κακὸν ἐργάζωνται τὴν πόλιν, ὀλιγαρχίας γενομένης. ἤδη οὖν ἠξίουν τοὺς πεντακισχιλίους καθιστάναι.* Primum hac interpretatione Scholiaſtae, et vero praecedente quo-

ὡς ἔφασαν, τό, τε ἐν τῇ Σάμῳ στράτευμα, καὶ τὸν Ἀλκιβιάδην σπουδῇ πάνυ, τούς τε ἐς τὴν Λακεδαίμονα πρεσβευομένους, ἔπεμπον, μή τι ἄνευ τῶν πλειόνων κακὸν δράσωσι τὴν πόλιν, οὐ τὸ ἀπαλλάξειν τοῦ ἄγαν ἐς ὀλίγους ἐλθεῖν. ἀλλὰ τοὺς πεντακισχιλίους ἔργῳ, καὶ μὴ ὀνόματι, χρῆναι ἀποδεικνύναι, καὶ τὴν πολιτείαν ἰσαιτέραν καθιστάναι. 5 Ἦν δὲ τοῦτο μὲν σχῆμα πολιτικὸν τοῦ λόγου αὐτοῖς· κατ᾽ ἰδίας δὲ φιλοτιμίας οἱ πολλοὶ αὐτῶν τῷ τοιούτῳ προσέκειντο, ἐν ᾧπερ καὶ μάλιστα ὀλιγαρχία ἐκ δημοκρατίας γενομένη ἀπόλλυται. Πάντες γὰρ αὐθημερὸν ἀξιοῦσιν, οὐχ ὅπως ἴσοι, ἀλλὰ καὶ πολὺ πρῶτος αὐτὸς ἕκαστος εἶναι. Ἐκ δὲ δημοκρατίας αἱρέσεως γιγνομένης, ῥᾷον τὰ ἀποβαίνοντα, ὡς οὐκ ἀπὸ τῶν ὁμοίων ἐλασσούμενός τις φέρει. Σα-

ramenes et Ariſtocrates erant, qui quadringentorum quidem fuerant, ſed ex democratia ampliorem ipſos honorem

que aliqua eiusdem nota patet, poſt ἐλθεῖν plenius eſſe interpungendum, quia ἀλλά non pertinet ad praemiſſum οὐ. Deinde participium φοβούμενοι pro verbo finito accipiendum eſt, quem transitum (cuius exempla vide ad 2, 68.) h. l. etiam libentius feram, quia φοβούμενοι δὲ, ὡς ἔφασαν modo dictum eſt pro ἔφασαν δὲ φοβεῖσθαι. Porro verba σπουδῇ πάνυ, quae novem codices Marg. Ar. C. Dan. Caſſ. Aug. Par. G. I. K. et Valla habent poſt Ἀλκιβιάδην, ſi a Thucydide profecta ſunt, ut videtur, ad praecedentia pertinent et cum φοβούμενοι iungenda ſunt, non cum ἔπεμπον. In verbis autem ſequentibus: τούς τε ἐς τὴν Λακεδαίμονα πρεσβευομένους, ἔπεμπον vitium eſſe videtur; neque tamen cum cod. Moſq. et Par. F. ἔπεμπον abiiciendum eſſe cenſeo, ſed τούς mutandum in οὕς, ut eſt in Par. C. et comma ante ἔπεμπον delendum. Scholiaſta interpretatur τοὺς ἀπιόντας εἰς Λακεδαίμονα πρέσβεις. Denique verba οὐ τὸ ἀπαλλάξειν item refero ad φοβούμενοι, et infinitivum futuri exquiſite poſitum puto, ut alibi. Vid. ad 1, 27. Totum igitur locum ſic verto: „Qui in primis quidem rerum participes fuerant, metuebant vero cum maxime, ut aiebant, exercitum, qui Sami erat, et Alcibiadem, et quos Lacedaemonem miſerant legatos, ne ſine multitudinis conſenſu civitatem malo quodam afficerent; non (metuentes) abſiſtere a nimia oligarchia, (ſ. oligarchiam abiicere).“

σχῆμα, i. e. πρόσχημα. Articulum τό addunt poſt μέν Ar. C. Caſſ. Aug. — πολιτικόν, a republica ſumptum.

οὐκ ἀπὸ τῶν ὁμοίων, intell. ἀλλὰ κρεισσόνων, τῶν αἱρεθέντων. — ἐκ δημοκρατίας, i. e. ἐν δημοκρατίᾳ, ad democratiae rationem.

φέστατα δ' αὐτοὺς ἐπῇρε τὰ ἐν τῇ Σάμῳ τοῦ Ἀλκιβιάδου, ἰσχυρὰ ὄντα, καὶ ὅτι αὐτοῖς οὐκ ἐδόκει μόνιμον τὸ τῆς ὀλιγαρχίας ἔσεσθαι. Ἠγωνίζετο οὖν εἷς ἕκαστος ὑπερβολὴν αὐτὸς πρῶτος προστάτης τοῦ δήμου γενέσθαι.

90. Οἱ δὲ τῶν τετρακοσίων μάλιστα ἐναντίοι ὄντες τῷ τοιούτῳ εἴδει, καὶ προεστῶτες, Φρύνιχός τε, ὅς, καὶ στρατηγήσας ἐν τῇ Σάμῳ ποτέ, τῷ Ἀλκιβιάδῃ τότε διηνέχθη, καὶ Ἀρίσταρχος, ἀνὴρ ἐν τοῖς μάλιστα καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ, καὶ Πείσανδρος, καὶ Ἀντιφῶν, καὶ ἄλλοι οἱ δυνατώτατοι, πρότερόν τε, ἐπεὶ τάχιστα κατέστησαν, καὶ ἐπειδὴ τὰ ἐν τῇ Σάμῳ σφῶν ἐς δημοκρατίαν ἀπέστη, πρέσβεις τε ἀπέστελλον σφῶν ἐς τὴν Λακεδαίμονα, καὶ τὴν ὀλιγαρχίαν προὐθυμοῦντο, καὶ τὸ ἐν τῇ Ἠετιωνείᾳ καλουμένῃ τεῖχος ἐποιοῦντο· πολλῷ τε μᾶλλον ἔτι, ἐπειδὴ καὶ οἱ ἐκ τῆς Σάμου πρέσβεις σφῶν ἦλθον, ὁρῶντες τούς τε πολλούς, καὶ σφῶν τοὺς δοκοῦντας πρότερον πιστοὺς εἶναι, μεταβαλλομένους. Καὶ ἀπέστειλαν μὲν Ἀντιφῶντα καὶ Φρύνιχον

dignitatemque percepturos eſſe ſperabant. 90. His maxime ex quadringentis reſiſtebant Phrynichus, Ariſtarchus, Piſander et Antiphon, et alii potentiſſimi, qui magnopere oligarchiae retinendae ſtudebant, et legatos Lacedaemonem mittebant cum eo, ut quavis ratione, modo

ἠγωνίζετο οὖν εἷς ἕκαστος ὑπερβολήν. Vulgo uncis incluſum eſt vocabulum ὑπερβολήν, licet in omnibus codd. praeter Caſſ. et Aug. legatur. Quatuor codices Ar. C. Dan. Reg. exhibent ἐς ὑπερβολήν, in uno Pariſ. eſt ὑπερβολῇ, utrumque e correctione, ut videtur. Nam ὑπερβολήν tam bene dici poteſt pro conſueto magis ὑπερβολῇ, quam ἀρχήν, τέλος et alii eiusdem generis accuſativi.

90. ὅς, καὶ στρατηγήσας ἐν τῇ Σάμῳ ποτέ, τῷ Ἀλκ. Cum vocabulum ποτέ praeter editt. vett. et codd. Gr. Par. C. G. omnes libri agnoſcant, retinendum adhuc videtur. Sed diſtinctio vulgata laborat.

ἐπειδὴ τὰ ἐν τῇ Σάμῳ σφῶν ἐς δημ. ἀπέστη. Male Portus: „Poſtquam paucorum ille dominatus *ab ipſis Sami conſtitutus* in ſtatum popularem rurſus eſt commutatus." Genitivus σφῶν pertinet ad ἀπέστη, „poſtquam exercitus, qui Sami erat, *ab ipſis defecerat, democratia reſtituta.*"

πολλῷ τε μᾶλλον ἔτι ſubaudi ταῦτα ἐποιοῦντο, ex praecedentibus.

καὶ ἄλλους δέκα κατὰ τάχος, φοβούμενοι καὶ τὰ αὐτοῦ καὶ τὰ ἐκ τῆς Σάμου· ἐπιστείλαντες παντὶ τρόπῳ, ὅςτις καὶ ὁπωςοῦν ἀνεκτὸς, ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαιμονίους. Ὠικοδόμουν δὲ ἔτι προθυμότερον τὸ ἐν τῇ Ἠετιωνείᾳ τεῖχος. Ἦν δὲ τοῦ τείχους ἡ γνώμη αὕτη, ὡς ἔφη Θηραμένης, καὶ οἱ μετ' αὐτοῦ, οὐχ, ἵνα τοὺς ἐν Σάμῳ, ἢν βίᾳ ἐπιπλέωσι, μὴ δέξωνται ἐς τὸν Πειραιᾶ, ἀλλ', ἵνα τοὺς πολεμίους μᾶλλον, ὅταν βούλωνται, καὶ ναυσὶ καὶ πεζῷ, δέξωνται. Χηλὴ γάρ ἐστι τοῦ Πειραιῶς ἡ Ἠετιώνεια, καὶ παρ' αὐτὴν εὐθὺς ὁ ἔςπλους ἐστίν. Ἐτειχίζετο οὖν οὕτω ξὺν τῷ πρότερον πρὸς ἤπειρον ὑπάρχοντι τείχει, ὥςτε, καθεζομένων ἐς αὐτὸν ἀνθρώπων ὀλίγων, ἄρχειν τοῦ γε ἔςπλου. Ἐπ' αὐτὸν γὰρ τὸν ἐπὶ τῷ στόματι τοῦ λιμένος, στενοῦ ὄντος, τὸν ἕτερον πύργον ἐτελεύτα τό, τε παλαιὸν τὸ πρὸς ἤπειρον, καὶ τὸ καινὸν τὸ ἐντὸς τοῦ τείχους τειχιζόμενον πρὸς θάλασσαν. Διῳκοδόμησαν δὲ καὶ στοὰν, ἥπερ ἦν μεγίστη, καὶ ἐγγύτατα τούτου εὐθὺς ἐχομένη ἐν τῷ Πειραιεῖ, καὶ ἦρχον αὐτοὶ αὐτῆς, ἐς ἣν καὶ τὸν σῖτον ἠνάγκαζον πάντας τὸν ὑπάρχοντά τε καὶ τὸν ἐπιπλέοντα ἐξαιρεῖσθαι, καὶ ἐντεῦθεν προαιροῦντας πωλεῖν.

tolerabilis eſſet, bellum componeretur. Praeterea etiam caſtellum Eetioneam in Piraeeo aedificabant, quo oſtium

χηλὴ γάρ ἐστι. Vid. notam ad 1, 63.

εὐθὺς ὁ ἔςπλους ἐστίν. Plurimi libri habent ἐπίπλους, quod Benedictus defendit, me quidem non probante. Nam et notio vocabuli ἐπίπλους ab h. l. aliena eſt, et verba ἐς αὐτόν, quae ſequuntur, nemo facile explicabit cum Benedicto, ad ἐπίπλουν relata, *contra navium impetum.*

ἐτελεύτα τό, τε παλαιόν. Vulgo poſt ἐτελεύτα colon eſt, contra loci ſententiam et ſtructurae rationem. Mox etiam poſt τείχους comma ſuſtuli.

ἐγγύτατα τούτου, int. τοῦ ᾠκοδομημένου τείχους, i. e. τῆς Ἠετιωνείας.

ἐξαιρεῖσθαι, Schol. ἐκβάλλειν. Potius *deponere* frumentum, ex urbe elatum et ex navibus advectis exemptum, Ἐξαιρεῖσθαι et alibi eſt *exponere, efferre.* Thucyd. 8, 28 init. Ἐβούλοντο πλεῦσαι ἐπὶ τὰ σκεύη, ἃ ἐξείλοντο. Cf. Duck.

91. *Ταῦτ' οὖν ἐκ πλείονος χρόνου ὁ Θηραμένης διεθρόει, καὶ, ἐπειδὴ οἱ ἐκ τῆς Λακεδαίμονος πρέσβεις οὐδὲν πράξαντες ἀνεχώρησαν τοῖς ξύμπασι ξυμβατικὸν, φάσκων, κινδυνεύσειν τὸ τεῖχος τοῦτο καὶ τὴν πόλιν διαφθεῖραι. Ἅμα γὰρ καὶ ἐκ τῆς Πελοποννήσου ἐτύγχανον, Εὐβοέων ἐπικαλουμένων, κατὰ τὸν αὐτὸν χρόνον τοῦτον, δύο καὶ τεσσαράκοντα νῆες, ὧν ἦσαν καὶ ἐκ Τάραντος καὶ ἐκ Λοκρῶν Ἰταλιώτιδες καὶ Σικελικαί τινες, ὁρμοῦσαι ἤδη ἐπὶ τῆς Λακωνικῆς, καὶ παρασκευαζόμεναι τὸν ἐς τὴν Εὔβοιαν πλοῦν· (ἦρχε δὲ αὐτῶν Ἡγησανδρίδας Ἡγησάνδρου Σπαρτιάτης·) ἃς ἔφη Θηραμένης οὐκ Εὐβοίᾳ μᾶλλον, ἢ τοῖς τειχίζουσι τὴν Ἠετιώνειαν, προσπλεῖν, καὶ, εἰ μή τις ἤδη φυλάξεται, λήσειν διαφθαρέντας. Ἦν δέ τι καὶ τοιοῦτον ἀπὸ τῶν τὴν κατηγορίαν ἐχόντων, καὶ οὐ πάνυ διαβολὴ μόνον*

portus in ipſorum eſſet poteſtate. 91. Hanc caſtelli exſtructionem maxime Theramenes invidioſe calumniabatur, tamquam ad urbis perniciem paratam. Verſabantur enim tum temporis circa Laconicam Peloponneſiorum duae et quadraginta naves, duce Hegeſandrida, in Euboeam iter parantes. Neque prorſus a vero aliena erant haec crimina;

91. *διεθρόει, καὶ — φάσκων*. Transit a verbo finito ad participium. Vide exempla huius ſtructurae ad 2, 68. — *τοῖς ξύμπασι*, univerſo populo Athenienſi, neque ſolis oligarchis. Cum his enim paciſci non recuſabant Lacedaemonii, at populo ſive popularibus factionibus et Athenis et Sami fidem non habebant. Scholiaſtes, quem Portus ſequitur, ad Lacedaemonios refert.

Ἡγησανδρίδας Ἡγησάνδρου. Rectius fortaſſe codd. Ar. C. Caſſ. Aug. hic et infra cap. 94. et 96. exhibent *Ἀγησανδρίδας Ἀγησάνδρου*, cum Spartanum ſit nomen. Sed 5, 52. *Ἡγησιππίδαν τὸν Λακεδαιμόνιον* legitur, et 4, 132. *Ἐπιτελίδαν τὸν Ἡγησάνδρου*, ſine varietate. Quare nihil muto. Ceterum verba *ἦρχε δὲ — Σπαρτιάτης* parentheſeos ſignis ſecluſi, et paullo ante, ubi vulgo eadem ſigna adhibentur, ea ſuſtuli.

λήσειν διαφθαρέντας, non *τοὺς τειχίζοντας τὴν Ἠετιώνειαν* (nam eorum cauſa adveniſſe eos modo dixerat Theramenes), ſed omnes Athenienſes, *τὴν πόλιν*. Paullo ante: *κινδυνεύσειν τὸ τεῖχος τοῦτο καὶ τὴν πόλιν διαφθεῖραι*. Cf. c. 90. *ἵνα τοὺς πολεμίους — δέξωνται*. Neque h. l. *οἱ τειχίζοντες* ſunt operarii, vel milites in opere collocati (cap. 92), ſed ipſi oligarchi, qui rem adminiſtraba[illegible] dem mox intelliguntur i[illegible] *τῶν τὴν κατηγορίαν ἐχόν[illegible]*

τοῦ λόγου. Ἐκεῖνοι γὰρ μάλιστα μὲν ἐβούλοντο ὀλιγαρχούμενοι ἄρχειν καὶ τῶν ξυμμάχων, εἰ δὲ μὴ, τάς τε ναῦς καὶ τὰ τείχη ἔχοντες, αὐτονομεῖσθαι· ἐξειργόμενοι δὲ καὶ τούτου, μὴ οὖν ὑπὸ τοῦ δήμου γε αὖθις γενομένου αὐτοὶ πρὸ τῶν ἄλλων μάλιστα διαφθαρῆναι, ἀλλὰ καὶ τοὺς πολεμίους ἐσαγαγόμενοι, ἄνευ τειχῶν καὶ νεῶν ξυμβῆναι καὶ ὁπωσοῦν τὰ τῆς πόλεως ἔχειν, εἰ τοῖς γε σώμασι σφῶν ἄδεια ἔσται.

92. Διόπερ καὶ τὸ τεῖχος τοῦτο, καὶ πυλίδας ἔχον καὶ ἐσόδους καὶ ἐπεισαγωγὰς τῶν πολεμίων, ἐτείχιζόν τε προθύμως, καὶ φθῆναι ἐβούλοντο ἐξεργασάμενοι. Πρότερον μὲν οὖν κατ' ὀλίγους τε καὶ κρύφα μᾶλλον τὰ λεγόμενα ἦν· ἐπειδὴ δὲ ὁ Φρύνιχος ἥκων ἐκ τῆς ἐς Λακεδαίμονα πρεσβείας, πληγεὶς ὑπ' ἀνδρὸς τῶν περιπόλων τινὸς ἐξ ἐπιβουλῆς ἐν τῇ ἀγορᾷ πληθούσῃ, καὶ οὐ πολὺ ἀπὸ τοῦ βουλευτηρίου ἀπελθὼν, ἀπέθανε παραχρῆμα, καὶ ὁ μὲν πατάξας διέφυγεν, ὁ δὲ ξυνερ-

nam optimates tum temporis quavis lege, dummodo ipſi rempublicam gererent et ſalvi eſſent, cum hoſtibus paciſci volebant. 92. Interim Phrynichus, Lacedaemone reverſus, in foro frequenti ex inſidiis caeſus a peripolo

ἐξειργόμενοι δὲ καὶ τούτου. Addidi καὶ cum Kiſtem., praeeuntibus libris. In ſequentibus autem, ubi nonnullorum librorum auctoritate τέ expungit idem vir doctus, probante Benedicto, emendo potius γέ. Ita enim legit Scholiaſtes, ut apparet ex his Scholii verbis: εἰ δὲ καὶ τούτου διαμάρτοιεν, μὴ ὑπό γε δημοκρατίας αὖθις γενομένης αὐτοὶ διαφθαρῆναι. δῆμον γὰρ νῦν τὴν δημοκρατίαν λέγει.

καὶ ὁπωσοῦν — ἔχειν, int. ὥστε.

92. τὰ λεγόμενα, nempe ὑπὸ τοῖ Θρασυμένους. Initio igitur cautior erat in calumniando, ceteros optimates contra ſe

ἐν τῇ ἀγορᾷ πληθούσῃ cum Bauero non de tempore, ſed de loco intelligo. De tempore dici ſolet περὶ πλήθουσαν ἀγοράν, vel πληθούσης ἀγορᾶς, ut Xenoph. Memor. I, 1, 10. Firmant etiam ſequentia: καὶ οὐ πολὺ ἀπὸ τοῦ βουλευτηρίου (quod foro adiacebat) ἀπελθών. — Ceterum Phrynichi mortem alii aliter narrant. Vid. Waſſius ad h. l.

καὶ ὁ μὲν πατάξας διέφυγεν. Vulgo et ante, et poſt haec verba colis interpungitur. Ego commata feci. Nam haec omnia pendent ab ἐπειδή, et apodoſis incipit a verbis: τότε δὴ οὐδενός.

γὸς, Ἀργεῖος ἄνθρωπος, ληφθεὶς καὶ βασανιζόμενος ὑπὸ τῶν τετρακοσίων, οὐδενὸς ὄνομα κελεύσαντος εἶπεν, οὐδὲ ἄλλο τι, ἢ ὅτι εἰδείη πολλοὺς ἀνθρώπους καὶ ἐς τοῦ περιπολάρχου καὶ ἄλλοσε κατ' οἰκίας ξυνιόντας· τότε δὴ, οὐδενὸς γεγενημένου ἀπ' αὐτοῦ νεωτέρου, καὶ ὁ Θηραμένης ἤδη θρασύτερον καὶ ὁ Ἀριστοκράτης, καὶ ὅσοι ἄλλοι τῶν τετρακοσίων αὐτῶν καὶ τῶν ἔξωθεν ἦσαν ὁμογνώμονες, ᾔεσαν ἐπὶ τὰ πράγματα. Ἅμα γὰρ καὶ ἀπὸ τῆς Λακεδαιμονίας αἱ νῆες ἤδη περιπεπλευκυῖαι, καὶ ὁρμισάμεναι ἐς τὴν Ἐπίδαυρον, τὴν Αἴγιναν καταδεδραμήκεσαν. Καὶ οὐκ ἔφη ὁ Θηραμένης εἰκὸς εἶναι, ἐπ' Εὔβοιαν πλεούσας αὐτὰς, ἐς Αἴγιναν κατακολπίσαι, καὶ πάλιν ἐν Ἐπιδαύρῳ ὁρμεῖν, εἰ μὴ παρακληθεῖσαι ἥκοιεν, ἐφ' οἷσπερ καὶ αὐτὸς ἀεὶ κατηγόρει. Οὐκέτι οὖν οἷόν τε εἶναι ἡσυχάζειν. Τέλος δὲ, πολλῶν καὶ στασιωτικῶν λόγων καὶ ὑποψιῶν προσγενομένων, καὶ ἔργῳ ἤδη ἥπτοντο τῶν πραγμάτων. Οἱ γὰρ ἐν τῷ Πειραιεῖ τὸ τῆς Ἠετιωνείας τεῖχος ὁπλῖται οἰκοδομοῦντες, ἐν οἷς καὶ Ἀριστοκράτης ἦν ταξιαρχῶν, καὶ τὴν ἑαυτοῦ φυλὴν ἔχων, ξυλλαμβάνουσιν Ἀλεξι-

quodam, moritur illico; quae caedes Theramenem excitavit, ut audacius iam rem moliretur. Et in Piraeeo quidem Ariſtocrates cum militibus eius cohortis, cui praeerat, Alexiclem praetorem comprehenſum atque in aedificium quod-

ἐς τοῦ περιπολάρχου, int. *οἰκίαν*. — *ἀπ' αὐτοῦ*, Schol. recte: *μετὰ τὸν φόνον τοῦ Φρυνίχου*.

ἀπὸ τῆς Λακεδαιμονίας. Alibi *Λακωνική* dici ſolet terra Lacedaemoniorum, ut ſupra c. 91. de his ipſis navibus: *ὁρμοῦσαι ἤδη ἐπὶ τῆς Λακωνικῆς*. Nonnumquam etiam *Λακεδαίμων* et *Λακεδαιμονία* in codd. confunduntur, ut cap. 90., ubi pro *ἐς τὴν Λακεδαίμονα* Caſſ. habet *Λακεδαιμονίαν*. Hoc tamen loco nihil mutandum videtur.

καὶ τὴν ἑαυτοῦ φυλακὴν ἔχων. Nullus dubito, quin vera ſit lectio cod. Gr. et Caſſ. in margine *φυλήν*. Nam *ταξίαρχος τάξιν* ſive *φυλήν* ducit. Cf. 6, 98. *φυλὴ μία τῶν ὁπλιτῶν*. Etiam 6, 100.; ubi eſt *φυλὴν μίαν καταλιπόντες φύλακα τοῦ οἰκοδομήματος*, haec permutantur. Nam Gr. ibi habet *φυλακήν*. Scholiaſtes quidem h. l. *τοὺς ἑαυτοῦ φύλακας* exponit; ſed ſcholion recentius videtur, iam corrupta ſcriptura; nam abeſt ab Auguſtano. Denique *φυ-*

κλέα, στρατηγὸν ὄντα ἐκ τῆς ὀλιγαρχίας, καὶ μάλιστα πρὸς τοὺς ἑτέρους τετραμμένον, καὶ ἐς οἰκίαν ἀγαγόντες εἷρξαν. Ξυνεπελάβοντο δὲ ἅμα αὐτοῖς καὶ ἄλλοι, καὶ Ἕρμων, τῶν περιπόλων τὶς τῶν Μουνυχίασι τεταγμένων ἄρχων. Τὸ δὲ μέγιστον, τῶν ὁπλιτῶν τὸ στῖφος ταυτὰ ἐβούλετο. Ὡς δὲ ἐσηγγέλθη τοῖς τετρακοσίοις, (ἔτυχον δὲ ἐν τῷ βουλευτηρίῳ ξυγκαθήμενοι,) εὐθὺς, πλὴν ὅσοις μὴ βουλομένοις ταῦτα ἦν, ἕτοιμοι ἦσαν ἐς τὰ ὅπλα ἰέναι, καὶ τῷ Θηραμένει καὶ τοῖς μετ' αὐτοῦ ἠπείλουν. Ὁ δὲ, ἀπολογούμενος, ἕτοιμος, ἔφη, εἶναι, ξυναφαιρησόμενος ἰέναι ἤδη. Καὶ, παραλαβὼν ἕνα τῶν στρατηγῶν, ὅστις ἦν αὐτῷ ὁμογνώμων, ἐχώρει ἐς τὸν Πειραιᾶ. Ἐβοήθει δὲ καὶ Ἀρίσταρχος, καὶ τῶν ἱππέων νεανίσκοι· ἦν δὲ θόρυβος πολὺς καὶ ἐκπληκτικός. Οἵ τε γὰρ ἐν τῷ ἄστει ἤδη ᾤοντο τόν τε Πειραιᾶ κατειλῆφθαι, καὶ τὸν ξυνειλημμένον τεθνᾶναι· οἵ τε ἐν τῷ Πειραιεῖ, τοὺς ἐκ τοῦ ἄστεως ὅσον οὐκ ἐπὶ σφᾶς παρεῖναι. μόγις δὲ, τῶν τε πρεσβυτέρων διακωλυόντων τοὺς ἐν τῷ ἄστει διαθέοντας, καὶ ἐπὶ τὰ ὅπλα φερομένους, καὶ Θουκυδίδου τοῦ Φαρσαλίου, τοῦ προξένου τῆς πόλεως, παρόντος, καὶ προθύμως ἐμποδὼν

dam coniectum, ibi coercet. Qua ex re, in urbem perlata, cum maximus tumultus ortus esset, atque ad arma quisque concurreret, multis opinantibus, Piraeeum ab hostibus captum esse, aegre seniorum et Thucydidis Pharsalii opera

λακή τινος vel *φύλακές τινος* sunt ii, qui alicuius custodiam habent, et *τὴν ἑαυτοῦ φυλακὴν ἔχων* graece dicatur is, qui sui ipsius curam gerit, sibi cavet; non qui custodibus praeest.

πρὸς τοὺς ἑτέρους. Hoc addit, quia et ipse Theramenes e numero quadringentorum erat; sed is iam ab iis, qui etiamnum oligarchiae studebant, discesserat. Hi autem sunt *οἱ ἕτεροι*, et infra *οἱ ἐναντίοι* vocantur.

Μουνυχίασι. Sic scripsi pro vulgato *Μουνυχιᾶσι*, ut *Ὀλυμπίασι* 5, 18., ad Buttmanni rationem Gr. Gr. p. 374. — Mox *ἄρχων* scribendum esse, non *ἀρχῶν*, iam Duckerus monuit. Et *ταυτὰ ἐβούλετο* pro *ταῦτα ἐβουλεύετο* recte Benedictus defendit. *Ταυτά* iam Bauerus coniecerat.

μὴ βουλομένοις ταῦτα ἦν. Ταῦτα i. e. *τὰ τῆς ὀλιγαρχίας, τὸ ὀλιγαρχεῖσθαι.* — *ξυναφαιρησόμενος*, int. *τὸν Ἀλεξικλέα.*

τε ἑκάστοις γιγνομένου, καὶ ἐπιβοωμένου, μὴ, ἐφεδρευόντων ἐγγὺς τῶν πολεμίων, ἀπολέσαι τὴν πατρίδα, ἡσύχασάν τε, καὶ σφῶν αὐτῶν ἀπέσχοντο. Καὶ ὁ μὲν Θηραμένης, ἐλθὼν ἐς τὸν Πειραιᾶ, (ἦν δὲ καὶ αὐτὸς στρατηγὸς,) ὅσον ἀπὸ βοῆς ἕνεκα, ὠργίζετο τοῖς ὁπλίταις· ὁ δὲ Ἀρίσταρχος καὶ οἱ ἐναντίοι τῷ ἀληθεῖ ἐχαλέπαινον. Οἱ δὲ ὁπλῖται ὁμόσε τε ἐχώρουν οἱ πλεῖστοι τῷ ἔργῳ, καὶ οὐ μετεμέλοντο· καὶ τὸν Θηραμένην ἠρώτων, εἰ δοκεῖ αὐτῷ ἐπ' ἀγαθῷ τὸ τεῖχος οἰκοδομεῖσθαι, καὶ εἰ ἄμεινον εἶναι καθαιρεθέν; Ὁ δὲ, εἴπερ καὶ ἐκείνοις δοκεῖ καθαιρεῖν, καὶ ἑαυτῷ, ἔφη, ξυνδοκεῖν. Καὶ ἐντεῦθεν εὐθὺς ἀναβάντες οἵ τε ὁπλῖται καὶ πολλοὶ τῶν ἐκ τοῦ Πειραιῶς ἀνθρώπων κατέσκαπτον τὸ τείχισμα. Ἦν δὲ πρὸς τὸν ὄχλον ἡ παρά-

retenti ſunt a mutua caede. Et Theramenes quidem ab initio dicis cauſa militibus iraſcebatur, mox autem rogantibus, numquid ipſi videretur boni publici cauſa haec munitio exſtrui, an ſatius eſſet eam everti, reſpondit, ſi

Θουκυδίδου τοῦ Φαρσαλίου. Hic Thucydides non erat Athenienſis, ſed Theſſalus, Pharſalo oriundus, et publicus civitatis Athenienſium hoſpes, qui tum forte Athenis aderat.

ὅσον ἀπὸ βοῆς ἕνεκα. Eadem verba leguntur apud Xenoph. Hiſt. Gr. II, 4, 31. ubi fruſtra de correctione cogitabant veteres interpretes. Schol. cod. Caſſ. et Aug. haec habet: *ἤγουν ἀπὸ βοῆς, καὶ οὐκ ἀληθῶς*, quae vera eſt horum verborum interpretatio, *dicis cauſa*. Benedictus cum Schneidero, ne duae praepoſitiones ſeparatae uni vocabulo iungantur, legendum putat *ἀποβοῆς*, praeeunte quodammodo Bauero, qui in Luciani de Saltat. p. 787. loco pro *ἀπὸ πείρας ἕνεκα* legi poſſe monebat *ἀποπείρας*. At ego quidem vulgatam ſcripturam integram retineo, memor in talibus linguae uſum *κύριον* eſſe. Etiam noſtrates duabus praepoſitionibus utuntur non raro, v. c. von Rechts wegen, von Amts wegen, um des Geſchreies willen. Cf. Hermann. ad Viger. p. 854. Reſpondet in ſequentibus *τῷ ἀληθεῖ*, quod eſt huic contrarium, quodque reſtitui pro inepto illo *τῷ πλήθει*, licet in plerisque libris et omnibus editionibus legatur. At codd. Cl. Marg. Caſſ. in marg. Pariſ. D. Scholiaſtes pro varia lectione et Vallae liber praebent aptiſſimam lectionem *τῷ ἀληθεῖ*, quam etiam Duckero probatam non dubitavi recipere. Quid enim ſibi vult *τῷ πλήθει?* Cum ad *ὁπλίτας* pertineat, Thucydides dicturus fuerit *αὐτοῖς*. — *Οἱ ἐναντίοι* h. l. ſunt, quos ſupra *τοὺς ἑτέρους* vocat.

καὶ εἰ ἄμεινον εἶναι καθαιρεθέν. Subaudi *ἐστὶ* poſt *ἄμεινον*.

κλησις, ὡς χρὴ, ὅςτις τοὺς πεντακιςχιλίους βούλεται ἄρχειν ἀντὶ τῶν τετρακοσίων, ἰέναι ἐπὶ τὸ ἔργον. Ἐπεκρύπτοντο γὰρ ὅμως ἔτι τῶν πεντακιςχιλίων τῷ ὀνόματι, μὴ ἄντικρυς, δῆμον ὅςτις βούλεται ἄρχειν, ὀνομάζειν· φοβούμενοι, μὴ τῷ ὄντι ὦσι, καὶ πρός τινα εἰπών τις τὶ ἀγνοίᾳ σφαλῇ. Καὶ οἱ τετρακόσιοι διὰ τοῦτο οὐκ ἤθελον τοὺς πεντακιςχιλίους οὔτε εἶναι, οὔτε μὴ ὄντας δήλους εἶναι· τὸ μὲν καταστῆσαι μετόχους τοσούτους, ἄντικρυς ἂν δῆμον ἡγούμενοι, τὸ δ' αὖ ἀφανὲς φόβον ἐς ἀλλήλους παρέξειν.

93. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν τετρακόσιοι ἐς τὸ βουλευτήριον ὅμως καὶ τεθορυβημένοι ξυνελέγοντο· οἱ δ' ἐν τῷ Πειραιεῖ ὁπλῖται, τόν τε Ἀλεξικλέα, ὃν ξυνέλαβον, ἀφέντες, καὶ τὸ τείχισμα καθελόντες, ἐς τὸ πρὸς τῇ Μουνυχίᾳ Διονυσιακὸν θέατρον ἐλθόντες,

ipſis evertere placeret, etiam ſibi placere. Atque ita ſtatim omnes illam munitionem demoliebantur, erecti mutua exhortatione, ut, quicunque per quinque millia rem publicam adminiſtrari vellet, ad opus accederet. 93. Poſtridie milites Alexiclem dimittunt, et, caſtello everſo, a theatro Bacchi, quo ad concionem convenerant, in urbem

μὴ ἄντικρυς, δῆμον ὅςτις β. α.. ὀνομ. Comma non poſt, ſed ante *δῆμον* poſui, quia ad *ὀνομάζειν* facilius et aptius intelligitur *αὐτόν*. Nam vocabulum *δῆμον* bis intelligendum eſt. Et ſic etiam Scholiaſtes verborum ordinem conſtituit.

φοβούμενοι, μὴ τῷ ὄντι ὦσι, καὶ — σφαλῇ. Pro *τῷ ὄντι ὦσι* Heilmannus coniecit legendum *τῷ ἀντιῶσι*, ne *in quem forte incurrerent;* praeter neceſſitatem. Subaudi *οἱ πεντακιςχίλιοι*. Recte Stephanus vertit: „Ne revera eſſet illa factio quinque millium, et facta a ſe aliqua mentione popularis imperii per imprudentiam apud aliquem, qui e numero quinque millium eſſet, in periculum adducerentur."

μετόχους τοσούτους, i. e. *πεντακιςχιλίους*. — *δῆμον*, *δημοκρατίαν*. — *τὸ δ' αὖ ἀφανές*, *οἵτινες εἰσὶ τῶν πεντακιςχιλίων*.

93. *ἐς τὸ πρὸς τῇ Μουνυχίᾳ Διονυσιακὸν θέατρον.* Codices Caſſ. Aug. Marg. et unus ex Pariſſ. cum Valla poſt *Διονυσιακόν* addunt *τὸ ἐν τῷ Πειραιεῖ*, quod additamentum ab aliquo asſutum exiſtimo, qui non ignorabat, hoc theatrum ab aliis *τὸ ἐν τῷ Πειραιεῖ* dici. Ita enim Xenoph. Hiſt. Gr. II, 4, 32. *Κατεδίωξαν πρὸς τὸ ἐν Πειραιεῖ θέατρον.* At Lyſias contra Agoratum p. 479. cum Noſtro facit: *Ὅτε ἡ ἐκκλησία Μουνυχίασιν ἐν τῷ θεάτρῳ ἐγένετο.* Altera igitur definitio ſufficiet ad hoc theatrum ab eo, quod in urbe Athenarum erat, discernendum.

καὶ θέμενοι τὰ ὅπλα, ἐξεκκλησίασάν τε, καὶ, δόξαν αὐτοῖς, εὐθὺς ἐχώρουν ἐς τὸ ἄστυ, καὶ ἔθεντο αὐτοῦ ἐν τῷ Ἀνακείῳ τὰ ὅπλα. Ἐλθόντες δὲ ἀπὸ τῶν τετρακοσίων τινὲς ᾑρημένοι πρὸς αὐτοὺς, ἀνὴρ ἀνδρὶ διελέγοντό τε, καὶ ἔπειθον οὓς ἴδοιεν ἀνθρώπους ἐπιεικεῖς, αὐτούς τε ἡσυχάζειν, καὶ τοὺς ἄλλους παρακατέχειν· λέγοντες, τούς τε πεντακισχιλίους ἀποφανεῖν, καὶ ἐκ τούτων ἐν μέρει, ᾗ ἂν τοῖς πεντακισχιλίοις δοκῇ, τοὺς τετρακοσίους ἔσεσθαι· τέως δὲ τὴν πόλιν μηδενὶ τρόπῳ διαφθείρειν, μηδ᾽ εἰς τοὺς πολεμίους ἀνῶσαι. Τὸ δὲ πᾶν πλῆθος τῶν ὁπλιτῶν, ἀπὸ πολλῶν καὶ πρὸς πολλοὺς λόγων γιγνομένων, ἠπιώτερον ἦν ἢ πρότερον, καὶ ἐφοβεῖτο μάλιστα περὶ τοῦ παντὸς πολιτικοῦ. ξυνεχώρησάν τε, ὥστ᾽ ἐς ἡμέραν ῥητὴν ἐκκλησίαν ποιῆσαι ἐν τῷ Διονυσίῳ περὶ ὁμονοίας.

94. Ἐπειδὴ δὲ ἐπῆλθεν ἡ ἐν Διονύσου ἐκκλησία καὶ ὅσον οὐ ξυνειλεγμένοι ἦσαν, ἀγγέλλονται αἱ δύο

pergunt, ibique in Anaceo arma ponunt. Quo cum ad eos accessissent ex quadringentis quidam delecti, familiariter cum iis confabulantes et ad otium eos adhortantes, mitigati horum promissis homines de die certa convenerunt, qua in theatro Bacchi de concordia ageretur. 94. Illa dies cum advenisset, nuntiatur, classem Pelopon-

Neque enim verisimile est, aut duo in tanta vicinia theatra fuisse, aut, si fuissent, alterum τὸ πρὸς τῇ Μουνυχίᾳ ἐν τῷ Πειραιεῖ, alterum simpliciter τὸ ἐν τῷ Πειραιεῖ θέατρον dici potuisse. Cf. Pollux VIII, 133., qui in hoc theatro conciones esse habitas docet. Quamquam Schneiderus ad Xenophontis l. l. nescire se fatetur, an idem sit theatrum illud, de quo Xenophon, ac de quo Lysias et Pollux loquuntur.

καὶ θέμενοι τὰ ὅπλα, Thucyd. 2, 2. θέμενοι ἐς τὴν ἀγορὰν τὰ ὅπλα; et paullo post τίθεσθαι παρ᾽ αὐτοὺς τὰ ὅπλα. Vid. ad 4, 44. — ἐν τῷ Ἀνακείῳ, quod erat templum Dioscurorum, Castoris et Pollucis.

ἐλθόντες δὲ — πρὸς αὐτούς. Comma, quod erat ante πρός, migrare iussi post αὐτούς. Melius enim πρὸς αὐτοὺς ad ἐλθόντες refertur. Monuerat iam Duckerus. — ἐν μέρει, per vices. Cf. cap. 86.

ἐν τῷ Διονυσίῳ, int. τῷ ἐν τῷ ἄστει.

94. ἐπῆλθεν ἡ — ἐκκλησία, i. e. ἡ ἡμέρα ῥητή, ἐν ᾗ ἐκκλησίαν ποιεῖν ἐβούλοντο.

καὶ τεσσαράκοντα νῆες καὶ ὁ Ἡγησανδρίδας ἀπὸ τῶν Μεγάρων τὴν Σαλαμῖνα παραπλεῖν. Καὶ πᾶς τις τῶν ὁπλιτῶν αὐτὸ τοῦτο ἐνόμιζεν εἶναι τὸ πάλαι λεγόμενον ὑπὸ Θηραμένους καὶ τῶν μετ' αὐτοῦ, ὡς ἐς τὸ τείχισμα ἔπλεον αἱ νῆες, καὶ χρησίμως ἐδόκει καταπεπτωκέναι. Ὁ δὲ Ἡγησανδρίδας τάχα μέν τι ἀπὸ ξυγκειμένου λόγου περί τε τὴν Ἐπίδαυρον καὶ ταύτῃ ἀνεστρέφετο. εἰκὸς δὲ αὐτὸν καὶ πρὸς τὸν παρόντα στασιασμὸν τῶν Ἀθηναίων, δι' ἐλπίδος ὡς κἂν ἐς δέον παραγένοιτο, ταύτῃ ἀνέχειν. Οἱ δ' αὖ Ἀθηναῖοι, ὡς ἠγγέλθη αὐτοῖς, εὐθὺς δρόμῳ ἐς τὸν Πειραιᾶ πανδημεὶ ἐχώρουν, ὡς τοῦ ἰδίου πολέμου μείζονος [ἢ] ἀπὸ τῶν πολεμίων οὐχ ἑκὰς, ἀλλὰ πρὸς τῷ λιμένι, ὄντος. Καὶ οἱ μὲν ἐς τὰς παρούσας ναῦς ἐσέβαινον, οἱ δὲ ἄλλας

nesiorum Salaminem praeternavigare. Et milites quidem, Theramenis convicia reputantes, utiliter munitionem destructam existimabant. Hegesandridas autem fortasse ob seditionem illam ibi versabatur. Itaque universi statim in Piraeeum cursu contendentes, alii naves conscendunt,

καὶ πᾶς τις τῶν ὁπλιτῶν. Decem codices inter τῶν ὁπλιτῶν inferunt *πολλῶν*. An a Thucydide scriptum est *τῶν πολλῶν*, et ὁπλιτῶν ab interprete adscriptum? Unde enim *πολλῶν*? Sed, recepto ὁπλιτῶν in textum, facile illud a correctoribus deleri potuit.

τάχα μέν τι ἀπὸ ξυγκ. λόγου. Post μέν τι addunt Caff. Aug. *καί*, quod placet.

καὶ ταύτῃ, περὶ τὴν Σαλαμῖνα. — δι' ἐλπίδος, int. ὄντα. *Ἐς δέον* intelligo προσκαίρως; et *ἀνέχειν* sc. τὰς ναῦς, idem est, quod paullo ante ἀναστρέφεσθαι.

ὡς τοῦ ἰδίου πολέμου — ὄντος. Duckerus, quem Benedictus sequitur, post πολέμου excidisse putat negationem οὐ. Sed ita duae oriuntur difficultates, una, quod articulus τοῦ deest ante ἀπὸ τῶν πολεμίων, altera, quod participium *ὄντος* non referri possit ad τοῦ ἀπὸ τῶν πολεμίων, sed ad τοῦ ἰδίου πολέμου necessario pertineat. Quare inutilis est illa coniectura. Rectius multo Acacius et structuram et sententiam loci perspexit. Vertit enim: „Maius intestino certamine ab hostibus bellum non longe, sed ad portum adesse rati." Coniunctio enim ἢ, quam recte Scholiastes indicat tollendam esse, ab interprete apposita videtur, qui non intelligebat structurae rationem, qua genitivus τοῦ ἰδίου πολέμου pendet a comparativo μείζονος. Quare, cum haec correctio certissima mihi videatur, uncis inclusi ἢ, et interpunctionem ad illam rationem institui.

καθεῖλκον, οἱ δέ τινες ἐπὶ τὰ τείχη καὶ τὸ στόμα τοῦ λιμένος παρεβοήθουν.

95. Αἱ δὲ τῶν Πελοποννησίων νῆες, παραπλεύσασαι καὶ περιβαλοῦσαι Σούνιον, ὁρμίζονται μεταξὺ Θορίκου τε καὶ Πρασίων· ὕστερον δὲ ἀφικνοῦνται ἐς Ὠρωπόν. Ἀθηναῖοι δὲ κατὰ τάχος καὶ ἀξυγκροτήτοις πληρώμασιν ἀναγκασθέντες χρήσασθαι, οἷα πόλεώς τε στασιαζούσης, καὶ περὶ τοῦ μεγίστου βουλόμενοι ἐν τάχει βοηθῆσαι, (Εὔβοια γὰρ αὐτοῖς, ἀποκεκλεισμένης τῆς Ἀττικῆς, πάντα ἦν,) πέμπουσι Θυμόχαριν στρατηγὸν καὶ ναῦς ἐς Ἐρετρίαν. Ὧν ἀφικομένων, ξὺν ταῖς πρότερον ἐν Εὐβοίᾳ οὔσαις, ἓξ καὶ τριάκοντα ἐγένοντο: καὶ εὐθὺς ναυμαχεῖν ἠναγκάζοντο. Ὁ γὰρ Ἡγησανδρίδας, ἀριστοποιησάμενος, ἐκ τοῦ Ὠρωποῦ ἀνήγαγε τὰς ναῦς· διέχει δὲ μάλιστα ὁ Ὠρωπὸς τῆς τῶν Ἐρετριέων πόλεως θαλάσσης μέτρον ἑξήκοντα σταδίους. Ὡς οὖν ἐπέπλει, εὐθὺς ἐπλήρουν καὶ οἱ Ἀθηναῖοι τὰς ναῦς, οἰόμενοι σφίσι παρὰ ταῖς ναυσὶ τοὺς στρατιώτας εἶναι· οἱ δὲ ἔτυχον οὐκ ἐκ τῆς ἀγορᾶς ἄριστον ἐπισιτιζόμενοι, (οὐδὲν γὰρ ἐπωλεῖτο ἀπὸ προνοίας τῶν Ἐρετριέων,) ἀλλ' ἐκ τῶν ἐπ' ἔσχατα τοῦ ἄστεος οἰκιῶν, ὅπως, σχολῇ πληρουμένων, φθά-

alii ad muros et portus ostium succurrunt. 95. Peloponnesii autem, Sunium praetervecti, Oropum veniunt. Itaque ne Euboea ipsis eriperetur, naves, quas poterant, Athenienses complent, et, Thymochari duce, in Euboeam mittunt. Quae coniunctae cum illis, quae ibi erant, Ere-

95. *μεταξὺ Θορίκου τε καὶ Πρασίων.* Oppida vel pagi agri Attici. Sed pro *Πρασίων* fortassis *Πρασιῶν* scribendum est. Apud Pausaniam enim et Stephanum Byzant. nomen scribitur *Πρασιαί.* — *ἀξυγκρότητα πληρώματα*, i. e. nautae non exercitati neque ad opera navalia parati.

ἀποκεκλεισμένης τῆς Ἀττικῆς, Schol. οὐκ εἰσαγομένων δηλονότι κατὰ θάλασσαν τῶν ἐπιτηδείων. — *Εὔβοια πάντα ἦν*, omnem spem in Euboea sola positam habebant.

Θυμόχαριν. Lege *Θυμοχάρην* cum Cass. Aug. Dan. Etiam Xenophon scribit *Θυμοχάρη*.

σχολῇ πληρουμένων, int. τῶν νεῶν.

σειαν οἱ πολέμιοι προσπεσόντες, καὶ ἐξαναγκάσειαν τοὺς Ἀθηναίους οὕτως, ὅπως τύχοιεν, ἀνάγεσθαι. σημεῖον δὲ αὐτοῖς ἐς τὸν Ὠρωπὸν ἐκ τῆς Ἐρετρίας, ὁπότε χρῆν ἀνάγεσθαι, ἤρθη. Διὰ τοιαύτην δὴ παρασκευὴν οἱ Ἀθηναῖοι, ἀναγαγόμενοι καὶ ναυμαχήσαντες ὑπὲρ τοῦ λιμένος τῶν Ἐρετριέων, ὀλίγον μέν τινα χρόνον ὅμως καὶ ἀντέσχον· ἔπειτα ἐς φυγὴν τραπόμενοι, καταδιώκονται ἐς τὴν γῆν· καὶ ὅσοι μὲν αὐτῶν πρὸς τὴν πόλιν τῶν Ἐρετριέων ὡς φιλίαν καταφεύγουσι, χαλεπώτατα ἔπραξαν, φονευόμενοι ὑπ' αὐτῶν· οἱ δὲ ἐς τὸ ἐπιτείχισμα τὸ ἐν τῇ Ἐρετρίᾳ, ὃ εἶχον αὐτοὶ, περιγίγνονται, καὶ ὅσαι ἐς Χαλκίδα ἀφικνοῦνται τῶν νεῶν. Λαβόντες δὲ οἱ Πελοποννήσιοι δύο καὶ εἴκοσι ναῦς τῶν Ἀθηναίων, καὶ ἄνδρας τοὺς μὲν ἀποκτείναντες, τοὺς δὲ ζωγρήσαντες, τροπαῖον ἔστησαν. Καὶ οὐ πολλῷ ὕστερον Εὔβοιάν τε ἅπασαν ἀποστήσαντες πλὴν Ὠρεοῦ, (ταύτην δὲ αὐτοὶ Ἀθηναῖοι εἶχον,) καὶ τἄλλα τὰ περὶ αὐτὴν καθίσταντο.

96. Τοῖς δὲ Ἀθηναίοις ὡς ἦλθε τὰ περὶ τὴν Εὐ-

trienſium dolo et opera, proelio vincuntur, et maximam partem a Peloponneſiis capiuntur. Ex quo tempore tota Euboea, praeter Oreum, Athenienſibus erepta eſt. 96. Quae res maxime auxit eorum pavorem, praeſertim

ὁπότε χρῆν. Sic Ar. Dan. Marg. Reg. Par. I. K. Vulgo χρή. Pro διὰ τοιαύτην δὴ παρασκευὴν nonnulli codices exhibent τοιαύτης — παρασκευῆς, ſolenni confuſione. At pro ἀναγόμενοι malim ἀναγαγόμενοι propter ſequens ναυμαχήσαντες. Nihil in codicibus frequentius hac corruptione. Vid. ad cap. 53. Ceterum comma ponendum eſt ante ἀναγαγόμενοι, ut hoc participium a verbis διὰ τοιαύτην δὴ παρασκευὴν ſeparetur, quae maxime pertinent ad ἐς φυγὴν τραπόμενοι καταδιώκονται.

οἱ δὲ ἐς τὸ ἐπιτείχισμα — περιγίγνονται. Ita concinnius legeris, quam cum vulgatis libris οἱ δέ —. Subaudiendum enim eſt ad οἱ δέ ex praecedentibus καταφεύγουσι, et περιγίγνονται pro apodoſi accipiendum.

Εὔβοιάν τε ἅπασαν ἀποστήσαντες — καὶ τἄλλα τὰ περὶ αὐτὴν καθίσταντο. De hoc transitu a participio ad verbum finitum egimus ad 3, 37. — Poſt καὶ τἄλλα articulum τά, codicibus plurimis iubentibus, recepimus.

96. ὡς ἦλθε τὰ περὶ τὴν

βοιαν γεγενημένα, ἔκπληξις μεγίστη δὴ τῶν πρὶν παρέστη. Οὔτε γὰρ ἡ ἐν τῇ Σικελίᾳ ξυμφορὰ, καίπερ μεγάλη τότε δόξασα εἶναι, οὔτε ἄλλο οὐδέν πω οὕτως ἐφόβησεν. Ὅπου γὰρ, στρατοπέδου τε τοῦ ἐν Σάμῳ ἀφεστηκότος, ἄλλων τε νεῶν οὐκ οὐσῶν, οὐδὲ τῶν ἐσβησομένων, αὐτῶν τε στασιαζόντων, καὶ ἄδηλον ὂν, ὁπότε σφίσιν αὐτοῖς ξυῤῥάξουσι, τοσαύτη ἡ ξυμφορὰ ἐπεγεγένητο, ἐν ᾗ ναῦς τε, καὶ, τὸ μέγιστον, Εὔβοιαν ἀπολωλέκεσαν, ἐξ ἧς πλείω ἢ τῆς Ἀττικῆς ὠφελοῦντο· πῶς οὐκ εἰκότως ἠθύμουν; μάλιστα δ' αὐτοὺς καὶ δι' ἐγγυτάτου ἐθορύβει, εἰ οἱ πολέμιοι τολμήσουσι νενικηκότες, εὐθὺς σφῶν ἐπὶ τὸν Πειραιᾶ ἔρημον ὄντα νεῶν πλεῖν· καὶ ὅσον οὐκ ἤδη ἐνόμιζον αὐτοὺς παρεῖναι· ὅπερ ἂν, εἰ τολμηρότεροι ἦσαν, ῥᾳδίως ἂν ἐποίησαν· καὶ ἢ διέστησαν ἂν ἔτι μᾶλλον τὴν πόλιν ἐφορμοῦντες, ἢ ἐπολιόρκουν μένοντες, καὶ τὰς ἀπ' Ἰωνίας ναῦς ἠνα-

cum verendum eſſet, ne hoſtes victores ſubito in Piraeeum, navibus vacuum, contenderent, quod, ſi audaciores

Εὔβ. γεγενημένα. Schol. ἤγουν, τὸ μήνυμα τῶν ἐν τῇ Εὐβοίᾳ γενομένων.

αὐτῶν τε στασιαζόντων. Rectius fortaſſis praeſtantiſſimi codices Caſſ. et Aug. τέ omittunt, ut his et ſequentibus verbis cauſa enuntietur, quare naves conſcendere recuſaturi ſint milites. — ξυῤῥάξουσι ſuſpectum videbatur Waſſio, Stephano et Duckero. Sed quod Waſſius coniicit legendum ξυῤῥάψουσι, inutile eſt, quia deeſt caſus obiecti. Vulgata ſcriptura ferri poteſt, metaphora ſumpta a magnis fluviis in unum concurrentibus, de quibus verbum ξυῤῥηγνύναι dici, lexica docent.

πλεῖν. Codd. Marg. Ar. C. Dan. Reg. et tres alii Pariſſ. ἀποπλεῖν, quod praeferunt Benedictus et Bredovius. Nobis placeret, ſi eſſet ἐπιπλεῖν.

καὶ ἢ διέστησαν — τὴν πόλιν ἐφορμοῦντες, ἢ ἐπολιόρκουν μένοντες. Non potui reiicere hanc decem codicum lectionem, cuius loco vulgo editur: καὶ διέστησαν ἂν ἔτι μᾶλλον, τὴν πόλιν εἰ ἐπολιόρκουν μένοντες. Etiam cod. Marg. hanc lectionem confirmat, praeterquam quod vocabulum ἐφορμοῦντες omittit; Clar. cum aliis nonnullis certe praebet ἢ pro εἰ ante ἐπολιόρκουν. Et Valla eandem lectionem ſequitur. Saepe in his extremis libris integra verba exciderunt, atque illa ſcriptura et per ſe tam elegans eſt, et tot librorum diverſorum conſenſu firmata, ut non videatur ab interpretibus vel correctoribus conficta. Nam ſi pauci tantum codices eiusdem familiae ἐφορμοῦντες ferrent, pro interpretamento participii μένοντες

γκασαν ἂν, καίπερ πολεμίας οὔσας τῇ ὀλιγαρχίᾳ, τοῖς σφετέροις οἰκείοις καὶ τῇ ξυμπάσῃ πόλει βοηθῆσαι. καὶ ἐν τούτῳ Ἑλλήσποντός τε ἂν ἦν αὐτοῖς, καὶ Ἰωνία καὶ αἱ νῆσοι καὶ τὰ μέχρι Εὐβοίας, καὶ, ὡς εἰπεῖν, ἡ Ἀθηναίων ἀρχὴ πᾶσα. Ἀλλ' οὐκ ἐν τούτῳ μόνῳ Λακεδαιμόνιοι Ἀθηναίοις πάντων δὴ ξυμφορώτατοι προςπολεμῆσαι ἐγένοντο, ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς. Διάφοροι γὰρ πλεῖστον ὄντες τὸν τρόπον, οἱ μὲν, ὀξεῖς, οἱ δὲ, βραδεῖς· καὶ οἱ μὲν, ἐπιχειρηταὶ, οἱ δὲ, ἄτολμοι, ἄλλως τε καὶ ναυτικῇ ἀρχῇ πλεῖστα ὠφέλουν. Ἔδειξαν δὲ οἱ Συρακούσιοι. μάλιστα γὰρ ὁμοιότροποι γενόμενοι, ἄριστα καὶ προςεπολέμησαν.

97. Ἐπὶ δ' οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι ναῦς τε εἴκοσιν ὅμως ἐπλήρουν, καὶ ἐκκλησίαν ξυνέλεγον, μίαν μὲν εὐθὺς τότε πρῶτον ἐς τὴν Πνύκα καλουμένην, οὗπερ καὶ ἄλλοτε εἰώθεσαν· ἐν ᾗπερ καὶ τοὺς τετρακοσίους καταπαύσαντες, τοῖς πεντακιςχιλίοις ἐψη-

fuiſſent, non ſine magno emolumento feciſſent. 97. Nunciata vero clade, Athenienſes, quamvis metu turbati, tamen viginti naves inſtruunt, et concionem cogunt in Pnycem; in qua, quadringentis amotis, rerum adminiſtrationem quinque millibus tradere decernunt. Convocantur

habere poſſes. Sed corruptio videtur orta a primo vocabulo ἤ, quod cum excidiſſet ante διέστησαν propter ſoni ſimilitudinem, alterum ἤ aut a correctoribus, qui εἰ praecedenti διέστησάν ἄν aptius putarent, factum eſt, aut caſu et proclivi errore. Ἐφορμοῦντες autem, illis ita deperditis, facile omitti potuit, ſi forte duo participia uni verbo ἐπολιόρκουν reddebantur, diſtinctione ante τὴν πόλιν poſita.
καὶ ἐν τούτῳ, int. χρόνῳ. — τὰς ἀπ' Ἰωνίας ναῦς, i. e. τὰς ἐν Ἰωνίᾳ οὔσας ἀπ' αὐτῆς — βοηθῆσαι. Vid. ſupra ad cap. 89. οἱ μὲν ὀξεῖς — ἄτολμοι. Prolixius haec de moribus utriusque populi perſequitur ſupra 1, 70. 84. — ναυτικῇ ἀρχῇ, eo, quod Lacedaemonii praeerant Peloponneſiorum ſocietati etiam in re navali, qua minus excellebant.

97. ἐς τὴν Πνύκα. Locus erat iuxta arcem, ubi plerumque conciones habebantur Athenienſium, maxime αἱ κυρίαι ἐκκλησίαι. Vid. Ariſtoph. Acharn. 19. 20. De ſcriptura Πνύκα vel Πύκνα videatur Duckerus ad h. l. qui non improbat ſcripturam Πύκνα, etſi alteram tenet. Buttmannus Gr. p. 105. cum veteribus Grammaticis illam prioribus Atticis vindicat.

φίσαντο τὰ πράγματα παραδοῦναι· εἶναι δὲ αὐτῶν, ὁπόσοι καὶ ὅπλα παρέχονται· καὶ μισθὸν μηδένα φέρειν μηδεμιᾷ ἀρχῇ· εἰ δὲ μὴ, ἐπάρατον ἐποιήσαντο. Ἐγίγνοντο δὲ καὶ ἄλλαι ὕστερον πυκναὶ ἐκκλησίαι, ἀφ᾽ ὧν καὶ νομοθέτας καὶ τἄλλα ἐψηφίσαντο ἐς τὴν πολιτείαν. Καὶ οὐχ ἥκιστα δὴ τὸν πρῶτον χρόνον ἐπί γε ἐμοῦ Ἀθηναῖοι φαίνονται εὖ πολιτεύσαντες. Μετρία γὰρ ἥ τε ἐς τοὺς ὀλίγους καὶ τοὺς πολλοὺς ξύγκρασις ἐγένετο· καὶ ἐκ πονηρῶν τῶν πραγμάτων γενομένων τοῦτο πρῶτον ἀνήνεγκε τὴν πόλιν. Ἐψηφίσαντο δὲ καὶ Ἀλκιβιάδην καὶ ἄλλους μετ᾽ αὐτοῦ κατιέναι. Καὶ παρά τε ἐκεῖνον καὶ παρὰ τὸ ἐν Σάμῳ στρατόπεδον πέμψαντες, διεκελεύοντο ἀνθάπτεσθαι τῶν πραγμάτων.

98. Ἐν δὲ τῇ μεταβολῇ ταύτῃ εὐθὺς οἱ μὲν περὶ τὸν Πείσανδρον καὶ Ἀλεξικλέα, καὶ ὅσοι ἦσαν τῆς ὀλιγαρχίας μάλιστα, ὑπεξέρχονται ἐς τὴν Δεκέλειαν. Ἀρίσταρχος δὲ αὐτῶν μόνος (ἔτυχε γὰρ καὶ στρατηγῶν) λαβὼν κατὰ τάχος τοξότας τινὰς τοὺς βαρβαρωτάτους, ἐχώρει πρὸς τὴν Οἰνόην. Ἦν δὲ Ἀθηναίων

poſtea etiam aliae conciones, et poſt mala hoc ſaltem bonum reipublicae contigit, quod melius et moderatius gereretur. Etiam Alcibiadis aliorumque reſtitutionem decreverunt. 98. Piſander vero et Alexicles cum iis, qui maxime oligarchiae ſtudebant, in hac rerum converſione Deceliam ſe ſubduxerunt; et Ariſtarchus, cum aliquot ſagittariis barbaris ad Oenoen profectus, quae tum

ὁπόσοι καὶ ὅπλα παρέχονται. Καὶ ex novem codd. cum Benedicto recepi. *Ὅπλα παρέχεσθαι* Portus interpretatur *στρατεύεσθαι*, quia milites *ἐν τῇ τῶν ὅπλων ἐξετάσει* arma ducibus *δεικνύναι* ſolerent. Simpliciorem fortaſſe rationem illius ſignificationis attuleris, ſi ſubaudias *τῇ πόλει*. Nam qui arma rei publicae cauſa ſuscipiunt, rei publicae arma praebere recte dici poſſunt.

νομοθέτας. De Nomothetarum munere docte diſputat Wolfius in Prolegg. ad Demoſth. Leptin. p. CXXXV ſq.

ἐπί γε ἐμοῦ mea quidem memoria.

98. *τοξότας τινὰς τοὺς βαρβαρ.* Τοξόται Athenis dicebantur publici illi miniſtri, qui lexiarchis et aliis magiſtratibus praeſto erant. Cf. Pollux VIII, 104. Erant fere barbari, unde et Scythae dicti.

ἐν μεθορίοις τῆς Βοιωτίας τεῖχος· ἐπολιόρκουν δ' αὐτὸ διὰ ξυμφορὰν σφίσιν ἐκ τῆς Οἰνόης γενομένην ἀνδρῶν ἐκ Δεκελείας ἀναχωρούντων διαφθορᾶς οἱ Κορίνθιοι, ἐθελοντηδὸν προσκαλέσαντες τοὺς Βοιωτούς. Κοινολογησάμενος οὖν αὐτοῖς ὁ Ἀρίσταρχος, ἀπατᾷ τοὺς ἐν τῇ Οἰνόῃ, λέγων ὡς καὶ οἱ ἐν τῇ πόλει τἄλλα ξυμβεβήκασι Λακεδαιμονίοις, κἀκείνους δεῖ Βοιωτοῖς τὸ χωρίον παραδοῦναι· ἐπὶ τούτοις γὰρ ξυμβεβάσθαι. Οἱ δὲ, πιστεύσαντες ὡς ἀνδρὶ στρατηγῷ, καὶ οὐκ εἰδότες οὐδὲν, διὰ τὸ πολιορκεῖσθαι, ὑπόσπονδοι ἐξέρχονται. Τούτῳ μὲν τῷ τρόπῳ Οἰνόην τε ληφθεῖσαν Βοιωτοὶ κατέλαβον, καὶ ἡ ἐν ταῖς Ἀθήναις ὀλιγαρχία καὶ στάσις ἐπαύσατο.

99. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ οἱ ἐν τῇ Μιλήτῳ Πελοποννήσιοι, ὡς τροφήν τε οὐδεὶς ἐδίδου τῶν ὑπὸ Τισσαφέρνους τότε, ὅτε ἐπὶ

a Boeotis obſidebatur, Athenienſium praeſidium mendacio decepit, ut urbem Boeotis traderent. 99. Sub idem tempus Mindarus, a Tiſſapherne deluſus, atque a Phar-

διὰ ξυμφορὰν σφίσι — διαφθορᾶς. Schol. Ξυμφορὰ δὲ τοῖς Κορινθίοις ἐγένετο περὶ τὴν Οἰνόην, διαφθαρέντων ἀνδρῶν αὐτοῖς ὑπὸ Ἀθηναίων ἐκ τῆς Οἰνόης ἐξελθόντων. Patet Scholiaſtam γενομένην legiſſe, quam lectionem, a Waſſio reiectam, vulgatae praetuli et in textum reſtitui, licet Kiſtemakerus γιγνομένην tueatur. Sed non eſt veriſimile, Corinthios, ſemel ab Athenienſibus clade affectos, tam incantos fuiſſe, ut in easdem *ſaepe etiam poſthac* inſidias inciderint. — ἐθελοντηδὸν minus apte ad ἐπολιόρκουν refert Kiſtemakerus, cum pertineat ad προσκαλέσαντες, vel ut cum Caſſ. et Aug. potius ſcribendum videtur, προσπαρακαλέσαντες, „*voluntarios ex Boeotis advocabant in auxilium.*“ Genitivus διαφθορᾶς pendet a verbis διὰ ξυμφοράν, neque de mutatione in διὰ φθορᾶς, quam Benedictus protulit, cogitandum eſt.

ξυμβεβάσθαι. Sic Reg. Caſſ. Aug., ut ſupra 1, 123. παραβεβάσθαι. Cf. Buttmann. Gr. p. 316. Vulgo mendoſe παραβιβάσθαι.

99. οἱ ἐν τῇ Μιλήτῳ Πελοποννήσιοι. Nominativus οἱ Πελοποννήσιοι videtur non habere verbum, quo referatur. Sed Scriptor poſt multa interiecta in eius locum ſubſtituit alium nominativum ὁ Μίνδαρος, quare ante οὕτω δή minus plene interpungendum eſt.

τὴν Ἄσπενδον παρήει, προσταχθέντων, καὶ αἱ Φοίνισσαι νῆες οὐδὲ ὁ Τισσαφέρνης τέως που ἧκον, ὅ, τε Φίλιππος ὁ ξυμπεμφθεὶς αὐτῷ, ἐπεστάλκει Μινδάρῳ τῷ ναυάρχῳ, καὶ ἄλλος Ἱπποκράτης ἀνὴρ Σπαρτιάτης, καὶ ὢν ἐν Φασήλιδι, ὅτι οὔτε αἱ νῆες παρέσοιντο, πάντα τε ἀδικοῖντο ὑπὸ Τισσαφέρνους, Φαρνάβαζός τε ἐπεκαλεῖτο αὐτοὺς, καὶ ἦν πρόθυμος, κομίσας τὰς ναῦς, καὶ αὐτὸς τὰς λοιπὰς ἔτι πόλεις τῆς ἑαυτοῦ ἀρχῆς ἀποστῆσαι τῶν Ἀθηναίων, ὥςπερ καὶ ὁ Τισσαφέρνης, ἐλπίζων πλέον τι σχήσειν ἀπ' αὐτοῦ· οὕτω δὴ ὁ Μίνδαρος πολλῷ κόσμῳ, καὶ ἀπὸ παραγγέλματος αἰφνιδίου, ὅπως λάθοι τοὺς ἐν Σάμῳ, ἄρας ἀπὸ τῆς Μιλήτου ναυσὶ τρισὶ καὶ ἑβδομήκοντα, ἔπλει ἐπὶ τὸν Ἑλλήςποντον. (πρότερον δὲ ἐν τῷ αὐτῷ θέρει τῷδε ἑκκαίδεκα ἐς αὐτὸν νῆες ἐπέπλευσαν, καὶ τῆς Χερσονήσου τὶ μέρος κατέδραμον.) Χειμασθεὶς δὲ ἀνέμῳ καὶ ἀναγκασθεὶς καταίρει ἐς τὴν Ἴκαρον, καὶ μείνας ἐν αὐτῇ ὑπὸ ἀπλοίας πέντε ἢ ἓξ ἡμέρας, ἀφικνεῖται ἐς τὴν Χίον.

100. Ὁ δὲ Θράσυλλος ἐκ τῆς Σάμου, ἐπειδὴ ἐπύθετο αὐτὸν ἐκ τῆς Μιλήτου ἀπηρκότα, ἔπλει καὶ αὐτὸς ναυσὶ πέντε καὶ πεντήκοντα, ἐπειγόμενος, μὴ φθάσῃ

nabazo accitus, cum tota claſſe Mileto ſolvit et Chium pervenit. 100. Quem cum ſenſiſſet Thraſyllus Mileto ſolviſſe, ipſe quoque confeſtim Samo ſolvit, et, diſpoſitis

καὶ αἱ Φοίνισσαι νῆες οὐδὲ ὁ Τισσαφέρνης τέως που ἧκον. Duckerus duobus Luciani locis docuit, ſimplicem negationem h. l. vim duplicis habere, pro: καὶ οὔτε (non οὐδέ) αἱ Φοίνισσαι νῆες, οὔτε ὁ Τισσαφέρνης τέως που ἧκον. Similiter Latini, maxime poetae. Τέως, codicibus plerisque iubentibus, cum aliis recepi; item ἧκον, quod facile in aliis libris in ἧκων mutari potuit, quia perperam ad ὁ Τισσαφέρνης referebatur.

ὁ ξυμπεμφθεὶς αὐτῷ. Vid. cap. 87 extr.

κομίσας τὰς ναῦς, nempe τὰς τῶν Πελοποννησίων. — ἀπ' αὐτοῦ, ἀπὸ τοῦ ἀποστῆσαι τὰς πόλεις.

πρότερον δὲ — κατέδραμον. Haec verba in parentheſi ponenda eſſe, tamquam ἐν παρόδῳ dicta, patet. Supra nullam huius expeditionis mentionem iniicit.

100. ἔπλει καὶ αὐτὸς ναυσὶ πέντε καὶ π. Vocabulum

ἐς τὸν Ἑλλήσποντον ἐσπλεύσας. Αἰσθόμενος δὲ, ὅτι ἐν τῇ Χίῳ εἴη, καὶ νομίσας αὐτὸν καθέξειν αὐτοῦ, σκοποὺς μὲν κατεστήσατο καὶ ἐν τῇ Λέσβῳ καὶ ἐν τῇ ἀντιπέρας ἠπείρῳ, εἰ ἄρα ποι κινοῖντο αἱ νῆες, ὅπως μὴ λάθοιεν· αὐτὸς δὲ ἐς τὴν Μήθυμναν παραπλεύσας, ἄλφιτά τε καὶ τὰ ἄλλα ἐπιτήδεια παρασκευάζειν ἐκέλευσεν, ὡς, ἢν πλείων χρόνος γίγνηται, ἐκ τῆς Λέσβου τοὺς ἐπίπλους τῇ Χίῳ ποιησόμενος. Ἅμα δὲ, (Ἐρεσὸς γὰρ τῆς Λέσβου ἀφειστήκει) ἐβούλετο ἐπ' αὐτὴν πλεύσας, εἰ δύναιτο, ἐξελεῖν. Μηθυμναίων γὰρ οὐχ οἱ ἀδυνατώτατοι φυγάδες, διακομίσαντες ἔκ τε τῆς Κύμης προσεταιριστοὺς ὁπλίτας ὡς πεντήκοντα, καὶ τῶν ἐκ τῆς ἠπείρου μισθωσάμενοι, ξύμπασιν ὡς τριακοσίοις, Ἀναξάρχου Θηβαίου κατὰ τὸ ξυγγενὲς ἡγουμένου, προσέβαλον πρώτῃ Μηθύμνῃ· καὶ ἀποκρουσθέντες τῆς πείρας διὰ τοὺς ἐκ τῆς Μιτυλήνης Ἀθηναίων φρουροὺς προελθόντας, αὖθις ἔξω μάχῃ ἀπωσθέντες, καὶ διὰ τοῦ ὄρους κομισθέντες, ἀφιστᾶσι τὴν Ἐρεσόν. Πλεύσας οὖν ὁ Θράσυλλος ἐπ' αὐτὴν πάσαις ταῖς ναυσὶ διενοεῖτο προσβολὴν ποιεῖσθαι. Προαφι-

in Lefbo et in oppofita continente fpeculatoribus, ne naves Peloponnefiorum ipfum laterent, Methymnam na-

εὐθύς cod. Marg. addit ante *ναυσί*, Ar. C. Caff. Aug. tres Pariff. poft hoc fubftantivum, *αὐτὸς ναυσὶν εὐθὺς πέντε καὶ πεντήκ.* Quod non temere fpernendum videtur. Nam faepe vocabulum *εὐθύς* excidit. Cf. ad cap. 72. Ipfe locus, quem in his codd. occupat inter *ναυσίν* et numeros, oftendit, primum poft *αὐτός* propter foni fimilitudinem excidiffe, deinde alieno loco adfcriptum fuiffe.

αὐτὸν καθέξειν αὐτοῦ, fubaudi *ἑαυτόν*, i. e. *ἐνδιατρίψειν*, ut recte explicat Schol. cod. Caff. et Aug.

ἔκ τε τῆς Κύμης. Octo codices *τέ* inferunt poft *ἐκ*, quod, cum bene refpondeat fequenti *καί*, recepi. — *κατὰ τὸ ξυγγενές*, Boeoti enim Aeoles erant, ficuti Lefbii, quorum erant Methymnaei.

ἐπ' αὐτὴν πάσαις ταῖς ναυσί. Sic codd. Marg. Ar. C. Reg. Caff. Aug. Quatuor Parifienfes exhibent *πᾶσι ταῖς ναυσί*, quae fcriptura noftram lectionem confirmat. Vulgo abeft *πάσαις ταῖς*, fine quo *πλεύσας ναυσί* pleonafmum fapere, recte indicat Bredovius. *Προαφιγμένος*, int. *τοῦ Θρασύλλου.* Nam *ὑστερήσας*, quod ad eundem Thrafybulum pertinet, referendum eft ad Erefi defectionem.

γμένος δὲ αὐτόσε ἦν καὶ Θρασύβουλος πέντε ναυσὶν ἐκ τῆς Σάμου, ὅτε ἠγγέλθη αὐτοῖς ἡ τῶν φυγάδων αὕτη διάβασις· ὑστερήσας δὲ, ἐπὶ τὴν Ἐρεσὸν ἐλθὼν, ἐφώρμει. Προςεγένοντο δὲ καὶ ἐκ τοῦ Ἑλληςπόντου τινὲς δύο νῆες ἐπ' οἴκου ἀνακομιζόμεναι· καὶ αἱ πᾶσαι νῆες παρῆσαν ἑπτὰ καὶ ἑξήκοντα, ἀφ' ὧν τῷ στρατεύματι παρεσκευάζοντο, ὡς κατὰ κράτος μηχαναῖς τε καὶ παντὶ τρόπῳ, ἢν δύνωνται, αἱρήσοντες τὴν Ἐρεσόν.

101. Ὁ δὲ Μίνδαρος ἐν τούτῳ, καὶ αἱ ἐκ τῆς Χίου τῶν Πελοποννησίων νῆες, ἐπισιτισάμεναι δυσὶν ἡμέραις, καὶ λαβόντες παρὰ τῶν Χίων τρεῖς τεσσαρακοστὰς ἕκαστος Χίας, τῇ τρίτῃ διὰ ταχέων ἀπαίρουσιν ἐκ τῆς Χίου οὐ πελάγιαι, ἵνα μὴ περιτύχωσι ταῖς ἐν τῇ Ἐρεσῷ ναυσὶν, ἀλλὰ ἐν ἀριστερᾷ τὴν Λέσβον ἔχοντες ἔπλεον ἐπὶ τὴν ἤπειρον. Καὶ προςβαλόντες τῆς Φωκαΐδος ἐς τὸν ἐν Κρατερείοις λιμένα, καὶ ἀριστοποιησάμενοι, παραπλεύσαντες τὴν Κύμαιαν δειπνοποιοῦνται ἐν Ἀργι-

vigat, inde Erefum, quae defecerat, ut eam reciperet una cum Thrafybulo, qui eo iam praevenerat. 101. Interim Mindarus Chio folvit, et inter continentem Afiae

τινὲς δύο. Supra 8, 21. ἐς διακοσίους τινάς. — ἑπτὰ καὶ ἑξήκοντα. Ergo praeter Thrafylli quinque et quinquaginta, et Thrafybuli quinque naves, duasque illas, quae ex Hellesponto advenerant (cf. c. 80 extr.), alias quinque necesse eft acceffiffe, quae fortaffe ad ipfam Lefbum in ftatione fuerant.

101. δυσὶν ἡμέραις, non *in duos dies*, fed *per biduum* interpretandum eft. Sequitur enim τῇ τρίτῃ. De plurali δυσὶν ἡμέραις vide ad 5, 84.

τρεῖς τεσσαρακοστὰς — Χίας. Schol. ἀρχαῖα νομίσματα ἐπιχώρια. Portus ita dictum putabat hunc nummum, quod effet quadragefima pars nummi alicuius nobis ignoti.

ἐκ τῆς Χίου πελάγιαι. Si πελάγιαι, quomodo ἐν ἀριστερᾷ τὴν Λέσβον ἔχοντες, et ἔπλεον ἐπὶ τὴν ἤπειρον? Et quomodo ita vitare poterant Athenienfium ad Erefum naves? Haec prorfus contraria funt, neque ullo modo inter fe conciliari poffunt, nifi ante πελάγιαι inferueris οὐ, quod facile abforberi potuit ab ultima praecedentis nominis Χίου. Huic lectioni οὐ πελάγιαι non folum tota navigationis praeter Afiae continentis littora defcriptio apprime convenit, fed etiam fequens ἀλλὰ refpondet. Quare non dubito, illam coniecturam recipiendam effe. — Pro Κρατερείοις videtur cum codd. legendum Καρτερείοις, vel Καρτερίοις.

δειπνοποιοῦνται ἐν Ἀρ-

νούσαις τῆς ἠπείρου, ἐν τῷ ἀντιπέρας τῆς Μιτυλήνης. Ἐντεῦθεν δὲ ἔτι πολλῆς νυκτὸς παραπλεύσαντες, καὶ ἀφικόμενοι τῆς ἠπείρου ἐς Ἁρματοῦντα καταντικρὺ Μηθύμνης, ἀριστοποιησάμενοι, διὰ ταχέων παραπλεύσαντες Λέκτον καὶ Λάρισσαν καὶ Ἁμαξιτὸν, καὶ τὰ ταύτῃ χωρία, ἀφικνοῦνται ἐς Ῥοίτιον ἤδη τοῦ Ἑλλησπόντου, πρωΐτερον μέσων νυκτῶν. εἰσὶ δ' αἳ τῶν νεῶν καὶ ἐς Σίγειον κατῆραν, καὶ ἄλλοσε τῶν ταύτῃ χωρίων.

102. Οἱ δὲ Ἀθηναῖοι ἐν τῇ Σηστῷ δυοῖν δεούσαις εἴκοσι ναυσὶν ὄντες, ὡς αὐτοῖς οἵ τε φρυκτωροὶ ἐσήμαινον, καὶ ᾐσθάνοντο τὰ πυρὰ ἐξαίφνης πολλὰ ἐν τῇ πολεμίᾳ φανέντα, ἔγνωσαν, ὅτι ἐσπλέουσιν οἱ Πελοποννήσιοι. Καὶ τῆς αὐτῆς ταύτης νυκτὸς, ὡς εἶχον τάχους, ὑπομίξαντες τῇ Χερσονήσῳ, παρέπλεον ἐπ' Ἐλαιοῦντος, βουλόμενοι ἐκπλεῦσαι ἐς τὴν εὐρυχωρίαν τὰς τῶν πολεμίων ναῦς. Καὶ τὰς μὲν ἐν Ἀβύδῳ ἑκκαίδεκα ναῦς ἔλαθον, προειρημένης φυλακῆς τῷ φιλίῳ ἐπίπλῳ, ὅπως αὐτῶν ἀνακῶς ἕξουσιν, ἢν ἐκπλέωσι· τὰς

et Lesbum, ne in Atheniensium naves, quae ad Eresum erant, incideret, in Hellespontum pervenit. 102. Cuius adventum cum Athenienses, qui Sesti erant, animadvertissent, statim antevertere conantur Elaeuntem fugiendo;

γινούσαις. Plurimi codices exhibent περαιοῦνται pro δειπνοποιοῦνται, quod utcunque defendit Benedictus, duobus Thucydidis locis allatis, ubi ἐν pro ἐς adhibeatur, 4, 42. 7, 17. Sed δειπνοποιοῦνται ex interpretamento ortum esse, ut ille vir doctus suspicatur, mihi persuadere non possum. Non enim video, cuius hic verbi interpretamentum sit. Verba ἀριστοποιεῖσθαι et δειπνοποιεῖσθαι apud Nostrum diei horas indicant; neque ullum h. l. verbum aptius fuerit, quam δειπνοποιοῦνται. Quare eo potius inclino, ut περαιοῦνται librariorum errore natum putem. — τῆς ἠπείρου, i. e. prope continentem sitis. Tres enim parvae insulae erant. Stephanus Byz. hoc nomen, sicut codd. Cass. Aug., scribit Ἀργεννοῦσαι, alii Ἀργινοῦσσαι.

Λέκτον promontorium erat Idae. Vid. Hom. Il. ξ, 284. Herodot. 9, 114.

102. οἵ τε φρυκτωροὶ ἐσήμαινον. Vid. ad 3, 22 extr. — ὑπομίξαντες, Schol. cod. Aug. ἐγγίσαντες exponit, i. e. oram Chersonesi legentes. *Elaeus* oppidum est in Chersoneso, ad Hellesponti aditum. — ἐκπλεῦσαι h. l. est ἐκπλεύσαντες διαφυγεῖν, ut recte accipit Scholiastes.

προειρημένης φυλακῆς τῷ φιλίῳ ἐπίπλῳ. Schol.

δὲ μετὰ τοῦ Μινδάρου ἅμα τῇ ἕῳ κατιδόντες, τὴν δίωξιν εὐθὺς ποιούμενοι, οὐ φθάνουσι πᾶσαι, ἀλλ' αἱ μὲν πλείους ἐπὶ τῆς ἠπείρου καὶ Λήμνου διέφυγον, τέσσαρες δὲ τῶν νεῶν αἱ ὕσταται πλέουσαι καταλαμβάνονται παρὰ τὸν Ἐλαιοῦντα. καὶ μίαν μέν, ἐποκείλασαν κατὰ τὸ ἱερὸν τοῦ Πρωτεσιλάου, αὐτοῖς ἀνδράσι λαμβάνουσι, δύο δὲ ἑτέρας ἄνευ τῶν ἀνδρῶν· τὴν δὲ μίαν πρὸς τῇ Ἴμβρῳ κενὴν κατακαίουσι.

ſed quatuor tamen naves hoſtes inſequentes capiunt; ce•

interpretatur: *καίτοι προειρημένου τοῖς ἐν τῇ Ἀβύδῳ ὑπὸ τοῦ φιλίου ἐπίπλου (τουτέστιν, ὑπὸ τοῦ στόλου τοῦ μετὰ Μινδάρου), ὅπως παραφυλάττωσι τοὺς Ἀθηναίους, ὑπὲρ τοῦ μὴ λαθεῖν αὐτοὺς ἐκπλεύσαντας. — Ἀνακῶς* eſt *ἐπιμελῶς, προνοητικῶς, φυλακτικῶς.*

τὴν δίωξιν εὐθὺς ποιούμενοι. Utrum *δίωξιν ποιεῖσθαι* h. l. ſit *perſequi*, an *fugere*, interpretes disſentiunt. Duckerus cum Valla et Acacio, Bredovic adſtipulante, poſteriorem ſignificationem probat; Stephanus contra et cum Porto Benedictus priorem unice veram exiſtimant. Sed ita in vulgata ſcriptura non poteſt acquieſci. Nam ſi verba *τὴν δίωξιν εὐθὺς ποιούμενοι* ad Peloponneſios referenda ſint, legendum fuerit aut *ποιουμένων*, aut *ποιουμένας*, contra libros omnes. Quod Benedictus conjicit *ποιούμενον*, ut ad Mindarum referatur, non placet. Mihi potius videtur legendum *ποιουμένων*, quod aut propter praecedentem nominativum *κατιδόντες* in nominativum *ποιούμενοι* mutatum ſit, aut poſtquam in *ποιούμενον* fuerit corruptum. Exempla alterius notionis a Bredovio ex Aeſchylo allata aliena ſunt, quia certe proſae ſcriptores numquam ita loquuntur, neque ſine ambiguitate poſſunt loqui. Et vero aliud eſt *διώκειν* (intellecto *ὁδόν*) *properare, curſum accelerare*, aliud *δίωξιν ποιεῖσθαι*, ſc. *τινός*, i. e. perſequi aliquem. Etiam cap. ſeq. verba *ἐν τῇ διώξει* aperte huo ſpectant. Quod *κατιδόντες* ſequitur *πᾶσαι*, Thucydidis lectorem, praeſertim in fine operis, non offendit. Vide ad 1, 2 extr.

ἐπὶ τῆς ἠπείρου. Haud dubie cum cod. Clar. legendum *ἐπὶ τῆς Ἴμβρου.* Hanc lectionem non ſolum ea defendunt, quae cap. 103 extr. leguntur, ſed etiam locorum ratio, et perſecutionis directio poſcere videtur. Nam ad Imbrum usque naves perſecuti Peloponneſii, ultimam ex quatuor illis, quas ceperunt, ibi asſecuti ſunt et incenderunt. Vid. hoc cap. extr. Vulgata lectio etiam obſcuri quid habet. Operae enim pretium eſt ſcire, quam continentem indicare voluerit Thucydides, Aſiaene, ubi hoſtes erant, an Thraciae, quae paullo erat remotior, ſi Cherſoneſum excipias. Cod. Clar. lectionem etiam Duckerus et Bredovius veram eſſe exiſtimabant.

καὶ μίαν μέν, int. ex illis quatuor, quas a Peloponneſiis captas modo narravit. — *τὸ ἱερὸν τοῦ Πρωτεσιλάου*, quod Elaeunte in Cherſoneſo erat.

103. Μετὰ δὲ τοῦτο, ταῖς τε ἐξ Ἀβύδου ξυμμιγείσαις καὶ ταῖς ἄλλαις ξυμπάσαις ἓξ καὶ ὀγδοήκοντα πολιορκήσαντες Ἐλαιοῦντα ταύτην τὴν ἡμέραν, ὡς οὐ προσεχώρει, ἀπέπλευσαν ἐς Ἄβυδον. Οἱ δὲ Ἀθηναῖοι, ψευσθέντες τῶν σκοπῶν, καὶ οὐκ ἂν οἰόμενοι σφᾶς λαθεῖν τὸν παράπλουν τῶν πολεμίων νεῶν, ἀλλὰ καθ' ἡσυχίαν τειχομαχοῦντες, ὡς ᾔσθοντο, εὐθὺς ἀπολιπόντες τὴν Ἐρεσὸν, κατὰ τάχος ἐβοήθουν ἐς τὸν Ἑλλήσποντον· καὶ δύο τε ναῦς τῶν Πελοποννησίων αἱροῦσιν, αἳ πρὸς τὸ πέλαγος τότε θρασύτερον ἐν τῇ διώξει ἀπάρασαι περιέπεσον αὐτοῖς, καὶ ἡμέρᾳ ὕστερον ἀφικόμενοι, ὁρμίζονται ἐς τὸν Ἐλαιοῦντα, καὶ τὰς ἐκ τῆς Ἴμβρου ὅσαι κατέφυγον κομίζονται· καὶ ἐς τὴν ναυμαχίαν πέντε ἡμέρας παρεσκευάζοντο.

104. Μετὰ δὲ τοῦτο ἐναυμάχουν τρόπῳ τοιῷδε. Οἱ Ἀθηναῖοι παρέπλεον ἐπὶ κέρως ταξάμενοι παρ' αὐτὴν τὴν γῆν, ἐπὶ τῆς Σηστοῦ· οἱ δὲ Πελοποννήσιοι, αἰσθόμενοι ἐκ τῆς Ἀβύδου, ἀντανῆγον καὶ αὐτοί. Καὶ ὡς ἔγνωσαν ναυμαχήσοντες, παρέτεινον τὸ κέρας, οἱ μὲν Ἀθηναῖοι παρὰ τὴν Χερσόνησον, ἀρξάμενοι ἀπὸ Ἰδάκου μέχρι Ἀῤῥιανῶν, νῆες ἓξ καὶ ἑβδομήκοντα·

teras, Imbrum et Lefbum delatas, 103. Athenienfes, cum tota claffe ab Erefo in Hellespontum profecti, inde recipiunt. 104. Sequitur pugna navalis, inter Seftum,

Herodot. 9, 116. Ἐν Ἐλαιοῦντι τῆς Χερσανήσου ἐστὶ Πρωτεσίλεω τάφος τε καὶ τέμενος περὶ αὐτὸν, ἔνθα ἔην χρήματα πολλά.

103. *ψευσθέντες τῶν σκοπῶν*, non *διά*, ut vult Schol. cod. Aug., fed *περί*. — Mox poft *περιέπεσον αὐτοῖς* minus plene interpungendum erat propter praecedens *τέ*.

104. *ἐπὶ κέρως ταξάμενοι*. Vid. 2, 90. 6, 32.

νῆες ἓξ καὶ ὀγδοήκοντα. Hunc numerum corruptum effe, ficuti fequentem *ὀκτὼ καὶ ἑξήκοντα*, certiffimis argumentis evincit Acacius. Nam non folum Diodorus 13, 40. Athenienfes multitudine inferiores, fcientia peritiaque fuperiores evafiffe, fcribit; et cap. 39. Peloponnefiis 88 naves adfuiffe narrat; fed etiam ipfe Thucydides in fine capitis tradit, minorem fuiffe Athenienfium navium numerum. Deinde fupra cap. 103. Peloponnefiorum claffem 86 navium fuiffe demonftraverat. Et cod. Cl., qui ex praeftantiffimis eft, h. l.

οἱ δ᾽ αὖ Πελοποννήσιοι, ἀπὸ Ἀβύδου μέχρι Δαρδάνου, νῆες ὀκτὼ καὶ ὀγδοήκοντα. κέρας δὲ τοῖς μὲν Πελοποννησίοις εἶχον, τὸ μὲν δεξιὸν Συρακούσιοι, τὸ δ᾽ ἕτερον αὐτὸς Μίνδαρος, καὶ τῶν νεῶν αἱ ἄριστα πλέουσαι· Ἀθηναίοις δὲ τὸ μὲν ἀριστερὸν Θράσυλλος, ὁ δὲ Θρασύβουλος τὸ δεξιόν· οἱ δὲ ἄλλοι στρατηγοὶ ὡς ἕκαστοι διετάξαντο. Ἐπειγομένων δὲ τῶν Πελοποννησίων πρότερόν τε ξυμμίξαι, καὶ κατὰ μὲν τὸ δεξιὸν τῶν Ἀθηναίων ὑπερσχόντες αὐτοὶ τῷ εὐωνύμῳ, ἀποκλεῖσαι τοῦ ἔξω αὐτοὺς ἔκπλου, εἰ δύναιντο, κατὰ δὲ τὸ μέσον, ἐξῶσαι πρὸς τὴν γῆν, οὐχ ἑκὰς οὖσαν, οἱ Ἀθηναῖοι γνόντες, ᾗ μὲν ἐβούλοντο ἀποφράξασθαι αὐτοὺς οἱ ἐναντίοι, ἀντεπεξῆγον, καὶ περιεγίγνοντο τῷ πλῷ. Τὸ δ᾽ εὐώνυμον αὐτοῖς ὑπερεβεβλήκει ἤδη τὴν ἄκραν, ἣ Κυνὸς σῆμα καλεῖται. τῷ δὲ μέσῳ, τοιούτου ξυμβαίνοντος, ἀσθενέσι καὶ διεσπασμέναις ταῖς ναυσὶ καθίσταντο, ἄλλως τε καὶ ἐλάσσοσι χρώμενοι τὸ πλῆθος, καὶ τοῦ χωρίου τοῦ περὶ τὸ Κυνὸς σῆμα ὀξεῖαν καὶ γω-

ubi Athenienſes, et Abydum, ubi Peloponneſii aciem in-

exhibet *ὀκτὼ καὶ ὀγδοήκοντα* pro *ἑξήκοντα*, ſicut paullo ante Caſſ. et Aug. et ex emendatione Cl. *νῆες ἓξ καὶ ἑβδομήκοντα*. Cum igitur Thraſylli claſſis navium fuiſſet 55., quibus accedebant apud Ereſum quinque Thraſybuli et duae ex Helleſponto (cap. 100), ibidemque aliis quinque, in Leſbo fortaſſe verſatis, numerus totius Athenienſium claſſis ad 67 auctus eſſe memoretur; nihil veriſimilius eſt ſcriptura codd. Caſſ. Aug. et marg. Cl. *ἓξ καὶ ἑβδομήκοντα*. Nam ad has 67 naves accedebant etiam earum, quae Imbrum et Lemnum confugerant (cap. 102.), quatuordecim fere, ut ſumma omnium fuerit 81. Quarum ſi quinque ad Leſbi cuſtodiam relictas fuiſſe coniicias, reſtant ferme 76. Altero loco lectionem *ὀκτὼ καὶ ὀγδοήκοντα* praeter Cl. etiam Graevianus firmat, in quo lacuna quidem eſt a primo illo numero ad hunc usque, ſed qui habet *νῆες ἓξ καὶ ὀγδοήκοντα. κέρας δέ*. Aberravit igitur librarius ab altero numero ad alterum. Quare non veremur, ne audaciores videamur, ſi certa librorum veſtigia ſecuti, tandem veriorem h. l. lectionem reponamus: *οἱ μὲν Ἀθηναῖοι — νῆες ἓξ καὶ ἑβδομήκοντα· οἱ δ᾽ αὖ Πελοποννήσιοι — νῆες ὀκτὼ καὶ ὀγδοήκοντα.* — Particula *ὡς* ante *ἀπὸ Ἀβύδου* codicum plurimorum auctoritate eiicienda eſt, neque ſenſum habet commodum.

Κυνὸς σῆμα. Apud Diodorum 13, 40. is locus *Ἑκάβης μνημεῖον* vocatur.

νιώδη τὴν περιβολὴν ἔχοντος, ὥστε τὰ ἐν τῷ ἐπέκεινα αὐτοῦ γιγνόμενα μὴ κάτοπτα εἶναι.

105. Προσπεσόντες οὖν οἱ Πελοποννήσιοι κατὰ τὸ μέσον, ἐξέωσάν τε ἐς τὸ ξηρὸν τὰς ναῦς τῶν Ἀθηναίων, καὶ ἐς τὴν γῆν ἐπεξέβησαν, τῷ ἔργῳ πολὺ περισχόντες. Ἀμῦναι δὲ τῷ μέσῳ οὔθ' οἱ περὶ τὸν Θρασύβουλον ἀπὸ τοῦ δεξιοῦ ὑπὸ πλήθους τῶν ἐπικειμένων νεῶν ἐδύναντο, οὔθ' οἱ περὶ τὸν Θράσυλλον ἀπὸ τοῦ εὐωνύμου. Ἀφανές τε γὰρ ἦν διὰ τὴν ἄκραν τὸ Κυνὸς σῆμα, καὶ ἅμα οἱ Συρακούσιοι, καὶ οἱ ἄλλοι οὐκ ἐλάσσους ἐπιτεταγμένοι, εἶργον αὐτούς· πρὶν οἱ Πελοποννήσιοι διὰ τὸ κρατήσαντες ἀδεῶς ἄλλοι ἄλλην ναῦν διώκειν, ἤρξαντο μέρει τινὶ σφῶν ἀτακτότεροι γενέσθαι. Γνόντες δὲ οἱ περὶ τὸν Θρασύβουλον, τὰς ἐπὶ σφίσι ναῦς ἐπεχούσας, παυσάμενοι τῆς ἐπεξαγωγῆς ἤδη τοῦ κέρως, καὶ ἐπαναστρέψαντες, εὐθὺς ἠμύνοντό τε καὶ τρέπουσι· καὶ τὰς κατὰ τὸ νικῆσαν τῶν Πελοποννησίων μέρος ὑπολαβόντες πεπλανημένας, ἔκοπτόν τε, καὶ ἐς φόβον τὰς πλείους ἀμαχεὶ καθίστασαν. Οἵ τε Συρακούσιοι ἐτύγχανον καὶ αὐτοὶ ἤδη τοῖς περὶ τὸν Θράσυλλον ἐνδεδωκότες, καὶ μᾶλλον ἐς φυγὴν ὁρμήσαντες, ἐπειδὴ καὶ τοὺς ἄλλους ἑώρων.

ſtruxerant, commiſſa. 105. Qua cum primum Peloponneſii, navium numero ſuperiores qui eſſent, mediam Athenienſium aciem preſſiſſent, deinde Athenienſes Thraſybuli conſilio et virtute egregiam victoriam reportarunt.

105. *γνόντες δὲ οἱ περὶ τὸν Θρασύβ.* Cum Porto interpretes omnes *ἐπεχούσας* intelligunt *curſum inhibentes*, ſubaudientes *ἑαυτάς*. Sed Scholiaſtas verum vidiſſe puto, qui exponunt *ἐφεδρευούσας, ἐπικειμένας*. Nam cum ſequatur *ἠμύνοντο*, nemo facile videat, quo commoti hoc fecerint, hoſtibus curſum inhibentibus. Haud dubie autem eos commovit, ut nunc ipſum impetum facerent, quod hoſtes ordines turbare animadvertiſſent. Una virgula, nomini *Θρασύβουλον* appoſita, optimum e loco ſenſum expedies. Ad *γνόντες* enim *τοῦτο*, i. e. *τοὺς Πελοποννησίους ἀτακτοτέρους γενέσθαι*, ſubaudiendum eſt.

κατὰ τὸ νικῆσαν, i. e. *κατὰ τὸ μέσον*.

106. Γεγενημένης δὲ τῆς τροπῆς, καὶ καταφυγόντων τῶν Πελοποννησίων πρὸς τὸν Πύδιον μάλιστα ποταμὸν τὸ πρῶτον, ὕστερον δὲ ἐς Ἄβυδον, ναῦς μὲν ὀλίγας ἔλαβον οἱ Ἀθηναῖοι (στενὸς γὰρ ὢν ὁ Ἑλλήσποντος βραχείας τὰς ἀποφυγὰς τοῖς ἐναντίοις παρεῖχε) τὴν μέντοι νίκην ταύτην τῆς ναυμαχίας ἐπικαιροτάτην δὴ ἔσχον. Φοβούμενοι γὰρ τέως τὸ τῶν Πελοποννησίων ναυτικὸν, διά τε τὰ κατὰ βραχὺ σφάλματα, καὶ διὰ τὴν ἐν τῇ Σικελίᾳ ξυμφορὰν, ἀπηλλάγησαν τοῦ σφᾶς τε αὐτοὺς καταμέμφεσθαι, καὶ τοὺς πολεμίους ἔτι ἀξίους τοῦ ἐς τὰ ναυτικὰ νομίζειν. Ναῦς μέντοι τῶν ἐναντίων λαμβάνουσι, Χίας μὲν ὀκτὼ, Κορινθίας δὲ πέντε, Ἀμπρακιώτιδας δὲ δύο, καὶ Βοιωτίας δύο, Λευκαδίων δὲ καὶ Λακεδαιμονίων καὶ Συρακουσίων καὶ Πελληναίων, μίαν ἑκάστων· αὐτοὶ δὲ πεντεκαίδεκα ναῦς ἀπολλύασι. Στήσαντες δὲ τροπαῖον ἐπὶ τῇ ἄκρᾳ, οὗ τὸ Κυνὸς σῆμα, καὶ τὰ ναυάγια προσαγαγόμενοι, καὶ τοὺς νεκροὺς τοῖς ἐναντίοις ὑποσπόνδους ἀποδόντες, ἀπέστειλαν καὶ ἐς τὰς Ἀθήνας τριήρη ἄγγελον τῆς νίκης. Οἱ δὲ, ἀφικομένης τῆς νεὼς, καὶ ἀνέλπιστον τὴν εὐτυχίαν ἀκούσαντες, ἐπί τε ταῖς περὶ τὴν Εὔβοιαν ἄρτι ξυμφοραῖς καὶ κατὰ τὴν στάσιν γεγενημέναις πολὺ ἐπεῤῥώσθησαν, καὶ ἐνόμισαν σφίσιν ἔτι δυνατὰ εἶναι τὰ πράγματα, ἢν προθύμως ἀντιλαμβάνωνται, περιγενέσθαι.

106. Non inſignis quidem ea victoria fuit navium captarum numero, propter brevius fugae ſpatium; ſed ma-

106. *τὸν Πύδιον.* Hunc fluvium ignorant veteres Geographi. Circa *Κυνὸς σῆμα* eſt *Ῥόδιος ποταμός*, ut ex Homero obſervavit Strabo.

ἔτι ἀξίους τοῦ ἐς τὰ ναυτικά. Elegans certe eſt, etſi non prorſus neceſſaria Duckeri coniectura *ἀξίους του* (*τινός*) *ἐς τ. ν.* Kiſtemakerus autem errat, qui *τοῦ* ad *νομίζειν* pertinere putat, ut paullo ante *τοῦ καταμέμφεσθαι.* Recte Benedictus *τὸ ἐς τὰ ναυτικά* artem nauticam indicare poſſe putat.

καὶ τοὺς νεκρούς. Articulum *τούς* etſi plerique omnes Mſſ. omittunt, tamen equidem ſervo tamquam neceſſarium. — *προσαγαγόμενοι*, *ἀνελκύσαντες.*

οἱ δέ, int. *οἱ Ἀθηναῖοι*, ex *Ἀθήνας.* Paullo poſt *σφίσι τὰ*

107. *Μετὰ δὲ τὴν ναυμαχίαν ἡμέρᾳ τετάρτῃ ὑπὸ σπουδῆς ἐπισκευάσαντες τὰς ναῦς οἱ ἐν Σηστῷ Ἀθηναῖοι, ἐπέπλεον ἐπὶ Κύζικον ἀφεστηκυῖαν· καὶ κατιδόντες κατὰ Ἁρπάγιον καὶ Πρίαπον τὰς ἀπὸ τοῦ Βυζαντίου ὀκτὼ ναῦς ὁρμούσας, ἐπιπλεύσαντες, καὶ μάχῃ κρατήσαντες τοὺς ἐν τῇ γῇ, ἔλαβον τὰς ναῦς. Ἀφικόμενοι δὲ καὶ ἐπὶ τὴν Κύζικον ἀτείχιστον οὖσαν, προςηγάγοντο πάλιν, καὶ χρήματα ἀνέπραξαν. Ἔπλευσαν δὲ ἐν τούτῳ καὶ οἱ Πελοποννήσιοι ἐκ τῆς Ἀβύδου ἐπὶ τὸν Ἐλαιοῦντα, καὶ τῶν σφετέρων νεῶν τῶν αἰχμαλώτων, ὅσαι ἦσαν ὑγιεῖς, ἐκομίσαντο, (τὰς δὲ ἄλλας Ἐλαιούσιοι κατέκαυσαν), καὶ ἐς τὴν Εὔβοιαν ἀπέπεμψαν Ἱπποκράτην καὶ Ἐπικλέα κομιοῦντας τὰς ἐκεῖθεν ναῦς.*

108. *Κατέπλευσε δὲ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτους καὶ ὁ Ἀλκιβιάδης ταῖς τρισὶ καὶ δέκα ναυσὶν ἀπὸ τῆς Καύνου καὶ Φασήλιδος ἐς τὴν Σάμον, ἀγγέλλων, ὅτι τάς τε Φοινίσσας ναῦς ἀποτρέψειε Πελοποννησίοις*

gnopere erexit Athenienſium animos. 107. Quatriduo poſt adverſus Cyzicum, quae defecerat, navigantes, circa Byzantium octo Peloponneſiorum naves, ibi conſtitutas, capiunt, et a Cyzico recepta pecunias exigunt. Peloponneſii autem in Euboeam mittunt Hippocratem et Epiclem, qui inde naves adducant. 108. Per idem tem-

πράγματα περιγενέσθαι pro *σφῶν τὰ πράγματα περ.*

107. *κατὰ Ἁρπάγιον.* Athenaeus XIII. p. 601. *Χαλκιδεῖς παρ' αὐτοῖς φασὶν ἁρπασθῆναι τὸν Γανυμήδην, καὶ τόπον δεικνύντες Ἁρπάγιον καλοῦσιν, ἐν ᾧ καὶ Μυρσίναι διάφοροι πεφύκασιν.* Cf. Strabo lib. XIII.

τὰς δὲ ἄλλας — κατέκαυσαν. Recte haec in parentheſi ponit Portus in verſione. — Paullo ante *τῶν*, ſicuti cap. 104. *τέ* ante *ξυμμῖξαι*, quae voculae ſine cauſa uncis incluſae ſunt, cum ne codicum quidem teſtimoniis damnentur, a ſuſpicione liberandum eſſe duximus.

κομιοῦντας τὰς ἐκεῖθεν ναῦς, i. e. *κομιοῦντας ἐκεῖθεν τὰς ναῦς τὰς ἐκεῖ οὔσας.* Erant autem duo et quadraginta, duce Hegeſandrida. Vid. cap. 94. 95.

108. *ἀγγέλλων, ὅτι — ἀποτρέψειε.* Displicet h. l. optativus poſt *ὅτι*. Cum in ſequentibus pro *πεποιήκοι* boni codices, quod linguae leges poſtulant, *πεποιήκει* (cf. ad cap. 85) praebeant, aut, omiſſo *ὅτι*, legendum eſſe videtur *ἀποτρέψαι*, (ſaepe enim Thucydides

ὥστε μὴ ἐλθεῖν, καὶ τὸν Τισσαφέρνην ὅτι φίλον πεποιήκοι μᾶλλον Ἀθηναίοις ἢ πρότερον. Καὶ πληρώσας ναῦς ἐννέα πρὸς αἷς εἶχεν, Ἁλικαρνασσέας τε πολλὰ χρήματα ἐξέπραξε, καὶ Κῶν ἐτείχιζε. Ταῦτα δὲ πράξας, ἄρχοντας ἐν τῇ Κῷ καταστήσας, πρὸς τὸ μετόπωρον ἤδη ἐς τὴν Σάμον κατέπλευσε. Καὶ ὁ Τισσαφέρνης ἀπὸ τῆς Ἀσπένδου, ὡς ἐπύθετο τὰς τῶν Πελοποννησίων ναῦς ἐκ τῆς Μιλήτου ἐς τὸν Ἑλλήσποντον πεπλευκυίας, ἀναζεύξας ἤλαυνεν ἐπὶ τῆς Ἰωνίας. Ὄντων δὲ τῶν Πελοποννησίων ἐν τῷ Ἑλλησπόντῳ, Ἀντάνδριοι (εἰσὶ δὲ Αἰολεῖς), παρακομισάμενοι ἐκ τῆς Ἀβύδου πεζῇ διὰ τῆς Ἴδης τοῦ ὄρους ὁπλίτας, ἐσηγάγοντο ἐς τὴν πόλιν, ὑπὸ Ἀρσάκου τοῦ Πέρσου Τισσαφέρνους ὑπάρχου ἀδικούμενοι, ὅσπερ καὶ Δηλίους, τοὺς Ἀτραμύττειον οἰκήσαντας, ὅτε ὑπ' Ἀθηναίων Δήλου καθάρσεως ἕνεκα ἀνέστησαν, ἔχθραν προσποιησάμενος ἄδηλον, καὶ

pus Alcibiades a Cauno Samum reverſus, ab Halicarnaſſeis pecuniam exigit, et Con munit. Tiſſaphernes in Ioniam redit. Antandrii, Peloponneſiorum auxilio, Tiſſaphernis praeſidium urbe eiiciunt, veriti, ne quid ſimile;

ab infinitivo transit ad ſtructuram per ὅτι, quod corruptioni anſam dare potuit); aut ὅτι verum eſt, et tamen ſequitur infinitivus. De qua conſtructione cf. Heindorf. ad Plat. Phaed. 8 et 58. Hermann. ad Viger. p. 900. Vid. etiam ſupra ad 4, 37.

ἐτείχιζε. Caſſ. Aug. duo Pariſſ. **ἐτείχισε.** Rectius fortaſſe propter ceteros aoriſtos.

ἐπὶ τῆς Ἰωνίας. Vulgo contra loci ſententiam et pleroſque libros **ἐπὶ τοὺς Ἴωνας**, *adverſus Iones.* — Paullo poſt **Ἀρσάκου** cum Duckero e libris Ar. C. Marg. Dan. Reg. Caſſ. Aug. et Vallae recepi, pro vulgato **Ἀστάκου**, quod hominis Perſae nomen alibi non invenitur. Quatuor codd., qui habent Ἀρκάσου, noſtram lectionem non minus defendunt.

τοὺς Ἀτραμύττειον οἰκήσαντας. Vulgo **Ἀτραμύττιον**. Sed et ſupra 5, 1. illud codices optimi praebent, quod recepi, et h. l. Cam. Ἀτραμύττειον. Suidas in Ἀδραμύττειον ſcribit, a Thucydide vocari Ἀτραμύττειον. Cf. Ducker. ad 5, 1.

ἔχθραν προσποιησάμενος ἄδηλον. Haec verba male habuerunt pleroſque interpretes. Plurimi προσποιησάμενος ἔχθραν vertunt: diſſimulato odio, vel ira. Quos refellens Duckerus ne ipſe quidem verum perſpexit loci ſenſum. Recte Bredovius προσποιησάμενος accepit *ſimulans.* Sententia eſt: „Arſaces ſimulabat occultum quoddam

ἐπαγγείλας στρατιὰν αὐτῶν τοῖς βελτίστοις, ἐξαγαγὼν ὡς ἐπὶ φιλίᾳ καὶ ξυμμαχίᾳ, τηρήσας ἀριστοποιουμένους, καὶ περιστήσας τοὺς ἑαυτοῦ, κατηκόντισε. Φοβούμενοι οὖν αὐτὸν διὰ τοῦτο τὸ ἔργον, μήποτε καὶ περὶ σφᾶς τὶ παρανομήσῃ, καὶ ἄλλα ἐπιβάλλοντος αὐτοῦ, ἃ φέρειν οὐκ ἠδύναντο, ἐκβάλλουσι τοὺς φρουροὺς αὐτοῦ ἐκ τῆς ἀκροπόλεως.

109. Ὁ δὲ Τισσαφέρνης, αἰσθόμενος καὶ τοῦτο τῶν Πελοποννησίων τὸ ἔργον, καὶ οὐ μόνον τὸ ἐν τῇ Μιλήτῳ καὶ Κνίδῳ, (καὶ ἐνταῦθα γὰρ αὐτοῦ ἐξεπεπτώκεσαν οἱ φρουροὶ,) διαβεβλῆσθαί τε νομίσας αὐτοὺς σφόδρα, καὶ δείσας, μὴ καὶ ἄλλο τι ἐπιβλάπτωσι, καὶ ἅμα ἀχθόμενος, εἰ Φαρνάβαζος ἐξ ἐλάσσονος χρόνου καὶ δαπάνης δεξάμενος αὐτοὺς, κατορθώσει τι μᾶλλον τῶν πρὸς τοὺς Ἀθηναίους, πορεύεσθαι διενοεῖτο πρὸς αὐτοὺς ἐπὶ τοῦ Ἑλλησπόντου, ὅπως μέμψηταί τε τῶν περὶ τὴν Ἄντανδρον γεγενημένων, καὶ τὰς διαβολὰς καὶ περὶ τῶν Φοινισσῶν νεῶν καὶ τῶν

atque Atramytteum incolentes Delii paſſi erant, ab eius praefecto Arſace patiantur. 109. Qua re comperta,

in Delios odium, ideoque exercitum eorum proceribus imperabat, quem, licet ea conditione ac lege ex urbe excitum, ut cum amicis et ſociis expeditionem faceret, tamen inter prandium, ſuis circumdedit et iaculis concidit." Aem. Portus, probante Benedicto, coniicit στρατείαν, pro στρατιάν, praeter neceſſitatem; ſed mihi quoque magis placet.

109. τὸ ἐν τῇ Μιλήτῳ. Articulum τῇ, iubentibus plerisque libris, recepi. Rem narrat ſupra cap. 84 med.

διαβεβλῆσθαί τε νομίσας αὐτοῖς. Ita vulgo. Sed rectius haud dubie illi libri, qui exhibent αὐτούς. Vide ad cap. 81. Nam et difficilior haec lectio eſt, et aptiorem fundit ſenſum: „putans eos valde infenſos eſſe." Quare cum Duckero et Benedicto αὐτούς praetuli.

ὅπως μέμψηταί τε τῶν περὶ τὴν Ἀντ. Genitivus τῶν pendet a μέμφεσθαι ſubaudito περί. Antandriis, qui in ditione Tiſſaphernis erant, milites in auxilium miſerant Peloponneſii, ut modo narravit c. 108.

καὶ τὰς διαβολάς. Schol. λείπει τὸ ἀπώσηται, quod ſcholion abeſt ab Aug. Inde haud dubie fluxit lectio codd. Ar. C. Dan. Marg. Cl. Par. F. G. καὶ τὰς διαβολὰς ἀπώσηται, quo interpretamento facile poſſumus

ἄλλων ὡς εὐπρεπέστατα ἀπολογήσηται. Καὶ ἀφικόμενος πρῶτον ἐς Ἔφεσον, θυσίαν ἐποιήσατο τῇ Ἀρτέμιδι. [ὅταν ὁ μετὰ τοῦτο τὸ θέρος χειμὼν τελευτήσῃ, ἓν καὶ εἰκοστὸν ἔτος πληροῦται.]

Tiſſaphernes ad Peloponneſios in Hellespontum contendit, ut et expoſtularet de Antandro, et ſe ipſum purgaret.

carere. Accuſativus *διαβολάς* pendet ab *ἀπολογήσηται*.

ὅταν ὁ μετὰ τοῦτο — πληροῦται. Hunc pannum praeſtantiſſimo Thucydidis operi ab homine indocto asſutum eſſe, vel illud *ὅταν τελευτήσῃ* (quaſi dubium id eſſet) demonſtrat, ut iam Bredovius monuit. Cf. Dodwell. in Annall. Thuc. ad h. l. Ceterum haec verba ab uno cod. Pariſ. I. abſunt; in D. etiam verba *καὶ ἀφικόμενος πρῶτον* — deſunt, quae nemo facile Thucydidi derogaverit. Satis abrupte hic liber finitur, cui fortaſſis immortuus eſt princeps Hiſtoricorum Graecorum, Thucydides.

TABVLAE CHRONOLOGICAE

RERVM ET TEMPORVM IN THVCYDIDIS HISTORIA MEMORATORVM.

In ipſa belli Peloponneſiaci hiſtoria initium huius belli tamquam aeram ſequitur Thucydides; in aliis autem rebus, quae ante hoc bellum acciderunt, commemorandis, modo ad hanc eandem aeram, modo ad belli eiusdem finem (vid. 1, 13. 18), modo ad Troiae excidium annos computat (vid. 1, 12). Rarius ab aliis annis ſubduxit rationem, ut 5, 112. urbis Meliorum conditae aevum ad annum ſextum decimum belli Peloponneſiaci, aut 6, 2. Siculorum ex Italia in Sicaniam transgreſſorum aetatem ad illud tempus, quo primum Sicilia a Graecis coli coepta eſt; quae tamen epochae facile ad quamlibet illarum aerarum referri poſſunt. Itaque neceſſe eſt, ut primum aera Troiana, item belli Peloponneſiaci initium et finis certo conſtet. Troiae igitur everſionem accidiſſe anno 1184 ante Chr. nat., i. e. 407 annis ante primam Olympiadem, hodie tralaticium eſt. Peloponneſiaci autem belli ineunte vere anni 431 ante Chr. nat. (Ol. 87, 1) cum Thebani Plataeam proditione cepiſſent, initium fuit, ipſo Thucydide auctore lib. 2. cap. 1., quamquam idem alibi (5, 20) primam Peloponneſiorum in Atticam invaſionem, paullo poſtea factam, intelligit. Duravit autem bellum annos ferme 27, usque ad annum 404 a. Chr. (Ol. 93, 4), cum Athenae Lacedaemoniis traderentur (5, 26).

Nos quidem hoc loco id agimus, ut partim ſummas res ordine chronologico, partim tempora rerum narratarum ſecundum librorum et capitum ſingulorum ordinem conſignemus, ad aeram Chriſtianam redacta illa quidem et cum Olympiadibus comparata. Quo inſtituto lectoribus utiliorem fore operam noſtram arbitrabamur, quam ſi temporum tantummodo ordinem, ab antiquiſſimo aevo incipientes, ſequeremur.

I.

TABVLA CHRONOLOGICA RERVM MAXIME MEMORABILIVM.

B. P.	Olymp.	ante Chr.	
	347 ante 1 Olymp.	1124	Boeoti Arna eiecti terram Cadmeidem incolunt 1, 12.
	327 a. 1 Ol.	1104	Dorienses cum Heraclidis Peloponnesum occupant 1, 12.
	28 a. 1 Ol.	804	Lycurgus rempublicam Lacedaemoniorum legibus constituit 1, 18.
	11, 3	733	Naxus, prima Graecorum in Sicilia colonia, condita 6, 3.
	11, 4	732	Syracusae conditae 6, 3.
	29, 1	664	antiquissima pugna navalis 1, 13.
	67, 2	510	Hippias Athenis eiectus 1, 18. 6, 59.
	72, 3	490	Pugna Marathonia 1, 18. 6, 59.
	75, 1	480	Xerxis expeditio contra Graeciam 1, 14.
	75, 2	479	Medorum recessus 1, 89.
	75, $\frac{3}{4}$	477	Munitio Piraeei absoluta 1, 93.
	77, 3	470	Pugna navalis et terrestris apud Eurymedontem 1, 100.
	78, 3	465	terrae motus in Laconica 1, 101.
	80, $\frac{3}{4}$	457	Athenis muri longi inchoantur 1, 107. Pugna Tanagrensis 1, 108.
	80, 4	456	Proelium ad Oenophyta 1, 108.
	82, $\frac{3}{4}$	449	Cimonis obitus 1, 112.
	83, $\frac{2}{3}$	446	Euboea ab Atheniensibus descißcit 1, 114.
14 ante B. Pel. init.	83, $\frac{3}{4}$	445	Foedus inter Athenienses et Peloponnesios pactum post Euboeam receptam 1, 115.
5 ante B. P. init.	86, 1	436	Epidamnii Corinthiorum opem implorant 1, 25.
4 a. B. P.	86, 2	435	Corcyraeorum victoria 1, 29.
1 a. B. P.	$\frac{86}{87}$, $\frac{4}{1}$	432	Pugna navalis inter Corcyraeos et Corinthios 1, 49. Potidaea deficit ab Athen. 1, 58.
1	87, 1	431	Thebani Plataeam clam opprimunt 2, 2.
1	87, 2	431	Prima Lacedaemoniorum invasio in Atticam, duce Archidama 2, 19.
2	87, 2	430	Pestis Athenis grassari incipit 2, 47.
3	87, 3	429	Peloponnesiorum expeditio adversus Plataeam 2, 71 seqq.

B. P.	Olymp.	ante Chr.	
			Eorundem et Ambraciotarum adverſus Acarnaniam expeditio 2, 80 ſqq.
			Sitalces, Odryſarum rex, contra Perdiccam et Chalcidenſes in Macedoniam exercitum admovet 2, 95 ſqq.
4	88, 1	428	Leſbus deficit ab Athenienſibus 3, 2.
4	88, 1	427	Plataeenſes CCXII murum Peloponneſiorum transgreſſi evadunt Athenas 3, 22.
5	88, ½	427	Leſbus in Athenienſium poteſtatem redit 3, 28.
			Plataea Lacedaemoniis traditur 3, 52.
6	88, ⅔	426	Demoſthenis in Aetolos expeditio et clades 3, 95 ſqq.
6	88, 3	426	Ambraciotarum expeditio adverſus Argos Amphilochicum et clades 3, 105 ſqq.
7	88, 3	425	Athenienſes Pylum, in Meſſenia ſitam, muniunt 4, 4.
7	88, 4	425	Spartani CCXCII vivi in inſula Sphacteria ab Athenienſibus capiuntur 4, 38.
8	88, 4	424	Cythera ab Athenienſibus occupata 4, 54.
8	89, 1	424	Sicilienſes inter ſe pacem reſtaurant 4, 65.
			Megarenſium longi muri per proditionem ab Athenienſibus capiuntur 4, 66 ſqq. item Niſaea 4, 69.
			Braſidas per Theſſaliam in Thraciam transit 4, 78.
			Amphipolitani Braſidam recipiunt 4, 107.
			Torone proditione capta 4, 112.
9	89, 1	423	Induciae pactae inter Athenienſes et Lacedaemonios 4, 117.
			Scione ſponte ad Braſidam deficit 4, 120.
10	89, 3	422	Pugna apud Amphipolin, qua et Cleon et Braſidas occiduntur 5, 10.
11	89, 3	421	Pax in quinquaginta annos facta inter Athenienſes et Lacedaemonios 5, 17.
12	89, 4	420	Foedus inter Athenienſes, Argivos, Mantinenſes et Eleos 5, 47.
14	90, 2	418	Lacedaemonii bellum Argivis inferunt 5, 57.
14	90, 3	418	Pugna inter Argivos et Lacedaemonios, duce Agide 5, 66 ſqq.
			Pax inter Argivos et Lacedaemonios 5, 77. deinde etiam ſocietas 5, 79.
17	91, 1	415	Athenienſium maximae copiae, ducibus Nicia, Lamacho et Alcibiade, in Siciliam proficiſcuntur 6, 30.
17	91, 2	415	Prima inter Athenienſes et Syracuſanos pugna, qua vincunt Athenienſes 6, 67 ſqq.
			Lacedaemonii, ab Alcibiade exſtimulati, rurſus ad bellum cum Athenienſibus gerendum ſe accingunt 6, 93.

B. P.	Olymp.	ante Chr.	
18	91, 2	414	Altero proelio victores Athenienſes munimento Syracuſas intercludere inſtituunt 6, 97 ſqq.
18	91, 3	414	Gylippi Spartani adventus 7, 2.
19	91, 3	413	Lacedaemonii Deceliam communiunt 7, 19.
19	91, 4	413 29 Iul.	Demoſthenis et Eurymedontis adventus in Siciliam 7, 42.
		31 Iul.	Pugna apud Epipolas nocte commiſſa 7, 43.
		31 Aug.	Pugna navali vincunt Syracuſani, terreſtri Athenienſes 7, 52 ſeqq.
		1 Sept.	Pugna illa navalis, qua Athenienſium claſſis conficitur 7, 69 ſqq.
		3 Sept.	Athenienſes a Syracuſis recedunt terreſtri itinere 7, 75 ſqq.
		8 Sept.	Demoſthenes cum ſua exercitus parte ſe dedit Gylippo et Syracuſanis 7, 82.
		10 Sept.	Nicias cum ſuis Gylippo ſe tradit 7, 85.
20	92, 1	412	Chii, Erythraei et Mileſii ab Athenienſibus deficiunt 8, 14 et 17.
			Primum foedus Lacedaemoniorum cum Dario et Tiſſapherne 8, 37.
20	92, 1	411 ſub init. Mart.	Democratia Athenis ſublata 8, 70.
21	92, 1	411 Iunio	Euboea a Peloponneſiis occupatur 8, 95.
		eod. menſe	Democratia Athenis reſtituta 8, 97.
21	92, 2	411 med. Iul.	Thraſybuli victoria apud Seſtum 8, 104.
27	93, 4	404 Aprili	Athenae Lyſandro traditae. Belli Peloponneſiaci finis 5, 26.

II.

INDEX CHRONOLOGICVS TEMPORVM, QVORVM FIT MENTIO APVD THVCYDIDEM.

LIB. I.		ante Chr.	ante 1 Olymp.
C. 12.	ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν	1124	547.
ibid.	Δωριεῖς ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον	1104	327.
C. 13.	ὅτε Ἀμεινοκλῆς Σαμίοις ἦλθε	704	Ol. 19, 1.
ibid.	ναυμαχία παλαιοτάτη	664	29, 1.
C. 14.	Δαρείου θανάτου (Obiit Darius)	486	73, $\frac{2}{3}$.
ibid.	πρὸ τῆς Ξέρξου στρατείας	480	74, 4.
ibid.	Θεμιστοκλῆς ἔπεισεν (archon cum effet cap. 93)	492	71, 4.
C. 16.	Κῦρος καὶ ἡ Περσικὴ βασιλεία Κροῖσον καθελοῦσα	548	58, 1.
C. 18.	τετρακόσια καὶ ὀλίγῳ πλείω — ex Thucydidis ratione, quae ab aliis discrepat, Lycurgus Lacedaemoniorum rempublicam legibus conftituit paullo ante annum	804	ante 1 Ol. 28.
ibid.	μετὰ τὴν τῶν τυράννων κατάλυσιν	510	Ol. 67, 2.
ibid.	ἡ ἐν Μαραθῶνι μάχη	490	72, 3.
C. 20	τῷ Ἱππάρχῳ περιτυχόντες ἀπέκτειναν (cf. 6, 59)	514	66, 2.
C. 23.	μετὰ Εὐβοίας ἅλωσιν (cf. 1, 114. 115)	445	83, 3.
C. 25.	ἐλθόντες οἱ Ἐπιδάμνιοι ἐς τὴν Κόρινθον	436	$\frac{85}{86}$, $\frac{4}{1}$.
C. 29.	ἐνίκησαν οἱ Κερκυραῖοι	435	86, $\frac{1}{2}$.
C. 31.	ἐλθοῦσιν ὡς τοὺς Ἀθηναίους (Nam annum illum, quo navali proelio pugnatum eft, et fequentem navibus ftruendis Corinthii confumpferunt. Vid. cap. 31 init.)	433	86, $\frac{3}{4}$.
C. 40.	Σαμίων ἀποστάντων	439	85, 1.
C. 41.	πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον (vid. cap. 14, 3.)		
C. 49.	ἐναυμάχουν (Corcyraei et Corinthii)	432	$\frac{86}{87}$, $\frac{4}{1}$.
C. 58.	ἀφίστανται (οἱ Ποτιδαιᾶται) (Nam fupra cap. 56 init. et cap. 57 init. has cum Potidaea controverfias ftatim poft proelium navale apud Corcyram ortas effe tradit.)	432	——
C. 87.	ἐν τετάρτῳ καὶ δεκάτῳ ἔτει τῶν τριακοντουτίδων σπονδῶν (cf. fupra cap. 23.)	432	——
C. 89.	ἐπειδὴ Μῆδοι ἀνεχώρησαν	479	75, 2.
ibid.	ἐπιχειμάσαντες εἷλον	479 fine anni	——
ibid.	τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο, καὶ τὰ τείχη	478	75, $\frac{2}{3}$.

		ante Chr.	Olymp.
C. 93.	ἔπεισε καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ οἰκοδομεῖν	477	75, $\frac{3}{4}$.
ibid.	ἐπὶ τῆς ἐκείνου ἀρχῆς	492	71, 4.
C. 94.	ἐστράτευσαν ἐς Κύπρον	477	75, $\frac{3}{4}$.
C. 95.	ἐδέξαντο τοὺς λόγους	476	76, 1.
ibid.	μετεπέμποντο Παυσανίαν	476	——
C. 96.	ἔταξαν	475	76, 2.
C. 98.	Ἠϊόνα	471	77, 2.
ibid.	Σκῦρον — Καρυστίους	471	——
ibid.	Ναξίοις μετὰ ταῦτα ἐπολέμησαν	471	——
C. 100.	μετὰ ταῦτα ἡ ἐπ' Εὐρυμέδοντι πεζομαχία καὶ ναυμαχία	470	77, 3.
ibid.	χρόνῳ ὕστερον ξυνέβη Θασίους ἀποστῆναι	465	78, $\frac{3}{4}$.
ibid.	ἐπὶ Στρυμόνα πέμψαντες (cf. 4, 102)	465	——
C. 101.	ὑπὸ τοῦ γενομένου σεισμοῦ	465 fin. anni	——
ibid.	Θάσιοι τρίτῳ ἔτει πολ. ὡμολόγησαν Ἀθηναίοις	463	79, $\frac{1}{2}$.
C. 102.	οἱ δ' ἦλθον (cf. 3, 54 extr.)	461	79, $\frac{3}{4}$.
C. 103.	δεκάτῳ ἔτει	455	81, $\frac{1}{2}$.
C. 104.	Ἀθηναίους ἐπηγάγετο (cf. cap. 110. ἓξ ἔτη πολεμήσαντα)	462	79, $\frac{2}{3}$.
C. 105.	Ἀθηναίοις πρὸς Κορινθίους καὶ Ἐπιδαυρίους μάχη ἐγένετο	458	80, $\frac{2}{5}$.
ibid.	ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ	458	——
ibid.	μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ' Αἰγίνῃ	458	——
ibid.	ἐς τὴν Μεγαρίδα κατέβησαν	457	80, $\frac{3}{4}$.
C. 107.	ἤρξαντο κατὰ τοὺς αὐτοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη Ἀθηναῖοι ἐς θαλ. οἰκοδομεῖν	457	80, $\frac{3}{4}$.
ibid.	Φωκέων στρατευσάντων ἐς Δωριᾶς	457 posteriore anni dimidio	80, 4.
C. 108.	ἐν Τανάγρᾳ	457	——
ibid.	δευτέρᾳ καὶ ἑξηκοστῇ ἡμέρᾳ	456 priore anni parte	80, 4.
C. 110.	πράγματα ἐφθάρη	456	——
C. 111.	ἐστράτευσαν ἐπὶ Φάρσαλον	456	——
ibid.	μετὰ ταῦτα οὐ πολλῷ ὕστερον	454	81, $\frac{2}{3}$.
C. 112.	σπονδαὶ γίγνονται πενταετεῖς (paullo ante διαλιπόντων ἐτῶν τριῶν)	450	82, $\frac{2}{3}$.
ibid.	Κίμωνος ἀποθανόντος	449	82, $\frac{3}{4}$.
ibid.	τὸν ἱερὸν πόλεμον	448	$\frac{82}{83}$, $\frac{4}{1}$.
C. 113.	μετὰ ταῦτα Ἀθηναῖοι	447	83, $\frac{1}{2}$.
C. 114.	οὐ πολλῷ ὕστερον Εὔβοια ἀπέστη	446	83, $\frac{2}{5}$.
ibid.	μετὰ τοῦτο οἱ Πελοποννήσιοι	445	83, $\frac{3}{4}$.
C. 115.	σπονδὰς ἐποιήσαντο τριακοντούτεις	445	——

		B.P.	ante Chr.	Olymp.
C. 115.	ἕκτῳ ἔτει Σαμίοις καὶ Μιλ. πόλεμος ἐγένετο (cf. c. 40)		439	85, $\frac{1}{2}$.
C. 118.	μετὰ ταῦτα ἤδη οὐ πολλοῖς ἔτεσιν ὕστερον (cf. ſupra c. 25 ſq. 58 ſq.)		436	$\frac{85}{86}$, $\frac{4}{1}$.
C. 119.	αὖθις τοὺς ξυμμάχους παρακαλέσαντες		432	$\frac{86}{87}$, $\frac{4}{1}$.
C. 126.	κατέλαβε τὴν ἀκρόπολιν		600	45, 1.
C. 128.	τὸ πρῶτον μεταπεμφθείς (conf. cap. 95.)		476	76, 1.
C. 131.	ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην (circiter)		472	77, 1.
C. 136.	φεύγει ἐς Κέρκυραν (ut videtur)		471	77, 2.
C. 137.	νεωστὶ βασιλεύοντα		467	78, $\frac{1}{2}$.
C. 138.	τελευτᾷ τὸν βίον — aliquot annis poſt		466	78, $\frac{2}{3}$.
	LIB. II.			
C. 1.	ἄρχεται ὁ πόλεμος	1	431 7 Mai.	87, 1.
C. 19.	ἡμέρᾳ ὀγδοηκοστῇ	1	431 26 Iul.	87, 2.
C. 28.	ὁ ἥλιος ἐξέλιπε	1	431 3 Aug.	87, 2.
C. 31.	φθινόπωρον τοῦ θέρους	1	431 Sept.	——
C. 32.	θέρους τελευτῶντος	1	431 fin. Sept.	——
C. 33.	ἐπιγιγνομένου χειμῶνος	1	431 ab Oct. in.	——
C. 47.	τοῦ θέρους εὐθὺς ἀρχομένου	2	430 a 28 Mart.	87, 2.
C. 58.	ἐστράτευσαν ἐπὶ Χαλκιδέας	2	430	87, $\frac{2}{3}$.
C. 65.	τρία ἔτη ἀντεῖχον — usque ad (Haec ratio hiſtoriae adverſatur. Nam usque ad annum 405, quo apud Aegospotamos clade affiⅽiebantur, non ſolum pares erant Athenienſes Lacedaemoniis, verum etiam nonnumquam ſuperiores. Putes finem belli reſpici, et legendum eſſe, δέκα ἔτη. Facile in Mſſ. Ι' in Γ' mutari potuit per litterarum ſimilitudinem.)	22	410	92, $\frac{2}{3}$.
C. 66.	τοῦ αὐτοῦ θέρους	2	430	87, $\frac{2}{3}$.
C. 67.	θέρους τελευτῶντος	2	430 Sept.	87, 3.
C. 69.	ἐπιγιγνομένου χειμῶνος	2	430 ab Oct.	——
C. 71.	τοῦ ἐπιγιγν. θέρους	3	429	87, 3.

		B.P.	ante Chr.	Olymp.
C. 78.	περιετείχιζον τὴν πόλιν	3	429	——
ibid.	περὶ ἀρκτούρου ἐπιτολ.	3	429 Sept.	87, 4.
C. 79.	ἀκμάζοντος τοῦ σίτου	3	429 Iul.	——
C. 80.	οὐ πολλῷ ὕστερον (eodem tempore Pericles moritur)	3	429 Sept.	——
C. 93.	ἀρχομένου τοῦ χειμῶνος	3	429 Oct. in.	87, 4.
C. 101.	ἀνεχώρησε τῷ στρατῷ ἐπ' οἴκου	3	429 Nov.	87, 4.
C. 102.	τοῦ αὐτοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν Πελ. ναυτικὸν διελ.	3	428 ante April.	87, 4.
C. 103.	ἅμα ἦρι	4	428 April.	87, 4.
	LIB. III.			
C. 1.	ἅμα τῷ σίτῳ ἀκμάζοντι	4	428 Iul.	88, 1.
C. 8.	μετὰ τὴν ἑορτὴν	4	428 20 Iul.	88, 1.
C. 15.	ἐν καρποῦ ξυγκομιδῇ ἦσαν	4	428 Aug.	88, 1.
C. 18.	περὶ τὸ φθινόπωρον ἤδη ἀρχομ.	4	428 Septembri	88, 1.
C. 20.	τοῦ δ' αὐτοῦ χειμῶνος	4	428/7	88, 1.
C. 25.	τοῦ αὐτοῦ χειμ. τελευτῶντος	4	427 Mart.	88, 1.
C. 26.	τοῦ δ' ἐπιγιγν. θέρους	5	427 a 24. Mart.	88, ½.
C. 51.	μετὰ τὴν Λέσβου ἅλωσιν	5	427	88, ½.
C. 52.	vid. cap. 51.			
C. 86.	τοῦ δ' αὐτοῦ θέρους τελευτ.	5	427 Sept. ant. Oct. in.	88, 2.
C. 87.	τοῦ δ' ἐπιγιγνομένου χειμ.	5	427 Oct. defin.	88, 2.
C. 88.	τοῦ αὐτοῦ χειμῶνος vid. cap. 87.			
C. 89.	τοῦ δ' ἐπιγιγν. θέρ.	6	426	88, ⅔.
C. 90.	τοῦ δ' αὐτοῦ θέρους	6	426	88, ⅔.
C. 91.	92. 94. 99. 100. vid. c. 90.			
C. 103.	τοῦ ἐπιγιγν. χειμ.	6	426 poſt 7. Oct.	88, 3.
C. 104.	105. vid. cap. 103.			
C. 115.	τοῦ αὐτοῦ χειμῶνος	6	425 poſt Ianuar.	88, 3.
ibid.	τελευτῶντος τοῦ χειμῶνος	6	425 Mart.	88, 3.
C. 116.	τὸ πρότερον ῥεῦμα		475	76, ½.

LIB. IV.

	B.P.	ante Chr.	Olymp.
C. 1. τοῦ ἐπιγιγν. θέρους, περὶ σίτου ἐκβολήν	7	425 Aprili exeunte	88, 3.
C. 2. ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος, πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι (cf. c. 6. πρωῒ ἐσβαλόντες, καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος.) Nam ἀκμή de frumento eo dicitur, quae prope eſt ad maturitatem)	7	425 Maio	88, 3.
C. 7. 8. vid. cap. 2.			
C. 24. 25. ἐν τούτῳ	7	425	88, 3.
C. 27. καὶ ἐδεδοίκεσαν, μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλ.	7	425 Iul.	88, 4.
C. 39. ἀνεχώρησαν τῷ στρατῷ ἐκ τῆς Πύλου.	7	425 Iul. exeunte vel Aug. init.	88, 4.
C. 42. μετὰ ταῦτα εὐθὺς	7	425 Aug.	88, 4.
C. 46. vid. cap. 42.			
C. 49. ἅμα τελευτῶντος τοῦ θέρους	7	425 Septembri	88, 4.
C. 50. τοῦ ἐπιγιγνομ. χειμῶνος	7	425 a 24. Sept.	88, 4.
C. 51. οἱ Χῖοι τὸ τεῖχος περιεῖλον τὸ καινόν	7	424 ante 21. Mart.	88, 4.
C. 52. τοῦ ἐπιγιγν. θέρους εὐθὺς τοῦ ἡλίου ἐκλιπές τι ἐγένετο	8	424 21. Mart.	88, 4.
ibid. καὶ τοῦ αὐτοῦ μηνὸς ἱσταμένου ἔσεισε.	8	424 ante 30. Mart.	88, 4.
C. 53. ἐν τῷ αὐτῷ θέρει	8	424	88, 4.
C. 58. τοῦ αὐτοῦ θέρους	8	424 poſt 17. Iulii	89, 1.
C. 66. 75. 76. 78. vid. c. 58.			
C. 84. ἐν τῷ αὐτῷ θέρει — ὀλίγον πρὸ τρυγήτου — τοῦ καρποῦ ἔτι ἔξω ὄντος	8	424 Auguſto	89, 1.
C. 89. τοῦ ἐπιγιγν. χειμῶνος εὐθὺς ἀρχομένου	8	424 poſt 13. Oct.	89, 1.
C. 101. ἑπτακαιδεκάτῃ ἡμέρᾳ μετὰ τὴν μάχην	8	424 adhuc menſe Novembri	89, 1.
C. 102. τοῦ αὐτοῦ χειμῶνος	8	424 ſub fin.	89, 1.
ibid. Ἀρισταγόρας ὁ Μιλήσιος — ἐξεκρούσθη		497	70, 3.
ibid. ἔτεσι δύο καὶ τριάκοντα ὕστερον		465	78, $\frac{3}{4}$.
ibid. ἑνὸς δέοντος τριακοστῷ ἔτει		437	85, 4.

	B.P.	ante Chr.	Olymp.
C. 109. *τοῦ αὐτοῦ χειμῶνος*	8	423	89, 1.
C. 117. *ἅμα ἦρι τοῦ ἐπιγιγν. θέρους*	9	423	89, 1.
C. 118. *τετράδα ἐπὶ δέκα τοῦ Ἐλαφηβολιῶνος μηνός*	9	423 $\frac{22}{23}$. Mart.	89, 1.
C. 120. 122. 123. 124. 125. vid. c. 118.			
C. 129. *ὑπὸ τὸν αὐτὸν χρόνον τοῖς ἐν Λύγκῳ*	9	423 ante Sept.	89, $\frac{1}{2}$.
C. 133. *ἐν τῷ αὐτῷ θέρει*	9	423 Septemb.	89, 2.
ibid. *τοῦ θέρους ἤδη τελευτῶντος*	9	423 Sept. exeunte	89, 2.
C. 134. *ἐν τῷ ἐπιόντι χειμῶνι*	9	423 poſt 3. Oct.	89, 2.
C. 135. *τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος, καὶ πρὸς ἔαρ ἤδη.*	9	422 ſub finem Martii	89, 2.
LIB. V.			
C. 1. *τοῦ ἐπιγιγν. θέρους, μέχρι Πυθίων*	10	422 a 29. Mart. ad 12. April.	89, 2.
C. 2. *μετὰ τὴν ἐκεχειρίαν*	10	422 poſt 12. April.	89, $\frac{2}{3}$.
C. 4. vid. c. 2.			
C. 7. *ἀναλαβὼν ἦγε*	10	422 Sept.	89, 3.
C. 12. *ὑπὸ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος*	10	422 ante 21. Sept.	89, 3.
C. 13. *τοῦ ἐπιγιγν. χειμῶνος εὐθύς*	10	422 ſtatim poſt 21. Sept.	89, 3.
C. 19. *Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίν.* vid. c. 20.			
C. 20. *τελευτῶντος τοῦ χειμῶνος ἅμα ἦρι, ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν, αὐτόδεκαετῶν διελθόντων, καὶ ἡμερῶν ὀλίγων παρενεγκουσῶν, ἢ ὡς τὸ πρῶτον ἡ ἐσβολὴ ἐς τὴν Ἀττικὴν, καὶ ἡ ἀρχὴ τοῦ πολέμου τοῦδε ἐγένετο.* (Haec inter ſe conciliari non poſſunt, niſi ita, ut prima aeſtas, qua primum in Atticam invaſerunt Lacedaemonii, licet dimidia ex parte praeterlapſa, tamen pro integra accipiatur. Ita, cum anni undecimi aeſtas incipiat ab octavo Aprilis die, usque ad decimum, quo foedus pactum eſt, dies ſunt duo ultra decennium integrum (*ὀλίγαι παρενεγκοῦσαι*).	11	421 10. April.	89, 3.

		B.P.	ante Chr.	Olymp.
C. 24.	μετὰ τὰς σπονδὰς οὐ πολλῷ ὕστερον	11	421 Aprili	89, 3.
C. 25. 32. vid. c. 24.				
C. 33. 34.	τοῦ αὐτοῦ θέρους	11	421	89, $\frac{3}{4}$.
C. 35.	τοῦ αὐτοῦ θέρους	11	421	89, 4.
C. 36.	τοῦ ἐπιγιγν. χειμῶνος	11	421 post 8. Oct.	89, 4.
C. 39.	ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ Μηκύβερναν Ὀλύνθιοι εἷλον	11	42$\frac{1}{0}$	89, 4.
ibid.	τοῦ χειμῶνος τελευτῶντος ἤδη, καὶ πρὸς ἔαρ	11	420 ante 5. April.	89, 4.
C. 40.	ἅμα τῷ ἦρι εὐθὺς τοῦ ἐπιγιγν. θέρ.	12	420 inde a 5. Aprilis	89, 4.
C. 41.	τὰ Ὑακίνθια	12	420 Maio	89, 4.
C. 47.	τριάκοντα ἡμέραις πρὸ Ὀλυμπ., δέκα πρὸ Παναθηναίων τῶν μεγάλων. vid. c. 49.			
C. 49.	Ὀλύμπια δ' ἐγένετο τοῦ θέρους τούτου	12	420 poſt 14. Iul.	90, 1.
C. 50.	μετὰ τὰ Ὀλύμπια	12	420 Iul. exeunte	90, 1.
C. 51.	τοῦ ἐπιγιγν. χειμῶνος	12	420 a 30. Sept. ad 26. Mart. 419	90, 1.
C. 52.	τοῦ ἐπιγιγν. θέρους εὐθὺς ἀρχομένου	13	419 a 26. Mart.	90, 1.
ibid.	καὶ τοῦ αὐτοῦ θέρους	13	419 fortaſſe Aprili	90, 1.
C. 53.	τοῦ αὐτοῦ θέρους	13	419 poſt 22. Iul.	90, 2.
C. 54.	Καρνεῖος μὴν	13	419 Auguſt.	90, 2.
C. 55.	ἐξεστράτευσαν καὶ οἱ Λακεδαιμόνιοι ἐς Καρύας	13	419 Aug. fin. vel init. Sept.	90, 2.
C. 56.	τοῦ ἐπιγιγν. χειμ.	13	419	90, 2.
ibid.	τὸν χειμῶνα τοῦτον (ſub fin. 419 et initio 418 a. Chr.)		inde ab 18. Octobr.	
ibid.	τελευτῶντος τοῦ χειμῶνος πρὸς ἔαρ ἤδη	13	418 ante 13. April.	90, 2.
C. 57.	τοῦ ἐπιγιγνομένου θέρους μεσοῦντος	14	418 a Iunii 12. ad Iulii 11.	90, $\frac{2}{3}$.
C. 61.	μετὰ τοῦτο	14	418 poſt 11. Iul.	90, 3.
C. 74.	ἡ μάχη ἐγένετο	14	418 Aug. init.	90, 3.

		B.P.	ante Chr.	Olymp.
C. 75.	*Κάρνεια*	14	418 intra 6. Aug. et 4. Sept.	90, 3.
C. 76.	*τοῦ ἐπιγιγν. χειμ. ἀρχομένου εὐθὺς — ἐπειδὴ τὰ Κάρνεια ἤγαγον.*	14	418 post 5. Sept.	90, 3.
C. 78.	*μετὰ τοῦτο οὐ πολλῷ ὕστερον*	14	418 Oct.	90, 3.
C. 81.	*πρὸς ἔαρ ἤδη ταῦτα ἦν, τοῦ χειμῶνος λήγοντος*	14	417 ante 2. April.	90, 3.
C. 82.	*τοῦ ἐπιγιγνομένου θέρους*	15	417 post 2. April.	90, $\frac{3}{4}$.
C. 83.	*τοῦ ἐπιγιγν. χειμ.*	15	417 post 26. Sept.	90, 4.
ibid.	*μετὰ τοῦτο καὶ Ἀργεῖοι*	15	417 fort. Nov.	90, 4.
ibid.	*τοῦ αὐτοῦ χειμῶνος*	15	416 ante 22. Mart.	90, 4.
C. 84.	*τοῦ ἐπιγιγν. θέρους*	16	416 a 22. Mart.	$\frac{90}{91}$, $\frac{4}{1}$.
C. 115.	*κατὰ τὸν χρόνον τὸν αὐτόν*	16	416 per aestatem	$\frac{90}{91}$, $\frac{4}{1}$.
C. 116.	*τοῦ ἐπιγιγν. χειμ.*	16	416 a 15. Oct.	91, 1.
	LIB. VI.			
C. 1.	*τοῦ αὐτοῦ χειμῶνος*	16	416	91, 1.
C. 2.	*ἔτη ἐγγὺς τριακόσια πρὶν Ἕλληνας ἐς Σικελίαν ἐλθεῖν*		c. 1033	
C. 3.	*Νάξον ᾤκησαν*		735	11, 3.
ibid.	*Συρακούσας τοῦ ἐρχομένου ἔτους*		732	11, 4.
ibid.	*ἔτει πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας*		727	13, 1.
C. 4.	*κατὰ τὸν αὐτὸν χρόνον*		727	13, 1.
ibid.	*ἔτη οἰκήσαντες πέντε καὶ τεσσαράκοντα καὶ διακόσια, ὑπὸ Γέλωνος ἀνέστησαν*		482	74, 2.
ibid.	*ἔτεσιν ὕστερον ἑκατὸν, ἢ αὐτοὺς οἰκίσαι*		627	38, 1.
ibid.	*ἔτει πέμπτῳ καὶ τεσσαρακοστῷ μετὰ τὴν Συρακουσῶν οἴκησιν*		687	23, $\frac{1}{2}$.
ibid.	*ἔτεσι ἐγγύτατα ὀκτὼ καὶ ἑκατὸν μετὰ τὴν σφετέραν οἴκησιν, Γελῷοι Ἀκράγαντα ᾤκισαν*		579	50, $\frac{1}{2}$.
C. 5.	*Ἄκραι ἑβδομήκοντα ἔτεσι μετὰ Συρακούσας*		662	29, 2.
ibid.	*Κάσμεναι ἐγγὺς εἴκοσι μετὰ Ἄκρας*		642	34, 2.

		B.P.	ante Chr.	Olymp.
ibid.	Καμαρίνα τὸ πρῶτον ὑπὸ Συρακοσίων ᾠκίσθη, ἔτεσιν ἐγγύτατα πέντε καὶ τριάκοντα καὶ ἑκατὸν μετὰ Συρακουσῶν κτίσιν		597	45, 3.
ibid.	χρόνῳ Ἱπποκράτης ὕστερον (Auctore Herodot. 7, 154. 155. Septennium Hippocrates Gelae regnavit inde a 497 anno ante Chr. Ol. 70, 3., eique ſucceſſit Gelo.)		inter 497 et 490	70, 3 — 72, 2.
C. 6.	τὴν γενομένην ἐπὶ Λάχητος (vid. 3, 86.)			
C. 7.	οἱ πρέσβεις ἀπεστάλησαν	16	416	91, 1.
ibid.	τοῦ αὐτοῦ χειμῶνος et οὐ πολλῷ ὕστερον	16	415 Febr. et Mart.?	91, 1.
ibid.	ἐς Μεθώνην ἱππέας κατὰ θάλασσαν	16	415 ante 9. April.	91, 1.
C. 8.	τοῦ ἐπιγιγν. θέρους ἅμα ἦρι	17	415 ſtatim poſt 10. April.	91, 1.
C. 27.	μιᾷ νυκτὶ οἱ Ἑρμαῖ περιεκόπησαν τὰ πρόσωπα	17	415 nocte inter 9. et 10. Maii.	91, 1.
C. 30.	μετὰ ταῦτα, θέρους μεσοῦντος ἤδη	17	415 poſt 8. Iun.	91, 1.
C. 56.	Παναθήναια τὰ μεγάλα		514	66, 2.
C. 59.	πανσθεὶς ἐν τῷ τετάρτῳ		510	67, 2.
ibid.	ἔτει εἰκοστῷ		490	72, 3.
C. 61.	κατὰ τὸν καιρὸν τοῦτον	17	415 Iul.	91, ½.
C. 62.	μετὰ δὲ ταῦτα	17	415 ab init. Aug. ad Oct. init.	91, 2.
C. 63.	τοῦ ἐπιγιγν. χειμῶνος εὐθύς	17	415 poſt 3. Oct.	91, 2.
C. 70.	γενομένης ἐν χερσὶ τῆς μάχης	17	415 Novembri	91, 2.
C. 75.	ἐν τῷ χειμῶνι	17	$41\frac{5}{4}$	91, 2.
C. 94.	ἅμα τῷ ἦρι εὐθὺς ἀρχομένῳ τοῦ ἐπιγιγνομένου θέρους	18	414 Aprili init.	91, 2.
C. 95.	τοῦ δ' αὐτοῦ ἦρος	18	414 Aprili et Maio	91, 2.
ibid.	μετὰ ταῦτα et ἐν τῷ αὐτῷ θέρει οὐ πολὺ ὕστερον, vid. ſupra.			
C. 96.	τοῦ αὐτοῦ θέρους —	18	414 Iunio	91, 2.
C. 104. 105.	vid. cap. 96.			

	B.P.	ante Chr.	Olymp.
LIB. VII.			
C. 1. παρέπλευσαν ἐς Λοκρούς	18	414 Iulio	91, 3.
C. 7. μετὰ τοῦτο	18	414 fin. Iul. aut init. Aug.	91, 3.
C. 9. ἐν τῷ αὐτῷ θέρει τελευτῶντι	18	414 Sept.	91, 3.
C. 10. τοῦ ἐπιγιγν. χειμῶνος	18	414 a 23. Sept.	91, 3.
C. 16. εὐθὺς περὶ ἡλίου τροπὰς τὰς χειμερινάς	18	414 fine Dec.	91, 3.
C. 17. πέμπουσι περὶ τὴν Πελοπόννησον οἱ Ἀθηναῖοι εἴκοσι ναῦς	18	413 a Ianuario ad Mart. 18.	91, 3.
C. 19. τοῦ ἐπιγιγνομένου ἦρος εὐθὺς ἀρχομένου πρωϊαίτατα	19	413 a 18. Mart.	91, 3.
ibid. περὶ τὸν αὐτὸν χρόνον, et μετὰ τούτους οὐ πολλῷ ὕστερον vid. fupra.			
C. 20. 23. 25. vid. c. 19.			
C. 26. ἄρας ἐκ τῆς Αἰγίνης	19	413 April. exeunte	91, 3.
C. 31. μετὰ τοῦτο ὁ Δημοσθένης	19	413 Maio	91, 3.
ibid. ὄντι αὐτῷ περὶ ταῦτα ὁ Εὐρυμέδων ἀπαντᾷ	19	413 Iun. exeunte	91, 3.
ibid. τότε τοῦ χειμῶνος vid. c. 16.			
ibid. κατὰ πλοῦν ἤδη ὢν	19	413 Iunio	91, 3.
ibid. τὸ Πλημμύριον ἑαλωκός	19	413 Iun. ineunte	91, 3.
C. 34. περὶ τὸν αὐτὸν χρόνον τοῦτον	19	413 Iulio ineunte	91, 3.
C. 35. ἦγον διὰ τῆς Θουριάτιδος γῆς — τῇ δ' ὑστεραίᾳ — ἀφίκοντο ἐπὶ Πέτραν	19	413 Iul. 22.	91, 4.
C. 42. ἐν τούτῳ Δημοσθ. καὶ Εὐρυμ. παραγίγνονται	19	413 Iul. 29.	91, 4.
C. 44. καὶ ἐνταῦθα ἤδη (ἦν γὰρ σελήνη λαμπρά.)	19	413 Iul. 31.	91, 4.
C. 46. μετὰ τοῦτο	19	413 init. Aug.	91, 4.
C. 47. ἐν τούτῳ vid. c. 46.			
C. 50. ἐν τούτῳ παρῆσαν ἐς τὰς Συρακ.	19	413 Aug. 26. vel paul. antea	91, 4.
ibid. ἡ σελήνη ἐκλείπει· ἐτύγχανε γὰρ πανσέληνος οὖσα	19	413 27. Aug.	91, 4.

		B.P.	ante Chr.	Olymp.
C. 51.	ἐπειδὴ καιρὸς ἦν, τῇ προτεραίᾳ	19	413 30. Aug.	91, 4.
C. 52.	τῇ δ' ὑστεραίᾳ	19	413 31. Aug.	91, 4
C. 69.	ἀντεπλήρουν τὰς ναῦς	19	413 1. Sept.	91, 4.
C. 74.	καὶ τὴν ἐπιοῦσαν ἡμέραν περιμεῖναι	19	413 2. Sept.	91, 4.
C. 75.	τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας	19	413 3. Sept.	91, 4.
C. 78.	τῇ δ' ὑστεραίᾳ πρωῒ ἐπορεύοντο		4. Sept.	
ibid.	τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προῄεσαν		5. Sept.	
C. 79.	πρωῒ δ' ἄραντες		6. Sept.	
ibid.	τῇ δ' ὑστεραίᾳ προὐχώρουν		7. Sept.	
C. 80.	ἅμα τῇ ἕῳ		8. Sept.	
C. 83.	τῇ ὑστεραίᾳ καταλαβόντες αὐτόν (Νικίαν)		9. Sept.	
C. 84.	ἐπειδὴ ἡμέρα ἐγένετο		10. Sept.	
C. 85.	τέλος δὲ ὁ Νικίας Γυλίππῳ ἑ. παραδ.		eodem die.	
C. 87.	αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραί	19	413 poſt Oct. 13.	
ibid.	ἐπὶ ὀκτὼ μῆνας usque ad	20	412 4. Maii.	91, 4.
ibid.	ἡμέρας ἑβδομήκοντα	19	413 ad 19 Nov.	91, 4.
	LIB. VIII.			
C. 1.	ἐπειδὴ ἠγγέλθη, ἐπὶ πολὺ ἠπίστουν	19	413 a. 12. Oct.	91, 4.
C. 2.	τοῦ ἐπιγιγν. χειμῶνος	19	413 a 13. Oct.	91, 4.
C. 3. 4. et 5.	εὐθὺς ἐν τῷ χειμῶνι τούτῳ vid c. 2.			
C. 6.	κατὰ τὸν αὐτὸν καιρόν	19	413	91, 4.
ibid.	ὁ χειμὼν ἐτελεύτα	19	412 7. April.	91, 4.
C. 7.	τοῦ ἐπιγιγν. θέρους εὐθύς	20	412 ab 8. April.	91, 4.
C. 9.	τὰς Ἰσθμιάδας σπονδάς	20	412 Iulio	91, 4.
C. 10.	ἐν τούτῳ τὰ Ἴσθμια ἐγένοντο. vid. cap. 9.			
ibid.	ἐπειδὴ ἀνεχώρησαν, παρεσκευάζοντο εὐθύς — et μετὰ τὴν ἑορτήν	20	412 ſub finem Iulii aut init. Aug.	92, 1.
C. 13.	ὑπὸ τὸν αὐτὸν χρόνον vid. c. 10.			
C. 16.	ἐν τούτῳ	20	412 Aug.	92, 1.
C. 17.	Μιλησίων εὐθὺς ἀποστάντων vid. cap. 16.			

	B.P.	ante Chr.	Olymp.
C. 19. μετὰ ταῦτα οἱ Χῖοι εὐθὺς — καὶ μετὰ τοῦτο	20	412 Aug. iam affecto	92, 1.
C. 20. 21. vid. c. 19.			
C. 22. μετὰ ταῦτα; τοῦ αὐτοῦ θέρους	20	412 poſt 3. Sept.	92, 1.
C. 23. 24. vid. c. 22.			
C. 25. τοῦ αὐτοῦ θέρους τελευτῶντος	20	412 Sept. exeunte	92, 1.
C. 29. τοῦ ἐπιγιγν. χειμῶνος	20	412 ab Oct. in.	92, 1.
C. 30. 34. vid. c. 29.			
C. 35. τοῦ αὐτοῦ χειμῶνος	20	412 Nov.	92, 1.
C. 36. 38. vid. c. 35.			
C. 39. ἐν τῷ αὐτῷ χειμῶνι — περὶ ἡλίου τροπάς	20	412 Dec. exeunte	92, 1.
C. 40. κατὰ τὸν αὐτὸν χρόνον	20	411 Ianuario ineunte	92, 1.
C. 44. 45. vid. c. 40.			
C. 55. ἐν τῷ αὐτῷ χειμῶνι	20	411 Ianuar. exeunte	92, 1.
C. 56. μετὰ ταῦτα	20	411 a Mart. ineunte	92, 1.
C. 57. 59. 60. vid. c. 56.			
C. 61. τοῦ ἐπιγιγν. θέρους ἅμα τῷ ἦρι εὐθὺς ἀρχομένῳ	21	411 a 28. Mart.	92, 1.
ibid. ἔτι ἐν Ῥόδῳ ὄντος Ἀστυόχου	20	411 ante 27. Mart	92, 1.
C. 62. μετὰ τοῦτο εὐθύς	21	411 Aprili in.	92, 1.
C. 63. ἐν τούτῳ	21	411 Aprili affecto	92, 1.
ibid. ὑπὸ τοῦτον τὸν χρόνον καὶ ἔτι πρότερον ἡ ἐν ταῖς Ἀθήναις δημοκρατία κατελύετο	20	411 a 27. Febr.	92, 1.
C. 64. δευτέρῳ μηνί	20	411 Martio	92, 1.
C. 65. ἦλθον ἐς τὰς Ἀθήνας	20	411 ante 26. Febr.	92, 1.
C. 67. ἐν τούτῳ τῷ καιρῷ vid. c. 65.			
C. 69. 70. vid. c. 63, 2.			
C. 71. μετὰ τοῦτο	21	411 Aprili in.	92, 1.
C. 72. εὐθὺς μετὰ τὴν αὐτῶν μετάστασιν	20	411 Martio affecto	92, 1.
C. 73. ὑπ' αὐτὸν τὸν χρόνον, ὄνπερ οἱ τετρακόσιοι ξυνίσταντο	20	411 paullo poſt 27. Febr.	92, 1.
C. 78. ὑπὸ τὸν χρόνον τοῦτον	21	411 fine Mart. vel in. Apr.	92, 1.

		B.P.	ante Chr.	Olymp.
C. 80.	ἐν τῷ αὐτῷ θέρει μετὰ τοῦτο εὐθὺς	21	411 Aprili provecto	
C. 81.	τοῦ αὐτοῦ θέρους, κατὰ τὸν καιρὸν τοῦτον	21	411 Aprili exeunte	92, 1.
C. 91.	κατὰ τὸν αὐτὸν χρόνον τοῦτον	21	411 Maio	92, 1.
C. 94.	ἐπειδὴ ἐπῆλθεν ἡ ἐν Διονύσου ἐκκλησία	21	411 Iunio	92, 1.
C. 97.	εὐθὺς τότε πρῶτον ἐς τὴν Πνύκα καλουμένην	21	411 ante 25 Iun.	92, 1.
C. 99.	ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου	21	411 poſt 25. Iun.	92, 2.
ibid.	πρότερον ἐν τῷ αὐτῷ θέρει	21	411 init. Iul.	92, 2.
C. 101. 103.	vid. cap. 99, 2.			
C. 104.	μετὰ τοῦτο ἐναυμάχουν	21	411 medio Iul.	92, 2.
C. 107.	μετὰ τὴν ναυμαχίαν ἡμέρᾳ τετάρτῃ	21	411 circa 18. Iul.	92, 2.
C. 108.	ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτους vid. cap. 107.			
ibid.	πρὸς τὸ μετόπωρον ἤδη	21	411 paullo ante 8. Aug.	92, 2.
ibid.	ἀναζεύξας ἤλαυνεν ἐπὶ τοὺς Ἴωνας	21	411 ineunte Iul.	92, 2.
ibid.	ἐσηγάγοντο ἐς τὴν πόλιν	21	411 poſt 7. Iul.	92, 2.
C. 109.	ἀφικόμενος ἐς Ἔφεσον	21	411 Iul. med.	92, 2.

INDEX

NOMINVM ET RERVM.

A.

B.

C.

M.

N.

V.

X.

Z.

INDEX VERBORVM.

B.

ἀφίστασθαι. 8, 92. *ὅσοις μὴ βουλομένοις ἦν.* malle 6, 78. *βουληθείη αὖθις φθονῆσαι.*

Βουλεύειν, deliberare, confultare 5, 116. *ὥστ' ἐκείνους περὶ αὐτῶν βουλεῦσαι.* 4, 51. *μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν.* Med. *βουλεύεσθαι* fibi ipfi confilium capere 4, 87. *βουλεύεσθε εὖ.* 6, 23. *εἰδὼς πολλὰ μὲν ἡμᾶς δέον εὖ βουλεύσασθαι.*

Βουλή, fenatus 5, 47. *οἱ δημιουργοὶ καὶ ἡ βουλὴ, καὶ αἱ ἄλλαι ἀρχαί.* 3, 70. *ἐτύγχανε βουλῆς ὤν*, int. *ἐκ τῆς βουλῆς.* concilium 5, 38. *ταῖς τέσσαρσι βουλαῖς τῶν Βοιωτῶν.* confilium 1, 138.

Βράγχος, raucitas 2, 49.

Βραχύς 1, 130. *ἔργοις βραχέσι.* 2, 91. *ἐς βραχέα ὤκειλαν.*

Βρόχος 2, 76.

Βύζην, confertim 4, 8. *τοὺς ἔσπλους ταῖς ναυσὶν ἀντιπρώροις βύζην κλῄσειν ἔμελλον.*

Γ.

Γαμεῖν 1, 128. 6, 55.

Γαμικά, res ad nuptias pertinentes 6, 6. nuptiae 2, 15.

Γάρ, quatenus fit pro *δέ*, vid. ad 1, 17. *γάρ τοι* 5, 66. *σχεδὸν γάρ τοι πᾶν τὸ στρατόπεδον τῶν Λακεδαιμονίων ἄρχοντες ἀρχόντων εἰσί.*

Γέ, quidem, faltem 8, 97. *ἐπί γε ἐμοῦ*, mea quidem memoria, meo faltem tempore. 4, 27. *καὶ αὐτός γ' ἂν, εἰ ἦρχε, ποιῆσαι τοῦτο.* 1, 32. *ὅτι γε οὐκ ἐπιζήμια.*

Γεγωνίσκειν i. q. *γεγωνεῖν* 7, 76.

Γενναῖον εἶναι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι 1, 136.

Γεύεσθαι 2, 70. *καί τινες καὶ ἀλλήλων ἐγεύοντο.*

Γίγνεσθαι 1, 138. *τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής.* 3, 89. *οὐ δοκεῖ τοιοῦτο ξυμβῆναι γενέσθαι.* 4, 58. *γενομένων ἐπ' ἐρωτήσεως.* profpere evenire, feliciter cedere 7, 49. *ὅτι ἦν αὐτόθι που τὸ βουλόμενον τοῖς Ἀθηναίοις γίγνεσθαι τὰ πράγματα.*

Γλίχεσθαι, cupere 8, 15. *τὰ χίλια τάλαντα, ὧν ἐγλίχοντο μὴ ἅψασθαι.*

Γλῶσσα 7, 10. *ἕνα ἀπὸ γλώσσης εἴρητο αὐτοῖς.*

Γνώμη, mens 5, 9. *τῷ ἀνειμένῳ τῆς γνώμης.* fententia 5, 46. *ὅσοι ἄλλοι τῆς αὐτῆς γνώμης ἦσαν.* 4, 19. *παρὰ γνώμην*, praeter opinionem. 3, 92. *ἀπὸ τοιᾶσδε γνώμης.* iudicium 2, 65. *γνώμης ἁμάρτημα.* vera ratio 3, 42. *τὸν μὴ τυχόντα γνώμης, οὐχ ὅπως ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν.* confilium 8, 90. *ἦν δὲ τοῦ τείχους ἡ γνώμη αὕτη.* 1, 128. *γνώμην ποιοῦμαι*, in animo habeo.

Γνώμων, qui cognofcit, iudex 1, 138.

Γοῦν, certe, quidem 1, 63.

Γράμμα, conditio adfcripta 5, 29. *τοῦτο τὸ γράμμα μάλιστα τὴν Πελοπόννησον διεθορύβει.* litterae 6, 54. *ἀμυδροῖς γράμμασι.* epiftola 8, 50.

Γραμματεὺς τῆς πόλεως 7, 10. Boeckhius de publ. Athen. Oecon. Vol. I. p. 200. e Suida et Polluce (VIII, 98) docet, tres Athenis fuiffe fcribas publicos, quorum unus vocabatur *γραμματεὺς κατὰ πρυτανείαν*, qui per unam tantum prytaniam munere fungebatur; alter *γραμματεὺς τῶν βουλευτῶν*, tertius *ὁ γραμματεὺς τῆς πόλεως* vel *τῆς βουλῆς καὶ τοῦ δήμου*, qui in fenatu et in ecclefia publica fcripta recitabat. Vid. Pollux l. c.

Γραμματεύειν, fcribam effe, fcriptum facere 4, 118. ubi intelligendus *γραμματεὺς κατὰ πρυτανείαν*, cuius nomen plebifcitis apponebatur. Vid. Boeckh. l. c.

Γυμνητία, levis armatura 7, 37.

Γυμνός 2, 49. *μήτ' ἄλλο τι ἢ γυμνὸν ἀνέχεσθαι.* 5, 23. *ἑστηκόν-*

ſubire. διὰ μάχης ἐλθεῖν 4, 92. confligere. διὰ φόβου εἶναι, metuere 6, 34. 59. διὰ πάσης, omnino 1, 14. οὐκ εἶχον καταστρώματα αἱ νῆες διὰ πάσης.

Διαβαίνειν, flumen transire 3, 106. διαβατόν, quod flumen transiri poteſt 2, 5.

Διαβάλλειν 3, 109. Πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνῃ χωρίων Ἕλληνας. 4, 22 μὴ ἐς τοὺς ξυμμάχους διαβληθῶσιν. — οἱ διαβάλλοντες, accuſatores 5, 4. — διαβάλλεσθαί τινι, odio habere aliquem. vid. ad 8, 81. Sic Plato διαβέβληνται τῷ σώματι, oderunt corpus. vid. Schneider in Lex.

Διαβατήρια, τά, 5, 54. Inſignis de hoc ritu locus eſt Xenophontis de rep. Lac. Cap. 13., quem adſcribam: Ἐπαναλήψομαι δέ, ὡς ἐξορμᾶται σὺν στρατιᾷ ὁ βασιλεύς. Θύει μὲν γὰρ πρῶτον οἴκοι ὢν Διῒ ἀγήτορι καὶ τοῖς σὺν αὐτῷ· ἢν δὲ ἐνταῦθα καλλιερήσῃ, λαβὼν ὁ πύρφορος πῦρ ἀπὸ τοῦ βωμοῦ, προηγεῖται ἐπὶ τὰ ὅρια τῆς χώρας. ὁ δὲ βασιλεὺς ἐκεῖ αὖ θύεται Διῒ καὶ Ἀθηνᾷ. Ὅταν δὲ ἀμφοῖν τούτοιν τοῖν θεοῖν καλλιερηθῇ, τότε διαβαίνει τὰ ὅρια τῆς χώρας· καὶ τὸ πῦρ μὲν ἀπὸ τούτων τῶν ἱερῶν προηγεῖται οὔποτε ἀποσβεννύμενον, σφάγια δὲ παντοῖα ἕπεται.

Διαβοᾶν, vociferari 8, 53. διαβοώντων ὡς δεινὸν εἴη, εἰ τοὺς νόμους βιασάμενος κάτεισι.

Διαβόλως αὐτοῦ ἐμνήσθη, 6, 15.

Διαβουλεύεσθαι 7, 50. ſeq. ὅπως.

Διάγγελοι τῶν ἔνδοθεν 7, 73.

Διάγειν, tempus terere, extrahere 1, 90.

Διαγίγνεσθαι, perſeverare 5, 16. τῷ μέλλοντι χρόνῳ καταλιπεῖν ὄνομα, ὡς οὐδὲν σφῆλας τὴν πόλιν διεγένετο.

Διαγνώμη τῆς ἐκκλησίας, populi ſcitum, decretum 1, 87. 3, 42 init.

Διάγνωσις 1, 50. οὐ ῥᾳδίως διάγνωσιν ἐποιοῦντο ὁποῖοι ἐκράτουν, non facile dignoſcere poterant.

Διαδύντες διὰ τοῦ τείχους 4, 110.

Διαζώννυσθαι 1, 6. διεζωσμένοι.

Διαθέειν, discurrére 8, 92.

Διαθροεῖν 8, 91 init.

Διαιρεῖσθαι, inter ſe partiri 7, 19. 2, 75.

Διαιρετός 1, 84. τὰς προσπιπτούσας τύχας οὐ λόγῳ διαιρετάς, fortunae caſus oratione explicari non poſſe.

Δίαιτα, domicilium 1, 135. 2, 102. ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῷ σώματι, ubi eſt τόπος ἐς ἐνδιαίτημα τοῦ σώματος. vitae ratio 1, 6. ξυνήθη τὴν δίαιταν. 7, 69. 74.

Διαιτᾶν, vitam degere 2, 14 extr. 52. — de more et ex uſu facere 7, 77. πολλὰ ἐς τοὺς θεοὺς νόμιμα δεδιῄτημαι. 7, 87. ἡμέρας ἑβδομήκοντά τινας οὕτω διῃτήθησαν ἀθρόοι.

Διαίτημα 1, 6. vitae inſtitutum, vitae ratio, victus et cultus.

Διακελευσμός, cohortatio 7, 71. πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι.

Διακενῆς, fruſtra, incaſſum 4, 126. ἡ διακενῆς ἐπανάσεισις τῶν ὅπλων ἔχει τινὰ δήλωσιν ἀπειλῆς, i. e. inanis armorum concuſſio.

Διάκενον, τό, inane murorum ſpatium, a cuſtode relictum 4, 135. cf. 5, 71.

Διακινδυνεύειν, periclitari 4, 19 bis. 29.

Διακλαπέν 7, 85. ſurreptum.

Διακληροῦν 8, 30. ἐβούλοντο διακληρωσάμενοι (τὰς ναῦς) ἐπὶ τῇ Μιλήτῳ ἐφορμεῖν, inter ſe ſortiti.

Διάκονος 1, 133.

Διακοσμεῖν πομπήν 1, 20.

Διακοσμός, aciei inſtruendae ratio 4, 93.

Διακρίνειν, discernere 1, 49. διεκέκριτο οὐδὲν ἔτι. dirimere 1, 105. διεκρίθησαν ἀπ' ἀλλήλων. discedere 4, 25. ἐπ' οἴκου ἑκάσται διεκρίθησαν.

Διακωχή 3, 87.

E.

Z.

H.

Θ.

Ξ.

O.

T.

Φ.

X.

ERRATA.

I. In Textv.

Pag. 4 lin. 12 leg. *ἄρας* pro *ἆρας*, et ſic saepius *ἄραντες*, *ἀπάραντος*, *ἀπᾶραι*, *ἄρασθαι*, *ἦραν*, *ἤρθη* ſine ι ſubſcripto.
— 49 — 2 leg. *προκαλεσαμένοις* pro *προςκαλ.*
— 55 — 13 poſt *Ἀλκιβιάδου* parentheſis finitae ſignum excidit.
— 61 — 18 leg. *Αἴγχας* pro *Αείχας*.
— 115 — 4 leg. *ἐςῆλθον* pro *εἰςῆλθον*. Item p. 484 v. 10. *ἐπεςαγωγάς*, et p. 489 v. 10 *ἐς*.
— 6 leg. *πῃ* pro *πη*. Item p. 126. lin. 6 *ὅπῃ*.
— 188 — 1 in *οὐ* accentus una cum ſpiritu abreptus eſt, ut ſaepius factum in ſumma pagina.
— 194 — 1 leg. *ἄπο* pro *ἀπό*.
— 201 — 12 leg. *προδιώκοντας* pro *προςδιώκ.*
— 206 — 21 leg. *προδιαβάλλειν* pro *προςδιαβ.*
— 212 — 11 leg. *προμήθειαν* accentu correcto.
— 224 — 1 leg. *τινά* pro *τιν.*
— 293 — 14 leg. *ἀποπειρᾶσαι* pro *ἀποπειράσαι*. Item p. 304. v. 6.
— 307 — 14 leg. *σημῆναι* pro *σημῆναι*.
— 373 — 1 leg. *ἐπηρμένοι* ſine ι ſubſcr. Et ſic alibi *ἐπῆρε*, *ἐπανήρατο*, *κατῆραν*, *κατάραντες*.
— 420 — 6 leg. *εἰ* pro *εἶ*.
— 453 — 5 comma ponatur poſt *χειρουργεῖν*.

II. In Svmmariis.

Pag. 1 lin. 1 leg. *induciarum* pro indiciarum.
— 76 — 1 leg. *Phocenſes* pro Phocenſos.
— 93 — 1 leg. *ſcripta* pro ſcriptae.
— 180 — 5 abſit punctum poſt *rationem*.
— 235 — 3 deleatur comma poſt *compoſitas*.
— 258 — 2 leg. *invadit* pro incadit.
— 298 — 1 leg. *eadem* pro eandem.
— 350 — 2 comma poſt *abirent* del.
— 455 — 1 leg. *perturbatos* pro perturbatas.

III. In Notis.

Pag. 11 Col. 1 lin. 3 leg. *clauduntur* pro cluduntur.
— 24 — 1 — 26 leg. *Ἀθήνησι* pro *Ἀθῄνησι*.
— 27 — 2 — 2 leg. *ἐστιν* et pag. 34. *τύχωσιν* cum *ν ἐφελκ.*
— 76 — 1 — 4 leg. *τἀνθρώπων* pro *τ᾽ἀνθρώπων*.
— 124 — 1 — 12 leg. *Quae* pro Qua.

Pag. 134 Col. 1 lin. 4 leg. *appofitum* pro oppofitum.
— 2 — 10 leg. *nexae* pro nexa.
— 139 — 2 — 8 leg. *περικομπεῖν* pro περικομεῖν.
— 142 — 2 — 1 colon fit poft π α ρ ί ξ ο υ σ ι.
— 156 — 2 — 14 leg. 32 pro 31.
— 185 — 1 — 25 leg. *falutis* pro folutis.
— 212 — 1 — 3 leg. *προμήθειαν*, et pag. 226 *ἄγνοιαν* et *ἄνοιαν*, retracto accentu.
— 213 — 2 — 16 poft *δέ* colon fit, non fignum interrogandi.
— 226 — 2 — 22 leg. *praetuli* pro mutilato praetu.
— 232 — 1 — 9 leg. *fubaudienti* pro fubaudientem.
— 238 — 2 — 11 leg. *προτείχισμα* pro περιτείχισμα.
— 245 — 2 — 2 leg. *Alterum* pro Alteram.
— 248 — 1 — 12 leg. *turbatum* pro turbatus.
— 252 — 2 — 16 comma fit poft *ἔγγυθεν*.
— 257 — 1 — 12 leg. *inopia* pro inopina.
— 2 — 19 primum parenth. fignum excidit ante *i. e.*
— 264 — 2 — 10 leg. *eum* pro cum.
— 273 — 1 — 10 leg. *reliquae* pro reliqua.
— 277 — 1 — 17 leg. *Peloponnefios* pro Peloponnefias.
— 291 — 1 — 14 colon fit poft *κωπῶν*.
— 294 — 2 — 5 comma fit poft *πρῶρας*.
— 301 — 2 — 25 leg. *habebant* pro habebat.
— 308 — 1 — 7 leg. *eos* pro nos.
— 320 — 2 — 22 leg. *appofitionem* pro oppofit.
— 322 — 2 — 9 leg. *α ὐ τ ῶ ν* pro αὐτῶν.
— 335 — 2 — 2 leg. *notandam* pro notandum.
— 346 — 1 — 24 poft *Thucyd.* adde 2, 49.
— 371 — 2 — 3 del. *καί*.
— 380 — 1 — 7 leg. *Nemea* pro Ifthmia.
— 401 — 1 — 16 leg. *quod* pro quae.
— 403 — 2 — 25 leg. *τοῖς ἐν τῇ* pro ἀφιγμέναι.
— 451 — 2 — 28 leg. 343 pro 433.
— 460 — 2 — 18 leg. *hunc* pro hanc.
— 466 — 1 — 1 leg. *Lege* pro ge.
— 487 — 1 — 6 leg. *domicilium* Athenis *habebat.* Vid. Ind. in *πρόξενος*.
— 494 — 1 — 7 leg. *fucatum* pro factum.

excellit tum pretii vilitate tum magna impressionis cura, qua cautum fuit a mendis typographicis.

Selectae e profanis scriptoribus Historiae, quibus adiuncta sunt varia honeste vivendi praecepta. Denuo recognovit atque edidit G. H. Schaefer. 8 maj. 1813. 16 gr.

Curavit novam hanc editionem libri usibus scholasticis accommodatissimi G. H. Schaeferus, Professor Lipsiensis. Is primum typothetae errores in superiori editione magno numero obvios diligenter correxit. Deinde laborem subiit lectoribus perquam utilem plerosque locos in ipsis scriptoribus, unde hausti sunt excutiendi. Quo in negotio usus est illorum editionibus novissimis maximeque probatis. Itaque speramus fore, ut liber, quo tot iam per annos scholarum magistri summo cum emolumento usi sunt, porro puerorum et ingeniis excolendis et moribus formandis insignem utilitatem praestet.

Eichhorn, J. G. (Geheimer-Justizrath und Ritter), Geschichte der drei letzten Jahrhunderte. 3te bis auf die neuesten Zeiten fortgesetzte Ausgabe. 6 Bände. gr. 8. 15 Rthlr.

Dieses Meisterwerk eines grofsen deutschen Kritikers und Historikers ist bekannt genug; Referent begnügt sich, Geschäftsmänner, Studirende, Erzieher, verständige Frauen, auf dasselbe hinzuweisen und zu sagen, dafs die Gebildeten aller Stände ihr Verlangen nach historischer Kunde, welches Begebenheiten und Blätter des Tages vielfach erregen, hier so angenehm, so interessant, als vollkommen, befriedigen können. Wie der Verfasser in der gediegensten Darstellung allen Deutschen das herrlichste Geschenk gemacht hat, so räth Referent Jedem, wer gebildeten Personen eine recht dauernde Weihnachtsfreude bereiten will, diefs Buch als Gabe zu wählen.

Falkmann, Ch. F., Methodik der Stylübungen für höhere Schulanstalten und Privat-Uebungen. gr. 8. Hannover, in der Hahn'schen Hofbuchhandlung. 1 Rthlr.

Keinem Lehrer in niederen und höheren Schulen oder Unterrichtsanstalten darf dieses Buch fehlen; es ist eine Fundgrube für den praktischen Mann, der hier nicht etwa nackte Regeln findet, sondern den Verfasser selbst im Kreise seiner Zöglinge leben, handeln, verfahren fieht. Reines, erprobtes Resultat einer zwölfjährigen Erfahrung, originelles, im eigenen, kräftigen Wirken geschaffenes und erworbenes Eigenthum, ist der Inhalt dieses Musterwerks. Der Schüler wird nicht nur zum eigenen Nachdenken aufgeregt, sondern der Verfasser hat sich auch bemüht, Uebungen von vielseitig belehrendem Inhalte zu geben; was man in ähnlichen Werken oft vermifst, obgleich es nothwendig ist, wenn Lehrer und Schüler nicht ermüden sollen.

Heinsius, Dr. Th., (Professor in Berlin) volkthümliches Wörterbuch der deutschen Sprache, für die Geschäfts- und Lesewelt. 2r Bd. F bis K, 83 Bogen, grofs Lexiconformat. Hannover, in der Hahnschen Hof-Buchhandlung.

Dieser zweite Band ist um 11 Bogen stärker, als der erste, und enthält 900 Wörter mehr, als Campe in jenen Buchstaben giebt, wird aber demungeachtet zu demselben wohlfeilen Pränumerations-Preise wie der erste Band, nämlich zu 2 Rthlr. 12 Ggr. auf Druckpapier und 3 Rthlr. 8 Ggr. auf Schreibpap. erlassen, und auf das Ganze, welches 4 Bände umfassen soll, und zu dessen schneller Vollendung alles Mögliche geschieht, wird fortdauernd Subscription angenommen.

Der Werth dieses lexicographischen Unternehmens ist bereits anerkannt. Alle einheimische und fremde Wort- und Redeformen, aus Wissenschaften, Künsten, Gewerben, praktischen Geschäfts- und Lebensverhältnissen jeder Art, sind hier in faſslichen Beispielen gründlich entwickelt; die ganze Summe unserer, durch Sprache bekundeten National-Bildung ist anschaulich gemacht: so daſs gebildete Männer und Frauen aller Stände, Geschäftsleute in vielfachen Kreisen, kurz, Alle, welche Lust, Verhältniſs, oder Pflicht, zum Erlernen, Schreiben, oder Erforschen der Sprache berufen möchte, eines Hülfsmittels nicht entbehren können, welches den Kern aller gelungenen Untersuchungen über deutsche Grammatik und Wortkunde enthält.

Heyse, J. C. A., kleine theoretisch-practische deutsche Grammatik. Ein Auszug des gröſsern Lehrbuchs. Zweite verbesserte und mit einem Anhange über die Verskunst vermehrte Aufl. gr. 8. Hannover, in der Hahnschen Hofbuchhandlung. 16 Ggr.

Diese so eben erschienene zweite Auflage ist ein sichrer Beweis, mit welchem Beifall die erste aufgenommen und deren Brauchbarkeit bereits allgemein anerkannt ist. Noch willkommner wird aber diese neue Ausgabe seyn, da der rühmlichst bekannte Herr Verfasser mit Berücksichtigung der neuesten Sprachforschungen nicht nur darin noch Manches berichtigt und ergänzt, sondern auch einen von Vielen gewünschten Abschnitt über die deutsche Verskunst, welcher die wichtigsten Grundsätze und Regeln derselben enthält, hinzugefügt hat.

Scheller's lateinisch-deutsches und deutsch-lateinisches Hand-Lexicon, 3 Bände, 4te Original-Ausgabe von Lünemannn. gr. 8. 4 Rthlr 12 Ggr.

Von unserer Seite ist nichts gespart worden, um diese neue Auflage dem bekannten Werthe des Werks entsprechend auszustatten; wir enthalten uns daher jeder weitern Empfehlung desselben.

Schlegel, J. K. F., (Königl. Hannov. Rath und Consistorial-Secretair,) Ueber den Geist der Religiosität aller Zeiten

und Völker. 2 Thle. Mit 1 Kupf. gr. 8. Hannover, in der Hahn'schen Hof-Buchhandlung. 2 Rthlr. 18 Ggr.

Dieses Buch ist kein Buch aus der Schule, sondern ein Vermächtnifs aus dem zeitlichen Leben, zur Förderung des ewigen, niedergelegt. Mit wahrer Freude sieht der Leser die verschiedenen Bahnen, auf welchen merkwürdige Nationen zu allen Zeiten das höchste Gut, religiöse Tugend, zu erstreben suchten; er erfährt, wie, nach Maafsgabe der Bildungsstufen, die Religion, nicht sowohl als Form, im Cultus, sondern, als Idee, im Leben hervortrat. Denn nicht die Hülle der religiösen Symbole, Sagen, Mythen und Lehren ist es, auf welche der Verfasser seine gediegene Darstellung wendet; sondern darin möchte er von seinen Vorgängern sich unterscheiden, dafs er, ein erfahrner Forscher, seiner berühmten Brüder würdig, an der Hand der Geschichte, mit philosophischem Blicke, in allen Regionen des Alterthums den Geist kund macht, der, in den verschiedenen vorchristlichen Zeitaltern herrschend, jedes dem Heiligthume der Wahrheit, dem Gesetze des ewigen Lebens, näher führte. Ansprechend mit Kraft und Wärme jeden gebildeten Verstand, jedes, göttlicher Wahrheit empfängliche Gemüth, wird das Werk ein Handbuch religiöser Männer und Frauen bleiben, so lange wahre Geistesbildung höchster Zweck der Belehrung durch Lectüre seyn wird.

Pertz, G. H., die Geschichte der Merowingischen Hausmeier. Mit einer Vorrede vom Hofrath, Ritter Heeren in Göttingen. gr. 8. Hannover, in der Hahn'schen Hof-Buchhandlung. 20 Ggr.

Böttiger, C. W., Heinrich der Löwe, Herzog von Sachsen und Baiern. Ein biographischer Versuch. gr. 8. Hannover, in der Hahn'schen Hof-Buchhandlung. 1 Rthlr. 18 Ggr.

Beide Schriften sind geistvolle Werke junger Historiker. Der Verfasser der erstern wird durch seinen berühmten Lehrer, Herrn Hofrath und Ritter Heeren in Göttingen, bei dem Publicum eingeführt, mit dem Zeugniffe, dafs er sein Studium, die Geschichte, im Geiste kennen und verehren gelernt, dafs er hier ein, Hoffnung erregendes Produkt historischer Kunst gegeben habe.

Der Biograph unsers vaterländischen Helden, Heinrich, trägt einen, in ganz Deutschland rühmlich gekannten Namen, dessen er, wie sein Buch beweiset, bei Erforschung seiner Wissenschaft, eingedenk geblieben ist.

In beiden Werken wird Wahl und Behandlung des Stoffs, wird das stete Hinweisen auf kritisch gewürdigte Quellen den gebildeten Liebhaber, wie den ernsten Kenner der Geschichte, anziehen und fesseln; und schon haben die meisten gelehrten Blätter auf diese talentvollen Arbeiten durch ein sehr ehrenvolles Urtheil aufmerksam gemacht.
